EUDOCIAE AUGUSTAE

VIOLARIUM

RECENSUIT ET EMENDABAT

FONTIUM TESTIMONIA

SUBSCRIPSIT

IOANNES FLACH.

ACCEDUNT INDICES QUORUM ALTER SCRIPTORES AB EUDOCIA LAUDATOS ALTER CAPITA VIOLARII CONTINET.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

I. PRAEFATIO VILLOISONI.

Hic tibi offerimus, Lector erudite, Anecdotorum Graecorum, quae e Parisina Regia et S. Marci Veneta Bibliothecis selegimus, duo Volumina. Prius continet Eudociae Imperatricis Ἰωνιὰν, sive Dictionarium Historico-Mythologicum, e Codice Regio MMMLVII, de quo haec in Catalogo Codicum Manuscriptorum Graecorum Regiae Bibliothecae Tom. II. p. 603. „Codex Chartaceus, (recens) olim Colbertinus, quo continetur, Eudociae Macrembolitissae, Augustae, quae primum Constantino Ducae Imperatori, deinde Romano III. cognomine Diogeni, (qui Imperator factus est anno 1068) nupsit, Opus inscriptum, Ἰωνία (lege Ἰωνιὰ), sive *Violarium,* quo de Diis, Deabus, viris illustribus, rebusque varii argumenti disseritur. Capitum Index exhibetur a viro Cl. Anselmo Bandurio, quem videre pretium est. Nondum prodiit illud egregium Antiquitatis monumentum, dignissimum tamen quod publicam lucem aspiciat."

Scilicet Indicem Capitum dedit Anselmus Bandurius in notis ad Antiquitates Constantinopolitanas p. 812. et hinc Fabricius in Bibliotheca Graeca Tom. VI. L. V. cap. 5. p. 588. qui hoc Opus *insigne* vocat p. 602. illiusque Editionem exoptat, idque laudari a Bandurio ad Antiquitates Constantinopolitanas p. 449. 590. 818. et 829. ac 830. observat. Memoratur et a Montfauconio in Palaeographia Graeca p. 109. et p. 298. ubi dicitur *Opus singularis eruditionis,* a Cangio in Glossario Mediae Graecitatis, in Indice Auctorum ad Glossarium Mediae Graecitatis, voce *Eudocia,*

in notis ad Zonaram p. 11. 67. 114. etc. etc. et p. 115. et 116, ubi sic de nostra loquitur: „Singularis fuit eruditionis; quod testantur quae in Bibliothecis servantur illius opera, in quibus legere contigit, ex Colbertea, vastum illud opus, quod *'Ιώνια* (lege *'Ιωνιὰ*) inscripsit .... opus multifaria rerum varietate refertum, quodque immensam Principis feminae eruditionem et assiduam librorum lectionem testatur.“ [1])

Quae vero alia Eudociae Opera Cangius in Bibliothecis asservari affirmat, haec sunt, Poema Epicum de Ariadnes Caesarie, *ὁ πλόκαμος τῆς 'Αριάδνης, ἐπικῶς*, et alii tres libri pedestri sermone, qui inscripti erant, *αἱ τῶν γυναικῶν χρεῖαι*, et *τί δεῖ τὰς βασιλίδας ἀσκεῖν*, quod *χρήσιμόν τι χρῆμα* vocat Auctor Anonymus cuiusdam annotationis ad Eudociam p. 2. nostrae Edit. et *περὶ διαίτης μοναζουσῶν, ὅπερ καὶ νῦν καθ' ἡμᾶς ἐν τῷ τῆς Προκονήσου σεμνείῳ σώζεται, Προκόνησος δὲ ὁ νῦν Μαρμάρας*, inquit idem ibid. Auctor Anonymus huiusce observationis. Haec autem opera in nostris Europae Bibliothecis asservari nemo audivit.

Cuiusdam docti Benedictini, qui Eudociae Editionem

---

[1]) Quod hic in Historia literaria et fabulosa praestitit Eudocia, hoc in Historia Naturali et in Botanica confecit illa Eudociae, imo et doctissimorum virorum qui unquam extiterint, aemula, atque eximium sui sexus, et Germaniae, decus, et exemplum, Serenissima *Ludovica*, *Baden-Dourlachi Margravia*, dignissima coniux summi illius Principis, cuius aureum opus de Oeconomia his concluditur verbis, quae in optimo ipsius animo insculpta, et in omnibus eiusdem factis expressa, omnium Palatiorum portis inscribi deberent, *faire du bien*, *c'est le recevoir*. Vehementer autem optandum, ut Serenissimae Margraviae modestia singularis, quae sola tantas illius virtutes atque ingenii animique dotes aequat, quamque Venetiis, ubi illa delitescere voluit, mirari nobis contigit, premere et eruditis invidere nolit unicam illam et omnibus gazis pretiosiorem collectionem, quae omnes rerum naturalium varietates secundum Linnaei systema tanta manu dispositas digestasque repraesentat.

meditabatur, mentionem facit Christianus Wolfius de hac Imperatrice agens in suo libro *de Mulierum Graecarum, quae oratione prosa usae sunt, fragmentis*, ibique ex Ἰωνιᾷ Excerpta potulit. Eudociae autem vitam videbis apud Zonaram, Iohannem Scylitzem Curopalatam, Michaelem Glycam, Nicephorum Caesarem Bryennium, et illius uxorem Annam Comnenam, etc. Cl. le Beau in Historia Byzantinorum Imperatorum, Cangium in Familiis Byzantinis p. 161. etc. et in Dissertatione de illius vita et operibus, quam in Academiae Inscriptionum consessu legi anno 1773.

Eudocia, ad cuius Ἰωνιὰν edendam multi doctissimi viri, ac praesertim summus ille David Ruhnkenius, mihi faces addiderunt, quae ad Historiam literariam pertinentia in suum Lexicon congessit, eorum pleraque ex iisdem hausit fontibus, ex quibus Suidas, qui illius collatione non semel emendari potest; nonnullorum Philosophorum ac Sophistarum vitas e Diogene Laertio et e Philostrato habuit; quaedam Mythologica, et ea praesertim quae ad Heroum effigiem spectant, ex eiusdem Philostrati Heroicis; caetera Mythologica ex omnibus Interpretibus omnium Poetarum Graecorum, Homeri, Hesiodi, Theocriti, Lycophronis, Apollonii Rhodii, Arati, etc. etc. imo ex Argumentis, quae Tragicorum Graecorum fabulis praefixa sunt, ex editis a Richardo Montacutio Etonae 1610. 4. in duas S. Gregorii Nazianzeni, et ex ineditis in multas alias eiusdem S. Patris Orationes Commentariis, sive *Συναγωγῇ καὶ ἐξηγήσει ἱστοριῶν*, quae est cuiusdam Nonni Monachi, e Cornuto aliisque Mythographis et Scholiastis editis ac ineditis, mutuata est, sparsa collegit, disposuit, et in ordinem alphabeticum redegit.

II. PRAEFATIO EDITORIS.

Violarii, quod exeunte saeculo undecimo ab Eudocia Augusta compositum esse pro certo adfirmari licet, manuscripti hodie non exstant libri nisi duo Parisini, quorum alter, olim Colbertinus, nunc numero 3057 signatus, circa finem saeculi XV videtur esse exaratus, alter, inter supplementa quadragesimus secundus, saeculi praeteriti initio tribuendus. Ac recentiorem quidem codicem cum nemo umquam laudaverit nisi Mangeyus in editione sua Philonis vol. II. pag. 408, dubium est num praeter eum quisquam ante me inspexerit. Ipse autem intellexi librum a Mangeyo laudatum apographum esse codicis 3057, quo uno tamquam fundamento necesse est nitatur Violarii editio. Ad vetustiorem igitur codicem litteram P scitote pertinere, quam in apparatu critico innumeris locis positam invenietis. Eundem librum, priusquam typis exscriptus est, si minus perlegisse at certe inspexisse inter viros doctos satis constat cum alios tum *Cangium*, *Bandurium*, *Montefalconium*. Qui singula Violarii capita vel descripserunt vel excerpserunt; Bandurius publici iuris fecit capitum indicem codici praemissum, quem nos ad calcem totius editionis dedimus. Nil mirum igitur, quod medio iam saeculo XVIII integrum Eudociae librum typis mandare constituerat vir quidam eruditus ex ordine S. Benedicti, *Ioannes Hervinus*; neque vero is persecutus est consilium, quod eum iniisse tradidit Christianus Wolfius, doctus ille vir, qui edidit fragmenta mulierum Graecarum. Neque id quidem usque adhuc quisquam potuit indagare, ubi terrarum lateant

schedae ad praeparandam editionem ab illo scriptae. Successit in illius locum monitus ab amicis cum aliis tum ipso Ruhnkenio *Anselmus Villoisonus*, qui codicis Parisini vetustioris vestigia secutus a. 1781 Venetiis emisit Violarii editionem, quam littera V ubique equidem signavi. Inveniuntur autem in codice capita quaedam, quae desunt in Veneta editione consulto neglecta, quorum alteram partem omnino indignam iudicasse videtur Villoisonus, quae typis exscriberetur, maiorem alteram in ipso Violario pluries repetitam, non tanti, quae iterum iterumque describeretur. E quibus pauca in editionem meam recepi, plurima reieci. Ipse autem Villoisonus praedicat ante paratam editionem de vita et scriptis Eudociae se dissertationem composuisse; quae num prelum subierit dubitandum est, cuius ne Parisiis quidem, quamquam diu quaesivi, compos fieri potuerim. In ipsa autem editione vix quicquam videtur laude dignum, nisi quod princeps est emissa. Neque enim Villoisonus ea qua par erat diligentia codicem perscrutatus est neque satis accurate cognoverat notarum potestatem, quae in libris manuscriptis inveniuntur. Quo factum est, ut eius editio innumeris mendis scateret. Neque minus vituperandus est, quod etiam alterius editoris officii immemor nec scriptorum locis in Violario exscriptis neque cetera testimoniorum mole usus est ad Eudociae textum rectius constituendum. Quam rem ita se habere intellexi, cum complures abhinc annos versarer in scholiis Hesiodeis et Lycophroneis. Iterandae igitur Violarii editionis cum consilium cepissem, id potissimum egi, ut codicem Parisinum diligentius conferrem et singulorum capitum fontes summa cum industria indagatos cum Eudociae excerptis componerem marginique subscriberem; quo fieri non potuit, quin scriptura permultis locis emendaretur. Ac scripturae quae est in codice Parisino diversitatem, bibliothecae Teubnerianae legibus addictus, non integram subscripsi, sed potiorem. De fontibus autem Eudociae ipse nuper egi in quaestionibus, quas '*Unter-*

suchungen ueber Eudokia und Suidas' inscripsi (Lipsiae 1879). Ad eas reieci in apparatu solo verbo '*Untersuchungen*' vel '*Untersuch.*' adiecto. Neque minus quam codicis Parisini eam indicavi scripturae varietatem, quae in singulorum capitum fontibus testimoniisque invenitur. Ibi quae leguntur, in apparatu omnia littera F signata exstant praeter ea, quae ex Hesychio Milesio a Suida deprompta littera S notare visum est. Ipsum fontis nomen, ubicunque lectionis diversitatem apposui, numquam indicavi nisi certis argumentis permotus; e. g. adscripsi nonnunquam in scholiis ad Gregorium Nazianzenum, quae qui compilaverunt, Cosmas atque Nonnus, in plerisque locis dissentirent. Quibus autem fontium codicibus usa sit Eudocia, iam nunc assequi non possumus; ac ne id quidem quibus familiis tribuendi sint, usquequaque pro certo affirmare licebat. Quae cum ita sint, cavendum nobis, ne omnes scripturas, quae in fontibus magis nobis arrideant, in Violarii textum recipiamus neve ita non librarii menda tollamus, sed ipsam Eudociam corrigamus. Constat autem Violarium permultis interpolationibus esse vitiatum, quibus indagandis summopere studui. Itaque quae postea a lectoribus sive librariis adiecta esse aut certum esset aut verisimile, uncis quadratis [ ] inclusi. Quamquam quaestionum difficillimarum solutionem incohasse potius mihi videor quam absolvisse.

Illud addere volo, quod unum caput, quod Epicuri epistolas ad Pythoclem et ad Herodotum missas exhibet, descriptas Laertii ex Diogenis libro, cum innumera eius menda sanare me taederet, in hanc editionem non recepi; legitur illud quidem p. 181—192 ed. Vill.

Restat, ut afferam eas dissertationes, quae mihi attulerunt aliquid utilitatis. Sunt autem hae:

1. Observationes in Eudociae Violetum auctore *A. C. Meineke*, in actis a Tychseno et Heereno editis, quae inscribuntur 'Bibliothek der alten Literatur und Kunst. Göttingen 1789. 5. Stück' I p. 26—46 et '6. Stück' II p. 25—44.

2) De fontibus Eudociae scripsit *Wyttenbach*, in 'bibliotheca critica Amstelodama'. vol. II. part. III. p. 3 sqq.

3) Curarum criticarum in scholia Apollonii Rhodii et Eudociae Viol. specimen scr. *Spitzner.* Wittembergae 1819.

4) *Thomae Reinesii* observationes in Suidam ed. *G. Müller.* Lipsiae 1819.

5) Zur Geschichte der Theognideischen Spruchsammlung. Scr. *Fr. Nietzsche.* Mus. Rhen. XXII (a. 1867) p. 189 sqq.

6) Quaestionum Eudocianarum capita quattuor, scripsit *Rich. Nitzsche.* Altenburg. 1868.

7) Commentationum sive in Eudociae violarium observationum specimen, scr. *Harles.* Erlang. 1785. Ex quo libello, quem inspicere numquam mihi licuit, quae excerpserat benevolentissime mihi misit *Zuckerus*, vir doctissimus, bibliothecarius Erlangensis.

Neque vero usquam invenire mihi contigit commentationem de Eudocia a. 1789 in *annalibus Helmstadtensibus* neque *Friesemanni* opusculum in 'collectaneis criticis' Amstelodami a. 1786 edita.

Haec sunt quae de Eudocia usque adhuc peculiaribus libellis exposita sunt. Neque tamen sua laude illi sunt fraudandi viri docti, qui data occasione de Eudocia verba fecerunt. Praebuerunt enim etiam eorum scripta haud parum utilitatis: dico *Heynii* observationes ad Apollodorum, *Muelleri* praefationem et notas ad Tzetzae Lycophronis commentarios, *Bernhardyi* verba Suidae editioni praemissa, *Mauricii Schmidtii* censuram editionis Bernhardyanae, quam inseruit annal. philol. vol. LXXI. p. 474 sqq., *Hugonis Weberi* de Hesychio lexicographo librum in suppl. Philol. III. p. 451 sqq. publici iuris factum, *Valentini Rosei* verba in libro qui inscribitur Aristoteles pseudepigraphus ad p. 407, 419, 482, 485, 530 etc. apposita, *Theodori Bergkii* ad innumeros Poetarum Lyricorum locos, *Caroli Roberti* ad Catasterismos animadversiones, *C. Wachsmuthii* de fontibus Suidae et *D. Volkmanni* de Suidae biogra-

phicis dissertationes (Symbol. philol. Bonnens. p. 138 sqq. et 717 sqq.), *ejusdemque* de Suidae biographicis quaestiones novas (Numburg. 1873), quas in apparatu critico laudavi adiectis verbis, 'Quaest. nov.', *Ervini Rohdii* de vocabuli γέγονε apud Suidam usu quaestionem celeberrimam Mus. Rhen. Vol. XXXIII. p. 161 sqq., *eiusdemque* de Philone Byblio et Hesychio Milesio Mus. Rhen. vol. XXXIV. p. 561 seq. insertam. Pauca tantum ex ea dissertatione adsciscere mihi licebat, quam inseruit *A. Daub* Mus. Rhen. vol. XXXV p. 64 seq., postquam maximam editionis partem iam confeci. Nonnullas etiam coniecturas *A. de Gutschmid* et *Ervinus Rohde*, collegae et ingenii acumine et doctrinae copia insignes, amicissime mecum communicaverunt earumque usum mihi concesserunt. Gratias denique ago viro doctissimo *Grossio Weilburgensi*, qui partem materiei ab ipso summa cum diligentia undique collectae, monitus a praeceptore suo *Guilelmo Studemund*, benevolentissime mihi suppeditavit.

Iam vero non dubito, quin exemplaribus Villoisonianis iam dudum divenditis, viris doctis sit accepta nova haec Violarii editio. Quod ut mihi persuadeam eo magis inducor, quod nunc demum verbis rectius constitutis statuere possumus de necessitudine, quae intercedat inter Suidam, Eudociam Hesychiumque Milesium, vitarum illum ingeniosum enarratorem, quae quidem res diutius, quam par erat, in magna obscuritate et dubitatione posita erat.

Scribebam Tubingae mens. Febr. MDCCCLXXX.

ADDENDA I.

Ad fontium testimonia, de quibus in „Untersuchungen über Suidas und Eudokia“ disserui, haec sunt addenda:

p. 34 (VIII) s. 260 Ζεὺς Ἠλεκτρύων = Apollod. II, 4, 3 sq.

p. 35 (VIII) s. 412 Φαίδρας γενεαλογία: Apollod. I, 9, 1 III, 1, 2. (IX) s. 366 ff. ἡ δὲ τῆς Πτολεμαίων βασιλείας ἀρχὴ — exit. stammt aus demselben Chronisten, wie die erwähnte Partie s. 429 περὶ Χάρητος. Sie stimmt heute im wesentlichen mit Pseudo-Eusebius bei Cedren. I s. 339 ff. (s. auch Schöne, Euseb. I s. 126, Latino-Barbarus ib. I s. 208 f.; Georg. Hamartol. s. 205 f. ed. Muralt).

p. 102 Z. 11 s. 149 περὶ Ἐννοῦς von ἀπὸ τοῦ ἔνω — φονεύω = Etym. M. 337, 37.

p. 104 Harpokration ist benutzt s. 282 im Artikel περὶ Λυσιμάχου.

p. 108 Z. 16 s. 224 περὶ ἀναθημάτων Ἡφαίστου κ. τ. λ. = Eustath. Il. s. 87 (v. Athen. VII, s. 325).

Z. 33 περὶ Κυκλώπων von Ἡσίοδος — ὄψει auch Eustath. Od. s. 1392.

Z. 34 s. 265 περὶ Κύκνων von δεῖ δὲ εἰδέναι — exit. = Eustath. Il. s. 87.

p. 109 Z. 10 s. 322 περὶ Παλλαδίου von διοπετὲς — δεξιᾷ = Eustath. Il. s. 327.

Z. 30 s. 404 περὶ Τρωὸς non ὁ δὲ ποιητὴς — exit. = Eustath. Il. s. 1209.

Z. 39 s. 433 περὶ Χρυσηίδος — ἱστοροῦσι = Eustath. Il. s. 118.

p. 110 Z. 17 περὶ Ἀψύρτου = Eustath. Dion. v. 488.

p. 127 not. 3 φησιν εἶναί τινος Ῥωμαίου conj. E. Scheer.

p. 144 περὶ Μολιονίδων = Cosm. p. 224.

p. 161 s. 292 περὶ Μολιονίδων = s. 441.

p. 162 not. Z. 9 s. 345 περὶ Πριάμου — ὡς εἴρηται.

Z. 10 s. 368 περὶ Πυθαγόρου — ὡς προείρηται s. 374 περὶ Σιβυλλῶν — ὡς ἐν τοῖς ἑξῆς διαληψόμεθα s. 441 περὶ Ὠρίωνος — ὡς ἐν τῷ περὶ Ὠριέως εἴρηται.

p. 166 Z. 21. Die Worte ὁ πορθμὸς — διαυλωνιζόμενος stehen bei Tzetzes z. Lycophron (und Argum. Apoll. Argon. II; cf. Eud. s. 420).

ADDENDA ET CORRIGENDA II.

Ad Violarii textum notasque haec adiicias vel corrigas:

p. 2, l. 8 corr. ἀνακαινίζειν.

p. 28 de Asclepii filia Ὑγιεία cf. E. Scheer in Mus. Rhen. XXXIV p. 274 not.

p. 38 μανίης σ' ἀποπαῦσαι per litteras mihi suppeditavit Bergkius.

p. 41 in not. corr. κλαυσθέντα.

p. 77 in not. l. Excerpta.

p. 84 in not. l. convasavit.

p. 109 de Asclepiade Myrleano cf. E. Rohde in Mus. Rhen. XXXIV p. 571 not. 1.

p. 148 Ξενοφάνης ἐν σίλλοις (sic corrig.), de quo cf. Wachsmuth, de Timone Phliasio etc. p. 30 et 73.

p. 153 in not. corr. quis sit.

p. 157, l. 15 de fragmento Philetae Ephesii cf. ed. Bach p. 21 (v. Eud. p. 628).

p. 241 de versu Ptolemaei regis cf. Nauck, fragm. trag. p. 628

p. 303 Hermiae vitam non a Laertio Diogene sed ab Hesychio Milesio Eudocia mutuata videtur esse.

p. 348, 13 post ἀποδημῆσαι uncinum adde.

p. 385 in not. l. Ἀμφίμαρχος.

p. 478 de Mithra cf. Mai, Spic. Rom. II p. 386.

p. 574, l. 15 cf. Anonym. περὶ ἀπίστων in Westermann Mir. p. 322.

p. 584 de Aristotele, Palaephati amatore, in articulo ἐρώμενοι (h. e. in lib. I historiae) Philonem verba fecisse suspicatus est E. Rohde l. c.

p. 586, l. 14—15 corr. τὸν δὲ — λυσιῳδόν.

p. 596 in not. ad Schneider etc. add. (Callim. II p. 26).

p. 625 et p. 643 de Sibyllis cf. Cramer, Anecd. Par. I p. 322 et doctam dissertationem Ernesti Maassii, de Sibyllarum indicibus (Berolin. 1879) p. 2 not. 3, et p. 51 sq.

Leviora menda, quae in accentibus et spiritibus positis fortasse commissa sunt, lectores ut ipsi corrigant rogo.

ΕΥΔΟΚΙΑΣ

τῆς Μακρεμβολιτίσσης, Βασιλίδος Κωνσταντινουπόλεως,

Ἰωνιά,

ἤτοι συναγωγὴ θεῶν, ἡρώων τε καὶ ἡρωϊνῶν γενεαλογίας, καὶ τῶν περὶ ἀυτοὺς μεταμορφώσεων, μύθων τε καὶ ἀλληγοριῶν, τῶν παρὰ τοῖς παλαιοῖς εὑρισκομένων, ἐν ᾗ καὶ περὶ διαφόρων σοφῶν, πρὸς τὸν φιλόχριστον καὶ εὐσεβέστατον βασιλέα Ῥωμανὸν τὸν Διογένην, νικητήν, τροπαιοῦχον.

Καὶ τοῦτό γε τοῖς πολλοῖς ἄλλοις, τοῖς εὐφραινουμένοις σε εἰς τὰ βασίλεια ἐπανήξοντα, τροπαιοῦχε Βασιλεῦ, συγκαταριθμήσεσθαι εὔελπίς εἰμι, οὐχ ὅπως γὰρ τὴν βασιλείαν εὖ διοικουμένην εὑρήσεις τὸ κατ᾽ ἐμέ, ἀλλὰ καὶ τὴν πόλιν πάσῃ ἀρετῇ καὶ ἤθεσι χρηστοῖς κεκοσμημένην, παιδείᾳ τέ φημι, ἧς οὐδὲν τιμιώτερον τῇ τε τῶν λογίων ἀνδρῶν ἀναγνώσει καὶ τῇ τῶν σπουδαίων μελέτῃ· ἥτις, δίκην

FONTES SEU TESTIMONIA: *φιλεῖ γὰρ τὸ ὑπήκοον — στοχαζόμενον* ex Panegyr. Procop. Gaz. depromptum. Cf. Villois. Anecd. II p. 43 not. 2

VARIETAS LECTIONIS: 3 *ὧν* P corr. V 7 *εὐφρανουμένοις* P corr. V 13 *τῇ τε τῶν* P *τῇ τῶν* V

Ἀδώνιδος κήπου παντοδαποῖς ἄνθεσιν εὐώδεσι βρύον-
τος, τῇ καλλονῇ τῶν ἀρετῶν αὐτὴν ἐνηγλάϊσεν, ἐφ-
άμιλλον τῷ Μακεδονικῷ ἄστεϊ τῷ πολλοὺς ἐσχηκότι
λογίων ἀνδρῶν γενομένην, καὶ πάντα τρόπον τὰς
πάλαι κλεινὰς Ἀθήνας, ὧν τὸ κλέος οὐρανόμηκες,
ἐξηλωμένην. οὕτω γὰρ ἡ παιδεία καλῶς τὰ πάντ'
ἐπανορθοῦν οἶδεν, ὥστε καὶ τὸ βάρβαρον σβεννύειν
καὶ τὸ ἐυφραδὲς τῆς φωνῆς ἀνάκαινίζειν καὶ πάντα
κατὰ κόσμον ῥυθμίζειν δύνασθαι· ἧσπερ ὄργανον αἱ
τῶν λογίων ἀνδρῶν ὁσημέραι παραινέσεις δι' ἀναγνώ-
σεως τῶν τὴν τῆς ψυχῆς ἀπαιδευσίαν ἀποσπώντων,
καὶ κατάληψιν σταθερὰν ἐμφυτευόντων, καὶ τόδ' οὐ
μόνον ἐν τῇ τῶν πόλεων βασιλίδι, ἀλλὰ καὶ ἐν πάσῃ
τῇ Ἑλλάδι (φιλεῖ γὰρ τὸ ὑπήκοον φύσει τῇ τοῦ ἡγε-
μόνος γνώμῃ διαιτᾶσθαι, ἀεὶ πρὸς αὐτόν, ὡς ἐπὶ σκο-
ποῦ, στοχαζόμενον). ὁρῶμεν γὰρ ὡς αὐτῆς φανείσης
ἡ στάσις πέπαυται, καὶ αἱ τῆς εἰρήνης διαλλαγαὶ
2 *βέβαιαι ἀδιστάκτως ἐγένοντο. καὶ τί πέραν τοῦ με-*
τρίου δεῖ λέγειν, καὶ τὴν ἐπαινουμένην τοῖς πᾶσιν
ἐπαινεῖν; οὐκ αὐτὴ τὴν ἐμφύλιον ζάλην πειθοῖ ἐξευ-
δίασεν ἔναγχος; οὐ μηχανὰς καὶ παρατάξεις ἐφεῦρε;
καὶ τὸ παρακρούεσθαι τοὺς ἀντιπάλους, ἡνίκα τούτου
δέῃ, καὶ σώζειν τοὺς φίλους, καὶ πάντα ὅσα πρόσφορα
τῷ ἐπικήρῳ τουτωῒ τῷ ἀνθρωπίνῳ βίῳ; οὐδ' ὅσοι

---

7 *οἶδε* PV 17 Vocabulo *στάσις* eadem manu hoc scholion appictum est: *τὴν τοῦ Πελτιανοῦ στάσιν λέγει, καὶ τὴν τοῦ ἀκολάστου Μαϊουμᾶ, οἱ* (l. *τῶν*) *τῇ βασιλείᾳ ἐπιθέμενοι* (l. *ἐπιθεμένων*), *ἀπόντος τοῦ φιλοχρίστου βασιλέως, οὓς ὁ σοφώτατος Ἀσσωρῖνος, παρακλήσει τε καὶ προστάξει τῆς ἐλλογιμωτάτης βασιλίδος, ῥητορεύσας, τῆς ἐπιθέσεως κατέπαυσε, καὶ τοῦ ἐμφυλίου πολέμου· περὶ οὗ καὶ Παλατιανὸς μνείαν ἐποιήσατο* 19 *καὶ* om. P add. V

αὐτὴν ἀσμένως δεξάμενοι, λίαν εὐδαιμονήσαντες, ὑψώθησαν, τὴν ἑαυτῶν βασιλείαν ἐς ἄκρον αὐξήσαντες, αὐτῆς δ' ὀλιγωρήσαντες, μεγάλοις κινδύνοις τῆς ἀπαιδευσίας περιπεσόντες τοπαράπαν ἀπώλοντο, τρόπον ἑαυτοῖς βοηθῆσαι εὑρεῖν μὴ δυνηθέντες; ἐγγυῶνται δέ μου τῷ λόγῳ πολλαὶ τῶν βασιλειῶν, αἳ τέως εὐδαιμονήσασαι, ἕως πολυωροῦσαι τῆς ἀρετῆς οὐκ ἐπαύοντο.

Ταῦτα κατὰ νοῦν ἀδιαλείπτως ἀναπολοῦσα τὸν σπινθῆρα τῆς ἀρετῆς τῇ ἀνακαινίσει τῶν φροντιστηρίων τῷ τε τοὺς λόγους ἀνακαλέσασθαι καὶ τῷ πάντας ἐποτρύνειν σπουδάζειν ἀναζωπυρῆσαι δεῖν ᾠήθην. ἐν οἷς καὶ αὐτή, ἵνα μὴ δόξω τοῖς ἄλλοις κηρύττουσ' ἀδόκιμος, τῇ τὰ πάντ' αὐξούσῃ μελέτῃ, ᾗ καὶ αὐτὸς τροπώσασθαι τοὺς πολεμίους κέχρησαι, μεταξὺ ταυτηνὶ τὴν παῖδα ἐκ στέρνων ἐγεννησάμην, παντοίαις ἱστορίαις καὶ γενεαλογίαις θεῶν τε καὶ νυμφῶν, ἡρώων τε καὶ ἡρωϊνῶν πεποικιλμένην, ἅτε τινὰ Ἰωνιὰν ἀκμὴν ἐξηνθηκυῖαν (περιέχει γὰρ καὶ πολλοὺς σοφοὺς κατὰ διαφόρους χρόνους ἀνθήσαντας, μύθους τε καὶ ἀλληγορίας καὶ ἐξηγήσεις αὐτῶν κατὰ τὴν τῶν παλαιῶν δόξαν, χρησίμους ὄντως τοῖς φιλολόγοις, καὶ ἄλλα τινὰ οὐχ ἧττον χρήσιμα, ἐφόσον καὶ τοῖς σπουδαίοις ἀναγκαῖα, οἷσπερ ἐσπαργανώθη), ἐκ τῆς τιμαλφεστάτης ἡμῶν βιβλιοθήκης ἐρανισαμένη. ἥτινι καὶ πολλὰ τῶν βιβλίων προσέθηκα ἐκ διαφόρων μοι χωρῶν συναθροισθέντα μελέτῃ καὶ δαπάνῃ πολλῇ, βασιλικὸν ἡγησαμένη τὸν νοῦν ἔγγραφον ἀνθρώπων

24 Haec omnia parenthesi atque interpunctionibus neglectis satis perverse expressit V

συναγείρειν καὶ μὴ καταλιπεῖν ἀκηδίᾳ διαφθαρῆναι. τῆς σῆς τοίνυν βασιλείας κρινάσης ἐκδοθήσεται, καὶ μετὰ τῶν ἀδελφῶν παρέσεται. ἄρξομαι δὲ ἀπὸ τοῦ μύθου τῆς Ἀθηνᾶς, ἐπεὶ καὶ ἔφορος σοφίας, ὡς οἱ πάλαι τροπικώτερον ἐφιλοσόφησαν, καὶ τὰ καθεξῆς κατὰ στοιχεῖον ἀπογράψομαι.

3 I. *Περὶ τῆς Ἀθηνᾶς.*

Ἀθηνᾶ, μυθικῶς Διὸς θυγάτηρ· ὤδινε μὲν γάρ, φασίν, αὐτὴν ἡ κεφαλὴ τοῦ Διός· ἐφίσταται δὲ προσκληθεὶς Ἥφαιστος καὶ πλήττει πελέκει τὴν κεφαλήν, καὶ τὸ ἐγκυμονούμενον ἐξέθορε τελεία κόρη ἔνοπλος. ἀλληγορικῶς δέ, ὡς ἐν ὀλίγῳ πολλὰ συνελεῖν, Ἀθήνη ἡ φρόνησις· ἐκ Διὸς δέ, διότι ἐκ τοῦ νοός, Ζεὺς γὰρ καὶ ὁ νοῦς· ἐκ κεφαλῆς δέ, διὰ τὸ ἐκεῖ λογιστικόν, οὗ προβολὴ ἡ φρόνησις. Ἥφαιστος δὲ αὐτὴν ἐκφαίνει, διότι αὐτὸς μὲν εἰς πῦρ ἀλληγορεῖται τὸ καὶ φωσφοροῦν καὶ ἐκκαῖον καὶ ἄνω φερόμενον· καὶ ἡ φρόνησις φωσφόρος τέ ἐστι καὶ τὸ δραστήριον πρηστήριον ἔχει καὶ οὐδὲν ταπεινὸν φρονεῖ, ἀλλὰ ὑπερῆρται καὶ ἄνω φέρεται.

I. Eustath. Il. p. 83

---

3 Hic in margine alterum scholion legitur, ab eo appositum, qui Parisinum conscripsit: *λέγει, ὅτι καὶ ἄλλα τινὰ συνέθετο ἡ ἀοίδιμος Βασίλισσα, τόν τε πλόκαμον τῆς Ἀριάδνης ἐπικῶς, καὶ τὰς τῶν γυναικῶν χρείας, καὶ τί δεῖ τὰς βασιλίδας ἀσκεῖν, ἐν πεζῷ λόγῳ, χρήσιμόν τι χρῆμα· καὶ περὶ διαίτης μοναζουσῶν, ὅπερ καὶ νῦν καθ' ἡμᾶς ἐν τῷ τῆς Προκονήσου σεμνείῳ σώζεται. Προκόνησος, ὁ νῦν Μαρμαρας* 8 *γὰρ* addidi ex F om. PV 10 *τελεία* addidi ex F om. PV 12 Sic F *διὰ τὸ* PV 14 *δὲ* praebuit F om. PV 16 *ἀνωφορούμενον* F 19 *ὑποθορεῖται* PV

I[b]. *Καὶ ἄλλως διεξοδικώτερον, καὶ περὶ τῶν ἐπωνυμιῶν καὶ ἰδεῶν αὐτῆς.*

Ἀθηνᾶ ἐστιν ἡ τοῦ Διὸς σύνεσις, ἡ αὐτὴ οὖσα τῇ ἐν αὐτῷ προνοίᾳ· γεγεννῆσθαι δὲ αὐτὴν ἐκ τῆς τοῦ Διὸς κεφαλῆς λέγεται. τάχα μὲν τῶν ἀρχαίων ὑπολαβόντων τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἐντεῦθεν, καθάπερ καὶ ἕτεροι τῶν μετὰ ταῦτα ἔγνωσαν, τάχα δ' ἐπεὶ τοῦ ἀνθρώπου τὸ μὲν ἀνώτερον μέρος τοῦ σώματος ἡ κεφαλή ἐστι, τοῦ δὲ κόσμου ὁ αἰθήρ· ὅπου τὸ ἡγεμονικὸν αὐτοῦ ἐστι, καὶ ἡ τῆς φρονήσεως αἰτία· ἀμήτωρ δὲ ἡ Ἀθηνᾶ, διὰ τὸ ἀλλοίαν εἶναι τὴν τῆς ἀρετῆς γένεσιν, καὶ οὐχ οἵαν τῶν ἐκ συνδυασμοῦ γενομένων. τὴν Μῆτιν οὖν καταπιὼν ὁ Ζεύς, ἐγέννησεν αὐτήν, ἐπειδὴ μητιέτης καὶ συνετὸς ὤν· οὐδαμόθεν ἡ ἀρετὴ ἐκ τῆς καθ' αὐτὸν βουλῆς τὴν ἀρχὴν ἔσχε τοῦ φρονεῖν. ἡ δὲ τῆς Ἀθηνᾶς παρθενία τοῦ καθαροῦ καὶ ἀμιάντου σύμβολόν ἐστι· τοιοῦτον γάρ τι ἡ ἀρετή. καθωπλισμένη δὲ πλάττεται, καὶ οὕτως ἱστοροῦσιν αὐτὴν γεγονέναι παριστάντες, ὅτι αὐτάρκως πρὸς τὰς μεγίστας καὶ δυσφορωτάτας πράξεις παρασκευάζεται ἡ φρόνησις· μέγιστα γὰρ δοκοῦσιν ὠφελεῖν οἱ ὡπλισμένοι· διὰ δὲ ταύτην τὴν αἰτίαν καὶ τὸ ἔπανδρον καὶ γοργωπὸν αὐτῇ ἀνατιθέασι πολὺ ἔχειν, τοιοῦτόν τι ἐμφαινούσης καὶ τῆς γλαυκότητος αὐτῆς. καὶ γὰρ τῶν θηρίων

I[b]. Cornut. 20 Verba *Ἀκρία — ἱδρυμέναι* ex Hesych. v. *Ἀκρία* accesserunt, *Ἀλαλκομενηὶς — τραφεῖσα Βοιωτοῦ* ex Etym. M. p. 56, 8

---

13 *αὐτὸν* F *ὁδὸν* PV 20 In margine F legitur *γράφεται γοργορωπόν*

τὰ ἀλκιμώτατα, οἷον αἱ παρδάλεις καὶ οἱ λέοντες,
4 γλαυκά εἰσι, δυσαντίβλεπτον στίλβοντα ἀπὸ τῶν ὀμμάτων. ἔνιοι δέ φασι τοιαύτην αὐτὴν παρεισάγεσθαι, διὰ τὸ τὸν ἀέρα γλαυκὸν εἶναι. πάνυ δὲ εἰκότως συμμετέχει τῷ Διῒ τῆς αἰγίδος, οὐχ ἑτέρα οὖσα τοῦ παρ' ὃ δοκεῖ διαφέρειν ἁπάντων καὶ περιγίνεσθαι ὁ Ζεύς. κεφαλὴ δ' ἐν αὐτῇ Γοργόνος ἐστί, κατὰ μέσον τῆς θεᾶς τὸ στῆθος ἔξω προβεβληκυῖα τὴν γλῶτταν, ὡς ἂν ἐκφανεστάτου ὄντος ἐν τῇ τῶν ὅλων οἰκονομίᾳ τοῦ λόγου. οἱ δὲ δράκοντες καὶ ἡ γλαὺξ διὰ τὸ ἐμφερὲς τῶν ὀμμάτων ἀνατίθενται ταύτῃ γλαυκώπιδι οὔσῃ· σμερδαλέον γὰρ ὁ δράκων δέδορκε, καὶ φυλακτικόν τι ἔχει καὶ ἄγρυπνον, καὶ οὐκ εὐθήρατος εἶναι δοκεῖ. Ἀτρυτώνη δὲ λέγεται, ὡσανεὶ οὐ τριβομένη ὑπ' οὐδενὸς πόνου, ἢ ὡς ἂν ἀτρύτου τοῦ αἰθέρος ὄντος. Ἀκρία δὲ, ὅτι ἐν Ἄργει ἐπί τινος ἄκρας ἦν ἱδρυμένη· ἀφ' ἧς καὶ Ἀκρίσιος ὠνομάσθη. ἔστι δὲ καὶ Ἥρα, καὶ Ἄρτεμις, καὶ Ἀφροδίτη προσαγορευόμεναι ἐν Ἄργει κατὰ τὸ ὅμοιον, ἐπ' ἄκρῳ ἱδρυμέναι. Τριτογένεια δὲ, ὅτι ἡ τοῖς κακοῖς ἐγγεννῶσα τὸ τρεῖν καὶ τρέμειν, αὕτη ἐστίν. ᾔρηνται γὰρ πόλεμον πρὸς τὴν κακίαν. ἄλλοι δέ φασι τὰ τρία γένη τῶν σκεμμάτων, τὴν κατὰ τὴν φιλοσοφίαν θεωρίαν, πανουργοτέραν διόρθωσιν, ἢ κατὰ ἀρχαίαν ὁλοσχέρειαν, ἔχοντος τούτου. Λαοσσόον δ' αὐτὴν ἐπονομάζουσι, διὰ τὸ σόειν ἐν ταῖς μάχαις τὸν λαόν. Ληῒστὶς ἐκλήθη ἀπὸ τῆς λείας, ἢ μᾶλλον διὰ

3 τοιαύτην αὐτὴν F τοιαῦτα αὐτῇ PV 8 προβεβληκυῖα F προβεβηκυῖα PV 13 οὐκ εὐθήρατος F οὐκ ἀθήρατος PV 15 ἀτρύτου F ἀτριτοῦ PV 20 ἐγγενῶσα P corr. V 21 ᾔρηνται P corr. V ἧρε F 22 κατὰ τὴν P κατὰ V 25 ἐπωνομάζουσι P corr. V σόειν F σεύειν PV

τὸ σώτειραν αὐτὴν τῶν χρημάτων καὶ τῶν λαῶν εἶναι. καὶ πόλεων γὰρ καὶ οἴκων, καὶ τοῦ βίου παντὸς προστάτην οἱ ποιηταὶ τὴν φρόνησιν εἶναι λέγουσιν. ἀφ᾽ οὗ δὴ καὶ ἐρυσίπολις αὐτή, καὶ πολιὰς ὠνομάσθη, ὥσπερ δὴ καὶ ὁ Ζεύς· ἐπίσκοποι γὰρ ἀμφότεροι τῶν πόλεων. Παλλὰς δὲ λέγεται, διὰ τὴν μεμυθουμένην περὶ αὐτὴν νεότητα· ἀφ᾽ οὗ καὶ πάλληκες, καὶ παλλακαὶ προσαγορεύονται· σκιρτικὸν δὲ καὶ παλλόμενον τὸ νέον. ἵδρυνται δ᾽ αὐτὴν ἐν ταῖς ἀκροπόλεσι μάλιστα, καὶ δυσκαταγώνιστον καὶ δυσπολιόρκητον ἐμφῆναν θέλοντες· ἢ τὸ ἄνωθεν ὁρᾶν τοὺς πεφευγότας αὐτήν, εἶτα μετεωροτάτους καθιστᾶν, καθὸ μέρος ἐστὶ τῆς φύσεως. Ἀλαλκομενηΐδα δὲ αὐτὴν καλοῦσι καὶ ἀγεληΐδα, τὸ μὲν ἀπὸ τοῦ ἀλαλκεῖν παράγοντες· (ἱκανὴ γάρ ἐστιν ἐπαμύνειν καὶ προσβοηθεῖν, ἐξ οὗ καὶ νίκη προσαγορεύεται), τὸ δὲ ἀπὸ τοῦ ἄγειν αὐτὴν τοὺς λαούς. [Ἀλαλκομενηῒς μέντοιγε παρ᾽ Ὁμήρῳ ἐπίθετον μόνον τῆς Ἀθηνᾶς· παρὰ δὲ τοῖς ἄλλοις καὶ τῆς Ἥρας καὶ Διός· οἷον Ἀλαλκομενεὺς Ζεύς. καὶ ἡ ἀπαλεξητικὴν προθυμίαν ἔχουσα, ἢ ἐν ἀλκῇ μένουσα· ἢ ἀπὸ Ἀλαλκομενέως τινός, ἱδρυσαμένου αὐτῆς τὸν ναόν· ἢ ἡ ἀλάλκουσα τῷ ἑαυτῆς μένει, ὅ ἐστι τῇ δυνάμει βοηθοῦσα· ἢ ἡ ἐν Ἀλαλκομεναῖς, πόλει τῆς Βοιωτιᾶς, τιμωμένη, ἔνθα 5
καὶ Ἀλαλκομένιον Ἀθηνᾶς ἱερόν· ἢ ἀπὸ Ἀλαλκομενηΐου τραφεῖσα Βοιωτοῦ.] ἢ ἀπὸ τοῦ ἀδάμαστον εἶναι, ταῖς ἀγελείαις βουσὶν ὁμοίως, ἃς μάλιστα θύουσιν αὐτῇ.

---

8 *τὸ νέον* F *τῶν νέων* PV 9 *ἵδρυνται δ᾽ αὐτὴν* F *ἵδρυται δὲ* PV 17 Verba *Ἀλαλκομενηῒς — Βοιωτοῦ* cum manu altera margini sint adscripta ut serius additamentum expungere non dubitavi. De Homeri loco v. Il. IV, 8 20 *ἀλάλκουσα τῷ ἑαυτῆς μένει* F *ἀλαλκοῦσα τῷ τεμένει* PV 25 *ἢ ἡ* P corr. V

I^c. *Περὶ τῶν αὐλῶν τῆς Ἀθηνᾶς καὶ τοῦ Μαρσύου.*

Τοὺς δ' αὐλοὺς εὑρεῖν μὲν [αὐτὴν] λέγεται, καθάπερ καὶ τἄλλα ἐν ταῖς τέχναις γλαφυρά· (ἀφ' ου καὶ ἐπιστάτις ταλασιουργίας ἐστί.) ῥίψαι δὲ, ὡς ἐκθηλύνοντος τὰς ψυχὰς τοῦ δι' αὐτῶν ἀποδιδομένου μέλους, καὶ ἥκιστα ἐπάνδρου καὶ πολεμικοῦ δοκοῦντος εἶναι. λέγεται δὲ καὶ ὅτι ποτὲ τοὺς αὐλοὺς λαβοῦσα καὶ αὐλοῦσα παρῆλθε ποταμόν. θεασαμένη δὲ ἐν τῷ ὕδατι τὴν ἑαυτῆς σκιὰν πεφυσημένας ἔχουσαν τὰς γνάθους, καὶ ἀπρεπεῖς ἐκ τούτου φαινομένας, ἔρριψε τοὺς αὐλοὺς, ὡς ἀμορφίας αἰτίους. ἐν γὰρ τῷ αὐλεῖν τὸ πνεῦμα ἐξογκοῖ τὰς γνάθους καὶ ἀμόρφους ποιεῖ τοὺς αὐλοῦντας. τούτους τοὺς ῥιφέντας αὐλοὺς λέγεται Μαρσύας εὑρηκέναι καὶ ἐρίσαι τῷ Ἀπόλλωνι καὶ ἡττηθῆναι, καὶ ἐκδαρῆναι παρὰ τὸν ποταμόν· ἐξ οὗ Μαρσύας ὁ ποταμὸς λέγεται. η δ' ἐλαία δῶρόν ἐστιν αὐτῆς, διὰ τὸ θάλλειν καὶ διὰ τὸ γλαυκωπόν τι ἔχειν. καὶ τὸ ἔλαιον οὐκ ἀνόθευτόν ἐστι δι' ἄλλου ὑγροῦ, ἀλλ' ἀκέραιον ἀεὶ μένει, ὡς τῇ παρθένῳ κατάλληλον δοκεῖ. ἄρεια δ' ἐκλήθη τῷ στρατηγικὴ εἶναι, καὶ διοικητικὴ πολέμων, καὶ ὑπερμαχητικὴ τοῦ δικαίου· δεινότης γὰρ περὶ πάντων ἐστὶ καὶ συγκεφαλαίωμα πασῶν τῶν ἀρετῶν. καὶ

I^c. Cornut. 20 *λέγεται — λέγεται* Nonn. II, 15 (ed. Migne, Patrol.) *ἡ δ' ἐλαία* — exit. Cornut. 20

I^c. *Μαρσίου* hic et infra PV 1 *αὐτὴν* cum F expunxi 3 *ἐπιστάτης* PV 9 Sic scripsi cum F *ἐκπρεποῦς ἐκ τούτου φαινομένης αὐτῆς* PV 12 *ῥιφθέντας* PV 15 *αὐτῇ* F. 17 Sic F *ἀλλὰ καίριον* PV mox *τῇ παρθενίᾳ* F 20 *περὶ* addidi ex F om. PV 21 Sic F *γε κεφάλαιον* PV

ἱππείαν δὲ καὶ δάμνιππον καὶ δορυκέντειραν καὶ πολλαχῶς ἄλλως αὐτὴν προσαγορεύουσι. καὶ ἀνιστᾶσιν αὐτῇ τρόπαια ἐκ ξύλων ἐλαΐδων. μάλιστα δὲ καὶ τὴν νίκην αὐτῇ πάρεδρον διδόασιν, ἥτις νικᾶν τῷ περιγενομένῳ ποιεῖ, πτερωτὴ παρεισαγομένη, διὰ τὸ ὀξύρροπον καὶ ἀμετάβολον τῶν παρατάξεων. καὶ ἐν τῇ πρὸς τοὺς Γίγαντας δὲ μάχῃ παραδίδοται ἠριστευκυῖα ἡ Ἀθηνᾶ, καὶ γιγαντοφόντις ἐπονομάζεται κατὰ τοιοῦτον λόγον· τοὺς γὰρ πρώτους ἐκ τῆς γῆς γινομένους ἀνθρώπους εὔλογον βιαίους καὶ θυμικοὺς κατ' ἀλλήλων γενέσθαι, διὰ τὸ μηδέπω δύνασθαι διακρίνεσθαι, μηδ' ἐρριζῶσθαι τὸν ἐνόντα αὐτοῖς σπινθῆρα τῆς κοινωνίας. οἱ δὲ θεοὶ ὡσπερεὶ νύττοντες καὶ ὑπομιμνήσκοντες αὐτοὺς τῶν ἐννοιῶν, περιγεγόνασι· καὶ μάλιστα ἡ κατὰ λόγον ἐντρέχεια κατεπολέμησεν αὐτοὺς, καὶ ὑπέταξεν οὕτως, ὡς ἐξεληλακέναι καὶ ἀνῃρηκέναι αὐτοὺς, ὡς μὴ τοιούτους δοκεῖν. ἀλλοῖοι γὰρ αὐτοί τ' ἐκ τῆς μεταβολῆς 6
ἐγένοντο· καὶ οἱ γεγονότες ἐξ αὐτῶν, συμπολισθέντες εἰσὶν ὑπὸ τῆς Παλλάδος Ἀθηνᾶς, [δηλαδὴ τῆς γνώσεως.]

I[d]. *Διὰ τί Ἀθηνᾶ καί τινες τῶν ἄλλων θεῶν, οἱ μὲν τοῖς Ἕλλησιν, οἱ δὲ τοῖς Τρωσὶ συμμαχοῦσιν.*

Ἀθηνᾶ ἡ φρόνησις τοῖς Ἕλλησι συμμαχεῖ, διὰ τὸ τοῦ Ἑλληνικοῦ πολέμου δίκαιον καὶ ἔλλογον, καὶ διότι

I[d]. Eustath. Il. p. 1264

1 *δορυκέντορα* PV 5 Sic F positura post *ποιεῖ* sublata, *παρεισάγεται* PV 6 *πράξεων* PV 11 *μηδὲ ῥιζῶσθαι* PV 16 Sic scripsi Osannum secutus, *δηλονότι μεταβεβληκέναι* PV 17 *ἄλλοι γὰρ αὐτοὶ τῆς ἐκ μεταβολῆς* PV 18 *συμποδισθέντες* PV 19 Haec verba merito expunxit Osannus 21 *ἔλλογον, καὶ* F *εὔλογον* om. *καὶ* PV

φρόνησις εἷλεν ὕστερον τὴν Τροίαν καὶ δόλος σοφός. διὸ καὶ ὁ Ἑρμῆς αὐτοῖς ὁ λόγιος συμμαχεῖ, ὃς οὐ μόνον ἐριούνης καὶ φρεσὶ κεκασμένος πευκαλίμαις, ἀλλὰ καὶ δόλιος. Ἥφαιστος δὲ σύμμαχος Ἑλλήνων ἐστὶ καὶ αὐτός, ὅτι τε πολέμιος Ἄρεϊ, καὶ ὡς φίλος τῇ Ἀθηνᾷ. Ἥφαιστος γοῦν διδάσκει τέχνας καὶ Παλλὰς Ἀθήνη. Ἥρα δὲ καὶ αὐτὴ βοηθεῖ τοῖς Ἀχαιοῖς, ὡς οὐ μόνον εἰς νόμιμον γάμον Μενελάου ἀδικηθέντος, οἷα γαμηλία δαίμων, ἐπιστατεῖ γὰρ αὐτὴ τῶν γάμων, ἀλλὰ καὶ διὰ τὸ βασιλικώτερον τῆς Ἑλληνικῆς ἀρχῆς. καὶ γὰρ ἡ Ἥρα εἰς βασιλείαν μεταλαμβάνεται. Ζεὺς δὲ μένει καθήμενος ἄνω, καθότι οὐκ ἔστι πιθανὸν τὸν αἰθέριον καὶ Ὀλύμπιον Δία ἀλόγως ἐνεχθῆναι κάτω. Ποσειδῶν δὲ, τοῖς Ἀχαιοῖς συνεφάπτεται μάχης διά τε τὴν πρὸς τὸν Λαομέδοντα μῆνιν (εἴ γε θητεύσαντος εἰς ἐνιαυτὸν μισθῷ ἐπὶ ῥητῷ ἐβιάσατο τὸν μισθόν, ὡς ὁ ποιητὴς λέγει), ἔτι δὲ καὶ ὅτι νησιῶται οἱ πλείους τῶν Ἑλλήνων, καὶ διὰ τοῦτο οἰκεῖοι Ποσειδῶνι, καὶ ὅτι διὰ θαλάσσης πλεύσαντες, εὐτυχῶς μετῆλθον τὴν τῆς Ἑλένης ἁρπαγήν. καὶ οὗτοι μὲν συμμαχοῦσι τοῖς Ἕλλησι διὰ ταῦτα· τοῖς δὲ Τρωσὶν ὁ μοιχὸς Ἄρης βοηθεῖ, ὡς τοιούτοις ὅμοιος, ὅ φασιν, ὁμοίοις· ὅπου γε καὶ ὁ Τρωϊκὸς πόλεμος ἀπὸ μοιχείας ἔσχε τὴν ἀρχήν· ἔτι καὶ ὡς ἁρπαγῆς καὶ βίας δεσπόζων καὶ ὡς οὐκ ἔλλογος, ἀλλὰ ἐναντίος τῇ Ἀθηνᾷ. διὸ καὶ ἡ Ἀφροδίτη τοῖς αὐτοῖς βοηθεῖ, οἰκείως μὲν ἔχουσα πρὸς τὸν ἀλόγιστον Ἄρην, ἀπεχθομένη δὲ τῇ ἔμφρονι Ἀθηνᾷ. Ἄρτεμις τοῖς Τρωσὶν ἐπικουρεῖ, ἢ ὡς

---

2 ὃς — ἐριούνης καὶ recepi ex F om. PV 6 ἐν Ὀδυσσείᾳ add. F 8 γαμήλιος PV ἐπιστατεῖ F ἐπίσταται P ἐπίστατις V 16 Il. XXI, 445 24 εὔλογος PV

ἔφορος τῶν χορῶν, καὶ γὰρ καὶ οἱ Τρῶες χοροιτυπίαις ἄριστοι, ἢ ὡς τοξότης, ὁποῖος καὶ ὁ τοῦ πολέμου αἴτιος Ἀλέξανδρος. διὸ καὶ ὁ Ἀπόλλων ὡς τοιοῦτος συνεπικουρεῖ. ἡ δὲ Λητὼ οἷα μήτηρ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, καὶ ὅτι νυκτὸς ἄξια ποιοῦσιν οἱ Τρῶες καὶ λήθης, εἰς ἅπερ ἄμφω ἀλληγορεῖται καὶ ἡ Λητώ. ὁ δὲ Ξάνθος, ὡς ποταμὸς ἐγχώριος ἐπικουρεῖ τοῖς Τρωσί, καὶ ὡς πρὸς Ἥφαιστον ἀξιόμαχος. ἰστέον δέ, ὅτι εἴπερ εἶχε πιθανεύσασθαι τὸ πλάσμα ὁ ποιητής, ἐποίησεν ἂν καὶ 7
τὸν Ἀϊδωνέα, καὶ τὸν Διόνυσον, καὶ τὴν Δήμητρα παρόντας τῇ μάχῃ, οὐκ ἔχει δὲ πιθανῶς τοιοῦτόν τι ποιῆσαι. Ἅιδης μὲν γὰρ οὐκ ἔστιν ὅτῳ πρὸς τὸ ζῆν ἐπικουρήσει, ἀπωλείᾳ χαίρων ἀνδρῶν καὶ στεναγμοῖς, καὶ γόοις πλουτιζόμενος. Δήμητρα δὲ καὶ Διόνυσος, κατὰ τοὺς παλαιοὺς καρποφόροι ὄντες, ἄχθονται καθάπαξ τῷ πολέμῳ φθαρτικῷ ὄντι τῶν καρπῶν.

ἐχόμενον δ' ἂν εἴη συγκαταριθμήσασθαι τοῖς μύθοις καὶ τοῦτον, εἰ καὶ μυσαροῦ τινος ἐφάπτεται, ἀλλ' ὅμως χάριν τῶν φιλολόγων καὶ περὶ τούτου διαληψόμεθα.

Iᵉ. *Περὶ τοῦ πῶς ἡ Ἀθηνᾶ, παρθένος οὖσα, τίκτει δράκοντα.*

Τὴν Ἀθηνᾶν βουλόμενος ὁ Ζεὺς ἀποκυῆσαι ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ, ἵνα κυηθείη, λόγους προσφέρει τῷ Ἡφαίστῳ περὶ τούτου. ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως εἵλετο σχίσαι τὴν κεφαλὴν τοῦ Διός, εἰ μὴ τὴν γεννω-

Iᵉ. Nonn. II, 27

6 *καὶ* addidi ex F om. PV 10 *Αἰδονία* P corr. V
12 *ὅτῳ* F *ὅπως* PV 21 *κυηθῇ* F

μένην ἀποπαρθενεύσει. καὶ ἠνέσχετο ὁ Ζεύς· καὶ λαβὼν ὁ Ἥφαιστος τὸν βουπλῆγα, τέμνει τὴν κεφαλὴν τοῦ Διός. καὶ ἐξέρχεται ἡ Ἀθηνᾶ, καὶ ἐπεδίωκεν αὐτὴν ὁ Ἥφαιστος, ἵνα αὐτῇ συγγένηται. καὶ ἐπιδιώκων ἀπεσπέρμηνεν εἰς τὸν μηρὸν τῆς Ἀθηνᾶς. ἡ δὲ Ἀθηνᾶ λαβοῦσα ἔριον, ἐξέμαξε τὸ σπέρμα, καὶ ἔρριψεν ἐν τῇ γῇ· καὶ ἐγένετο ἐκ τῆς γῆς καὶ τοῦ ἐρίου ἄνθρωπος δρακοντόπους, ὃς καλεῖται Ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς λαβὼν τοὔνομα.

II. Περὶ τοῦ Ἀπόλλωνος.

Ἀπόλλων υἱὸς λέγεται Λητοῦς, τουτέστι νυκτός. δοκεῖ γὰρ ἐξ αὐτῆς, οἷα μητρός, ὁ ἥλιος γεννᾶσθαι, ὥσπερ καὶ Σοφοκλῆς ἐν Τραχινίαις λέγει καὶ ζητητέον τὴν ἐκείνου ἀλληγορίαν, ἔνθα φησίν, ὅτι ἡ Νὺξ ἐναριζομένη τίκτει, κατευνάζει τε τὸν Ἥλιον. ὡς γὰρ ἐκ νυκτὸς ὁ ἥλιος, οὕτω καὶ ἠὼς ἐξ εὐφρόνης. Λητὼ δὲ καὶ Νὺξ διὰ τὴν παρ' Εὐριπίδῃ σοφὴν καὶ πότνιαν Λήθην· ὑπνοῦντες γὰρ νυκτὸς πάντων λανθανόμεθα. δεῖ δὲ εἰδέναι, ὅτι Ἀπόλλων μέρος τι τῆς εἱμαρμένης λαμβάνεται, καὶ ὡς ἄν τις εἴπῃ, μερικὸς φαίνεται Ζεύς, καὶ οἷον μικρόν τι χρεών, τουτέστι μικρά τις εἱμαρμένη. διὸ καὶ τις Διὸς υἱὸς λέγεται, οὐ μόνον ὡς περὶ ἀέρα καὶ οὐρανὸν φερόμενος, ὧν ἑκάτερον Ζεὺς λέγεται ἀλλὰ καὶ ὡς εἱμαρμένη τις, εἴτουν μοιρίδιον. καὶ τὰ μὲν μόνος

II. Eustath. Il. p. 22

1 ἀποπαρθενεύσῃ F 5 ἀπεσπέρμηνεν F ἀπεσπέρμανε PV 6 ἐξεμάξατο F 12 v. 94 16 Bacch. 282 18 τῆς addidi ex F om. PV 19 μυριαχοῦ τῷ ποιητῇ add. F τις addidi ex F om. PV 22 ὧν om. PV mox item καὶ post ἀλλὰ

αὐτός, τὰ δὲ σὺν τῷ Διῒ καταπράττεται. Ἥλιος γάρ 8 *ἐστιν αἰτίαν ἔχων τῶν γινομένων κατὰ τὴν Ἑλληνικὴν δόξαν, καθὰ καὶ ὁ Ζεύς. διὸ παρ' Ὁμήρῳ τὰ κατὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως βουλῇ τε Διὸς καὶ χόλῳ Ἀπόλλωνος πράττεται. χόλος δὲ Ἀπόλλωνος ὁ λοιμός, οὗπερ ὁ Ἀπόλλων αἴτιος.*

III. *Περὶ τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος.*

Ἀπόλλων ὁ ἥλιός ἐστιν, Ἄρτεμις δὲ ἡ σελήνη. διὰ τοῦτο γὰρ καὶ τοξότας ἀμφοτέρους παρήγαγον, τὴν ὡσανεὶ ἄφεσιν πόρρω τῶν ἀκτίνων αἰνιττόμενοι. καλοῦνται δὲ ὁ μὲν Ἕκατος· ἡ δὲ Ἑκάτη διὰ τὸ ἕκαθεν δεῦρο ἀφιέναι καὶ ἀποστέλλειν τὸ φῶς. ὅθεν παρακειμένως, καὶ ἑκατηβόλους αὐτοὺς προσηγόρευσαν. ἔνιοι δὲ τὸν Ἕκατον, καὶ τὴν Ἑκάτην ἄλλως ἐτυμολογοῦσιν, ὡς τῶν τεθεικότων αὐτοῖς τὰ ὀνόματα ταῦτα, εὐχὰς αὐτὰ εἶναι εὐχομένων, καὶ τὴν πρὸς αὐτῶν βλάβην, μὴ προσπελάζειν αὐτοῖς. δοκοῦσι γὰρ ἔσθ' ὅτε καὶ φθείρειν τὸν ἀέρα, καὶ τῶν λοιμικῶν καταστάσεων αἴτιοι γίνεσθαι, διὸ καὶ τοὺς ὀξεῖς θανάτους αὐτοῖς ἀνετίθεσαν οἱ πάλαι. καὶ ὡς ὁ ποιητὴς ἐν τῷ λοιμῷ παρεισάγει τὸν Ἀχιλλέα λέγοντα, ὅτι ζητητέον μάντιν. τούτου δ' ἕνεκεν οἴονται κατ' εὐφημισμὸν τὴν Ἄρτεμιν, ἀπὸ τοῦ ἀρτεμεῖς ποιεῖν, ὅ ἐστιν ὑγιεῖς, ὠνομάσθαι· τὸν δὲ Ἀπόλλωνα, ὡς ἀπολύοντα ἡμᾶς τῶν νόσων,

III. Cornut. 32. *Ἀλευρόμαντις — μαντεύεσθαι* ex Hesych. v. *Ἀλ.* fluxerunt, reliqua Cornuto debentur

---

10 *Ἥλιος* post *ὁ μὲν* add. F 18 *ὀξεῖς θανάτους* F *ὀξῦς* P *ὀξὺς* V. Ceterum v. Il. I, 62

ἢ ἀπελαύνοντα ἀφ' ἡμῶν αὐτὰς ἢ ἀπολούοντα, ταύτης τετυχηκέναι τῆς προσηγορίας. καθ' ἣν ἔννοιαν καὶ Παιήων ἐκλήθη, καὶ ἰατρὸς ἔδοξεν εἶναι. τινὲς δὲ αὐτόθεν Ἀπόλλωνα, ἀπὸ τοῦ ἀπολλύναι αὐτὸν εἰρῆσθαι. καὶ γὰρ τὸν ἀπολλύντα ταύτην τὴν διακόσμησιν, τοιοῦτον εἶναι διὰ τοῦ διατμίζειν ἀδιαλείπτως πάντοθεν αὐτῆς τὸ ὑγρόν, καὶ τῷ αἰθέρι προσκατατάττειν. τάχα δ' ἂν καὶ ἀπὸ τοῦ ἁπλοῦν καὶ λύειν τὸ συνεστὸς τῆς οὐσίας, ἢ καὶ τὸ σκότος, ὡς ἂν ἁπλῶς εἰρημένον εἴη. οἰκείως δὲ καὶ ἀδελφοὺς αὐτῷ παρεισάγουσιν ἐμφερεῖς ἀλλήλοις ὄντας, καὶ ὁμοειδῆ κίνησιν κινουμένους, καὶ δύναμιν παραπλησίαν ἐν τοῖς ὅλοις ἔχοντας καὶ τρέφοντας ὁμοίως τὰ ἐπὶ τῆς γῆς. εἶτα ὁ μὲν Ἀπόλλων Ἄρης ἀνεπλάσθη· θερμότερον γὰρ τὸ πῦρ καὶ δραστικώτερον· ἡ δ' Ἄρτεμις θήλεια, ὡς ἀμβλυτέραν καὶ ἀσθενῆ τὴν δύναμιν ἔχουσα. βούπαιδος δ' ἡλικίαν ὁ Ἀπόλλων ἔχει. καθ' ἣν καὶ οἱ ἄνθρωποι εὐειδέστεροι ἑαυτῶν φαίνονται· κάλλιστος γὰρ ὀφθῆναι, καθαρὸς ὢν καὶ λαμπρός. ἔτι δὲ τοῖς ἄλλοις οἰκείως εἰς αὐτὸν
9 χρῶνται, χρυσοκόμαν καὶ ἀκειρεκόμαν προσαγορεύοντες· ἐπειδὴ χρυσωπός ἐστι καὶ ἔξω παντὸς καθεστὼς διὰ τὴν ἁγνότητα. ἀλευρόμαντις δὲ λέγεται, διὰ τὸ καὶ ἐν ἀλεύροις μαντεύεσθαι· καὶ Δήλιον δὲ αὐτὸν ὠνόμασαν, καὶ Φαναῖον, ἀπὸ τοῦ δηλοῦσθαι δι' αὐτοῦ τὰ ὄντα, καὶ φωτίζεσθαι τὸν κόσμον· ὡς καὶ Ἀναφαίου

---

1 αὐτὰς PF αὐτοὺς V ἀπολούοντα F ἀπολύντα P ἀπολλύντα V. 6 τοῦ διατμίζειν F τὸ κομίζειν PV 8 τὸ συνεστὸς F τὸ συνεστὼς PV 9 εἰρημένων P corr. V 14 Ἄρης F ἄρης P ἄρρην ex emend. V 17 εὐηδέστεροι P corr. V 18 ὠφθῆναι P corr. V 19 ἔτι δὲ dedi e coniectura Villoisoni ἐπὶ δὲ PV

Ἀπόλλωνος ἱερὸν ἱδρύσαντο, τοῦ ἀναφαίνοντος πάντα. τούτῳ δ' ἠκολούθησε, καὶ τὸ τὴν Δῆλον καὶ Ἀνάφην ἱερὰ αὐτῷ νομισθῆναι. διὰ δὲ τὸν εἰρημένον σαφηνισμὸν τῶν πραγμάτων καὶ τὴν μαντικὴν αὐτῷ προσῆψαν· καὶ εὑρεθὲν τὸ ἐν Δελφοῖς μαντεῖον τῷ Ἀπόλλωνι προσωνόμασαν Πύθιον, ἀπὸ τοῦ δεῦρο τοὺς ἀνθρώπους ἐρχομένους πυνθάνεσθαι τὰ καθ' ἑαυτούς. ἐλέχθη δὲ καὶ ὁ τόπος ὀμφαλὸς τῆς γῆς, οὐχ ὡς μεσαίτατον ὢν αὐτῆς, ἀλλ' ἀπὸ τῆς ἀναδεδομένης ἐν αὐτῷ ὀμφῆς, ἥτις ἐστὶ θεία φωνή. λοξῶν δὲ καὶ περισκελῶν ὄντων τῶν χρησμῶν, οὓς δίδωσι, Λοξίας ὠνόμασται· ἢ ἀπὸ τῆς λοξότητος τῆς πορείας, ἣν ποεῖται διὰ τοῦ Ζωδιακοῦ κύκλου. μουσικὸς δὲ καὶ κιθαριστὴς παρεισῆκται, τῷ κρούειν ἐναρμονίως πᾶν μέρος τοῦ κόσμου, καὶ συνῳδὸν αὐτὸν πᾶσι τοῖς μέρεσι ποιεῖν, μηδεμιᾶς αὐτῶν ἐκμελείας ἐν τοῖς οὖσι θεωρουμένης, ἀλλὰ καὶ τὴν τῶν χρόνων πρὸς ἀλλήλους συμμετρίαν ἐπ' ἄκρου ὡς ἐν ῥυθμῷ τηροῦντος αὐτοῦ· καὶ τὰς τῶν ζώων δὲ φωνάς, ὢν αὐτὸς τῶν ἄλλων σωμάτων ψόφος ἰδία τὸ ξηραίνεσθαι πρὸς τὰς ἀνακοὰς ποιεῖ. ἐπ' αὐτῆς δὲ τῆς ἀρχῆς καὶ μουσηγέτης ἐκλήθη καὶ ἐπίσκοπος· καὶ παίζειν μετὰ τῶν Μουσῶν ἐνομίσθη.

Ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος,
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί,

φησὶν ὁ Ἡσίοδος. διὰ τοῦτο καὶ ἱερὸς αὐτῷ ὁ κύκνος,

---

2 Ἀνάφην F Ἀναφὴν PV 9 ἀλλ' ἀπὸ P ἀλλὰ ἀπὸ V 14 τὸ κρούειν P corr. V 15 σύνοδον P corr. V 25 ἐπὶ χθόνα καὶ κιθαρισταὶ emendavi ex Hes. Theog. 95 ἐπιχθόνιοι βασιλῆες vitiose PV

τῷ μουσικώτατον καὶ λευκότατον ἅμα εἶναι τῶν ὀρνέων· ὁ δὲ κόραξ ἀλλότριος, διά τε τὸ μιαρὸς εἶναι, καὶ διὰ τὴν χροιάν. ἡ δὲ δάφνη, καίπερ δαφοινῆ τις οὖσα, στέμμα αὐτοῦ ἐστιν, ἐπειδὴ εὐεργές τε καὶ εὐθαλὲς φυτόν ἐστι. τυγχάνει δὲ καὶ εὐέγκαυστός τις οὖσα, καὶ πρὸς τὰς καθάρσεις οἰκείως τι ἔχουσα· ὥστε μὴ ἀλλοτρίως ἀνακεῖσθαι τῷ καθαρωτάτῳ καὶ καυστικωτάτῳ θεῷ. τάχα δὲ καὶ τὸ ὄνομα αὐτῆς, προστρέχον πῶς τῷ διαφαίνειν, ἐπιτηδείαν αὐτὴν ἐποίησε πρὸς τὰς μαντείας εἶναι δοκεῖν. ὁ δὲ τρίπους διὰ τελειότητα τοῦ τῶν τριῶν ἀριθμοῦ δέδοται αὐτῷ· δύναται δὲ καὶ ἀπὸ τῶν τριῶν παραλλήλων κύκλων, ὧν ἕνα μὲν τέμνει κινούμενος τὴν ἐνιαύσιον κίνησιν ὁ ἥλιος, δυοῖν δ' ἐφάπτεται. ἐπεὶ δ' ἐν τοῖς λοιμοῖς, ὡς ἐπίπαν
10 δοκεῖ, τὰ θρέμματα ποιμαίνεται, πρῶτον καὶ συνεχέ-
16 στερον κατ' ἀρχὰς φθείρεται λοιμικῶς. κατὰ τοῦτο καὶ τὴν τῶν ποιμνίων ἐπιμέλειαν ἀνέθηκαν αὐτῷ, Λύκιον καὶ Λυκοκτόνον προσαγορεύοντες. Ἀγυιεὺς δ' ἐπονομάζεται δεόντως, ἱδρυνθεὶς ἐν ταῖς ἀγυιαῖς· καταυγάζει γὰρ ταύτας, καὶ πληροῖ φωτὸς ἀνατέλλων. καὶ λεσχηνόριον δ' αὐτὸν προσηγόρευσαν διὰ τὸ τὰς ἡμέρας ταῖς λέσχαις, καὶ τῷ ὁμιλεῖν ἀλλήλοις συνέχεσθαι τοὺς ἀνθρώπους, τὰς νύκτας δὲ καθ' ἑαυτοὺς ἀναπαύεσθαι. Παιᾶνα δ' αὐτὸν ἐκάλεσαν, εἴτουν κατὰ ἀντίφρασιν ἐξιλαστικῶς, ἵνα μὴ νόσους αὐτοῖς ἀναπέμπῃ μηδὲ φθείρῃ τὸν ἀναπνεόμενον ὑπ' αὐτοῦ ἀέρα· εἴτε καὶ ὡς αὐτῷ ὄντι τῷ ὑγείας τοῦ σώματος αἰτίῳ γινομένῳ, διὰ τῆς τοῦ περιέχοντος εὐκρασίας.

---

8 προστρέχον corr. Wyttenbach προτρέχον PV 26 μὴ δὲ PV 27 ὑγείας P ὑγιείας V

IV. Ἄρτεμις διὰ τί Ἐλαφηβόλος. [καὶ περὶ Ἀκταίωνος.]

Τὴν Ἄρτεμιν λέγουσι τῆς κατὰ θήραν τοξείας εἶναι ἔφορον. λέγεται οὖν αὕτη ἡ θεὸς βάλλειν εὐστόχως τὰς ἐλάφους, ὥστε ἀκοῦσαι τὴν Ἄρτεμιν ἐλαφηβόλον θεόν. [ὁ δὲ Ἀκταίων, θηρατὴς καὶ οὗτος ὑπῆρχε καὶ κυνηγέτης. καὶ ἐντυχὼν εἶδε τὴν Ἄρτεμιν γυμνήν· ἡ δὲ θεὰ ἀθέμιτον τοῦτο ὑπολαβοῦσα τὸ τοὺς θεοὺς ἰδεῖν γυμνοὺς καὶ μάλιστα τὰς παρθένους, χολωθεῖσα μανῆναι ἐποίησε τοὺς κύνας αὐτοῦ τοῦ Ἀκταίωνος· καὶ ὡς ἔλαφον ἔχοντα κέρατα ἑώρων αὐτὸν οἱ κύνες· οὕτως, ὥστε λέγεσθαι τὸν Ἀκταίωνα ὑπὸ κυνῶν συρῆναι.]

IV^b. Καὶ ἄλλως.

Τὴν Ἄρτεμιν κυνηγέτιν καὶ θηροκτόνον καὶ ἐλαφηβόλον καὶ ὀρεσίφοιτον παρεισάγουσιν, ἤτοι τρέπειν εἰς τὰ ἄγρια βουλόμενοι τὴν ἐξ αὐτῆς βλάβην, ἢ ἐπειδὴ μάλιστα νυκτὸς καταφαίνεται· πολλὴ δὲ ἐν τῇ νυκτὶ ἡσυχία πανταχοῦ, καθάπερ ἐν ταῖς ὕλαις καὶ ἐν ταῖς ἐρήμοις ἐστίν. ὥστε ἐν τοιούτοις τισὶ χωρίοις αὐτὴν πλάζεσθαι δοκεῖν, ἔξωθεν ἤδη τούτου προσπεπλασμένου τοῦ κυνηγετεῖν αὐτὴν τοξότιν οὖσαν. συνῳδὸν δὲ τούτῳ καὶ τὸ τοὺς κύνας ἱεροὺς αὐτῆς νομισθῆναι, πρός τε τὰς θύρας ἔχοντας ἐπιτηδείως, καὶ ἀγρυπνεῖν

IV. Nonn. Laud. Bas. 6 (Migne) V. Eud. p. 19 IV^b. Cornut. 34 sed postremis articuli verbis Φωσφόρος — exit. ab Cornuto ipso in initio collocatis

---

4 sqq. Haec cum ad verbum cum Nonni narratione conspirent interpolatori deberi veri simile est 17 ἐρήμοις F ἐρημίαις PV τισὶ χωρίοις PF χωρίοις om. V 21 θύρας F θήρας PV

ἐν ταῖς νυξὶ καὶ ὑλακτεῖν πεφυκότας. κυνηγίᾳ δ' ἔοικε καὶ τῷ μὴ διαλείπειν αὐτήν, ὁτὲ μὲν διώκουσαν τὸν ἥλιον, ὁτὲ δὲ φεύγουσαν, εἶτ' ἐν τῷ Ζωδιακῷ μετερχομένην, καὶ συνιοῦσαν ταχέως τὰ ζώδια· οἰκεῖον γὰρ τῇ κυνηγίᾳ καὶ τὸ τάχος. προσγειοτάτην τε τῶν οὐρανίων οὖσαν αὐτὴν περὶ τὰς κορυφὰς τῶν ὀρῶν ἔφασαν ἀναστρέφεσθαι· οὐχ

11 ἑτέρα δὲ οὖσα αὐτῆς ἡ Ἑκάτη τρίμορφος εἰσῆκται, διὰ τὸ τρία σχήματα γενικώτατα ἀποτελεῖν τὴν σελήνην, μηνοειδῆ γενομένην, καὶ πανσέληνον καὶ τρίτον τι ἄλλην σχέσιν πλάττουσιν ἀναλαμβάνεσθαι. καθὸ πεπλήρωται μὲν αὐτῇ ὁ μηνίσκος, οὐ πεπλήρωται δ' ὁ κύκλος. ἐντεῦθεν δ' ἤδη καὶ τριοδῖτις ἐπεκλήθη, καὶ τῶν τριόδων ἐνομίσθη ἐπόπτις, διὰ τὸ τριχῶς μεταβάλλειν ὁδεύουσαν διὰ τῶν ζῳδίων. τοῦ δ' ἡλίου διὰ τῆς ἡμέρας μόνον φαινομένου, αὐτὴν καὶ νυκτὸς καὶ σκότους ὁρωμένην καὶ μεταβάλλουσαν νυχίαν τε καὶ νυκτιπόλον καὶ χθονίαν ἐκάλεσαν. καὶ τοῖς καταχθονίοις θεοῖς δεῖπνα ἐμφέροντες αὐτῇ ἤρξαντο συντιμᾶν. προσανεπλάσθη δὲ τούτῳ καὶ τὸ μιαίνεσθαι τὴν αὐτὴν καὶ μιαίνειν, ὥσπερ τοὺς κατοιχομένους· καὶ τὸ ταῖς φαρμακίσι συνεργεῖν καὶ ἐπάγεσθαι ταῖς οἰκίαις· εἶτα τελευταῖον τὸ πένθεσι καὶ φόνῳ χαίρειν· ἐξ οὗ τινες προήχθησαν καὶ εἰς τὸ θυσίαις αὐτὴν ἀτόποις καὶ σφαγιασμοῖς ἀνθρώπων ἱλάσκεσθαι θέλειν. καθιέρωσαν δὲ καὶ τρίγλαν αὐτῇ διὰ τοὔνομα. ἐνοδία δέ ἐστιν οὐ δι' ἄλλο τι ἢ Διὸς καὶ Ἀπόλλωνος ἀγυιεύς.

---

1 κυνηγίᾳ δ' ἔοικε F κυνηγετικὴ δὲ ἔοικε PV 2 καὶ τὸ P corr. V 4 κυνηγίᾳ F κυνηγεσίᾳ PV 10 σχέσιν P σχεσὶν V 14 ζῳδίων F ζώων PV 15 ἡμέρας P ἡμήρας V 21 φαρμακείαις F 23 εἰς e coni. add. V

δοκεῖ δὲ καὶ πλείστοις ἡ αὐτὴ εἶναι καὶ Εἰλήθυια, ἀπαύστως εἰλουμένη καὶ θέουσα περὶ τὴν γῆν· ἣν εὔχονται ἐλθεῖν αὐταῖς ἠπίαν καὶ λυσίζωνον αἱ ὠδίνουσαι, λύουσαν τὸ ἐσφιγμένον τῶν κόλπων πρὸς τὸ ῥᾷον καὶ ἀπονώτερον ποιοῦσαν ποιεῖν τὸ κυϊσκόμενον, λεγομένης αὐτῆς καὶ Ἐλευθοῦς. πλείους δ' Εἰλήθυιαι παραδέδονται, καθ' ὃν λόγον καὶ πλείους ἔρωτες· πολύτροποι γὰρ οἱ τοκετοὶ τῶν γυναικῶν, ὡς τῶν ἐρώντων αἱ ἐπιθυμίαι. φανερὰ δ' ἡ σελήνη τελεσφορεῖσθαι ποιεῖ τὰ συλλαμβανόμενα. καὶ ταύτης τό τε αὔξειν αὐτὰ καὶ τὸ ἀπολλύειν καὶ τὸ φανερῶς πεπονθέναι. οὐ θαυμαστὸν δ' εἰ κατ' ἄλλην μὲν ἔμφασιν ἀρχαίαν ὑπενόησαν τὴν Ἄρτεμιν ἄχραντον καὶ ἁγνὴν οὖσαν, ὁμοίως τῷ ἡλίῳ· κατ' ἄλλην δὲ ἐπίκουρον τῶν τικτουσῶν, ἐπ' αὐτῇ κειμένου τοῦ εὐτοκεῖσθαι τὰ τικτόμενα· κατὰ τρίτην δὲ φριγῶδές τι καὶ χαλεπὸν ἔχουσαν, οἷον εἴρηται περὶ τῆς Ἑκάτης, ὑπόνοιαν εἶναι. φωσφόρος δὲ ἐπωνομάσθη διὰ τὸ καὶ αὐτὴν σέλας βάλλειν καὶ φωτίζειν ποσῶς τὸ περιέχον, ὁπόταν μάλιστα πανσέληνος ᾖ. Δίκτυννα δ' αὐτὴν λέγουσι διὰ τὸ βάλλειν δεῦρο τὰς ἀκτῖνας (δίκειν γὰρ τὸ βάλλειν), ἢ ἀπὸ τοῦ διικνεῖσθαι τὴν δύναμιν αὐτῆς εἰς πάντα τὰ ἐπὶ γῆς, ὡς δικτίνης αὐτῆς οὔσης.

IV^c. [*Περὶ τοῦ αἵματος τοῦ ἐπιβωμίου.* 12

Ἄρτεμις παρθένος οὖσα καὶ σώφρων, ἔχαιρε τοῖς αἵμασι τοῖς ξενοκτονίοις τιμᾶσθαι.]

IV^c. Librarius haec ex Eustath. Dion. 307 (vel Nonn. I, 12) margini adscripsit. V. Untersuchungen p. 111

3 *αὐταῖς* F *αὐταῖς* PV 8 *ἐρώντων* P *ἐρώτων* V 14 *ἐπίκουρος* P corr. V 20 *Δίκτυννα* F *Δικτῖνα* PV

V. Περὶ τοῦ Ἄρεως.

Ἄρης Διὸς υἱὸς εἶναι λέγεται. ἔχε δὲ τὴν ὀνομασίαν ἀπὸ τοῦ αἴρειν καὶ ἀναιρεῖν· ἢ ἀπὸ τοῦ ἄρη, ἥ ἐστι βλάβη. λέγεται δὲ μιαιφόνος καὶ βροτολοιγὸς καὶ ἀλαλάξιος καὶ βριήπυος, μεγίστης ἐν ταῖς παρατάξεσιν ὑπὸ τῶν μαχομένων ἀφιεμένης φωνῆς. ὅθεν τινὲς καὶ ὄνους αὐτῷ σφαγιάζουσι, διὰ τὸ ταραχῶδες καὶ γεγωνὸς τῆς ὀγκήσεως· οἱ πλεῖστοι δὲ κύνας, διὰ τὸ θρασὺ καὶ ἐπιθετικὸν τοῦ ζώου. τιμᾶσθαι δὲ, ὡς ἐπιστάτης τοῦ πολέμου, ὑπὸ Θρακῶν μάλιστα καὶ Σκυθῶν καὶ τῶν τοιούτων ἐθνῶν λέγεται, ἐπεὶ παρ' ἐκείνοις τῶν πολεμικῶν ἡ ἄσκησις εὐδοκιμεῖ καὶ τὸ ἀνεπιστρεφὲς τῆς δίκης. γύπα δ' ἱερόν φασιν αὐτῷ ὄρνιν εἶναι, διὰ τὸ πλεονάζειν τὰ ὄρνεα ταῦτα, ὅπου ἂν εἴη πτώματα πολλὰ ἀρηίφθορα ὄντα. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ πολέμου. ἔστι δ' ὅτε καὶ ἀντὶ τοῦ ἔγχους ἢ τοῦ ξίφους, οἷς χρῶνται ἐν τοῖς πολέμοις. ἐνίοτε δὲ καὶ ἀντὶ τῆς πληγῆς. λέγεται δέ, ὅτι ἐπισκοπεῖ τοῦ θυμοῦ ὁ Ἄρης καὶ ὅτι ὀργὴν πνέει, ἐπειδὴ δεόμεθα ἐν τοῖς πολέμοις, ἵνα τὸ θυμικὸν κοινῇ τὸ καὶ ἡμῖν.

V^b. Περὶ τῆς τοῦ Ἄρεως τρώσεως καὶ τῆς ἐν τῷ χαλκῷ κεράμῳ τούτου κατακλείσεως.

Τὸν Ἄρην λέγει ὁ ποιητὴς, ὅτι ἐτρώθη ὑπὸ τοῦ Διομήδους. ταῦτα λέγει ἐν τῇ Ε ῥαψῳδίᾳ. ἐδέθη δὲ

V. Cornut. 21 verba λαμβάνεται — exit. aliunde fluxerunt V^b. Nonn. I, 85. Finem huius articuli attulit etiam p. 442

2 τοῦ ἄρη F τῆς ἀρᾶς PV 4 βριήπυος F μυώπιος PV παρατάξεσιν F πράξεσιν PV 7 γεγονὸς P corr. V ὀγκήσεως F ὀγκώσεως PV 9 ἐπιστάτης P ἐπιστάτιν V 14 ἀρηΐφθορα F ἀρηίφθογγα perperam PV 21 Il. V, 859

παρὰ τοῦ Ὤτου καὶ τοῦ Ἐφιάλτου. οὗτοι δὲ υἱοὶ ἦσαν Ἀλωέως, τύραννοι τὴν φύσιν. ἐγένοντο δὲ περὶ Θετταλίαν. οὗτοι ἀνταρσίαν ἐμελέτησαν κατὰ τῶν θεῶν. ὁ οὖν Ἄρης πρῶτος ἐπῆλθε κατ' αὐτῶν. εἶτα ἡττηθέντα παρ' αὐτῶν ἔδησαν αὐτὸν ἐν χαλκῷ κεράμῳ. Χαλκοῦς δὲ κέραμος πόλις ἐστὶν οὕτω καλουμένη· ἢ εἶδός ἐστι δεσμοῦ δυσχεροῦς, ἀλύτου καὶ δυσαντήτου. λέγονται δὲ οἱ περὶ Ὦτον καὶ Ἐφιάλτην ἐνναέτεις ὄντες, εἶναι ἐννεόργυιοι κατὰ μῆκος, κατὰ δὲ τὸ πλάτος ἐννεαπήχεις.

VI. *Περὶ τοῦ Ἅιδου.*

Ἅιδης ἀδελφὸς Διὸς εἶναι μυθολογεῖται. οὗτος δέ ἐστιν ὁ παχυμερέστατος καὶ προσγειότατος ἀήρ· ὁμοῦ γὰρ γίνεται καὶ ἄρχεται κραίνειν καὶ ῥεῖν τὰ ὄντα, κατὰ τοὺς ἐν αὐτῷ λόγους τῆς φύσεως. ἢ χωρίον ἀφεγγὲς, καὶ σκότους αἰωνίου πεπληρωμένον. ἢ Ἅιδης ἄναξ τῶν ἐνέρων, καθὰ τῶν ζώντον ἄνω Ζεύς· διὰ τὸ ἀειδὲς δὲ Ἅιδην προσηγόρευσαν. κλύμενος προσέτι λέγεται τῷ αἴτιος εἶναι τοῦ κλύειν· ἀὴρ γὰρ πεπληγμένος ἡ φωνή. καὶ Πλούτων δὲ ἐκλήθη διὰ τὸ πάντων ὄντων φθαρτῶν, μηδὲν εἶναι ὃ μὴ τελευταῖον εἰς αὐτὸν κατάγεται, καὶ αὐτοῦ κτῆμα γίνεται. εὔβου-

VI Cornut. 5 *ἢ χωρίον — πεπληρωμένον* Etym. M. p. 17, 16 *Κλύμενος — φωνή* Cornut. 35 *ἢ Αΐδης — προσηγόρευσαν* aliunde venerunt *καὶ Πλούτων — γίνεται* Cornut. 5 *εὔβουλον — φροντίδων* Cornut. 35 *καλεῖται* — exit. Cornut. 5

---

3 *ἀνταρσίαν* F *ἀντάρσιον* PV Cf. Du Cange, Gloss. *ἀνταρσία* 5 *χαλκῷ κεράμῳ* F *χαλκοκεράμῳ* PV 6 *Χαλκοῦς* F *Χαλκὸς* PV 8 *ἐνναέτεις* F *ἐνναετεῖς* PV 9 *ἐννεόργυιοι* F *ἐννεαόργυιοι* PV 15 *καὶ ζόφου* post *αἰωνίου* add. F

λον δὲ καὶ εὐβουλέα κατὰ ἀποδυσπέτησιν ὠνόμασαν αὐτόν, ὡς καλῶς περὶ τῶν ἀνθρώπων βουλευόμενον, διὰ τὸ παύειν αὐτούς ποτε τῶν πόνων καὶ τῶν φροντίδων. καλεῖται δὲ Ἅιδης, ἢ ὅτι καθ' αὐτὸν ἀόρατός ἐστιν, ὅθεν καὶ διαιροῦντες Ἀΐδα αὐτὸν ὀνομάζουσιν· ἢ κατὰ ἀντίφρασιν, ὡσανεὶ ὁ ἁνδάνων ἡμῖν τοῦ θανάτου.

VII. Περὶ τῆς Ἀφροδίτης καὶ τῶν αἰσχρῶν μυστηρίων αὐτῆς.

Ἡ Ἀφροδίτη λέγεται, ὅτι ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ ἔσχε τὴν γένεσιν. ὁ γὰρ Κρόνος, υἱὸς τοῦ Οὐρανοῦ, λαβὼν τὸ δρέπανον ἀπέκοψε τοῦ ἰδίου πατρὸς τὰ αἰδοῖα καὶ ἔρριψεν εἰς τὴν θάλασσαν· καὶ πεσόντα ταῦτα καὶ ἀφρὸν συνάξαντα ἀπεκύησε τὴν Ἀφροδίτην. διὸ καὶ Ἀφροδίτη καλεῖται, ὡς ἐκ τοῦ ἀφροῦ καὶ τῆς καταδύσεως γενομένη. ἔστι δὲ αὐτὴ τῆς πορνείας ἔφορος. τούτου ἕνεκεν καὶ αἱ περὶ αὐτὴν τιμαὶ καὶ ἑορταὶ δι' αἰσχρουργίας καὶ ἡδυπαθείας καὶ πορνείας ἐτελοῦντο. λέγουσι δὲ καὶ αὐτὴν μὴ δι' ἄλλο τι παραδεδόσθαι γεγονυῖαν ἐν τῇ θαλάσσῃ, ἢ ἐπειδὴ πρὸς τὴν τοῦ πάντα γενέσθαι αἰτίαν κινήσεως

VII. Nonn. I, 88 et accuratius Sanct. Lum. 4 (Cosmas p. 182 et p. 254 Clarke, Catal. Bodlei. p. 51) λέγουσι δὲ — ἀγωγόν Cornut. 24 Κυθέρεια — λέγεται Etym. M. p. 543, 40 ἢ ἀπὸ τοῦ κεύθειν — ἔρωτα Schol. Theog. 196 ἢ διὰ — exit. Cornut. 24

---

2 βουλόμενον P corr. V 4 αὐτὸν P ἑαυτὸν V 6 Meliora edidit Osannus ὡσανεὶ ὁ ἁνδάνων ἡμῖν· εἰς τοῦτον γὰρ χωρεῖν ἡμῖν κατὰ τὸν θάνατον αἱ ψυχαὶ δοκοῦσιν, ἥκιστα ἁνδάνοντος ἡμῖν τοῦ θανάτου

δεῖ καὶ ὑγρασίας, ἅπερ ἀμφοτέρως δαψιλῆ κατὰ τὴν θάλαττάν ἐστιν. ἐστοχάσαντο δὲ τοῦ αὐτοῦ καὶ οἱ Διώνης αὐτὴν θυγατέρα εἶναι εἰπόντες· διερὸν γὰρ τὸ ὑγρόν. Ἀφροδίτη δέ ἐστιν ἡ συνάγουσα τὸ ἄρρεν καὶ τὸ θῆλυ δύναμις, τάχα διὰ τὸ ἀφρώδη τὰ σπέρματα τῶν ζώων εἶναι ταύτην ἐσχηκυῖα τὴν ὀνομασίαν, ἢ διὰ τὸ τοὺς ἡττημένους αὐτῆς ἄφρονας εἶναι. καλλίστη δὲ παράγεται διὰ τὸ μάλιστα ἀρηρεκέναι τοῖς ἀνθρώποις τὴν κατὰ συμπλοκὴν ἡδονήν, ὡς πάντων τῶν ἄλλων διαφέρουσαν. λέγεται δὲ φιλομειδὴς διὰ τοῦτο· οἰκεῖα γὰρ τὰ μειδιάματα καὶ ἡ ἱλαρότης τῶν 14
τοιούτων συνόδων ἐστί. παρέδρους τε καὶ συνέδρους τὰς Χάριτας ἔχει καὶ τὴν Πειθὼ καὶ τὸν Ἑρμῆν, διὰ τὸ πειθοῖ προσάγεσθαι καὶ λόγῳ καὶ χάρισι τοὺς ἐρωμένους· ἢ διὰ τὸ περὶ τὰς συνουσίας ἀγωγόν. Κυθέρεια δὲ εἴρηται, παρὰ τὸ κεύθειν τοὺς ἔρωτας, ἢ παρὰ τὸ κευθόμενον ἔχειν ἐν ἑαυτῇ τὸν ἔρωτα. ἢ ὅτι ἐρῶντες ἐν αὐτοῖς κρύπτουσι τὸ ἐρωτικὸν πάθος· ἢ ὅτι ἀνεφάνη περὶ νῆσον τὰ Κύθηρα. διὸ καὶ ἱερὰ αὐτῆς ἡ τῶν Κυθήρων νῆσος εἶναι λέγεται. ἢ ἀπὸ τοῦ κεύθειν τοὺς ἔρωτας καὶ λάθρα παραγίνεσθαι, ἢ ἀπὸ τοῦ κύειν τὸν ἔρωτα, ἢ διὰ τὰς ἐκ τῶν μίξεων γινομένας κυήσεις, ἢ διὰ τὸ κεύθεσθαι τὰ πολλὰ τὰς τῶν ἀφροδισίων ἐπιθυμίας. λέγεται δὲ καὶ Κύπρις ἡ Ἀφροδίτη, ὅτι τὸ κύειν παρέχει, ἢ ὅτι ἐν Κύπρῳ τιμᾶται. τάχα

---

2 τοῦ αὐτοῦ F τοῦτο PV 4 συνάγουσα F ἐνάγουσα PV 8 ἀρηρεκέναι F ἀνηροκέναι PV 21 τοὺς ἔρωτας e coni. scripsi τὸν ἔρωτα F τὰς ἀρετὰς perperam PV τοὺς ἐραστὰς coni. Hercher Philol. IX p. 591 propter schol. Theog. 196 23 κάθησθαι P corr. V

δὲ καὶ ἡ Κύπρος, συνᾴδουσά πως κατὰ τοὔνομα τῇ κρύψει. ἡ δὲ Πάφος ἴδιον αὐτῆς οἰκητήριόν ἐστι, Παφίας λεγομένης, τάχα κατ' ἔλλειψιν, ἀπὸ τοῦ ἀπαφίσκειν, ὅ ἐστιν ἀπατᾶν. ἔχει γὰρ κατὰ μὲν τὸν Ἡσίοδον μειδήματά τ' ἐξαπάτας τε· κατὰ δὲ τὸν Ὅμηρον·

πάρφασιν, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.

ὁ δὲ κεστὸς ἱμάς, ὡς οἷον κεκασμένος ἐστίν· ἢ ὁ διακεκεντημένος, καὶ ποικίλην δύναμιν ἔχων τοῦ δεῖν καὶ σφίγγειν. καλεῖται δὲ οὐρανία τε καὶ πάνδημος καὶ ποντίη διὰ τὸ καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ καὶ θαλάσσῃ τὴν δύναμιν αὐτῆς θεωρεῖσθαι. ἀκύρους δέ, οὐκ ἐμποινίμους ἔφασαν τοὺς ἀφροδισίους ὅρκους εἶναι· παρ' ὅσον, κἂν ᾖ ῥᾳδία παρασχεθῆναι, μεθ' ὅρκων ἐπάγεσθαι συμβέβηκε τοὺς πειρῶντας. περιστερᾷ δὲ τῶν ὀρνέων χαίρει μάλιστα, τῷ καθαρὸν εἶναι τὸ ζῶον καὶ φιλοφρονητικόν, διὰ τῶν ὡσανεὶ φιλημάτων. ἀνάπαλιν δ' ὗς διὰ τὴν ἀκαθαρσίαν ἀλλοτρία αὐτῆς εἶναι δοκεῖ. τῶν γε μὴν φυτῶν ἡ μὲν μυρσίνη διὰ τὴν φιλοφροσύνην Ἀφροδίτης εἶναι διείληπται. ἡ δὲ φιλύρα διά τε τοὔνομα, ὅτι τῷ φιλεῖν παρακειμένως ἐξενήνεγκται, καὶ πρὸς τὰς στεφάνων πλοκὰς εἰώθασιν αὐτῇ κεχρῆσθαι μᾶλλον. τὴν δὲ πύξον φυλάττονται τῇ θεῷ προσφέρειν, ἀφιερωσάμενοί πως ἐπ' αὐτῆς τὴν πυγμήν.

---

3 ἀποφίσκειν P corr. V 5 Theog. 205 7 φρονέοντα P ex Il. XIV, 217 corr. V 8 διακεκεντημένος F διακέντιμος PV 11 ποντίη F παναιτίη PV 21 φιλύρα F φιλύτρια PV 23 τὴν δὲ πύξον F τὸν δὲ πῆξον PV 24 αὐτῆς F αὐτοῖς P αὐτοῖς V 25 πυγὴν e coni. scripsit Osann.

VII[b]. *Περὶ τοῦ τῆς Ἀφροδίτης ἐραστοῦ.*

Ἀφροδίτη γυνὴ ἦν Ἡφαίστου τοῦ χαλκέως. ταύτης ἠράσθη ὁ Ἄρης καὶ ἐμοίχευσεν αὐτήν. ὁ οὖν Ἥφαιστος μαθὼν τοῦτο, τῇ τέχνῃ αὐτοῦ ἐτεχνάσατο τὰς πάγας καὶ τίθησι τῷ Ἄρεϊ ἐρχομένῳ ἐπὶ μοιχείᾳ τῆς Ἀφροδίτης· καὶ ἐμπίπτει εἰς τὰς πάγας καὶ κατέχεται. καὶ φωρᾶται μοιχεύων τὴν Ἀφροδίτην. καὶ 15 *οὐκ ἔλυσεν αὐτοὺς ὁ Ἥφαιστος, ἄλλ' εἴασεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν, ἕως οὗ ἐκάλεσε τοὺς θεούς, καὶ ἐδημοσίευσεν αὐτούς. καὶ τότε οἱ θεοὶ ἰδόντες, πῶς θριαμβευόμενοι ἐν ταῖς πάγαις κατεχόμενοι ἦσαν οἱ δύο, ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς, πολὺν ἐπ' αὐτοῖς κατέχεον γέλωτα. καὶ τότε λύεται ὁ Ἄρης μικρὰ λύτρα δοὺς τῷ Ἡφαίστῳ.*

VIII. *Περὶ τῆς τοῦ Ἄπιδος φάτνης.*

Ὑπὲρ χρόνον τινὰ κατὰ περίοδον τοῖς Αἰγυπτίοις ἐγεννᾶτο βοῦς, ἐκ τοῦ φωτὸς τῆς σελήνης συλληφθείς. γεννηθεὶς δὲ ὁ βοῦς, ἐκαλεῖτο παρ' αὐτοῖς Ἄπις. εἶχε δὲ καί τινα σημεῖα περὶ τὴν οὐρὰν καὶ τὴν γλῶτταν, ἐξ ὧν σημείων ἐγνωρίζετο, ὅτι Ἄπις ἐστί. τούτου οὖν τοῦ βοὸς γινομένου, ἑορτὴν ἐποίουν οἱ Αἰγύπτιοι, ὡς θεοῦ αὐτοῖς ἐπιδημήσαντος, καὶ παρετίθεσαν τῷ βοῒ ἐν φάτνῃ πανδαισίαν πολλήν, εὐωχοῦντες τὸν θεὸν αὐτὸν τὸν Ἄπιν.

VII[b]. Nonn. I, 86 (Cosm. p. 66) V. Eud. p. 222 VIII. Nonn. II, 30 (Cosm. p. 180). V. Eud. p. 80

---

4 *τὰς πάγας καὶ* F *καὶ πάγας* male PV 6 *φορᾶται* P corr. V 7 *ἔλυσεν* F *ἠλέησεν* PV *ἀλλ' εἴασεν αὐτοὺς* F verba om. PV 9 *εἰδότες* F

IX. *Περὶ Αἰόλου.*

Αἴολος λέγεται κυριεύειν τῶν πνευμάτων· ὅστις ἔδωκεν Ὀδυσσεῖ τοὺς ἀνέμους ἐν ἀσκῷ. πιθανὸν δέ ἐστιν, ἀστρολόγον γενόμενον τὸν Αἴολον φράσαι Ὀδυσσεῖ τοὺς χρόνους, καθ' οὓς ἐπιτολαί τινες ἀνέμων γενήσονται. φασὶ δέ, ὅτι καὶ χαλκοῦν τεῖχος τῇ πόλει αὐτοῦ περιεβέβλητο. μυθεύεται δὲ κύριος τῶν ἑπτὰ τῶνδε νήσων εἶναι, ἤτοι Στρογγύλης, Εὐωνύμου, Ἱερᾶς, Λιπάρας, Διδύμης, Ἐρικώδους καὶ Φοινικώδους. αἱ δ' αὐταὶ νῆσοι λέγονται καὶ Λιπαρέων νῆσοι, διέχουσαι τοῦ Σικελικοῦ πορθμοῦ στάδια σ', ἐν ἀπόψει κείμεναι τοῖς ἐκ Σικελίας καὶ Ἠπείρου πλέουσιν. ὧν ἐν μιᾷ τῇ καλουμένῃ Στρογγύλῃ τὸν Αἴολον οἰκῆσαί φασιν, ἥτις βίᾳ μὲν φλογὸς λείπεται τῶν ἄλλων ἓξ νήσων, φέγγει δὲ πλεονάζει. μεγίστη δ' αὐτῶν ἡ Λιπάρα, ἀπὸ Λιπάρου τινὸς κληθεῖσα υἱοῦ Αὔσονος, Κνιδίων ἀποίκου. ἐξ ἧς, ὡς ἀπὸ μέρους προέχοντος, αἱ πᾶσαι Λιπαρέων λέγονται νῆσοι. ἐγγυτάτω δὲ αὐτῆς ἐστιν ἡ Σικελία.

X. *Περὶ Αἰολίδου τοῦ Μινύου.*

Αἰολίδης παρὰ Ἀπολλωνίῳ οὐκ ἀπὸ Αἰόλου, ἀλλ' ἀπὸ τῶν Αἰόλου. Συσίφου γὰρ παῖδες ἐγένοντο Ἄλμος καὶ Πορφυρίων. Χρυσογόνης δὲ τῆς Ἄλμου καὶ

IX. Palaeph. 18 *μυθευέται — Φοινικώδους* Schol. Apoll. III. 41 *αἱ δ' αὐταὶ* — exit. Eustath. Dion. 461 X. Schol. Apoll. III, 1094

---

6 *αὐτοῦ* F *αὑτοῦ* V 8 *Λιπάρας* FP *Λιπαρᾶς* V 11 *Ἠπείρου* F *ἠπείρου* PV 16 *ἀποίκου* F *ἄποικος* PV 20 *τῶν* F *τῆς* PV

Ποσειδῶνος Μινύας ὁ τὸν Ὀρχομενὸν κτίσας. καὶ κατὰ τοῦτο εἴρηται Αἰολίδης, ὅτι Σίσυφος Αἰόλου ἐγένετο 16 *Μινύας δὲ κατὰ μητέρα Αἰολίδης, πατρὸς δὲ Ποσειδῶνος. τοῦτον οὖν Ἀπολλώνιός φησιν εἰς τὴν Βοιωτίαν εἰσβαλόντα, ὅμορον Θηβαίοις Ὀρχομενὸν κτίσαι.*

XI. *Περὶ Ἀσκληπιοῦ.*

Ἀσκληπιὸς υἱὸς Ἀπόλλωνος καὶ νύμφης Κορωνίδος. ὠνομάσθη δὲ Ἀσκληπιός, παρὰ τὸ τὰ ἀσκελῆ τῶν νοσημάτων ἤπια ποιεῖν. τὸ δὲ ἀσκελὲς παρὰ τὸ σκέλλω, τὸ ἄγαν σκληραίνω, ὅθεν καὶ σκέλος· ἢ διότι Ἄσκλην τὸν Ἐπιδαύριον ἰάσατο ὀφθαλμιῶντα, ἤπιος ἐκείνῳ φανείς, πλεονασμῷ τοῦ λ· ἢ παρὰ τὸ ἀσκεῖν ἠπίως τοὺς νοσοῦντας, ὅ ἐστιν ἐπιμελείας ἀξιοῦν· ἢ παρὰ τὸ μὴ σκελετεύεσθαι αὐτοὺς ἐᾶν, ἠπίως προσφερόμενος· ἢ ἀπὸ τοῦ ἐσκλῆσθαι καὶ ἀναβάλλεσθαι τὴν κατὰ τὸν θάνατον γινομένην ἀπόσκλησιν. διὰ τοῦτο γὰρ κατὰ δράκοντα αὐτῷ παριστῶσιν, ὅτι ὅμοιόν τι τούτῳ πάσχουσιν οἱ χρώμενοι τῇ ἰατρικῇ, κατὰ τὸ οἱονεὶ ἀνανεάζειν ἐκ τῶν νόσων, καὶ ἀποδύεσθαι τὸ γῆρας. ἅμα δ' ἐπεὶ προσεχὲς ὁ δράκων σημεῖον, ἧς πολλῆς δεῖ περὶ τὰς θεραπείας. καὶ τὸ βάκτρον δὲ τοιούτου τινὸς ἔοικεν εἶναι σύμβολον· παρίσταται γὰρ δι' αὐτοῦ, ὅτι εἰ μὴ ταύταις ταῖς ἐπινοίαις ἐπεστηριξόμεθα, ἐπὶ τὸ συνεχὲς ἂν εἰς ἄρρωστον θᾶττον τοῦ

XI. Initium forte ex Apollod. III, 10, 3 descripsit. *ὠνομάσθη — σκέλος* Etym. M. p. 154, 38 *ἢ διότι — προσφερόμενος* Eustath. Il. p. 463 *ἢ ἀπὸ τοῦ* — exit. Cornut. 33

---

5 *εἰσβαλόντα* F *εἰσβάλλοντα* PV 8 *ἤποια*, hic, *ἤπιος*, *Ἡπώνη* etc. infra P corr. V 14 *ἐσκλῆσθαι* F *ἐτῶσθαι* P 15 *ἀπόκλησιν* P corr. V

δεόντος σφαλλόμενοι, καταπίπτοιμεν. λέγεται δ' ὁ Χείρων τετροφέναι τὸν Ἀσκληπιόν, καὶ ἐν τοῖς τῆς ἰατρικῆς θεωρήμασι τοῦ Ἀσκληπιοῦ, Ἠπιόνην, τοῦ ὀνόματος οὐκ ἀργῶς εἰς τὸν μῦθον παρειλημμένου, δηλοῦντος δὲ τὸ πραϋντικὸν τῶν ὀχλήσεων διὰ τῆς τοῦ ἠπίου φαρμακείας.

XI^b. Περὶ τῶν Ἀσκληπιοῦ παίδων.

Ἀσκληπιοῦ δὲ παῖδες λέγονται, Ποδαλείριος, Μαχάων, Ἰασὼ, Πανάκεια, Ὑγεία· ἀναπέπλασται δὲ τὰ ὀνόματα παρὰ τὸ ἰᾶσθαι καὶ πάντα ἀκεῖσθαι καὶ παρὰ τὸ ὑγείαν παρέχειν.

XII. Περὶ Ἄτλαντος.

Ἄτλαντα τὸν οὐρανὸν βαστάζειν καὶ ἔχειν κίονας μακράς, τὰ τῶν στοιχείων δυνάμεις, λέγουσιν,
17 καθ' ἃς τὰς μὲν ἀνωφερῆ ἐστι, τὰ δὲ κατωφερῆ· ὑπὸ τούτων γὰρ διακρατεῖσθαι τὴν γῆν· ὀλοόφρονα δ' αὐτὸν εἰρῆσθαι, διὰ τὸ περὶ τῶν ὅλων φροντίζειν καὶ

XI^b. Schol. Ar. Plut. 701 XII. Cornut. 26

---

1 καταπίπτοιμεν F κατεπίπτωμεν PV 8 ὑγεία bis P Ὑγιεία V Αἴγλη F 11 Sequentes versus ex Schol. Oppian. Hal. I, 619 librarius margini adscripsit:

Μῦθος παλαιός, ὡς Ἄτλας νώτοις φέρει
Τὸν οὐρανόν, κάτωθεν ἐκ γῆς ἀνέχων.
Σὺ γοῦν ἀκούων, γνῶθι τοῦτ' ἀλληγόρως.
Ὄρος γὰρ Ἄτλας Λιβύης ἐν ἐσχάτοις.
Οὗ τὴν κορυφὴν ἐκ νεφῶν κεκρυμμένην,
Εἶναι δοκοῦσιν οὐρανοῖς συνημμένην.
Ἐντεῦθεν οὖν Ἕλλησιν ἡ μυθουργία,
Ἄτλαντα νώτοις εἰσαεὶ πόλον φέρειν.

προνοεῖσθαι τῆς πάντων αὐτοῦ τῶν μερῶν σωτηρίας. ἐκ δ' αὐτοῦ τὰς Πλειάδας γεγονέναι, παριστάμενοι, ὅτι τὰ ἄστρα πάντα πλείονα ὄντα ἐγέννησεν Ἀστραίῳ τε καὶ Θαύμαντι, ὅτι ὁ αὐτὸς ὤν· οὔτε γὰρ ἵσταται τὸ σύνολον ἀνηρέμητος ὑπάρχων, εἰ καὶ ὅτι μάλιστα εὖ βεβηκέναι δοκεῖ, καὶ ἀσάλευτος εἶναι, καὶ θαυμασμὸν τοῖς ἐφεστᾶσιν ἐπὶ τὴν διάταξιν αὐτοῦ πολὺν ἐμποιεῖ. λέγεται δὲ υἱὸς Ἰαπετοῦ εἶναι· καί, ὡς Ἄρατός φησι, θυγατέρες αὐτοῦ γεγόνασιν αὗται·

Ἀλκυόνη, Μερόπη τε, Κελαινώ τ', Ἠλέκτρη τε,
καὶ Στερόπη, καὶ Ταϋγέτη, καὶ πότνια Μαῖα.

XIII. Περὶ Αἰακοῦ.

Αἰακὸς υἱὸς ἐλέγετο εἶναι τοῦ Διός, δίκαιος τὰ μάλιστα· διό ποτε ἀβροχίας γενομένης ἐν τῇ Ἑλλάδι, ἦλθον πρὸς αὐτὸν οἱ προεστῶτες τῶν πόλεων, παρακαλοῦντες εὔξασθαι τῷ ἰδίῳ πατρί, ἵνα γένηται ὑετός· ὁ δέ, στὰς καὶ εὐξάμενος, ἔλυσε διὰ τῆς εὐχῆς τοὺς αὐχμούς· καὶ κατερρύη ὕδωρ ποτίζον τὴν Ἑλλάδα. μάλιστα δὲ καὶ ἐκ τούτου ἡ εὐσέβεια ἐδείχθη τοῦ Αἰακοῦ. γεννᾷ δύο υἱούς, τὸν Πηλέα καὶ Τελαμῶνα, ὧν ὁ μὲν Πηλεὺς τίκτει Ἀχιλλέα, ὁ δὲ Τελαμὼν τὸν Αἴαντα· οἵτινες ἐκαλοῦντο Αἰακίδαι, τὴν ἀπὸ τοῦ πάππου τιμὴν ἐν τούτου προφερόμενοι.

XIII. Nonn. Laud. Bas. 4 (cod. Mon. 490 fol. 460)

---

1 τῆς πάντων αὐτοῦ τῶν μερῶν F αὐτοῦ μερῶν P αὐτὸν μερῶν V 4 Θαύμαντι e coni. dedit Osann. Ἀθάμαντι PV 6 ἀσάλευτος F ἀπόλυτος PV 10 Κελαινώ τ' et καὶ Στερόπη scripsi cum Arat. 262 seq. Κελενώ τ' P Κελενώ τε V καὶ Ἀστερόπη P Ἀστερόπη om. καὶ V 17 ποτίζων P corr. V 23 προφερόμενοι F προσφερόμενοι PV ἀποκληρούμενοι Mon.

XIV. *Περὶ Ἀνταίου.*

Ἀνταῖος υἱὸς ἐμυθεύθη Γῆς. ἐκεῖνος μέντοι, καὶ ὡς κατακυλίων εὐμεθόδως τοὺς ἀντιπαλαιστὰς τῷ δοκεῖν καταπίπτειν εἰς γῆν, τῇ γῇ βοηθεῖσθαι κατὰ τὴν πάλην ἐλέγετο, καὶ Γῆς υἱὸς εἶναι.

18 XV. *Περὶ Ἀντιόπης καὶ τειχισμοῦ Θηβῶν.*

Ἀντιόπη κατὰ μὲν Ὅμηρον θυγάτηρ ἦν Ἀσωποῦ, Θηβαίου ποταμοῦ. οἱ δὲ νεώτεροι Νυκτέως αὐτὴν ἱστοροῦσι. ταύτης καὶ Διὸς υἱοὶ Ζῆθος καὶ Ἀμφίων οἰκισταὶ Θηβῶν· οἳ θεσπέσιόν τι χρῆμα ἔσχον ἐκ Διὸς ἢ Ἀπόλλωνος· διὰ λύρας γὰρ ἀνακρουόμενοι, φασί, μέλος ἐτείχισαν Θήβας· τῶν λίθων, ὥσπερ ὑπὸ τῷ θρυλουμένῳ Ὀρφεῖ, οὕτω καὶ ὑπὸ τούτοις κηλουμένων ὁποῖα ἐμψύχων καὶ κινουμένων καὶ ἀλλήλοις ἐπιστοιβαζομένων εἰς τειχισμόν· ὡς τά γε πρώην ἀτείχιστοι οὖσαι ὑπὸ Φλεγύων ἐβλάπτοντο, οἳ τοὺς ἐκεῖ ἐσίνοντο. Ζήθου δὲ καὶ Ἀμφίονος θανόντων, Εὐρύμαχος, Φλεγύων βασιλεύς, τὰς Θήβας ἠρήμωσε, Κάδμος δὲ ὕστερον ἀνέκτισεν. οἱ δὲ ῥηθέντες ἀδελφοὶ ἀγαθοὶ βασιλεῖς εἶναι φαίνονται καὶ μειλίχιοι. διὸ καὶ μετὰ λύρας πυργῶσαι τὰς Θήβας ᾄδονται, ὡς ἐμμελῶς καὶ ἱλαρῶς, καὶ ὡς εἰπεῖν ἐμμούσως, καὶ δίχα τοῦ ἀπῳδόν τι τοῖς

XIV. Eustath. Od. p. 1700   XV. Eustath. Od. p. 1682

---

5 Od. XI, 260   11 *θρυλουμένῳ* P *θρυλλουμένῳ* V   15 *Ἀμφίονος* omnibus locis P *Ἀμφίωνος* V   16 *περὶ ὧν ἀκριβέστερον ἐν τοῖς εἰς Ἰλιάδα κεῖται* add. F mox *ἀγαθεῖς* P corr. V

ὑπηκόοις ἐνδείξασθαι, τειχίσαι τὴν πόλιν· ἣν ἑπτάπυλον, φασίν, ἤνοιξαν ἐκεῖνοι, διὰ τὸ ἑπτάχορδον εἶναι τὴν λύραν αὐτοῖς.

XV^b. *Καὶ ἄλλως περὶ Ἀντιόπης.*

Ἀντιόπη Νυκτέως ἦν θυγάτηρ, ἣν ὁ Ζεὺς σατύρῳ ὁμοιωθεὶς φθείρει· καὶ φεύγουσα τοῦ Νυκτέως τὰς ἀπειλὰς καταφεύγει εἰς Σικυῶνα πρὸς Ἐπωπέα· τεκοῦσα δ' Ἀμφίονα καὶ Ζῆθον, ἐξέθηκεν ἐν τῷ Κιθαιρῶνι παρὰ βουκόλῳ τινί. ὁ δὲ Νυκτεύς, διὰ τὴν τόλμαν τῆς παιδὸς λυπηθείς, τελευτᾷ, τοῦ ἀδελφοῦ Λύκου δεηθείς, μὴ περιιδεῖν τὴν παῖδα, ἀλλ' ἑλεῖν ἐπελθόντα εἰς Σικυῶνα. στρατεύει δὲ ἐπὶ τὴν πόλιν Λύκος καὶ κτείνει τὸν Ἐπωπέα. καὶ λαβὼν τὴν Ἀντιόπην αἰχμάλωτον, παραδίδωσι φυλάττειν Δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. ἡ δὲ φεύγει καὶ ληφθεῖσα πάλιν τοῖς ἑαυτῆς παισὶν ἐκδίδοται Ἀμφίονι καὶ Ζήθῳ. ἐνταῦθα δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκόλος τὸ γεγονός. οἱ δὲ τὴν μὲν Ἀντιόπην σώζουσι, τὴν δὲ Δίρκην ἐξ ἀγρίου ταύρου προσδήσαντες διαφθείρουσι. μεταπεμψάμενοι δὲ τὸν Λύκον, ὡς ἐκδώσοντα τὴν Ἀντιόπην, σφάττειν ἔμελλον, Ἑρμῆς δὲ ἐκώλυσε· τῷ δὲ Λύκῳ, προσέταξε παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς.

XV^b. Schol. Apoll. IV, 1090

---

3 *Ἐπωπέα* F *Ἐποπέα* PV 10 *ἑλεῖν ἐπελθόντα εἰς Σικυῶνα. στρατεύει δὲ* F *ἑλκεῖν. ἀπελθόντα δὲ εἰς Σικυῶνα στρατεύει* P *ἕλκειν. ἀπελθὼν δὲ εἰς Σικυῶνα στρατεύει* V 18 *μεταπεμψάμενοι* F *μεμψάμενοι* propter compendium errantes PV 19 *ἐκδώσοντες* P corr. V

19 XVI. *Περὶ Ἀμφίονος.*

Ἀμφίων, καὶ Ζῆθος τὰς Θήβας ἐτείχισαν, ὡς καὶ Ὅμηρός φησιν·

Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο.

Φερεκύδης δὲ καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς· διότι Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο βασιλεύοντι Κάδμῳ.

XVII. *Περὶ Ἀλκμαίωνος.*

Ἀλκμαίων Ἀθηναῖος ἦν τὸ γένος, ἐπίσημος λίαν, τὴν ἐλευθερίαν ἀεὶ φυλάττειν ἐθέλων τοῖς Ἀθηναίοις. τυραννηθείσης οὖν τῆς πόλεως ὑπὸ Πεισιστράτου, ἐξῆλθεν οὗτος, μη φέρων ὁρᾶν δουλευούσας τὰς Ἀθήνας. ἐξελθὼν οὖν μηχανᾶται καὶ σκοπὸν εἶχε, πῶς τὴν ἐλευθερίαν ἀποκαταστήσει Ἀθηναίοις. ἀπελθὼν οὖν εἰς Δελφούς, εἰς Ἀπολλώνιον ἱερόν, ἐκμισθοῦται παρὰ Δελφοῖς τὸ ἱερὸν ἐπὶ μισθοφορίᾳ. ἐκμισθωσάμενος δὲ καὶ ἔχων ὑφ' ἑαυτὸν πάντας τοὺς τοῦ θεοῦ διακόνους πείθει τὴν ἱέρειαν καὶ τὴν Πυθίαν, ἵνα, εἰ ἔλθῃ ποτὲ Λακεδαιμόνιος μαντευσόμενος, μηδὲν ἄλλο λέγῃ αὐτῷ, ἢ ὅτι „ἐλευθεροῦν τὰς Ἀθήνας λέγει ἡμῖν ὁ θεός". τούτου συνεχῶς καὶ πλειστάκις γινομένου, παρωρμήθησαν οἱ Λακεδαιμόνιοι καὶ ἐλθόντες ἐξέβαλον ἀπὸ τῶν Ἀθηνῶν τοὺς τυράννους· μέγα οὖν κλέος

XVI. Schol. Apoll. I, 735 XVII. Nonn. Laud. Bas. 3 (V. Cosm. p. 237 cod. Mon. 490 fol. 460)

---

2 Od. XI, 263 4 fr. 28 Sturz 7 *ἐπίσημος· λίαν τὴν ἐλ.* Cosmas 13 *Ἀπολλώνειον* Nonnus 17 *λέγειν* Nonnus

ἔσχεν ἔκτοτε ὁ Ἀλκμαίων, ἐλευθερώσας τὰς Ἀθήνας σοφίᾳ. ἀλλὰ τοσαῦτα περὶ Ἀλκμαίωνος.

XVIII. Περὶ Ἀκταίωνος.

Ἀκταίων κυνηγέτης ἦν, καὶ εἶδε τὴν Ἄρτεμιν γυμνήν. ἡ δὲ θεὰ ἀθέμιτον τοῦτο ὑπολαβοῦσα, τὸ τοὺς θεοὺς ἰδεῖν γυμνούς, καὶ ταῦτα παρθένους, χολωθεῖσα μανῆναι ἐποίησε τοὺς κύνας αὐτοῦ τοῦ Ἀκταίωνος. καὶ ὡς ἔλαφον ἔχοντα κέρατα ἑώρων αὐτὸν οἱ κύνες· οὕτως, ὥστε λέγεσθαι τὸν Ἀκταίωνα ὑπὸ τῶν ἰδίων κυνῶν καταβρωθῆναι. ἔνιοι δέ φασιν, ὅτι Ἀρτέμιδος αὐτὸν μεταβαλούσης εἰς ἔλαφον, ἀνεῖλον αἱ κύνες, ἔνιοι δὲ πάλιν ἱστορικῶς περὶ τούτου διαλαμβάνουσιν, ὅτι Ἀκταίων ἄνθρωπος ἦν, τὸ γένος Ἀρκάδιος, φιλοκύνηγος. οὗτος ἔτρεφε κύνας πολλὰς καὶ ἐθήρευεν ἐν τοῖς ὄρεσι, τῶν δὲ αὐτοῦ πραγμάτων ἠμέλει· οἱ γὰρ τότε ἄνθρωποι αὐτουργοὶ πάντες ἦσαν, οἰκέτας δ' εἶχον οὐδ' ὅλως, ἀλλ' αὐτοὶ ἐγεώργουν. καὶ οὗτος ἦν πλουσιώτατος, ὃς ἐγεώργει καὶ ἐργαστικώτατος ὑπῆρχε. τῷ δ' Ἀκταίωνι, ἀμελοῦντι τῶν οἰκείων, μᾶλλον δὲ κυνηγετοῦντι, διεφθάρη ὁ βίος· ὅτε δὲ οὐκέτι εἶχεν οὐδέν, ἔλεγον αὐτῷ οἱ ἄνθρωποι· δειλὲ Ἀκταίων, ὃς ὑπὸ τῶν ἰδίων κυνῶν κατεβρώθης.

XVIII. Nonn. Laud. Bas. 6. V. Eud. p. 10. *ἔνιοι δέ φασιν* — exit. Palaeph. 3

---

10 *μεταβαλλούσης* FPV *μεταβαλούσης* e coni. Fischeri recepit Westermann. 11 *ἀνεῖλόν τινες* PV *ἀνεῖλον αἱ κύνες* F 13 *πολλὰς* FP *πολλοὺς* V 14 *τῶν δ' αὐτοῦ πραγμάτων* F *τοῦ δ' ἀγαθοῦ πράγματος* PV

XIX. Περὶ Ἀβάριδος ὀιστοῦ.

Ἄβαρις ἐξ Ὑπερβορέων ἦν ἄνθρωπός τις· οἱ δ' Ὑπερβόρεοι ἀρκτικώτεροι τῶν Σκυθῶν. οὗτος οὖν ὁ Ἄβαρις λέγεται ἔνθους γενόμενος περιεῖναι τὴν Ἑλλάδα κύκλῳ μετὰ τοῦ βέλους, καὶ χρησμούς τινας καὶ μαντείας λέγειν ὡς ἔνθους. Λυκοῦργος δὲ ὁ ῥήτωρ μέμνηται τοῦ Ἀβάριδος ἐν τῷ κατὰ Μενεσαίχμου λόγῳ λέγων· λιμοῦ γενομένου ἐν τοῖς Ὑπερβορέοις, ἦλθεν ὁ Ἄβαρις ἐν τῇ Ἑλλάδι, καὶ ἐμισθώτευσεν τῷ Ἀπόλλωνι· καὶ ἐδιδάχθη παρ' αὐτοῦ τὸ χρησμολογεῖν· καὶ οὕτω κρατῶν τὸ βέλος εἰς σύμβολον τοῦ Ἀπόλλωνος, (τοξότης γὰρ οὗτος ὁ θεός), περιήει χρησμολογῶν πᾶσαν τὴν Ἑλλάδα. [πατέρα δ' ἔσχε Σεῦθον, καὶ λέγεται, ὅτι συνεγράψατο χρησμοὺς τοὺς καλουμένους Σκυθικοὺς καὶ γάμον Ἕβρου τοῦ ποταμοῦ καὶ καθαρμοὺς καὶ Θεογονίαν.]

XX. Περὶ Ἀταλάντης καὶ Μελανίωνος.

Ἀταλάντην καὶ Μελανίωνα εἰς ζῶα μεταμορφωθῆναι μυθεύονται· τὴν μὲν εἰς λέαιναν, τὸν δὲ εἰς λέοντα. ἡ δὲ ἱστορία οὕτως ἔχει· Ἀταλάντη καὶ Μελανίων ἐκυνήγουν· ἀναπείθει δὲ τὴν κόρην Μελανίων μιγῆναι αὐτῇ· εἰσέρχεται δὲ εἴς τι σπήλαιον μιχθησόμενος.

XIX. Cosmas p. 181 (Clarke, Catal. Bodlei. p. 50). V. Eud. p. 143. Cf. Untersuchungen p. 76. *πατέρα δ' ἔσχε* — exit. e Suidae lexico interpolata sunt XX. Palaeph. 14

6 *Μενεσαίχμου* corr. Wyttenbach *Μενέσχου* P *Μενέσχους* V. Ceterum v. Kinkel I p. 242, qui Eudociae locum neglexit 7 fr. 86 Müller 13 *καλουμένους* FP *λεγομένους* V 14 *Ἕβρου* F *Εὔρου* perperam PV 16 *Μελανίωνος* F *Μηλανίωνος* ubique PV

ἦν δὲ ἐν τῷ ἄντρῳ εὐνὴ λέοντος καὶ λεαίνης, οἳ καὶ ἀκούσαντες φωνῆς, ἐξελθόντες, ἀναιροῦσι τοὺς περὶ Ἀταλάντην· μετὰ δὲ χρόνον, τῆς λεαίνης καὶ τοῦ λέοντος ἐξελθόντων, οἱ κυνηγετοῦντες σὺν Μελανίωνι εἰς ταῦτα τὰ ζῶα ἔδοξαν αὐτοὺς μεταβεβλῆσθαι. εἰσβάλλοντες οὖν εἰς τὴν πόλιν διεφήμιζον οἱ περὶ Ἀταλάντην καὶ Μελανίωνα, ὡς εἰς λέοντας μετεβλήθησαν.

XXI. *Περὶ Ἀλκήστιδος.*

Ἄλκηστις ἡ Πελίου θυγάτηρ, φίλανδρος οὖσα, θανάτῳ ἑαυτὴν παρέβαλεν ἀντὶ τοῦ ἀνδρὸς [αὐτῆς] Ἀδμήτου ἐκ ζώντων γενομένου, εἴ πως εἰς φῶς παλινδρομήσει. ἄλλοι δέ φασι, Πελίαν προθεῖναι τὸν τῆς Ἀλκήστιδος γάμον τῷ δυναμένῳ συζεῦξαι λέοντι κάπρον, Ἀπόλλωνα δὲ τῷ Ἀδμήτῳ τοῦτο ἐκτελέσαι, καὶ τὸν γάμον αὐτῷ ἐγγυῆσαι. ἀπὸ δὲ τοῦ ῥηθέντος Ἀδμήτου σκόλιόν τι ἐν Ἀθήναις ἦν ᾀδόμενον, ὡς καὶ Παυσανίας φησί, λέγων, ὡς οἱ μὲν Ἀλκαίου φασὶν 21 *αὐτό, οἱ δὲ Σαπφοῦς, οἱ δὲ Πραξίλλης τῆς Σικυωνίας. ἀρχὴ δὲ τοῦ μέλους αὕτη· „Ἀδμήτου λόγον ὦ 'ταῖρε μαθών, τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ' ἀπέχου, γνούς, ὅτι δειλοῖς ὀλίγα χάρις.“ ἔοικε δὲ διὰ μὲν*

XXI. Eustath. Il. p. 326 *ὡς καὶ Παυσανίας — Σικυωνίας* Schol. Ar. Vesp. 1240 (et Eustath. l. c.) *ἀρχὴ — παιδὸς* Eustath. l. c. *περὶ δὲ — Ἀδμήτῳ* Palaeph. 41 *καὶ ἄλλως, ὅτι Ἀπόλλων — γυναῖκα* Argum. Euripid. Alcest. *ἔχει δὲ* — exit. Palaeph. l. c. Palaephati locum compilavit Arsenius Viol. p. 42 Walz.

---

9 *αὐτῆς* cum F removi 11 *προθεῖναι* P *προθῆναι* F *προσθεῖναι* V 14 *αὐτῷ* F *αὐτῶν* PV 15 *ἐν Ἀθήναις* F *ἐν* om. PV 16 *λέγων* addidi ex F, om. PV 17 Bergk Poet. Lyr. p. 1225 et 1293 20 *δειλοῖς* F *δειλῶν* PV

τῶν ἀγαθῶν τὴν γενναίαν καὶ φίλανδρον ὑποδηλοῦν Ἄλκηστιν, διὰ δὲ τῶν δειλῶν τὸν Ἀδμήτου πατέρα, ὃς ὤκνησε θανεῖν ὑπὲρ τοῦ παιδός. περὶ δὲ ταύτης καὶ τοιαύτη μυθολογία φέρεται· ὡς δὴ μέλλοντός ποτε τοῦ Ἀδμήτου θανεῖν, αὕτη εἵλετο ὑπὲρ αὐτοῦ θάνατον· καὶ Ἡρακλῆς αὐτὴν διὰ τὴν εὐσέβειαν ἀφελόμενος καὶ ἀναγαγὼν ἐκ τοῦ Ἅιδου ἀπέδωκεν Ἀδμήτῳ. καὶ ἄλλως, ὅτι Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις, ἡ γυνὴ τοῦ Ἀδμήτου, ἀπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης, Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἔδειξεν ἣν ἐπένθει. Ἄλκηστις δέ, ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ, διασῴζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. ἔχει δὲ καὶ ἄλλως πως ἡ ἱστορία· ἐπειδη Πελίαν ἀπέκτειναν αἱ θυγατέρες, καὶ Ἄκαστος ὁ Πελίου ἐδίωκεν αὐτάς, οὐ λαμβάνει μέν· Ἄλκηστις δὲ καταφεύγει εἰς Φερὰς πρὸς Ἄδμητον τὸν ἀνεψιὸν αὐτῆς· καὶ καθεξομένην ἐπὶ τῆς ἑστίας οὐκ ἐβούλετο

---

20 ἐπένθη P corr. V   28 καθεξομένην F καθιζόμενος PV

Ἄδμητος Ἀκάστῳ ἔκδοτον ἐξαιτουμένῳ δοῦναι. ὁ δὲ πολλὴν στρατιὰν παρακαθίσας ἐπὶ τὴν πόλιν ἐπυρπόλει αὐτούς· ἐπεξιὼν δὲ ὁ Ἄδμητος, ἔχων καὶ λοχαγούς, νύκτωρ συνελήφθη ζῶν· ἠπείλει δὲ Ἄκαστος ἀποκτείνειν αὐτόν· πυθομένη δὲ ἡ Ἄλκηστις, ὅτι μέλλει ἀναιρεῖσθαι Ἄδμητος δι' αὐτήν, ἐξελθοῦσα ἑαυτὴν παρέδωκε. τὸν μὲν οὖν Ἄδμητον ἀφίησιν ὁ Ἄκαστος, ἐκείνην δὲ συλλαμβάνει. ἔλεγον οὖν οἱ ἄνθρωποι· ἀνδρεία γε Ἄλκηστις ἑκοῦσα ὑπεραπέθανεν Ἀδμήτου. κατὰ γοῦν τὸν καιρὸν τοῦτον Ἡρακλῆς ἧκεν ἄγων ἔκ τινων τόπων τὰς Διομήδους ἵππους· τοῦτον ἐκεῖσε πορευόμενον ἐξένισεν Ἄδμητος. ὀδυρομένου δὲ Ἀδμήτου τὴν συμφορὰν τῆς Ἀλκήστιδος, ἀνακτησάμενος Ἡρακλῆς ἐπιτίθεται τῷ Ἀκάστῳ καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρει, 22 καὶ τὰ μὲν λάφυρα τῇ αὐτοῦ στρατιᾷ διανέμει, τὴν δὲ Ἄλκηστιν τῷ Ἀδμήτῳ παραδίδωσι· διὸ καὶ λέγεται, ὡς ἐντυχὼν Ἡρακλῆς ἐκ τοῦ θανάτου ἐρρύσατο τὴν Ἄλκηστιν.

XXII. *Περὶ Ἀλκμαίωνος τοῦ ἐξ Ἀμφιάρεω.*

Ἀλκμαίων, ὁ ἐξ Ἀμφιάρεω καὶ Ἐριφύλης, τὴν μητέρα κτανὼν χόλῳ τῷ ὑπὲρ τοῦ πατρὸς ὁμοίως Ὀρέστῃ καὶ διὰ τοῦτο μανίᾳ περιπεσών, καθὰ καὶ ἐκεῖνος, εἶτα τοῦ μεμηνέναι ἀπαλλαγείς, καὶ εὐχόμενος μηκέτι ταὐτὸ παθεῖν, καὶ ἀκούσας ἐξ Ἀπόλλωνος τὸ

XXII. Eustath. Od. p. 1697

---

4 ἀποκτείνειν F ἀποκτεινεῖν PV 7 μὲν om. PV 9 Post Ἀδμήτου verba τοιοῦτο μέντοι οὐκ ἐγένετο, ὡς ὁ μῦθός φησι add. F 15 αὐτοῦ F αὐτοῦ P

τιμῆέν μ' αἰτεῖς δῶρον μανίης ἀποπαῦσαι.
καὶ σὺ φέρειν τιμῆεν ἐμοὶ γέρας, ᾧποτε μήτηρ
Ἀμφιάραον ἔκρυψ' ὑπὸ γῆν αὐτοῖσι σὺν ἵπποις,

ἔδωκε τὸν ζητηθέντα χρύσειον ὅρμον τῆς Ἐριφύλης καὶ ἀπηλλάγη.

XXIII. *Περὶ Ἀμφιαράου.*

Ἀμφιάραος μάντις ἦν ἄριστος, υἱὸς Οἰκλέος· ὃς γήμας Ἐριφύλην γυναῖκα, οὐ μόνον καλήν, ἀλλὰ καί, ὡς εἰκός, συνετήν, θυγατέρα Ταλαοῦ, ἀδελφοῦ Ἀδράστου, καὶ διενεχθείς ποτε πρὸς Ἄδραστον, εἶτα διαλυθείς, συνέθετο ὑπὲρ ὧν ἂν εἰς τὸ μέλλον διαφέρωνται αὐτοί, κρίνειν αἱρετῶς τὴν Ἐριφύλην αὐτοῖς, καὶ αὐτοὺς στοιχεῖν τοῖς κριθεῖσι. τῆς οὖν ἐπὶ Θήβας στρατείας προκειμένης, Ἀμφιάραος μὲν ἐκώλυεν, εἰδὼς τὸ ἐσόμενον, Ἄδραστος δὲ ἤθελε μάχην. Ἐριφύλη δέ, δώροις προληφθεῖσα (τὰ δὲ ἦν, ὅρμος χρύσεος δοθεὶς αὐτῇ παρὰ Πολυνείκους ἢ Ἀδράστου) καὶ αἱρεθεῖσα εἰς κρίσιν ἔκρινε δεῖν εἶναι στρατεύσασθαι τοὺς Ἀργείους· καὶ ὁ Ἀμφιάραος πολλὰ τὴν γυναῖκα μεμψάμενος ἐξώρμησεν ὅμως καὶ αὐτὸς εἰς πόλεμον· τῷ δέ γε υἱῷ Ἀλκμαίωνι, ὃν Πίνδαρος Ἀλκμᾶνα καλεῖ, ἐπέταξεν, ὁπότ' ἂν ἡβήσῃ, μὴ πρότερον μετὰ τῶν Ἐπιγόνων εἰς Θήβας ἐλθεῖν, πριν ἢ κτεῖναι τὴν μητέρα· ὃ καὶ ποιήσας ὁ Ἀλκμαίων, ἐτιμωρήθη μὲν παρὰ

XXIII. Eustath. Od. p. 1689. V. Eud. p. 161

---

1 Sic F *τιμῆς μ'* PV Cf. Athen. VI p. 232 3 *γαῖαν* FP corr. V 5 *ἀπηλ-λάγη* P *ἀπελλάγη* V 11 *κρίνει* P corr. V 12 *αὐτοὺς* P *αὑτοὺς* V 14 *ἐσόμενος* P corr. V 20 Pyth. VIII, 46

Ἐριννύων, καθὰ καὶ Ὀρέστης, ἀπελύθη δὲ αὖθις, οἷα τιμωρήσας πατρί· διὸ στυγερὰν τὴν Ἐριφύλην καὶ ὁ ποιητὴς καλεῖ ἐν τῷ τῆς Ὀδυσσείας Λ, ἣ χρυσόν, φησί, φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα· ἤγουν ἐδωροδοκήθη κατὰ τοῦ ἀνδρός, ἢ καὶ ἄλλως χρυσὸν ἔλαβεν ἀντὶ τοῦ ἀνδρός, ὡς οἷον ἀπεμπολήσασα ἐκεῖνον ὅρμου χρυσοῦ.

XXIII[b]. *Καὶ ἄλλως περὶ αὐτοῦ.* 23

Ἀμφιάραον φιλεῖν ὁ Ζεὺς λέγεται, ὡς βασιλικὸν ἄνδρα καὶ διὰ τοῦτο διογενῆ καὶ διοτρεφῆ, ὥσπερ καὶ Ἀπόλλων ὡς μάντιν· ὅντινα ἐκ Θηβῶν ἐπανιόντα, ὁπότε ἡ γῆ λέγεται αὐτῷ διασχεῖν, τὸ τοῖν δυοῖν ἅρμα ἵπποιν (τὸ γὰρ ἐπὶ τεσσάρων οὔπω ἦν εὑρημένον) φέρει, ὡς μαντεύοιτο ἐν τῇ Ἀττικῇ, καὶ ἀληθεύοι σοφὸς ἐν πανσόφοις. ἑπτὰ οὗτοι Πολυνείκει τῷ Θηβαίῳ τὴν ἀρχὴν κατακτώμενοι, οὐδεὶς ἐνόστησε πλὴν Ἀδράστου καὶ Ἀμφιαράου· τοὺς δὲ λοιποὺς ἡ Καδμεία κατέσχεν· ἀπώλοντο δὲ οἱ μὲν ἄλλοι δόρασι καὶ λίθοις καὶ πελέκεσι· Καπανεὺς δὲ λέγεται κεραυνῷ βληθῆναι, πρότερος μέν, ὡς λέγεται, κόμπῳ βαλὼν τὸν Δία. οὗτοι μὲν οὖν ἑτέρου λόγου· εἰς δὲ τὸν Ἀμφιάραον ἐπανιτέον, φεύγοντα κατὰ τῆς γῆς αὐτοῖς στέμμασι καὶ αὐτῇ δάφνῃ. οὗτος γὰρ τὰ μὲν ἄλλα ὥπλισται· μόνου δὲ ἀμελεῖ κράνους, ἀνιεὶς τὴν κεφαλὴν Ἀπόλλωνι, βλέπων ἱερὸν καὶ χρησμῶδες.

XXIII[b]. Eustath. Od. p. 1780 *ὅντινα ἐκ Θηβῶν* — exit. Philostrat. Imag. I, 27

3 *ἐν τῷ* P *ἐν τῇ* V *ἐν τῇ τῆς Ὀδυσσείας λ* om. F Od. XI, 326 10 *Ἀπόλλων* F *τὸν Ἀπόλλωνα* sensu perturbato PV

XXIV. *Περὶ Ἀγαμέμνονος.*

Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης, κατὰ δὲ Ἡσίοδον Πλεισθένους, τὸ γένος Μυκηναῖος· ὃς ἤγαγε ναῦς εἰς Ἴλιον· ἐκπορθήσας δὲ ταύτην οὐδενὸς τῶν ἀρίστων ἥττων ἐφάνη· σεμνὸς γὰρ καὶ μεγαλοπρεπὴς ὁ ἀνήρ, καὶ ὁπόσα εἰς βασιλέα ἧκε, πράττων. μετὰ δὲ τὴν Τροίας ἅλωσιν οἴκαδε ὑποστρέψας, ἀναιρεῖται ὑπὸ Αἰγίσθου τοῦ Θυέστου δόλῳ ἐπ' εὐωχίᾳ· οὗτος γὰρ περὶ τὸν καιρὸν τῆς ἀποδημίας ἐμοίχευε τὴν Ἀγαμέμνονος γυναῖκα Κλυταιμνήστραν. κατὰ δὲ τοὺς τραγικοὺς αὐτὴ ἡ Κλυταιμνήστρα ἀνεῖλεν αὐτόν, χιτῶνι μὴ ἔχοντι ἔκδυσιν τραχήλου. ἐξ αὐτῆς δὲ ἔσχεν υἱὸν τὸν Ὀρέστην, καὶ θυγατέρας τέσσαρας, Λαοδίκην, Χρυσόθεμιν, Ἰφιγένειαν καὶ Ἠλέκτραν.

XXV. *Περὶ Ἀγήνορος.*

Ἀγήνωρ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου· τῶν δὲ γίνονται Φοῖνιξ καὶ Ἰσαίη, ἣν ἴσχει Αἴγυπτος, καὶ Μελία, ἣν ἴσχει Δαναός. ἔπειτεν ἴσχει Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ· τῶν δὲ γίνεται Κάδμος.

24 XXVI. *Περὶ Ἀγκαίου.*

Ἀγκαῖος φιλογέωργος ὢν καὶ φυτεύων ἀμπελῶνα βαρὺς ἐπέκειτο τοῖς οἰκέταις· εἷς δὲ τῶν οἰκετῶν ἔφη,

XXIV. Schol. Ven. Il. I, 7 V. Eud. p. 316 *οὐδενὸς τῶν ἀρίστων — πράττων* Philostrat. Her. VI XXV. Schol. Apoll. III, 1186, ubi verba Pherecydis sunt XXVI. Schol. Apoll. I, 188 (Zenob. V, 71).

---

2 fr. 105 Goettl. 17 *ἔπειτεν* F *ἔπειτα ἣν* perperam PV 18 *τῶν δὲ* F *τοῦ δὲ* PV

μη μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. ὁ δὲ Ἀγκαῖος, ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύγα καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. μέλλων δὲ τὸν κύλικα προσφέρειν τῷ στόματι ὑπέμνησεν αὐτὸν τοῦ λόγου, ὁ δὲ ἔφη· πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων, ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον· ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν ἐπὶ τὸν σῦν ὥρμησε, καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησε. καὶ Φερεκύδης ἐν τῇ ὀγδόῃ φησί, τὸν Ἀγκαῖον ὑπὸ Καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν ἀποθανεῖν.

XXVII. *Περὶ Ἀδώνιδος.*

Ἄδωνις ὁ Κύπριος κατά τινας Κινύρου παῖς ἦν, τοῦ Κυπρίων βασιλέως, καὶ οὐ Θείαντος· ἐξ οὗ Ἀφροδίτη γεννᾷ Πρίαπον, δυσειδῆ καὶ βαθυαίδοιον· ἡ γὰρ Ἥρα, ἐγκύου οὔσης αὐτῆς, μεμαγευμένῃ χειρὶ ἁψαμένη, τοιοῦτον ἐποίησε γεννῆσαι. [καὶ τὸν θεὰ κλαυσθέντα] [αἱ Μοῦσαι τῇ πρὸς Ἀφροδίτην ὀργῇ φερόμεναι, ὅτι πολλὰς αὐτῶν ἐποίησεν ἀνδράσι μιγῆναι, καὶ τεκεῖν, οἷον Καλλιόπην ἐξ Οἰάγρου τεκεῖν Ὀρφέα καὶ Κυμόθωνα, Τερψιχόρην ἐκ Στρύμονος Ῥῆσον, Κλειὼ δὲ ἐκ Μάγνητος Λῖνον.] Ἄρης ὁ θεὸς ἀντεραστὴς ὢν Ἀφροδίτης, εἴτε μεταμορφώσας ἑαυτὸν πρὸς

XXVII. Tzetzes Lyc. 831 *ἐν δὲ τοῖς Ἀδωνίος* — exit. Hesych. v. *Ἀδώνιδος κῆποι*

---

5 *πολλὰ* F *πουλοὺ* PV 9 fr. 27 Sturz. 12 *Κιννύρου* P corr. V 15 *ἐγγύου* P corr. V 16 *καὶ τὸν θεὰ κλαυθέντα* lemma scholii, quod in F suscipiunt verba *μουσόφθαρτον δὲ εἶπεν, ὅτι* lemma et sequens scholii pars interpolatori debentur 20 *Τερψιχώρη* P corr. V

χοίρου μορφήν, εἴτε πρὸς χοῖρον ὁρμήσαντα τὸν Ἄδωνιν, αὐτὸς ἐναντίος ἐλθὼν αὐτὸν ἀναιρεῖ· καὶ τὸ μὲν Ἀδώνιδος αἷμα καταρρεῦσαν τὴν ἀνεμώνην, λευκὴν οὖσαν πρότερον, ἐρυθρὰν ἀπειργάσατο· περὶ γὰρ ἀνεμώνην πεσεῖν τὸν Ἄδωνιν ἔτυχεν. Ἀφροδίτη δὲ τὸ πάθος μαθοῦσα, γυμνοῖς περιτρέχουσα τοῖς ποσίν, ἐλεεινὸν ὠλοφύρετο· ἀκάνθοις δὲ αὐτὴ ῥοδωνιᾶς ἐμπαγεῖσα, τῷ καταρρεύσαντι αἵματι τὸ ῥόδον ἐρυθρὸν ἀπειργάσατο. ἐν δὲ τοῖς Ἀδωνίοις εἴδωλα ἐξάγουσι καὶ κήπους ἐπ' ὀστράκων, καὶ παντοδαπὴν ὀπώραν· οἷον ἐκ μαράθρων καὶ θριδάκων περισκευάζουσιν αὐτῷ τοὺς κήπους· καὶ γὰρ ἐν θριδακίναις αὐτὸν κατακλινθῆναι ὑπὸ Ἀφροδίτης φασίν.

XXVII[b]. *Περὶ Ἀδώνιδος κήπων καὶ δένδρων Ταντάλου.*

Ἀδώνιδος κήπου καὶ δένδρων Ταντάλου πολλὴ διαφορά· διὸ τοῦτο μὲν παροιμία ἐπὶ τῶν ἀκερδῶν
25 *τίθεται, ἐκεῖνο δὲ ἐπὶ τῶν ἀκάρπων καὶ ὠκυμόρων. κῆποι γὰρ Ἀδώνιδος, φυταρία τὰ ταχὺ ἀναθάλλοντα ἔσω χύτρας ἢ ἀρρίχου, καὶ ὅλως κοφίνου τινός, καὶ αὐτίκα ῥιπτόμενα κατὰ θαλάσσης, καὶ ἀφανιζόμενα, καθ' ὁμοιότητά τινα τοῦ κατὰ τὸν ὠκύμορον Ἄδωνιν θανάτου. ὃς ἀνθήσας νεοτήσιον ταχὺ ἀπήνθησε, κατα-*

XXVII[b]. Eustath. Od. p. 1701

---

1 *ὁρμήσαντα* F *ὡρμήσαντα* P *ὡρμήσας* V 3 *ἀνεμόνην* ubique P corr. V 4 *περὶ γὰρ* F *περὶ δ'* PV, unde corrigas adnot. Mülleri 14 *κήπου* F *κήπων* PV 15 *διὸ* F *διὰ* PV

βληθεὶς ὑπ' Ἄρεως· γυναῖκες δὲ τοὺς τοιούτους τημελοῦσαι κήπους ὡσίουν ἐπιταφίους Ἀδώνιδι.

XXVIII. Περὶ Ἀθάμαντος.

Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχε, Φρίξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην, θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη· ζηλοτυπήσασα οὖν ἡ Νεφέλη, ἀπέπτη εἰς οὐρανόν, καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλασε· πέπομφεν οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας, ἔρεσθαι περὶ αὐχμοῦ. ἡ δὲ γυνὴ αὐτοῦ, θέλουσα Φρίξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσαιεν παῖδας. ἀκούσας οὖν Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων· εἷς οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος λέγει Φρίξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη, πεσοῦσα ἀπὸ τοῦ κριοῦ· ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλλήσποντος κέκληται [ὁ πορθμὸς ὁ παρὰ τοῖς βασιλείοις διαυλωνιζόμενος], Φρίξος δέ, ἐποχούμενος τῷ κριῷ, εἰς τὴν τῶν Κόλχων γῆν περισώζεται· ἔνθα καὶ τὸν κριόν, ὃς ὑπὸ θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ. καὶ κατοικήσας αὐτόθι τοὔνομα καταλέλοιπε τῷ τόπῳ· ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ

XXVIII. Schol. Ar. Nub. 257 ὁ πορθμὸς ὁ παρὰ τοῖς βασιλείοις διαυλωνιζόμενος om. Schol., addidit librarius V. Eud. p. 420

---

1 Ἄρεος P corr. V 19 Sic correxi, διαυλονιζόμενος PV

ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενος, ὑπὸ Ἡρακλέους σέσωσται· οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκεν Ἀθάμαντα στεφανηφοροῦντα, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενον περὶ Φρίξου. τινὲς δὲ τοῦτο πρὸς ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενοι λέγουσιν· ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διός, σφαγιασθησόμενον· μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτόν, παραγενόμενον Ἡρακλέα καὶ τοῦ θανάτου ῥυόμενον, λέγοντα, ὡς σῴζοιτο ὁ Φρίξος, δι' ὃν ἔμελλεν ἐκεῖνον τεθνήξεσθαι.

26 XXIX. Περὶ Ἄκμωνος.

Ἄκμων ὁ τοῦ Οὐρανοῦ πατὴρ λέγεται διὰ τὸ ἀκάματον τῆς οὐρανοῦ κινήσεως· ἀφ' ἧς ἐννοίας καὶ ὁ Ἄτλας εἴρηται· καὶ ὅτι Ἀκμονίδαι, δηλοῦσιν οἱ παλαιοί. ὡς δὲ ἄκμων ὁ Οὐρανός, ὁ Ἀλκμὰν ἱστορεῖ.

XXX. [Περὶ Αἴαντος τοῦ Λοκροῦ.

Αἴαντα] τὸν Λοκρὸν τὰ μὲν πολεμικά φασι γενέσθαι κατὰ Διομήδη τε καὶ Σθένελον· συνετὸν δὲ ἧττον δόξαι, προσέχειν τε οὐδὲν τῷ Ἀγαμέμνονι· πατρός τε γὰρ εἶναι Λοκρῶν δυνατωτάτου, στρατιάν τε οὐκ ἀφανῆ ἄγειν, οὐδὲ δουλεύσειν ποτὲ ἑκόντα, οὔτ' ἂν Ἀτρείδαις, οὔτ' ἄλλῳ οὐδενί, ἔστ' ἂν ἥδ' ἀστράπτῃ,

XXIX. Eustath. Il. p. 1154 XXX. Philostrat. Her. VIII

---

1 αὐτῇ P corr. V 3 σέσωσται F σέσωσθαι P σέσωται V 7 Nauck fr. trag. p. 103 16 fr. 111 Bergk φασί ante ἱστορεῖ inseruit F

τὴν αἰχμὴν δεικνύς· ταῦτα ἔλεγε γοργὸν βλέπων καὶ ἀναχαιτίζων τὴν κόμην ὑπὸ τοῦ τῆς γνώμης ἑτοίμου. καὶ τοὺς μὲν ἄλλους ἔφασκεν, ὅσοι προσεῖχον τῷ Ἀγαμέμνονι, ὑπὲρ τῆς Ἑλένης ἥκειν, ἑαυτὸν δὲ ὑπὲρ τῆς Εὐρώπης· δεῖν γὰρ Ἕλληνας ὄντας κρατεῖν βαρβάρων. εἶναι δὲ αὐτῷ καὶ χειροήθη φασὶ δράκοντα, πεντάπηχυν τὸ μῆκος, ὃν συμπίνειν τε καὶ συνεῖναι αὐτῷ καὶ ὁδῶν ἡγεῖσθαι καὶ συνακολουθεῖν, οἷον κύνα. τὴν δὲ Κασάνδραν ἀποσπᾶσαι μὲν ἀπὸ τοῦ τῆς Ἀθηνᾶς ναοῦ, προσκειμένην τῷ Παλλαδίῳ καὶ ἱκετεύουσαν, τινὲς ἱστοροῦσιν, οὐ μὴν βιάσασθαι, οὐδὲ ὑβρίσαι εἰς αὐτήν, ἀλλὰ ἐπαγαγεῖν μὲν εἰς ἑαυτοῦ σκηνήν· τὸν δὲ Ἀγαμέμνονα ἰδόντα τὴν Κασάνδραν, ἁλῶναί τε δὴ αὐτίκα τῆς κόρης, καὶ ἀφελέσθαι αὐτὴν τὸν Αἴαντα. ἔριδός τε αὐτοῖς μερισμῷ γενομένης, ὁ μὲν ἠξίου ἑαυτοῦ εἶναι, ἃ εἷλεν, ὁ δὲ οὔτ' ἀπεδίδου καὶ ἀσεβῆσαι αὐτὸν ἐς τὴν Ἀθηνᾶν ἔλεγε. ἐπέμποντο δὲ ὑπὸ τοῦ Ἀγαμέμνονος καὶ λογοποιοὶ εἰς τὸ Ἑλληνικόν, διὰ τὸ ἀεὶ πρὸς τὸν Αἴαντα ἔχθος τὴν θεὰν πολλὰ καὶ ἄτοπα ἐπισημαίνειν ὑπὲρ τῆς κόρης, καὶ ἀπωθεῖσθαι τὴν στρατιάν, εἰ μὴ ἀπολέσειεν αὐτόν. ὁ δ' ἐνθυμηθείς, ὅπως Αἴαντα μὲν ἀπώλεσεν ἄδικος κρίσις, Παλαμήδη δὲ οὐδὲν ἡ σοφία ὤνησε τὸ μὴ οὐκ ἀποθανεῖν διαβληθέντα, ἀποδρᾶναι νύκτωρ ἐν πορθμείῳ οὐ μεγάλῳ, χειμῶνός τε γενομένου, ὅτε δὴ πλέων εὐθὺ Τήνου τε καὶ Ἄνδρου πρὸς Γυραῖς κατεποντώθη. ἀγγελίας δὲ τοῦ θανάτου εἰς τοὺς Ἀχαι-

---

9 *Κασάνδραν* omnibus locis FP *Κασσάνδραν* V 15 *ἐν τῷ δασμῷ* F 21 *ἀπολέσειεν* P *ἀπωλέσειεν* V 24 Post *ἀποδρᾶναι* vocabulum *λέγεται* add. V 27 *πάθους* F

οὺς ἐλθούσης, ὀλίγους μὲν αὐτῶν σίτου ἅψασθαι, πάντας δέ, ὡς ἐπὶ ἀνδρὶ γενναίῳ τε καὶ ἀγαθῷ, χεῖρας ἄρασθαι, προσεσχηκότας τε τῇ θαλάσσῃ ἀνακαλεῖν αὐ-
27 *τὸν καὶ ὀλοφύρεσθαι καὶ τὸν Ἀγαμέμνονα ἐν ὀργῇ ἔχειν, ὡς αἰτίαν τῆς τοῦ Αἴαντος ἀπολείας.*

XXX^b. *Καὶ ἄλλως περὶ αὐτοῦ.*

Αἴας ὁ Λοκρὸς ἐν τῇ ἁλώσει τῆς Τροίας καταφυγοῦσαν Κασάνδραν ἐν τῷ ναῷ, καὶ τοῦ Παλλαδίου τῆς Ἀθηνᾶς ἐχομένην ἀπέσπασε, καὶ αὐτόθι αὐτῇ συνεγένετο. ὀργισθεῖσα δὲ ἡ Ἀθηνᾶ τοῦτον ἐν τῇ θαλάσσῃ σὺν πολλοῖς ἑτέροις ἀνεῖλεν. οὕτω μὲν οἱ πολλοί φασι· τὸ δὲ ἀληθὲς οὕτως ἔχει. καταφυγοῦσαν αὐτὴν ἀπέσπασε τοῦ ναοῦ· καὶ ἔσχηκεν αὐτὴν λεῖαν, καθάπερ ἑτέρας οἱ λοιποὶ στρατηλάται, ἃς ἔφθασεν ἕκαστος ἁρπάσαι. ἐρασθεὶς δὲ ταύτης ὁ Ἀγαμέμνων τῷ Ὀδυσσεῖ τοῦτο κοινοῦται· ὁ δὲ κηρύσσει, ὡς Αἴας ἐν τῷ ναῷ ταύτῃ ἐμίγη. συνέβη γοῦν, ἀφαιρεθῆναι αὐτὴν οὕτως ὑπὸ Ἀγαμέμνονος καὶ μισηθῆναι τὸν στρατηγὸν Αἴαντα ὑπὸ τοῦ ἀλογίστου πλήθους καὶ σύρφακος. εἰς δὲ νοῦν θέμενος ὁ ἀνὴρ τὴν πρότερον εἰς Ἀχιλλέα ὕβριν, ὡς ἀφῃρέθη τὴν Ἱπποδάμειαν Βρισηΐδα, ἔτι δὲ λογισάμενος καὶ τοῦ Παλαμήδους τὸν ἄδικον θάνατον, καὶ φοβηθεὶς μήπως καὶ αὐτὸν δόλῳ ἀνέλωσιν, ἐπιβὰς τῆς

XXX^b. Tzetzes Lyc. 365

2 *γενναίῳ τε καὶ* om. F 5 *ἀπωλείας* PV 8 *αὐτῇ* F *ταύτῃ* PV 12 *ἀπέσπασε* F *ἀνέσπασε* PV *ἔσχηκεν αὐτὴν λεῖαν* F *ἔσχησε τὴν λείαν* PV 13 *οἱ πολλοὶ στρατηλάται* F *οἱ πολλοὶ στρατιῶται* PV 17 *τὸν στρατηγὸν Αἴαντα* addidi ex F om. PV

νεὼς ἐν ἀπροσφόρῳ καὶ χειμερίῳ καιρῷ, ἐναντίων ἀνέμων πνευσάντων, περὶ τὴν Τῆνον καὶ Μύκονον ναυαγεῖ, ἢ περὶ Ἄνδρον. καὶ τῆς νεὼς πρὸς τὰς πέτρας λυθείσης, μέχρι τινὸς ὁ ἀνὴρ γενναίως νηξάμενος περὶ τὰς Γυραίας μέτρας ἐσώθη· μεγάλων δὲ τῶν κυμάτων ἐπερχομένων συνεχεστέρως, σὺν μέρει τῆς πέτρας ἀποκοπέντι πρὸς τὴν θάλασσαν αὖθις κατενεχθεὶς ἀπεπνίγη. μαθοῦσα δὲ ἡ Λοκρὶς ἅπασα τὸ συμβάν, ἐπὶ χρόνου ὅλου μελανοφοροῦσα τὸν ἄνδρα ἐπένθησε· καὶ ἐτησίως ὁλκάδα πληροῦσα θυσιῶν μεγαλοπρεπῶν καὶ πῦρ ἐμβάλλουσα, τῇ ὁλκάδι ἐξαρτῶσα ἀρτεμώνιον ἱστίον αὐχένων χωρίς, ἔπεμπε πρὸς τὸ πέλαγος κατακαίεσθαι θυσίαν τῷ ἥρωϊ.

XXXI. Περὶ Αἴαντος τοῦ Τελαμωνίου.

Αἴαντα δὲ τὸν Τελαμῶνος ἐκάλουν οἱ Ἀχαιοὶ μέγαν οὐκ ἀπὸ τοῦ μεγέθους, οὐδ' ἐπειδὴ μείων ὁ ἕτερος, ἀλλ' ἀφ' ὧν ἔπραττε. καὶ ἐποιοῦντο αὐτὸν σύμβουλον τοῦ πολέμου ἀγαθὸν ἐκ πατρῴου ἔργου· τὸν γὰρ Λαομέδοντα τὸν Ἡρακλῆ ἀπατήσαντα μετεξῆλθε σὺν Ἡρακλεῖ ὁ Τελαμών, καὶ σὺν αὐτῷ τὸ Ἴλιον εἷλεν. ἔχαιρον μὲν οὖν αὐτῷ καὶ ἀόπλῳ· πελώριος γάρ τις ἦν καὶ ὑπὲρ τὴν στρατιὰν πᾶσαν, καὶ φρόνημα αἴρων εὐήνιόν τε καὶ σῶφρον· ὡπλισμένου 28 δὲ ἐξεκρέμαντο, μετέωρόν τε βαίνοντος ἐπὶ τοὺς Τρῶας καὶ τὴν ἀσπίδα εὖ μεταχειριζομένου, τοσαύτην οὖσαν,

XXXI. Philostrat. Her. XII.

---

5 Γυραίας F Γηραίας PV ἐσώθη F ἔσωσε PV 11 ἐμβαλοῦσα P corr. V 12 ἀρτεμώνιον PV τε μέλαν F 18 ἀπαντήσαντα P corr. V μετῆλθε F

βλέποντός τε χαροποῖς τοῖς ὀφθαλμοῖς ὑπὸ τὴν κόρυν, οἷον οἱ λέοντες ἐν ἀναβολῇ τοῦ ὁρμῆσαι· τὰς μάχας δὲ πρὸς τοὺς ἀρίστους ἐποιεῖτο Λυκίους μὲν [γὰρ] καὶ Μυσοὺς καὶ Παίονας, ἀριθμοῦ φάσκων ἕνεκα εἰς Τροίαν ἥκειν· τοὺς δὲ τούτων ἡγεμόνας ἀξιομάχους τε ἡγούμενος, καὶ οἵους ἀποκτείναντι μὲν ὄνομα δοῦναι, τρωθέντι δὲ οὐκ ἄδοξον τραῦμα· πολέμιόν τε ἑλών, ἀπείχετο τῶν ὅπλων· τὸ μὲν γὰρ ἀποκτείνειν ἀνδρὸς εἶναι. τὸ δὲ σκυλεύειν λωποδύτου μᾶλλον. ἀκόλαστον δὲ οὐδὲν οὐδὲ ὑβριστικὸν ἐφθέγξατο ἂν οὐδεὶς ἐν ἐπηκόῳ τοῦ Αἴαντος, οὐδὲ ὁπόσοις ἦν διαφορὰ πρὸς ἀλλήλους, ἀλλὰ καὶ θάκων ὑπανίσταντο αὐτῷ καὶ ὁδῶν ὑπεξίσταντο, οὐχ οἱ πολλοὶ μόνον, ἀλλὰ καὶ οἱ τῆς εὐδοκίμου μοίρας. πρὸς δὲ Ἀχιλλέα φιλία ἦν αὐτῷ, καὶ βασκαίνειν ἀλλήλοις οὔτε ἐβούλοντο οὔτε ἐπεφύκεσαν· τάς τε λύπας, ὁπόσαι περὶ τὸν Ἀχιλλέα, εἰ καὶ μὴ μικρῶν ἕνεκα ἐγίγνοντο, πάσας ἐπράϋνε, τὰς μέν, ὡς ἂν συναλγῶν τις, τὰς δέ, οἷον ἐπιπλήττων. ἔφασαν δὲ αὐτὸν καὶ τρόφιμον τοῦ Ἡρακλέους εἶναι, καὶ βρέφος ὄντα ἐνειληθῆναι τῇ λεοντῇ τοῦ ἥρωος, ὅτε ἀνασχὼν αὐτὸν τῷ Διὶ ἀνάλωτον ᾔτει γενέσθαι κατὰ τὴν δορὰν τοῦ λέοντος, ἀετός τε εὐξαμένῳ ἀφίκετο, φέρων ἐκ Διὸς τῷ μὲν παιδὶ ὄνομα, ταῖς δὲ εὐχαῖς νεῦμα. μανέντα δὲ αὐτὸν οἱ μὲν Τρῶες ἔδεισαν πλεῖον, ἢ εἰώθεσαν, μὴ προσβαλὼν τῷ τείχει ῥήξῃ αὐτό. καὶ ηὔχοντο Ποσειδῶνί τε καὶ Ἀπόλλωνι, ἐπειδὴ εἰς τὸ τεῖχος ἐθήτευσαν, προβεβλῆσθαι τῶν Περγάμων τοῦ ἄστεος καὶ σχεῖν τὸν Αἴαντα, εἰ τῶν

---

7 πολέμιόν τε F πόλεμόν τε PV 3 γὰρ om. F

ἐπάλξεων ἅπτοιτο· οἱ δὲ Ἕλληνες οὐκ ἐπαύοντο ἀγαπῶντες αὐτόν, ἀλλὰ πένθος τε τὴν τοῦ Αἴαντος μανίαν ἐποιοῦντο καὶ τὰ μαντεῖα ἱκέτευον χρῆσαι, πῶς ἂν μεταβάλοιτο καὶ ἐς νοῦν ἔλθοι. ὁ δὲ τοῦ θανάτου λόγος, ὃν ὑφ' αὑτοῦ ἀποσφαγεὶς ἀπέθανεν, ἀληθὴς μέν, ἐλεεινὸς δὲ καὶ Ὀδυσσεῖ τάχα. ἐπεὶ δὲ ἀποθανόντα εἶδον καὶ περὶ τῷ ξίφει κείμενον, ᾤμωξαν μὲν οὕτως ἀθρόον, ὡς ἀνήκοοι γενέσθαι μηδὲ τῷ Ἰλίῳ· προὔθεντο δὲ Ἀθηναῖοι τὸ σῶμα, καὶ Μενεσθεὺς ἐπ' αὐτῷ λόγον ἠγόρευσεν, ᾧ νομίζουσιν Ἀθήνησι τιμᾶν τοὺς ἐκ τῶν πολέμων τελευτῶντας· ὁ δ' Ὀδυσσεὺς προσκειμένῳ τῷ Αἴαντι τὰ ὅπλα ἐπενεγκὼν τοῦ Ἀχιλλέως καὶ δακρύσας „θάπτου τοι," ἔφη, „ἐν οἷς ἠγάπησας, καὶ τὴν νίκην τὴν ἐπ' αὐτοῖς ἔχε μηδὲν ἐς μῆνιν βαλόμενος."

XXXII. *Περὶ Αἰγαίωνος.* 29

Αἰγαίωνα, ὁ μὲν Ἡσίοδος Οὐρανοῦ καὶ Γῆς παῖδα φησί· Βριάρεως δὲ καὶ Αἰγαίων καὶ Γύγης ὁ αὐτὸς λέγεται συνωνύμως. Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ τὸν Αἰγαίωνα Γῆς καὶ Πόντου φησί· κατοικοῦντα δὲ ἐν τῇ θαλάττῃ τοῖς Τιτᾶσι συμμαχεῖν· καὶ Ἴων φησίν Διθυράμβῳ, ἐκ μὲν τοῦ πελάγους αὐτὸν παρακληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι, φυλάξοντα τὸν Δία, Θαλάσ-

XXXII. Schol. Apoll. I, 1165 *καὶ Αἰγαίων — τιμᾶσθαι* Tzetzes Lyc. 135. V. Eud. p. 91. *ὁ δὲ Κόνων* — exit. Schol. Apoll. l. c.

---

4 *ὁ δὲ — τάχα* om. F 5 *αὑτοῦ* P *αὐτοῦ* V 8 *μὴδὲ* perperam PV 9 *Ἀθήνησι* FP *Ἀθηναῖοι* V 15 *βαλόμενος* F *βαλλόμενος* PV 18 *Εὔμηλος* F *Εὔμολος* PV 19 Kinkel Epic. fr. I, p. 6 20 fr. 11 Bergk

σης δὲ παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. Ταρραῖος δέ φησιν, ὅτι γίγας ὢν καὶ φυγὼν ἐκ τῆς Εὐβοίας ἀφίκετο ἐς Φρυγίαν κἀκεῖ ἐτελεύτησεν. καὶ Αἰγαίων ὁ Ποσειδών, ἀπὸ τοῦ ἐν ταῖς Αἰγαῖς, πόλει τῆς Ἀχαίας, καὶ ἐν τῷ Αἰγαίῳ πελάγει τιμᾶσθαι. ὁ δὲ Κόνων ἐν τῇ Ἡρακλείᾳ φησίν, ὅτι καταγωνισθεὶς ὁ Αἰγαίων ὑπὸ Ποσειδῶνος κατεποντίσθη εἰς τὸ λεγόμενον ὑπὸ Ἀπολλωνίου ἠρίον Αἰγαίωνος.

XXXIII. Περὶ τοῦ αἰγιόχου Διός.

Αἰγίοχος Ζεὺς ἢ αἰγιοῦχος κατὰ μὲν μῦθον ὁ μετὰ γέννησιν τὴν ἐν Κρήτῃ ὑπὸ αἰγὸς εὑρηκὼς τὴν ὀχήν, δηλονότι τὴν τροφήν, ὁπηνίκα τὸν παιδοβρῶτα πατέρα Κρόνον ἐκρύπτετο· ἧς αἰγὸς τὸ κέρας τῇ Ἀμαλθείᾳ δοθῆναι λέγεται. ἢ καὶ ἄλλως· αἰγίοχος Ζεὺς ὁ ἔχων τὴν αἰγίδα, τουτέστι τὸ δέρμα τῆς ῥηθείσης αἰγός, ἣν ἐθήλασεν· ἔφερε γὰρ αὐτήν, φασίν, ἐναπτόμενος εἰς μνήμην. καὶ ἔστιν αἰγίοχος, ὡς ἄν τις εἴπῃ αἰγίδοχος, ἐκπεσόντος τοῦ δ.

XXXIV. Περὶ τῆς αἰγίδος τοῦ Διός.

Αἰγὶς τοῦ Διὸς μυθικῶς κατὰ τὰς λεγομένας τραγέας, καὶ κατὰ κρᾶσιν τραγᾶς· οὕτω καὶ αὕτη εἴη ἂν

XXXIII. Eustath. Il. p. 86 XXXIV. Eustath. Il. p. 602 ἰστέον δὲ — τὴν αἰγίδα φορεῖν Eustath. Il, p. 601 αἰγὶς — exit. Etym. M. p. 27, 27

---

5 Αἰγαίῳ πελάγει reposui ex F πελάγει om. PV 6 Κόνων scripsi cum Bernhard. Lit. Gr. I[4] p. 367 et Kinkel l. c. p. 212. V. Müller fr. hist. IV, p. 368. Κιναίθων praefert Keil 8 ἠρίον Αἰγαίωνος F Ἤριον PV 9 ἢ αἰγιοῦχος om. F qui post λέγεται add. ὡς ἐν τοῖς εἰς τὸν Περιηγητὴν γέγραπται 18 τραγέας et τραγᾶς scripsi cum F τραγίας et τραγῖς PV

αἰγέη, τουτέστιν αἰγὸς δέρμα, ὅπερ Ζεὺς ἐνῆπτο εἰς ἀνάμνησιν αἰγός, ἧς αὐτός, ὡς ἄνωθεν εἴρηται, ἔσπασε τὴν θηλήν· ἀφ' ἧς καὶ ἐπεκλήθη Αἰγίοχος, ὡς εἰς ὀχήν, ἤγουν τροφήν, αὐτῇ χρησάμενος· οὕτω δὲ καὶ λεοντὴν ἢ λυκέην ἢ παρδαλέην ἐνάψεται εἰς μνήμην τινὸς πράξεως. καὶ ἄλλως δὲ ἡ τοῦ Διὸς αἰγὶς σκεύασμά τι κατὰ μῦθον· πλάττεται δὲ ἀπὸ ὕλης τιμίας αἰγιοειδές, ἤτοι μηλωτῇ ἐοικός· καὶ ὡς ἂν εὐμαθέστερόν πως κατὰ τὴν κωμῳδίαν ῥηθῇ καὶ σαφέστερον, φόρημά τι δοκεῖ σαγοειδές, θυσάνους τε ἔχον ἀπηωρημένους κατὰ τὸν κροσσωτόν· καὶ δι' ὅλου τοῦ κύτους λεπτά τινα καὶ ἰσχνὰ πηχώδη, ἐξ ὕλης καὶ αὐτὰ ὁμοίως, πρὸς ἐμφέρειαν αἰγίδος τῆς ἀληθοῦς· ὅπλον δὲ Διὸς ἡ τοιαύτη μυθικὴ αἰγίς, οὐχ οἷον ἢ βαλεῖν ἢ τραῦμα ἐντρίψαι τινί ἀλλὰ μόνον φοβῆσαι ἐν τῷ διατινάσσεσθαι καὶ ἐπισείεσθαι. καὶ αὕτη μὲν ἡ τοῦ μυθικοῦ Διὸς αἰγίς. ἰστέον δέ, ὅτι ἀμφιβάλλεται αἰγὶς Ἀθηνᾷ, εἴτε ἴδιον φόρημα τῆς Ἀθηνᾶς ἡ αἰγίς, εἴτε καὶ ὥσπερ τὸν χιτῶνα τοῦ πατρὸς Διός, οὕτω καὶ τὴν αἰγίδα ἐκείνου φορεῖ· πρὸς ὃ δοκεῖ συντελεῖν ἐνταῦθα, τὸ

Διὸς τέρας αἰγιόχοιο,

Ἰλιάδος Ε [οὔπω ἐκεῖνον τὴν αἰγίδα φορεῖν]. καὶ ἄλλως· αἰγίς, ὅπλον Διὸς ἡφαιστότευκτον, οὐχ, ὡς ἄν τινές φασιν, ἀπὸ τῆς Ἀμαλθείας αἰγός, τῆς ἀναθρεψάσης τὸν Δία, ἀλλ' ἀπὸ τοῦ τὰς συστρο-

---

2 ὡς ἄνωθεν εἴρηται om. F 4 αἰγὶ F 5 λυκέην F λυκίαν PV 8 ἀμαθέστερον perperam F 10 ἔχων P corr. V 11 τὰ κροσσωτά F κήτους P corr. V 16 αὕτη F αὐτὴ male PV 22 Il. V. 742. Verba seclusa absunt F forte per dittographiam orta 25 ἀναθρεψάσης F ἀναθρεψαμένης PV

φὰς τῶν ἀνέμων ποιεῖν κινουμένας [αἰγίδας καὶ καταιγίδας].

XXXV. Περὶ Αἰγοκέρωτος.

Αἰγόκερως ὅμοιός ἐστι τῷ Πανί· ἐξ ἐκείνου δὲ γεγονὼς ἔχει θηρίου τὰ κάτω μέρη καὶ κέρατα ἐπὶ τῇ κεφαλῇ. ἐτιμήθη δὲ διὰ τὸ σύντροφον εἶναι τῷ Διί, καθάπερ Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν φησίν, ὅτι ἐν τῇ Ἴδῃ συνῆν αὐτῷ, ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν. οὗτος δὲ δοκεῖ εὑρεῖν τὸν κόχλον, ἐν ᾧ τοὺς συμμάχους καθώπλισε διὰ τὸ τοῦ ἤχου Πανικὸν καλούμενον, ὃ οἱ Τιτᾶνες ἔφευγον· παραλαβὼν δὲ τὴν ἀρχὴν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκεν καὶ τὴν αἶγα τὴν μητέρα· διὰ δὲ τὸν κόχλον ἐν τῇ θαλάσσῃ παράσημον ἔχει ἰχθύος.

XXXVI. Περὶ Ἄϊδος κυνέης.

Ἄϊδος κυνέη ἐστί τι νέφος καὶ ἀορασία· ἢ περιφραστικῶς ἡ περικεφαλαία· ἐν αὐτῇ γὰρ τὸ πρόσωπον ἔκρυψεν ἡ Ἀθηνᾶ, διὰ τὸ μὴ ὁρᾶσθαι ὑπὸ Ἄρεως· ἢ Ἄιδος κυνέη ἀθάνατόν τι νέφος, ὃ περιβάλλονται οἱ θεοί, ὅταν θέλωσιν ἀλλήλοις μὴ γινώσκεσθαι· ἢ νεφέλη ἀφανής, ἣν ὑποδυσάμενοι οἱ θεοὶ ἀθεώρητοι

XXXV. Pseudo-Eratosth. Catast. 27 XXXVI. Etym. M. p. 42, 12 (v. Hesych. v. Ἄϊδος κυνέη) ἢ Ἄϊδος κυνέη — ἀλλήλοις Schol. Il. V, 845. καὶ Ἄϊδος κυνῆ — exit. Schol. Ar. Acharn. 365 (v. Suidas; Zenob. I, 41)

1 κινυμένην F Haec verba uncis seclusi utpote ex lemmate Etym. αἰγίδες καταιγίδες οἱ ἄνεμοι neglegenter adiecta 6 De Epimenide, qui Cretica conscripsit, v. Robert, Eratosth. Cat. rel. p. 8 et 241 9 καθώπλισε F κατώπλησε PV 11 αὐτὸν F αὐτοῖς PV

γίνονται ἀλλήλοις. [καὶ Ἄιδος, εἰς Ἄιδου.] καὶ Ἄϊδος κυνῆ παροιμία πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτούς, διά τινων μηχανημάτων· τοιαύτη καὶ ἡ τοῦ Ἅιδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γόργονα ἐδειροτόμησεν.

XXXVII. *Περὶ Αἰήτου.* 31

Αἰήτης υἱὸς ἦν Ἡλίου, ὃς θεῶν βουλῆσιν ἔγημεν Εἰδυίαν καλλιπάρῃον. γέγονε δὲ κατὰ πλεονασμὸν τοῦ ι· Ἀήτης γὰρ ἦν. Ἀπολλώνιος·

Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι.

ἔδει δὲ εἰπεῖν Αἰήτα, ὡς τοξότης τοξότα, Ὀρέστης Ὀρέστα· ἀλλ' Ἰωνικῶς ἔτρεψε τὸ α εἰς η. [καὶ αἶηται, ἄνεμοι.] Ἐπιμενίδης δέ φησι, Κορίνθιον τῷ γένει Αἰήτην, μητέρα δὲ αὐτοῦ Ἔφυραν. Διόφαντος δὲ ἐν τῇ πρώτῃ τῶν Ποντικῶν ἱστοριῶν Ἀντιόπην φησὶν Αἰήτου μητέρα· προγενέστερον δὲ τὸν Ἄψυρτον Μηδείας [καὶ] γενέσθαι [Αἰήτην] ἐξ Ἀστεροδείης τῆς Ὠκεανοῦ καὶ Τηθύος θυγατρός.

XXXVIII. *Περὶ Αἰσίμου.*

Αἴσιμος, ὁ Ἀντικλείας ἀδελφός, Σίνωνα γεννᾷ· ὃς αἰκισάμενος ἑαυτὸν πλησίον τοῦ δουρείου ἵππου

XXXVII. Schol. Apoll. III, 242. *γέγονε — ἄνεμοι* Etym. M. p. 32, 22 *Ἐπιμενίδης* — exit. Schol. Apoll. l. c. XXXVIII. Tzetzes Lyc. 344. V. Eud. p. 44

1 Lemma cum glossemate eieci 8 Argon. III, 320 10 Verba ex Etym. adscripta seclusi 12 *Ἔφυραν* F *Ἔφηραν* PV v. Kinkel I, p. 233 *Διόφαντος* scripsi cum Müller IV, p. 397 *Διοφάνης* PV 14 *Ἄψιρτον* PV 14 Verba *καὶ* et *Αἰήτην* sensu carentia om. F 15 *Ἀστεροδείης* FP *Ἀστροδείης* V 17 *Αἴσιμος* F *Αἴσημος* PV 18 *δουρείου* F *δουρίου* PV

ἐκάθητο· οἱ δὲ Ἕλληνες, ὥς φησι Τρυφιόδωρος, „πῦρ ἴδιον πλεκτῇσιν ἐνὶ κλισίῃσι βαλόντες“ πρὸς Τένεδον κατῆραν καὶ τὰς περὶ τὴν Τροίαν Καλύδνας νήσους· ἀφ' ὧν νήσων δύο δράκοντες, Πόρκης τε καὶ Χαρίβοια, διανηξάμενοι τὸν παῖδα τοῦ Λαοκόοντος ἀνεῖλον μέσον παντὸς τοῦ λαοῦ, ὅτι τῷ δόρατι βαλεῖν τὸν δούριον ἵππον ἐτόλμησε. τότε δὲ τῶν Τρώων κατελθόντων καὶ ἀπατηθέντων δόλοις τοῦ Σίνωνος, καὶ ἑλκυσάντων αὐτὸν περὶ τὴν πόλιν, καὶ μέθῃ καὶ χαρᾷ καὶ ὕπνῳ συσχεθέντων, αὐτὸς ὁ Σίνων, ὡς ἦν αὐτῷ συντεθημένον, φρυκτὸν ὑποδείξας τοῖς Ἕλλησιν, ὡς Λέσχης φησίν, ἡνίκα „νὺξ μὲν ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη“, προσκαλεῖται αὐτοὺς διὰ τοῦ φρυκτοῦ εἰς Τροίαν, καὶ εἷλον.

XXXIX. Περὶ Ἀκάστου.

Ἄκαστος Πελίου υἱός, ὃς ἔγημε Κρηθηΐδα, ἤ, ὥς τινες, Ἱππολύτην. ἡ δὲ Πηλέως ἐρασθεῖσα, αὐτὴ ὡς ἀπετύγχανε δεομένη, προλαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειρασθέντα αὐτῆς· ὁ δὲ ἐξαγαγὼν τὸν Πηλέα ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον, κατέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ Πηλίῳ, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ Ἑρμῆς, ἤ, ὥς τινες, Χείρων, ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν, ᾗ τά τε ἐπιόντα τυγ-

XXXIX. Schol. Apoll. I, 224

---

1 Versum restitui ex Tryph. 140 πῦρ ὡς εἶδον πυκταῖσιν ἐνὶ κλισίῃσι βάλλοντες PV 4 Πόρκης F Πόρκις PV 5 Λαοκόοντος FP Λαοκόωντος V 11 Ἕλλησιν et φησὶν recte P Ἕλλησι et φησὶ V 13 Kinkel I, p. 43 18 πειραθέντα P corr. V

*χάνων τῶν θηρίων ἀνῄρει, καὶ εἰς τὴν πόλιν ἐπαν-
ελθὼν τὴν Ἀκάστου γυναῖκα καὶ αὐτόν, ὥς φασί* 32
τινες, ἀνεῖλεν.

XL. *Περὶ Ἀκρισίου.*

Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος, ὡς Φερεκύδες ἐν τῷ δευτέρῳ ἱστορεῖ· τῶν δὲ γίνεται Δανάη. χρωμένῳ δὲ αὐτῷ περὶ ἄρσενος παιδὸς ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην, ἐκ δὲ τῆς θυγατρός, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι· ὁ δὲ παρελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ· ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ ὁ Ζεὺς τῆς παιδὸς ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ· ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ. ἐμφήνας δὲ αὐτὸν ὁ Ζεὺς τῇ παιδὶ μίγνυται· τῶν δὲ γίνεται Περσεύς, καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη καὶ ἡ τροφός, κρύπτουσα Ἀκρίσιον. ὅτε δὲ Περσεὺς τριετὴς ἢ τετραετὴς ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος· καὶ [διὰ τῶν θεραπόντων] μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὸ τοῦ Ἑρκίου Διὸς βωμόν· μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. ἡ δὲ ἔφη, ἐκ Διός· ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν

XL. Schol. Apoll. IV, 1091. V. Eud. p. 104.

---

5 *ἐν τῷ δευτέρῳ* proposuit Matthiae, recepit Müller fr. hist. I, p. 75 *ἐν τῷ δεκάτῳ* coni. Heynius. V. Sturz, Pher. p. 72 *ἐν τῷ δωδεκάτῳ* PV 14 *ἐκφήνας* et *αὐτὸν* P corr. V 18 Verba interclusa glossemati deberi suspicatus est Sturz.

μετὰ τοῦ παιδός· καὶ κλείσας καταποντοῖ. καὶ φερόμενοι ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον, καὶ αὐτοὺς ἐξέλκει Δίκτυς ὁ Περισθένους, δικτύῳ ἁλιεύων. εἶτα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα· ὁ δὲ ἀνοίξας καὶ μαθὼν οἵ τινές εἰσιν, ἄγει εἰς τὸν οἶκον καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας. ἦσαν γὰρ ὁ Δίκτυς καὶ ὁ Πολυδέκτης Ἀνδροθόης τῆς Κάστορος, καὶ Περισθένους τοῦ Δαμάστορος, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῳ. ἐν δὲ τοῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου προστίθησι Φερεκύδης τοῦ Ἀκρισίου, ὅτι μετὰ τὴν ἐν Σερίφῳ ἀπολίθωσιν Πολυδέκτου τοῦ σὺν αὐτῷ, τὴν ἐν τῆς Γοργόνος κεφαλῆς, Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σερίφῳ βασιλεύειν τῶν λελειμμένων Σεριφίων, αὐτὸς δὲ ἔβη πλέων εἰς Ἄργος σὺν τοῖς Κύκλωψι καὶ τῇ Δανάῃ καὶ τῇ Ἀνδρομέδᾳ. καὶ ἐλθὼν Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει· ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τοὺς Πελασγούς, εἰς Λάρισσαν. μὴ μεταλαβὼν δέ αὐτὸν τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ καὶ τὴν Ἀνδρομέδαν καὶ τοὺς Κύκλωπας, αὐτὸς δὲ ἔβη εἰς Λάρισσαν, καὶ ἀφικόμενος Ἀκρίσιον ἀναγνωρίζει καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει. καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ, καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον δισκεύει· τὸ δὲ πένταθλον οὔπω ἦν, ἀλλ' ἰδίᾳ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλουν· ὁ δὲ δίσκος τροχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου τιτρώσκει αὐτόν. καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος ἀπο-

---

9 Ἀμυμόνης PV ἐν πρώτῳ P ἐν πρώτῃ V 23 ἵεναι P corr. V

θνήσκει αὐτοῦ ἐν Λαρίσσῃ· καὶ αὐτὸν κατατίθεται Περσεὺς καὶ οἱ Λαρισσαῖοι πρόσθεν τῆς πόλεως. καὶ αὐτῷ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι, Περσεὺς δὲ ἀναχωρεῖ τοῦ Ἄργους.

XLI. Περὶ Ἀκτοριώνων.

Ἀκτορίωνες οἱ παῖδες τοῦ Ἄκτορος, Κτέατος καὶ Εὔρυτος, ἀνδρεῖοι καὶ ἡνιοχικοί, ῥηθέντες που καὶ Μολίονες παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον Μολιονίδαι· οὓς Ὅμηρος μὲν διδύμους ἱστορεῖ ἁπλῶς, οἱ δὲ κατ' Ἀρίσταρχον οὐχ οὕτως, οἷον κατα τοὺς Διοσκούρους, ἀλλὰ κατὰ τὸν τοῦ Ἡσιόδου μῦθον καὶ διφυεῖς, δύο μὲν ἔχοντας σώματα, συμπεφυκότας δέ γε ἀλλήλοις. ἄλλως· Ἀκτορίωνε, Μολίονε παῖδε. διαφωνεῖται παρὰ τοῖς παλαιοῖς· οἱ μὲν γὰρ καὶ ἄμφω τὰς λέξεις πατρωνυμεῖσθαί φασιν, ἵνα λέγῃ Ἀκτορίωνας μὲν ἀναμφιλέκτως, τοὺς Ἀκτορίδας, ὅ ἐστιν υἱοὺς Ἄκτορος. Μολίονε δὲ ἢ πατρωνυμικῶς καὶ αὐτό, οἷα Μόλου ὄντας πατρός, τοῦ καὶ Ἄκτορος. διὸ καθὰ Ῥωμαϊκῷ ἔθει Ἄκτωρ Μόλου ἀσυνδέτως ὁ πατὴρ κατὰ διωνυμίαν, οὕτω καὶ οἱ αὐτοῦ παῖδες Ἀκτορίωνε Μολίονε· ἢ μητρωνυμικῶς ἀπὸ μητρὸς Μολιόνης, ἵνα κλίνοιντο ἀπὸ τοῦ Μολιονίδης Μολιονίων, ὡς Πριαμίδης Πριαμίων, καὶ ἐν συγκοπῇ Μολίων, μάλιστα δὲ ὡς Ὑπεριονίδης, Ὑπεριονίων, Ὑπεριονίονος, καὶ ἐν συγκοπῇ Ὑπερίονος λέγοιτο. καθάπερ διὰ τὸν πατέρα Ἄκτορα

XLI. Eustath. Il. p. 1442 et 882.

7 *Μολίονες* ubique F *Μολίωνες* PV 8 Il. XI, 709 10 fr. 99 11 *ἔχοντας* correxi *ἔχοντες* PV *συμπεφυκότας* FP *συμπεφυκότα* V 17 *κατὰ* PV

Ἀκτορίωνε, οὕτω καὶ διὰ τὴν μητέρα Μολιόνην, Μολίονε, ἤγουν Μολιονίδαι· ἢ Μολίονε, τουτέστι Μολιόνης υἱοί. ἕτεροι δὲ τὸ Μολίονε κατ᾽ ἐπίθεσιν, ἤγουν ἐπιθετικῶς νοῦσιν, ἵνα ἡ λέξις δηλοῖ τοὺς μαχίμους καὶ ὁρμητικούς, οὐ παρὰ τὸν μῶλον, ἀλλὰ παρὰ τὴν ἐν μάχῃ μόλυνσιν, ἐξ ἧς ἐν ἐκτάσει ὁ μῶλος γίνεται· ἢ παρὰ τὸ μόλω ῥῆμα, ἐξ οὗ καὶ Μούλιος, ὁ ῥηθεὶς τοῦ Αὐγείου γαμβρός, καὶ Μόλος ὁμώνυμος τῷ Μόλῳ Ἄκτορι, ὁ τοῦ Μηριόνου, ἢ κατά τινας Μολιόνου πατήρ.

34 XLII. *Περὶ Ἀλεκτρυῶνος.*

Ἀλεκτρυῶνα ἄνθρωπον ὄντα φασὶ κατασταθῆναι ὑπὸ Ἄρεως ἐν τῷ οἴκῳ Ἡφαίστου, τηρεῖν αὐτοῦ τὴν ἄφιξιν, διὰ τὴν μοιχείαν τῆς Ἀφροδίτης· ὁ δὲ ἀπεκοιμήθη. φωραθεὶς οὖν εἰς τὸ ὄρνεον αὐτὸν μετέβαλεν· ὁ δὲ μεμνημένος τὴν ὥραν ἐκείνην ἄρχεται ᾄδειν, τὴν τοῦ Ἡλίου προαισθόμενος ἄνοδον, καθ᾽ ἣν ὁ Ἥφαιστος εἰώθει ἐπανήκειν οἴκαδε.

XLIII. *Περὶ Ἀλεξάνδρου, τοῦ καὶ Πάριδος.*

Ἀλέξανδρος, ὁ πρότερον μὲν Πάρις κατωνομασμένος, [παρὰ τὸ παριέναι τὸν μόρον, ὕστερον οὕτως

XLII. Liban. narrat. 20 (Eustath. Od. p. 1598) XLIII. Etym. M. p. 654, 34 *ἐτυμολογεῖται — βοήθειαν* Etym. M. p. 59, 22 *ὅντινα εὐθὺς τεχθέντα — Ἴδῃ* Schol. Ven. Il. III, 325. V. Eud. p. 328 *Ἀρχελάῳ — κατονομάσας* Tzetzes Lyc. 138 *φασὶ τοίνυν — εἴδει* Philostrat. Heroic. XV *τοῦτον — ἀναιρεῖ* Tzetzes Lyc. 64 *οὔπω τριακοντούτην* Philostr. l. c.

---

4 *μαχήμους* P corr. V 6 *μόλυνσιν* F *μόλησιν* PV 9 *Μηριόνου* F *Μυριόνου* PV 13 *ἄφιξιν* e coni. dedi *αὔξησιν* PV *ἔφοδον* Eustath. 19 Verba uncis seclusa serius addita esse videntur

ἐκλήθη ἀπὸ τῶν λῃστῶν, ποιμνίοις ἀλεξήσας. ἢ ὅτι τῇ πατρίδι ἠλέξησεν, ὅ ἐστιν ἐβοήθησε, πολέμου ἐπελθόντος] ἐτυμολογεῖται [δὲ Ἀλέξανδρος,] παρὰ τὸ ἐπαλξεῖν τῇ πατρίδι τοῖς πολεμίοις, ἢ παρὰ τὸ ἄλεξιν εἶναι ἀνδρῶν, ἤγουν βοήθειαν· ὅντινα εὐθὺς τεχθέντα ἐν τῇ Ἴδῃ ἐκτεθῆναι ἱστοροῦσι καὶ αὐξηθῆναι καὶ παρελθεῖν τὸν μόρον οὕτως. κατὰ γαστρὸς αὐτὸν ἔχουσα ἡ Ἑκάβη, ἐνόμισε κατ' ὄναρ καιόμενον δαλὸν τίκτειν, ὅστις κατέφλεξε πᾶσάν τε τὴν πόλιν καὶ τὴν ἑστῶσαν ἐν τῇ Ἴδῃ ὕλην· τοῦτο δὲ τὸ ἐνύπνιον ἀκούσαντες οἱ μάντεις καὶ οἱ περὶ τοὺς ὀνείρους δεινοὶ εἶπον, τὸ τεχθὲν παιδίον εὐθέως, μικρὸν ὄν, ῥιφῆναι θηρσὶ βοράν. τεχθέντα δὲ Ἀλέξανδρον ἐξέθηκαν ἐν τῇ Ἴδῃ, Ἀρχελάῳ οἰκέτῃ παραδιδόντες· πέντε δὲ ἡμέρας τοῦτον ἄρκτος ἐθήλασεν ἐκκείμενον· εἶτα πάλιν ὁ Ἀρχέλαος, ἑωρακὼς ὄντα εὐειδέστατον, ἀνελόμενος ἀπὸ τῶν χωρίων ὡς ἴδιον ἔτρεφεν, Πάριν κατονομάσας. φασὶ τοίνυν αὐτὸν τὸ εἶδος γεγονέναι ἥδιστον, ἐπίχαρίν τε τὴν φωνὴν καὶ τὸ ἦθος, ἅτε τῇ Πελοποννήσῳ ἐπιμίξαντα· καὶ Τρωσὶ μὲν ἀπηχθῆσθαι πᾶσι, κακὸν δ' οὐκ εἶναι τὰ πολέμια, ἀλλὰ μάχεσθαι πάντας τρόπους· καὶ τὴν ἐπιστήμην, ὁπόση τόξων, μὴ λείπεσθαι τοῦ Πανδάρου. καὶ πλεῦσαι μὲν ἐς τὴν Ἑλλάδα ἔφηβον, ὅτε δὴ ξένον τοῦ Μενελάου γενέσθαι αὐτὸν, καὶ τὴν Ἑλένην ἑλεῖν τῷ εἴδει. [τοῦτον Φιλοκτήτης τοξεύσας,

V. Eud. p. 126 et 329. *ὅτι — ὀνειδίζει* Eustath. Il. p. 376 *ἔστιλβε — ἠνείχετο* Philostr. l. c. *Ὅμηρος — ζῶα* Eustath. l. c. *Στησίχορος* — exit. Tzetzes Lyc. 113. V. Eud. p. 329

---

16 *ἑωρακὼς — εὐειδέστατον* om. F mox *ἐπὶ* pro *ἀπὸ* et *κατωνομασμένων* PV 25 Verba, quae uncis interclusimus,

βάλλει πρῶτον κατὰ χεῖρα λαιάν, εὐθὺς δὲ δεύτερον οἰστὸν ἀφεὶς ἐκκόπτει τούτου τὸν δεξιὸν ὀφθαλμόν, καὶ τρίτῳ βέλει κατὰ σφυρὸν πείρας, αὐτὸν ἀναιρεῖ οὔπω τριακοντούτην·] ὅτι δὲ φιλῳδὸς ἦν ὁ αὐτὸς Ἀλέξανδρος, δηλοῖ καὶ ἡ κιθάρα, ἣν αὐτῷ Ἕκτωρ ὀνειδίζει· ἔστιλβε δὲ καὶ τοὺς ὄνυχας τῶν χειρῶν, καὶ ὑπόγρυπος ἦν καὶ λευκὸς καὶ τὸ ὄμμα ἐγέγραπτο·
35 ἡ δὲ ἑτέρα ὀφρὺς ὑπερῆρε τοῦ ὄμματος· ἀλλὰ καὶ κόσμου ἕνεκεν περιήθρει μὲν ἑαυτόν, περιεσκόπει δὲ τὰ ὅπλα, δορὰς δὲ παρδάλεων ἐνῆπτο τοῖς ὤμοις, αὐχμὸν δὲ προσιξάνειν ταῖς κόμαις, οὐδὲ ὁπότε μάχοιτο, ἠνείχετο. Ὅμηρος ἐλάφῳ μὲν αὐτὸν εἰκάζει ὡς δειλόν, αἰγὶ δὲ ὡς ὀχευτικόν· τοιαῦτα μὲν γὰρ τὰ ζῷα. Στησίχορος δέ φησιν, ὅτι, διερχομένου Ἀλεξάνδρου δι' Αἰγύπτου, ὁ Πρωτεὺς Ἑλένην ἀφελόμενος εἴδωλον Ἑλένης αὐτῷ ἔδωκε· καὶ οὕτως ἔπλευσεν εἰς Τροίαν.

XLIV. Περὶ Ἀλετρίδων.

Ἀλετρίδες κόραι τινὲς Ἀθήνησιν ἀπεδείκνυντο, ἐφ' ᾧ τὰ εἰς θυσίαν πόπανα πωλεῖν. ἦσαν δὲ ἔντιμοι καὶ εὐδόκιμοι παρθένοι, ὅτι τὰ εἰς θυσίαν πόπανα ἦγον· ἐφ' οἷς καὶ ἱερούς τινας μύλωνας ἀναγράφουσιν οἱ τὰ Ἀττικὰ συγγεγραφότες. Παυσανίας δὲ λέγει, ὅτι ἀλετρίδες αἱ τὸν ἱερὸν ἀλετὸν ἀλοῦσαι· ᾑροῦντο δέ τινες παρθένοι, αἳ τὰ εἰς θυσίαν πόπανα ἤλουν, καὶ ἔντιμοι ἦσαν.

XLIV. Eustath. Od. p. 1885

---

ex Tzetzae commentariis desumpta miro modo hic et p. 329 contextum perturbant, eadem sine offensione leguntur p. 126

XLV. Περὶ Ἀλκιμέδης.

Ἀλκιμέδη, ὡς Φερεκύδης καὶ Ἀπολλώνιος ἱστοροῦσι, μήτηρ μὲν ἦν Ἰάσονος, θυγάτηρ δὲ Φυλάκου. Ἡρόδωρος δὲ Πολυφήμην φησὶν εἶναι τὴν Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτολύκου. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν Θεογνήτην τὴν Λαοδίκου μητέρα Ἰάσονος γεγονέναι φησίν.

XLVI. Περὶ Ἀλκυονίδων ἡμερῶν.

Ἀλκυὼν θαλάσσιόν ἐστιν ὄρνεον, παρὰ τὸ ἐν ἁλὶ κύειν, ἤγουν ἐν θαλάσσῃ· λέγεται ὑποκοριστικῶς καὶ Ἀλκυονίς. φασὶ δέ, ὅτι τὸ κῦμα ἀφανίζον αὐτῆς τὰ ᾠά, καὶ ἐπιπολὺ οὔσης ἀτέκνου, ὁ Ζεὺς ἐλεήσας αὐτὴν ὥρισεν ἡμέρας πεντεκαίδεκα ἐφεξῆς, ἤ, ὥς τινες, ιδ΄ εὐδινὰς ποιεῖν, ἐν αἷς τίκτει παρὰ τοῖς αἰγιαλοῖς, καὶ ἐκγλύφει ἑπτά, ἃς λέγουσιν ἀλκυονίδας. ἢ ἀλκυονίδες ἡμέραι καλοῦνται ἑπτὰ πρὸ τοῦ τόκου καὶ ἑπτὰ μετὰ τὸν τόκον, νήνεμοι χειμῶνι καὶ γαλήνην ἔχουσαι. καὶ περὶ τοῦ αὐτῶν ἀριθμοῦ διαφέρεται. Σιμωνίδης μὲν γὰρ ιδ φησὶν αὐτὰς καὶ Ἀριστοτέλης, Δημαγόρας δὲ ὁ Σάμιος ἑπτά, Φιλόχορος δὲ ἕν-

XLV. Schol. Apoll. I, 45 XLVI. Schol. Ar. Aves 251 *παρὰ τὸ ἐν ἁλὶ — ἀλκυονίδας* Schol. Apoll. I, 1086 *ἢ ἀλκυονίδες — Ἀλκυόνος* Eustath. Il. p. 776 (v. Suidas; Arsen. Viol. p. 40) Bekker, Anecd. p. 377 seq. *καὶ ἱστορίαν* — exit. Schol. Ar. Aves l. c.

---

1 Φερεκύδης F Φερεκράτης PV 3 Müller II, p. 37 4 fr. 15 5 Θεογνήτην F Θεογνίτην PV 7 Ἀλκυών etc. ubique P Ἁλκυών V 12 εὐδινὰς F εὐδιεινὰς PV 17 ιδ corr. Küster πέντε PV. Cf. Simon. fr. 12 Arist. Histor. an. V, 8, 2 18 Müller IV, p. 378 Müller I, p. 414

νέα· ὅτι δὲ δεκατέσσαρές εἰσιν, καὶ ἕτεροι λέγουσι. Παυσανίας δὲ μῦθον ἐπ' αὐταῖς καὶ τοῦτόν φησιν.

36 Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες Φωσθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλλήνη, Δριμώ, Ἀστερίη, μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον Παλλήνης, μέχρι καὶ νῦν φυλάσσον τὴν κλῆσιν, ἔρριψαν ἑαυτὰς εἰς τὴν θάλατταν· Ἀμφιτρίτη δὲ αὐτὰς ὄρνιθας ἐποίησε, καὶ ἀπὸ τοῦ πατρὸς Ἀλκύονες ἐκλήθησαν, ἀφ' ὧν αἱ ἀλκυονίδες ἡμέραι. ἰστέον δέ, ὅτι κήρυλοι κατὰ Παυσανίαν ἐν ἀλκυόσιν οἱ ἄρρενες. οἱ γηράσαντες, φησίν, ὑπὸ τῶν θηλειῶν βαστάζονται. κεῖται δὲ ὁ ῥηθεὶς κήρυλος καὶ παρὰ τῷ κωμικῷ, παροξυτόνως μέντοι δι' ἑνὸς λ ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων· σημείωσαι ὅτι ἀλκυὼν μὲν ἀλκυόνος τὸ ὄρνεον· Ἀλκυόνη δὲ ἐπὶ κυρίου τῆς Κλεοπάτρας, τῆς παρωνύμου τῷ ὀρνέῳ. ὅτι διώνυμος ἡ Κλεοπάτρα, ὡς καὶ τοῦ Ἕκτορος ὁ υἱὸς καὶ ἄλλα, τῇ μὲν μιᾷ τῶν κλήσεων παρὰ μόνων τῶν φιλτάτων ὀνομαζομένη ἐν μεγάροις, ὥς φησιν ὁ ποιητής, τῇ δ' ἑτέρᾳ κοινῶς ὑπὸ τῶν ἄλλων. καὶ ὅτι οὐ διὰ πάθος οἰκεῖον ἡ Κλεοπάτρα τὴν τῆς Ἀλκυόνης ἔσχεν ἐπωνυμίαν, ἀλλὰ διὰ τὴν μητέρα, πενθοῦσαν δίκην πολυπένθους Ἀλκυόνος. καὶ ἱστορίαν δὲ τοιαύτην περὶ Ἀλκυόνης φασίν, ὡς ἀπ' ἀνθρώπων ἀπωρνεώθη. ἔστι δὲ ἡ Κήϋκος τοῦ Τραχινίων βασιλέως γυνή, οἳ ὄλβῳ μεγίστῳ ἐπαρθέντες εἰς τοσοῦτον ἦλ-

---

1 καὶ post ὅτι δὲ exhibent PV ante ἕτεροι id. om. 2 Ἡγήσανδρος auctorem laudat Suidas 3 Φωσθονία — Παλλήνη — Δριμὼ — Καναστραίου e Suidae lexico reposui, Φθονία — Παλήνη — Δρυμὼ — Καΐστρου PV Φθονία — Παλλ. — Δρ. — Καν. Eustathius 13 Ar. Aves 300

θον φρυάγματος, ὡς ἀπαξιοῦν τοῖς ἰδίοις ὀνόμασι καλεῖσθαι· καὶ ὁ μὲν ἐκάλεσεν ἑαυτὸν Δία, ἡ δὲ Ἥραν. καί ποτέ ἐν θαλάσσῃ αὐτοῦ πλέοντος, ὁ Ζεὺς ὀργισθεὶς αὐτόν τε διέφθειρε καὶ τὴν ναῦν· ἡ δὲ ἄγαν περιπαθῶς ὠδύρετο τὸν τοῦ ἀνδρὸς θάνατον παρὰ τῷ τύμβῳ· ἣν ἐλεήσας ὁ Ζεὺς ἀπωρνέωσε· καὶ ἐκεῖνον δὲ εἰς ὄρνεον μετέβαλεν, ὃν κήρυλον καλοῦσιν. ἐθρήνει δὲ περὶ τῶν αὐτῆς ἐν τῇ θαλάττῃ κλωμένων ὠῶν· διὸ κατὰ Διὸς οἶκτον τεσσαρεσκαίδεκα ἡμέρας, ἀλκυονίτιδας καλουμένας, εὐδινὰς ἔχει ἔτους, ἐν αἷς τίκτουσα ἐκβάλλει τοὺς νεοττούς.

XLVII. *Περὶ τῶν Ἀλιτηρίων.*

Ἀλιτήριοι ἐντεῦθεν ἐκαλοῦντο οἱ πένητες παρ' Ἀθηναίοις, ὅτι, λιμοῦ καταλαβόντος ποτὲ αὐτούς, οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον· ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς καὶ τοὺς πονηρούς, καὶ ἀνοσίους καὶ μιάσματι ἐνεχομένους ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων, ἀπὸ σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης.

XLVIII. *Περὶ Ἁλοσύδνης.* 37

Ἁλοσύδνην μίαν ὁ μῦθος οἶδε τῶν Νηρηΐδων. διὸ καὶ καλὴ αὕτη λέγεται προσωπικῶς. ἄλλως μέντοι καὶ ἡ Ἁλοσύδνη, ὡς καὶ τὸ ὕδωρ ἀγλαὸν λέγεται.

XLVII. Schol. Ar. Equ. 443 (v. Suidas; Bekker Anecd. p. 377) XLVIII. Eustath. Od. p. 1502 *σημείωσαι* — exit. Eustath. Il. p. 1278

---

1 *ἀπαξιοῦν* F *ἐπαξιοῦν* PV 6 *παρὰ τῷ Σίλλῳ* F 8 *περὶ* om. P add. V 16 *ἀλητηρίους* P corr. V

ἕτεροι δὲ Ἀμφιτρίτης ἐπίθετον αὐτὸ νοοῦσι, [καὶ] οὐδὲ παρὰ τὸ ὕδωρ ἐτυμολογοῦσι τὴν λέξιν, ἀλλὰ παρὰ τὸ ἐν ἁλὶ σύεσθαι, ὅ ἐστιν ὁρμᾶν. ἰστέον δέ, ὡς κτῆμα τῆς Ἁλοσύδνης αἱ φῶκαι πλάττονται, εἴτε φώκας Ἁλοσύδνης αὐτὰς ἀναγνώσει τις, εἴτε νέποδας Ἁλοσύδνης. διὸ καὶ ἔφη τὸν Πρωτέα ὁ ποιητὴς ἐν μέσαις αὐταῖς κεῖσθαι, ὡς νομέα ἐν πώεσι μήλων, ἃ δὴ καὶ αὐτὰ ἀνδρῶν κτήματα. τινὲς δὲ ἡρέθησαν τρόπῳ συγγενικῷ οὕτω φρασθῆναι· νέποδες γάρ, φασί, θαλάσσης αἱ φῶκαι, ὅ ἐστι τέκνα· νέπους γὰρ κατά τινα γλῶσσαν ὁ ἀπόγονος [καὶ ἁλοσύδνη]. σημείωσαι, ὅτι οὐ μιᾶς τῶν Νηρηίδων παρὰ τῷ ποιητῇ, ἀλλὰ τῆς Θέτιδός ἐστιν ἐπίθετον ἐν τῇ Ἰλιάδι, ἐν μέντοι τῇ Ὀδυσσείᾳ ἔοικε Νηρηΐδος ὄνομα εἶναι, ἐν τῷ

φῶκαι νέποδες καλῆς Ἁλοσύδνης,

εἰ μὴ ἄρα θαλάσσης εἴη ἐκεῖ ἐπίθετον.

XLIX. Περὶ Ἀλωϊάδων.

Ἀλωϊάδας γηγενεῖς εἶναι Ἐρατοσθένης φησί, διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικὸς μυθευθῆναι, ὡς Ἀλωέως εἰσὶν υἱοί· Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν· ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτούς, καὶ Ἄλον πόλιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι, ἧς Ὅμηρος μνημονεύει·

οἳ δ' Ἄλον — νέμοντο.

οἶδε γὰρ τὴν περὶ τούτων ἱστορίαν καὶ αὐτός.

XLIV. Schol. Apoll. I, 482

---

1 *καὶ* add. PV 8 *ἡρέθησαν* correxi *ἡρέσθησαν* PV 11 lemma scholii removi 13 Il. XX, 207 15 Od. IV, 404 17 Bernhardy, Erastoth. p. 39 23 Il. II, 682, unde *νέμοντο* recepi, *εἶχον* PV

L. *Περὶ Ἀμαδόκων.*

Ἀμάδοκοι δύο γεγόνασι, πατὴρ καὶ υἱός, ὡς Ἰσοκράτης Φιλίππῳ· ὃς καὶ Φιλίππῳ συμμαχήσων ἦλθεν εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον· ἀμφοτέρων μέμνηται Θεόπομπος ἐν ια΄ τῶν Φιλιππικῶν.

LI. *Περὶ Ἀμαζόνων.*

Ἀμαζόνες Ἄρεως μυθεύονται ἀπόγονοι εἶναι καὶ Ἁρμονίας νύμφης Ναΐδος, οἰκοῦσαι πρὸς τῷ Θερμώδοντι· καλοῦνται δὲ οὕτως ἢ παρὰ τὸ πηροῦν τὸν ἕτερον τῶν μαζῶν, οἱονεὶ μονόμαζοι, ὡς ἂν μὴ ἐμπο- 38
δίζοιντο ἐν τῷ τοξεύειν, εἴγε παρὰ τῷ ποιητῇ ἐπὶ τῶν τοξευόντων·

νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρος·

ἢ παρὰ τὸ τὰ πολλὰ μὴ χρῆσθαι μάζαις, κρέασι δὲ καί που καὶ χελώναις, ὡς αἱ ἱστορίαι φασί, καὶ σαύραις καὶ ὄφεσιν. ὅτι δὲ τὸ α σημαίνει ποτὲ καὶ μόνωσιν, δῆλον ἐκ τοῦ ἁπλοῦ, ὅπέρ ἐστι μόνον πέλον, ἤτοι ἕν, ὡς οἷον ἅπελον, ἤγουν ἓν πέλον. ἐλέγοντο δὲ καὶ ἐπὶ πυριπνόων ἵππων ὀχούμεναι⌈ ἄλλους τε τόπους καταδραμεῖν καὶ τὴν Φρυγίαν, ἡγουμένων

L. Harpocrat. v. *Ἀμάδοκος* LI. Schol. Apoll. II, 990 *καλοῦνται — δηλοῖ* Eustath. Il. p. 402. *Ἔφεσον — ἄφεσον* Eustath. Dion. 828. *τινὲς δὲ ὅμως* — exit. Palaeph. 33 (v. Cod. Mon. 490 fol. 481)

2 *Φιλίππῳ* corr. Bekker *Φιλιππικῷ* PV *ὃς — ἦλθεν* F *οἳ — ἦλθον* PV 3 *Κερσοβλέπτου* correxi, *Κερσοβλέπτειν* P *Κερσοβλέπου* V *πρὸς Κερσοβλέπτην* F 4 *ιά* F *πρώτῳ* PV 6 Ad vocem *Ναΐδος* in margine apposita sunt verba *οἰκοῦσαι πρὸς τῷ Θερμώδοντι* (ex Eustath. Dion. 828), quae librarius in textu incuria omiserat. Merito igitur inserui 11 *νευρὴν* et *πέλασεν* ex Il. IV, 123 reposui *νευρὴ* et *πέλασε* PV 16 *ἤτοι* F *εἴτουν* PV *ἅπελον* F *ἀπέλιον* PV

αὐταῖς τῆς στρατηγίας Μελανίππης καὶ ἑτέρων τινῶν. ἐπιφανεῖς δὲ ἱστοροῦνται Ἀμαζόνες ἄλλαι τε καὶ Ἱππολύτη, ἡ Θησέως ὕστερον γυνή, Ἀντιόπη, Ἄναια, Ἀνδρομάχη, [Τράλλα, Ἰσοκράτεια, Θίβα, Τάλλα, Σμύρνα, Ἄλλα], Γλαύκη, Πενθεσίλεια. ὅτι δὲ τὸν δεξιὸν μαστὸν ἐκ νηπίων πᾶσαι Ἀμαζόνες ἐπεκαίοντο, διὸ καὶ Ἀμαζόνες ἐλέγοντο, καὶ ἡ τοῦ Γεωγράφου ἱστορία δηλοῖ. [Ἔφεσον δέ, τὴν Ἀρτέμιδος πρόσπολον, αὐταῖς γενέσθαι μάμμην φασίν, ἧς θυγάτηρ Ἀμαζώ, ἀφ' ἧς Ἀμαζόνες· αὐτὰς δὲ ὑπὸ Ἡρακλέους διωκομένας, ὅτε, κελεύοντος Εὐρυσθέος, ἐπὶ τὸν τῆς Ἱππολύτης ἐστάλη ζωστῆρα, καταφυγεῖν ἐπί τινα βωμὸν Ἀρτέμιδος, κἀκεῖ τυχεῖν ἀφέσεως, καὶ τὸν τόπον ἐκεῖθεν Ἔφεσον κληθῆναι κατὰ παραγραμματισμόν, ἀντὶ τοῦ ἄφεσον.] τινὲς δὲ ὅμως λέγουσιν, ὅτι οὐ γυναῖκες ἦσαν, ἀλλ' ἄνδρες βάρβαροι. ἐφόρουν δὲ χιτῶνας ποδήρεις, ὥσπερ αἱ Θρῇσσαι, καὶ τὴν κόμην ἀνεδοῦντο μίτραις, τοὺς δὲ πώγωνας ἐξυρῶντο, καὶ διὰ τοῦτο ἐκαλοῦντο πρὸς τῶν πολεμίων γυναῖκες. Ἀμαζόνες δὲ τὸ γένος, καὶ μάχεσθαι ἀγαθοὶ ἦσαν.

LII. *Περὶ τῆς Ἀμαλθείας καὶ τοῦ κέρατος αὐτῆς.*

Ἀμαλθεία ἡ τροφὸς τοῦ Διός· εἶναι γὰρ αὐτήν φασιν ἀμαλακιστίαν, ὅθεν καὶ πεπλάσθαι τὸ ὄνομα παρὰ τὸ μὴ μαλάσσεσθαι. διὰ τοῦτο καὶ τὸν Ἡρακλέα

LII. Etym. M. p. 76,32 *Ἀμαλθείας δὲ κέρας — ἐλαύνειν* Hesych. v. *Ἀμ. κέρας ἕτεροι* — exit. Eustath. Dion. 433. V. Eud. p. 212

4 Verba *Τράλλα — Ἄλλα* margini addita seclusi utpote ex Eustath. Dion. 828 inepte descripta 8 *Ἔφεσον — ἄφεσον* librarius in margine scripsit eundem Eustathii locum compilans quae verba etiam p. 212 interpolata sunt

καρτερικώτατον γενόμενον ἔχειν αὐτῆς τὸ κέρας ἐμυθολόγησαν. Ἀμαλθείας δὲ κέρας εἴρηται διὰ τὸ πάντων ἐπιτυγχάνειν, ἐπειδὴ οἱ εὐχόμενοι τῇ οὐρανίᾳ αἰγὶ ἐπιτυγχάνουσιν ἢ ὅτι Ἑρμῆς Ἡρακλεῖ ἔδωκε τὸ κέρας, ὅταν τὰς Γηρυόνου βοῦς ἔμελλεν ἐλαύνειν. [ἕτεροι δὲ τὸ τοῦ μύθου νοσοῦν ἐκθεραπεύοντες ἱστοροῦσι γραῦν τὴν Ἀμάλθειαν γενέσθαι, κερδαλέην, ἐμπορικήν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλουτοποιὸν καὶ βιωφελές. ἐπεὶ δὲ ὁ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλῆρες τοῦ ἐγκειμένου κέρματος καὶ χρησάμενος ἔζησε 39 πρὸς τρυφήν, λόγος ἐντεῦθεν διεδόθη ἀστεῖος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει πᾶν ἀγαθόν, οὐ τὸ τῆς μυθικῆς αἰγός, τῆς θρεψαμένης τὸν Αἰγίοχον Δία, ἀλλὰ τὸ τῆς ῥηθείσης γραός. ἄλλοι δὲ τὸ τῆς Ἀμαλθείας κέρας, δι' οὗπερ εὖ ἔχει τὰ κατὰ τὸν Ἡρακλέα, τὸ σκληρόν φασι τῆς διαίτης ἐκείνου, καὶ τόν ποτε κατ' ἀρετὴν βίον αἰνίττεσθαι, ὁπηνίκα ἡμίγυμνος περιιών, καὶ ἐκκαθαίρων κακίας τὴν γῆν, οὐ μαλθακῶς εἶχεν, ἀλλὰ σκληρότερον τοῖς φαύλοις προσεφέρετο· καὶ τοῦτο ἦν τὸ τῆς Ἀμαλθείας κέρας, ἡ ἀμάλθακος πρὸς πόνους ἀντιτυπία τοῦ ἥρωος. ὅτε μέντοι ἐμελέτησεν οἰκουρεῖν, ἀναπεισθεὶς ὑπὸ γυναικὸς καὶ σκιατραφούμενος, καὶ ἱμάτια περιεβάλλετο θάλποντα, καὶ οὐκέτι πρὸς ψῦχος ἐγυμνάζετο, ἀλλ' ἐθάλφθη, καὶ ὑπεμαλάχθη πρὸς τρυφὴν ἀποκλίνας, κατακαίει ὁ λόγος τὸν ἥρωα, τὴν ἐκ τῆς περιβολῆς θάλψιν εἰς πυρὰν αὐτῷ ὑπανάψας].

6 Verba ἕτεροι — ὑπανάψας librarius in margine addidit. Cf. Untersuchungen p. 111

LIII. Περὶ Ἀμυμώνης.

Ἀμυμώνη θυγάτηρ ἦν Δαναοῦ.

LIV. Περὶ Ἀμφιδρομίων.

Ἀμφιδρόμια ἑορτή τις ἦν, ᾗ ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος παρὰ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον· ἢ κατά τινας Ἀμφιδρόμια ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐκ γενέσεως, οὕτω κληθεῖσα, καθόσον ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως· καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσαι τρέχουσι κύκλῳ καὶ τοὔνομα τίθενται τούτῳ, δῶρά τε πέμπουσι τῷ παιδί, καὶ ἐπιτοπλεῖστον πολύποδας, οἵ τε φίλοι καὶ οἰκεῖοι καὶ ἁπλῶς οἱ προσήκοντες. καὶ ἄλλως· Ἀμφιδρόμια ἑορτή ἐστιν Ἀθήνησι τελουμένη, καθ' ἥν, ἐγκρυφίου ἄρτου ὀπτωμένου ἐπὶ τῆς ἑστίας, ἐπιτρέχουσι· τὸ δ' αὐτὸ ποιοῦντες καὶ μετὰ σκευῆς τὰ βρέφη παρὰ τὴν ἑστίαν περιφέρουσιν, ἐπειδὴ κουροτρόφος ἡ θεὸς ἐπί τινων πεφήμισται. μέμνηται Πλάτων ἐν Θεαιτήτῳ· „τοῦτο μὲν δή, ὡς ἔοικε, μόγις ἐγεννήθη, ὅτι δή ποτε τυγχάνει ὄν· μετὰ δὲ τὸν τόκον τὰ Ἀμφιδρόμια, ὡς ἀληθῶς ἐν κύκλῳ, περιθρεκτέον τῷ λόγῳ.“

LIII. Schol. Apoll. I, 134 LIV. Harpocrat. v. Ἀμφ. ἢ κατά τινας — προσήκοντες Schol. Platon. VI p. 240 Herm. (v. Suidas; similia praebet Hesych. v. Ἀμφ.). Ἀμφιδρόμια ἑορτή — exit. Etym. M. p. 89, 54

---

12 Forte locum ex Etymologico descriptum interpolator addidit 13 ἐγκριφίου P corr. V 14 ποιοῦσι — περιφέροντες F 16 θεὸς F τροφὸς PV 17 Plato p. 160 E

LV. *Περὶ τοῦ Ἀλφειοῦ ποταμοῦ.* 40

Ἀλφειὸς ποταμός ἐστι τῆς Ἀρκαδίας, Ἀρκαδία δὲ χώρα ἐστὶ τῆς Πελοποννήσου· ἔστι δὲ καὶ πηγὴ ἐν Σικελίᾳ τῇ νήσῳ, Ἀρέθουσα ὀνόματι. λέγεται δέ, ὅτι ὁ Ἀλφειὸς ἠράσθη τῆς πηγῆς τῆς Ἀρεθούσης, καὶ ἐρασθείς, διαδὺς τὸ πέλαγος, ἀναδίδοται ἐν Σικελίᾳ παρὰ τὴν Ἀρέθουσαν πηγήν, μὴ συναναμιχθεὶς τῇ ἁλμυρίδι τῆς θαλάσσης, ἀλλὰ καθαρὸν τὸ νᾶμα διαφυλάττων πρὸς τὴν ἐρωμένην.

LVI. *Περὶ ἀνιπτοπόδων καὶ χαμαιεύνων.*

[*Ἀνιπτόποδας· χαμαιεύνας οἱ μὲν νοοῦσι τοὺς Σελλούς, εὐτέλειαν ἀσκοῦντας· καὶ χαμαιεύνας μέν, ὡς κάτω περὶ γῆν αὐτοὺς κειμένους καὶ μὴ ἐπὶ στιβάδων ἢ δεμνίων ὑπνοῦντας· ἀνιπτόποδας δέ, ὡς μὴ προιόντας τοῦ ἱεροῦ καὶ διὰ τοῦτο μηδὲ ἐθέλοντας ποδάνιπτρα, ὃ καὶ ἐν τῷ Εὐριπίδου Ἐρεχθεῖ δηλοῦται, εἰπόντος, ὅτι „πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας“. ἕτεροι δὲ σεμνότερον τοιοῦτον συντιθέασι νόημα· χαμαιεῦναι μέν, ἀνιπτόποδες δέ, τουτέστι, χαμαὶ μὲν εὐναζόμενοι, ἀνιπτάμενοι δὲ τῶν κάτω ταῖς διανοίαις, δια τὴν ἐν ταῖς μαντείαις φιλοσοφίαν. ἄλλως·*] *Σελλοὶ ἔθνος Δωδωναῖον· ἐκ τούτων ἱερεῖς τῆς φηγοῦ προεβάλλοντο· ἐν αὐτῇ δὲ τῇ φηγῷ μαντεῖον ἦν τοῦ*

LV. Nonn. I, 20, ubi verba graeca desunt: Migne, Patrol. XXXVI, 2, p. 995 (v. Cosm. p. 198; Suidas) LVI. Eustath. Il. p. 1074 *Σελλοὶ ἔθνος* — exit. Nonn. I, 20

2 *χώρα* corr. Mai *πόλις* FPV 15 *πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας* scripsi cum Nauck. fr. 368 *πηγαῖς οὐχ ὑγραίνουσι πόδας* FPV. Locum ex Eustathio compilatum eieci

Διὸς ἡ καλουμένη Δωδωναία δρῦς· οὗτοι οἱ ἱερεῖς, οἷα τοῦ θεοῦ ὄντες θεραπευταί, ἁγνεύοντες οὔτε ἐλούοντο, οὔτε ἐν κλίνῃ ἐκάθευδον, ἀλλὰ χαμαί, ὡς φησὶν ὁ ποιητὴς ἐν τούτῳ τῷ ἔπει·

ἀμφὶ δὲ Σελλοὶ
συνναίουσ' ὑποφῆται, ἀνιπτόποδες, χαμαιεῦναι.

LVII. *Περὶ τοῦ ἀστρονομεῖν καὶ ἀριθμὸν καὶ λογισμόν εὑρεῖν καὶ θύειν καὶ γεωμετρεῖν καὶ περὶ ὀνειρομαντείας καὶ οἰωνικῆς.*

Ἀστρονομίαν αὐτοὶ πρῶτοι λέγονται εὑρηκέναι Βαβυλώνιοι διὰ Ζωροάστρου, δεύτεροι δὲ ἐδέξαντο Αἰγύπτιοι, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χωρῶν προδιδαχθέντες, καὶ εἶθ' οὕτως συγγράψαντες καὶ χρώμενοι εὐδοκιμοῦσιν. ὁ Πλάτων δ' ὅμως ἐν Φαίδρῳ Αἰγυπτίους λέγει πρῶτον ἀριθμὸν καὶ λογισμὸν εὑρεῖν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, ἔτι δὲ πεττείαν τε καὶ κυβείαν καὶ δὴ γράμματα· οἱ δὲ τούτου ὑπομνηματισταὶ οὐ τὴν παρ' Ἕλλησι πεττείαν
41 *σημανθῆναί φασιν ὑπὸ Πλάτωνος ἀλλὰ τὴν τοῦ λεγομένου πεττευτηρίου· καταγράφεσθαι γάρ τι πλινθίον, ὥσπερ ἐν τῇ πεττευτικῇ παιδιᾷ, δι' οὗ τὰ κινήματα τοῦ ἡλίου καὶ τῆς σελήνης, ἔτι δὲ καὶ τὰ ἐλλειπτικὰ πραγματεύονται οἱ Αἰγύπτιοι. τὸ δὲ θύειν θεοῖς οἱ Χαλδαῖοι ἐξεῦρον ἢ οἱ Κύπριοι· διαφορεῖται γὰρ ἡ ἱστορία (Χαλδαῖοι δὲ ἔθνος Περσικόν),*

LVII. Nonn. I, 70—72. V. Eud. p. 315 (*τῆς δὲ οἰωνικῆς* — exit. uberius narravit Suidas v. *οἰώνισμα* et *Ἕλενος*)

---

6 *συνναίουσ'* reposui ex Il. XVI, 234 *ναίουσιν* PV

τὴν δὲ μαγείαν Μῆδοι εὗρον. διαφέρει δὲ μαγεία γοητείας, καὶ γοητεία φαρμακείας, ὅτι ἡ μὲν μαγεία ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινος σύστασιν, ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα δι' ἀγαθὸν γεγόνασι. γοητεία δέ ἐστιν ἐπίκλησις δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους εἱλουμένων ἐπὶ κακοῦ τινος σύστασιν· γοητεία δὲ λέγεται ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου δοθῇ τινι πρὸς φίλτρον ἢ καὶ ἄλλως πως διὰ στόματος. τὸ δὲ τοὺς ὀνείρους εὑρεῖν διακρίνειν πρῶτοι λέγονται οἱ ἐκ Τελμισοῦ πόλεως Παμφυλίας (αὕτη δὲ παλαιοτάτη πόλις), ἣν δὲ ἐπὶ τῶν χρόνων Κροίσου. ἔλεγον γάρ, εἰ γέγονέ τι παράδοξον, ὅτι τόδε σημαίνει, καὶ πάντως ὅσα ἂν εἶπον, συνέβαινεν ἐξέρχεσθαι. τῆς δὲ οἰωνικῆς τὸ μέν ἐστιν ὀρνεοσκοπητικόν, ὃ ἐξεῦρον Φρύγες, τὸ δὲ οἰκοσκοπητικόν, τὸ δὲ ἐνόδιον, τὸ δὲ χειροσκόπιον, τὸ δὲ παλματικόν. ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν πεταμένου τοῦδε ἢ τοῦδε ὄρνιθος, ἢ ἔμπροσθεν ἢ ὀπίσω, ἢ δεξιὰ ἢ ἀριστερά, εἴπωμεν, ὅτι τόδε σημαίνει. λέγεται δὲ τοῦτο εὑρηκέναι πρῶτος Τηλέγονος. οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσηται καὶ εἴπῃ, τόδε σημαίνει· ἐπειδή, φησίν, ἐν τῇ στέγῃ ἐφάνη γαλῆ, ἢ ὄφις, ἢ μῦς· ἢ ἐκενώθη ἔλαιον, ἢ μέλι, ἢ οἶνος, ἢ ὕδωρ, ἢ τέφρα, ἢ ἄλλο τι, ὅτι τόδε σημαίνει· ταῦτα δὲ συνεγράψατο Ξενοκράτης. ἐνόδιον δέ ἐστιν, ὅταν ἐξηγήσηται τὰ

---

24 et 28 ἐξηγήσηται P ἐξηγήσεται V

ἐν τῇ ὁδῷ ὑπαντῶντα, ὅτι, ἐὰν ὑπαντήσῃ τις τόδε βαστάζων, τόδε σοι συμβήσεται, ἐὰν δὲ ὁ δεῖνα, τόδε· ὅπερ συνεγράψατο Πόλλης. χειροσκόπιον δέ ἐστιν, ὅταν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν καὶ διὰ τῶν ῥυτίδων εἴπωμεν, ὅτι τόδε αὐτὸν μένει, ἢ ὅτι μνηστεύεται, ἢ ὅτι παιδοποιεῖ, ἤ τι τοιοῦτον· ὃ συνεγράψατο Ἕλενος. παλματικὸν δέ ἐστι τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει, ἢ ὁ μηρός, ἢ ὁ ὦμος· ἤ τι τῶν τοῦ σώματος· ὃ συνεγράψατο Ποσειδώνιος.

42 LVIII. *Περὶ ἁλουργίδος ἤτοι τῆς πορφυρᾶς βαφῆς ἱστορία.*

Ἁλουργίδα φασὶν εὑρεθῆναι ἐν Τύρῳ τῆς Φοινίκης τοιούτῳ τρόπῳ. κύων τις ποιμενικὴ πορευομένη, εὑροῦσα κογχύλιον, ἔφαγεν· εἶτα τὸ αἷμα τοῦ κογχυλίου ἔβαψε τῆς κυνὸς τὸ στόμα. ὁ ποιμὴν νομίζων πεπλῆχθαι τὴν κύνα, λαβὼν ἔριον, ἀπέμαξε τοῦ στόματος τῆς κυνὸς τὸ αἷμα· καὶ εὕρηται ἡ κύων ἔχουσα μηδὲν φαῦλον, τὸ δὲ ἔριον τὴν τῆς πορφύρας ἀναδεδεγμένον βαφήν. εἶτα ἐγνωκὼς ὁ ποιμήν, ὅτι τὸ κογχύλιον τοιαύτην ἔχει φύσιν βαπτικήν, ἐδημοσίευσεν αὐτὸς τοῦτο, καὶ οὕτω συνήγοντο ἐν τῇ θαλάσσῃ τὰ κογχύλια κατασκευάσαντα τὰς πορφύρας.

LVIII. Nonn. I, 60 (cod. Mon. 490)

---

3 *Πόλλης* scripsi cum Nonno et Suida *Πόλλις* PV 13 *ἔφαγεν* F *ἔφαγε* PV 17 *μηδὲν φαῦλον* F *μὲν οὐδὲν* PV 19 *ἐδημοσίευσεν* FP *ἐδημοσίευσε* V 20 *οὕτω* F *οὕτως* PV *ἐκ τῆς θαλάσσης* F *ἐν τῇ θαλάσσῃ* PV

LVIII b. *Καὶ ἄλλως περὶ πορφύρας διεξοδικώτερον κατὰ τὴν ἀληθῆ ἱστορίαν, ὅπως τὴν ἀρχὴν εὑρέθη, καὶ πῶς τὰ ζῶα νῦν οἱ Φοίνικες θηρῶνται.*

Τύριοι λέγουσιν, ὡς Ἡρακλῆς ἠράσθη νύμφης ἐπιχωρίας· Τύρος δ' ἦν τῇ νύμφῃ τοὔνομα. εἵπετο δ' ἄρα τῷ Ἡρακλεῖ καὶ κύων κατὰ τὸν παλαιὸν νόμον· οἶσθα γάρ, ὅτι τοῖς ἥρωσι συνεισῄεσαν μέχρι τῶν ἐκκλησιῶν οἱ κύνες. ὁ τοίνυν Ἡράκλειος κύων κατὰ πέτρας ἕρπουσαν πορφύραν θεασάμενος, προὐχούσης αὐτῇ τῆς σαρκός, ἐνδακών, ὁ μὲν τὴν σάρκα ποιεῖται τροφήν, ὁ δὲ λύθρος ἄρα τὰ χείλη τοῦ κυνὸς αἱμάξας ἐφοίνιξεν. ὡς δὲ ἧκεν ὁ ἥρως παρὰ τὴν κόρην, ἥσθη θεασαμένη τὰ χείλη τοῦ κυνὸς ἀνθοῦντα ἀήθει βαφῇ καὶ οὐκ ἔφη προσίεσθαι τοῦ λοιποῦ τὸν Ἡρακλέα, εἰ μὴ αὐτῇ κομίσειεν ἐσθῆτα, τῶν τοῦ κυνὸς χειλῶν εὐειδεστέραν. ὁ γοῦν Ἡρακλῆς ἐξεῦρέ τε τὸ ζῶον καὶ τὸ λύθρον συνελέξατο καὶ τὸ δῶρον ἐκόμισε τῇ κόρῃ, πρῶτος γενόμενος εὑρετής, τῷ Τυρίῳ λόγῳ, τῆς φοινίσσης βαφῆς. τὰ δὲ νῦν οἱ Φοίνικες ᾧδε θηρῶσί τε τὸ ζῶον, καὶ τὸ ἔριον χρωννύντες δηλοῦσιν, ὡς πρὸς τὴν ὄψιν ἀνθεῖν· σχοινίον πλεξάμενοι πάμμηκες ἰσχυρόν τε καὶ καρτερόν, ὡς ἐνθαλαττεύειν δύνασθαι, τούτου συνεχεῖς ὥσπερ κώδωνας ἐξαρτῶσιν

LVIII b. Pollux I, 45

---

4 *συνεισῄεσαν* F *συνεσίεσαν* PV 6 *ἑρπύσασαν* P 10 *ἥσθη* P corr. V 13 *εὐειδεστέραν* F *ἰοειδεστέραν* PV 14 *ἀνελέξατο* F 17 *δηλοῦσιν* F *δολοῦσιν* PV

ἐκ μετρίων διαστημάτων κυψέλας, ἐκ σπάρτου τινος
ἢ σχοίνου τὰς κυψέλας πλεξάμενοι· δασεῖαι δ᾽ εἰσὶ
τὰ κατὰ τὴν εἴσοδον· τὰ γὰρ τῶν σπάρτων ἢ τῶν
σχοίνων τέλη περὶ τοῖς στόμασι τῶν κυψελῶν ἐξ-
επίτηδες ἀνέχειν ἐῶσιν, ὡς τῷ μὲν παριόντι ῥᾳδίως
εἴκειν καὶ διΐστασθαι, ἀναχώρησιν δὲ εἰς τοὔμπαλιν
43 μηδὲ ἀναστροφὴν τῷ παρελθόντι ἐνδιδόναι. ταύτας
τὰς κυψέλας δελεάσαντες οἱ πορφυρεῖς ἐν τοῖς πε-
τρώδεσι καθιᾶσι, τὸ καλώδιον φελλοῦ τινος ἐξάψαν-
τες, ὡς ἀνέχειν τὸ θήραμα· διαλιπόντες δὲ νύκτα
καὶ ἐφημερεύσαντες, ὡς ἐπιπολύ, τὰς κυψέλας ἔμπλεως
τῶν ζώων ἀνέλκουσιν. ἔπειτα κοψάμενοι τὸ ὄστρα-
κον ἐν ταὐτῷ καὶ τὴν σάρκα ταριχεύσαντες ἐς δευτο-
ποιΐαν, ὕδατι τὴν ἄσιν ἐκκαθήραντες, ἐνέψουσιν
ἐμπύρῳ λέβητι τὸ θήραμα τὸ θαλάττιον· τὸ δ᾽ αἷμα,
ἐπειδὰν πυρὶ ὁμιλήσῃ, χεῖταί τε καὶ ἐξανθεῖ· καὶ τὸ
μὲν ξανθίζεται, τὸ δὲ κυαναυγὲς γίνεται, τὸ δ᾽ ἄλλο
εἰς ἄλλην χρόαν τρέπεται. καὶ ὅτι ἂν καθῇς, πᾶν τὸ
συγγενόμενον τῷ αἵματι, πρὸς τὴν ἐκείνου χρόαν
μεταχρώννυται. χαίρει δὲ ἡλίῳ ὁμιλοῦσα τῆς πορφύρας
ἡ βαφή, καὶ ἡ ἀκτὶς αὐτὴν ἀναπυρσεύει καὶ πλείω
ποιεῖ καὶ φαιδροτέραν τὴν αὐγήν, ἐκφοινισσομένην
ἐκ τοῦ ἄνω πυρός.

---

2 δασεῖαι δ᾽ εἰσὶ τὰ κατὰ τὴν εἴσοδον e codice addidi, om. V. Brevi post in margine legitur ὅρα μέθοδον ἁλιεύσεως καὶ κατὰ κατασκευὴν πορφυρωῆς (sic!) 9 φελοῦ P corr. V 10 διαλειπόντες P corr. V 12 ἀνέλκουσιν P ἀνέλκουσι V 14 δουσυποιίαν P corr. V ἐκκαθήραντες F ἀποκαθήραντες PV ἐνέψουσιν F ἐνεψοῦσιν PV 16 ἐπειδὰν πυρὶ ὁμιλήσῃ F ἐπειδ᾽ ἂν πυρὶ ὁμιλήσει PV 17 κυαναυγὲς F κυανὸν αὐταῖς PV 18 καθῇς F καθεὶς PV

LIX. Ὅτι Αἰγύπτιοι διάφορα τῶν ζώων ἐσέβοντο.

Οἱ Αἰγύπτιοι ἐσέβοντο τὰς ἴβεις, τοὺς κροκοδείλους, τοὺς ὄφεις, τὰς αἰλούρους, καί τινα τῶν ἰχθύων γένη, ἐξ ἀλόγου τιμῆς ἑαυτοῖς ἀτιμίαν ποριζόμενοι. περὶ δὲ τούτων ἀκριβέστερόν φησιν ὁ Ἡρόδοτος, ὁ καὶ περὶ πάσης αὐτῶν τῆς θρησκείας καὶ τῶν βασιλέων ἀκριβῶς καὶ διὰ πλάτος συγγραψάμενος.

LX. Περὶ Ἀνθεμοκρίτου.

Ἀνθεμόκριτος Ἀθηναίων μὲν ἦν κῆρυξ, ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων, ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ὀργάδα ταῖν θεαῖν μὴ ἐργάζεσθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα· τό τε βαλανεῖον τὸ παρ' Ἀνθεμοκρίτου ἀνδριάντα, τουτέστι τὸ πρὸς ταῖς Θριασίαις πύλαις.

LXI. Περὶ Ἀντικλείας.

Ἀντίκλειαν εἶναι τὴν Ὀδυσσέως μητέρα, Σειληνὸς ὁ Χῖός φησι· καὶ ἐγκύμονα διοδεύουσαν Νήριον, τὸ τῆς Ἰθάκης ὄρος, ὕσαντος πολὺ τοῦ Ζηνός, ὑπ' ἀγωνίας καὶ φόβου καταπεσοῦσαν τεκεῖν Ὀδυσσέα, ὅθεν καὶ Ὀδυσσεὺς ἐκλήθη.

LIX. Nonn. Sanct. Lum. 13 LX. Harpocrat. v. Ἀνθεμ. (v. Suidas) LXI. Eustath. Od. p. 1871. V. Eud. p. 312 et 394. Haec ex Ptolemaei Hephaestionis historia fluxisse docuit Hercher in Annal. Philol. Supplem. I, p. 288. Similia tradidit Tzetzes Lyc. 786

---

9 fr. 76 Müller 11 ἀνδριάντα F τοῦ ἀνδρειοτάτου PV Θρασίαις PV 14 ὕσαντος πολὺ τοῦ Ζηνὸς F corr. Wyttenbach ἄσαντος πολίτου τινὸς perperam PV

LXII. *Περὶ Ἀντινόου.*

Ἀντίνοος Ἰθακήσιος, εἷς τῶν μνηστήρων, υἱὸς Εὐπείθους, ἀρετῇ πάντων τῶν ἄλλων ἔξοχος.

44 ## LXIII. *Περὶ Ἀμφινόμου.*

Ἀμφίνομος, εἷς καὶ οὗτος τῶν μνηστήρων, ἐκ Δουλιχίου, ᾧ προσεῖχεν ἡ Πηνελόπη, ὡς φρεσὶ κεχρημένῳ ἀγαθαῖς· ἔχαιρε γὰρ ἡ περίφρων τῷ ὁμοίῳ. ὡς γὰρ ὁ κῆρυξ Μέδων ἐφιλεῖτο τοῖς μνηστῆρσιν, οὐ κυρίως οὐδ' ἀπολύτως, ἀλλ' ὑπὲρ τοὺς ἄλλους κήρυκας, ὡς δεξιώτερος, οὕτω καὶ Ἀμφίνομος ἥνδανε τῇ Πηνελόπῃ, οὐχ ἁπλῶς, ἀλλὰ πλέον τῶν ἄλλων μνηστήρων.

LXIV. *Περὶ Ἀλκινόου.*

Ἀλκίνοος υἱὸς Ναυσιθόου.

LXV. *Περὶ Ἀντιφάτου·*

Ἀντιφάτης υἱὸς Μελάμποδος.

LXVI. *Περὶ Ἀδμήτου.*

Ἄδμητος υἱὸς Φέρητος.

LXVII. *Περὶ Ἀμφικτύονος.*

Ἀμφικτύων βασιλεὺς Ἀθηναίων.

LXII. Schol. Od. I, 333 LXIII. Schol. Od. XVI, 394
LXIV. Eustath. Od. p. 1588 LXV. Eustath. Od. p. 1780
LXVI. Schol. Apoll. I, 49 LXVII. Apollod. I, 7, 2

---

14 In codice adiungitur *περὶ Αἰσίμου. Αἴσιμος, ἀδελφὸς Ἀντικλείας τῆς μητρὸς Ὀδυσσέως, γεννᾷ Σίνωνα*, male repetitum ex uberiore loco p. 31

LXVIII. Περὶ Ἀερόπης.

Ἀερόπη, γυνὴ Ἀτρέως, ἐμοιχεύθη ὑπὸ Θυέστου, καθὰ καὶ ἡ τοῦ υἱοῦ Ἀγαμέμνονος Κλυταιμνήστρα ὑπὸ Αἰγίσθου.

LXIX. Αἰνείου γενεαλογία καὶ Ἀστυάνακτος καὶ Ἠμαθίωνος. 45

Ζεὺς ἐκ τῆς Ἠλέκτρας, τῆς Ἄτλαντος θυγατρός, γεννᾷ
Δάρδανον,
(ἐξ οὗ Δαρδανία, ἡ Τροία) ἐξ οὗ
Ἐριχθόνιος,
ἐξ οὗ
Τρώς,
(ἐξ οὗ καὶ Τροία) ἐξ οὗ

Ἀσσάρακος, ἐξ οὗ Κάπυς, ἐξ οὗ Ἀγχίσης, ἐξ οὗ Αἰνείας ἐκ τῆς Ἀφροδίτης.	καὶ Ἶλος, (ἐξ οὗ καὶ Ἴλιον) ἐξ οὗ Λαομέδων, ἐξ οὗ Πρίαμος ἐκ Λευκίππης, (ἐξ οὗ καὶ ἐκ τῆς Ἑκάβης, Ἕκτωρ, ἐξ οὗ Ἀστυάναξ, Ἕλενος, Πολύδωρος, Εὔφορβος, Πάρις, καὶ ἄλλοι) Ἱκετάων, Κλύτιος, Τιθωνός, (ἐξ οὗ καὶ ἐκ τῆς Ῥοιοῦς, τῆς Κασσάνδρας θυγατρός, ἢ ἐκ τῆς Στρυ-	καὶ Γανυμήδης.

LXVIII. Eustath. Od. p. 1693 LXIX. Excepta ex Apollod. III, 12 seq. vel Eustath. Il. p. 1279 (partim ex Tzetz. Lyc. 1232)

16 καὶ om. PV

μοῦς, Μέμνων καὶ Ἠμαθίων) Λάμπων.

LXX. *Περὶ Ἄβαντος.*

Ἄβαντος γενεαλογία κατὰ Ἀπολλώνιον·

Αἰόλου τοῦ Ἕλληνος γίνεται

Κρηθεὺς ……… *Ἀθάμας.*

οὗ

Ἀμυθάων, ……… *Αἴσων.*

οὗ

Μελάμπους,

οὗ

Ἄβας.

καθ' Ὅμηρον·

Ποσειδῶν ἐκ τῆς Ἀρεθούσης γεννᾷ Ἀργεῖον,

ἐς οὗ Ἄβας.

LXXI. *Περὶ Ἀντιλόχου.*

Ἀντίλοχος υἱὸς Νέστορος· ὅν, μεσοῦντος ἤδη τοῦ πολέμου, ἐλθεῖν εἰς Τροίαν λέγουσι· νέον μὲν γὰρ εἶναι αὐτὸν καὶ οὐκ ἐν ὥρᾳ τῶν πολεμικῶν, ὁπότε
46 *συνελέγοντο ἐς Αὐλίδα οἱ Ἕλληνες· βουλομένῳ δὲ αὐτῷ στρατεύειν οὐ συγχωρῆσαι τὸν Νέστορα· καὶ οὕτως, ἐπειδὴ πέμπτον ἔτος ἤδη προβεβήκει τῷ πολέμῳ, νεώς τε ἐπιβάντα ἀφικέσθαι, καὶ παρελθόντα εἰς τὴν τοῦ Ἀχιλλέως σκηνὴν ἱκετεῦσαι τοῦτον παραιτή-*

LXX. Schol. Apoll. I, 142 LXXI. Philostrat. Heroic. III (p. 303 Kaiser)

---

1 *Μνάμων* PV 3 In P titulum ante *καθ' Ὅμηρον* librarius inepte posuit, corr. V 12 Errat Eudocia, ut saepius, cum nusquam Homerus talia tradiderit (v. Hygin. fab. 157) 20 *προβεβήκει* F *προβεβλήκει* PV

σασθαι αὐτὸν τοῦ πατρός, εἴ πως ἀπειθήσαντι μὴ ἄχθοιτο. ὁ δὲ ἡσθεὶς τῇ τοῦ Ἀντιλόχου ὥρᾳ καὶ τῆς προθυμίας ἀγασθεὶς αὐτόν, „οὔπω τὸν πατέρα,“ εἶπεν, „ὦ μειράκιον, τὸν σεαυτοῦ γινώσκεις, εἰ μὴ ὑπ' αὐτοῦ ἐπαινεθήσεσθαι μᾶλλον οἴει ἔργον φιλότιμόν τε καὶ νεανικὸν εἰργασμένος·“ καὶ ὀρθῶς εἶπεν ὁ Ἀχιλλεὺς ταῦτα. ὑπερησθεὶς δὲ τῷ παιδὶ ὁ Νέστωρ καὶ ἐπ' αὐτῷ μεγαλοφρονήσας ἄγει αὐτὸν παρὰ τὸν Ἀγαμέμνονα· ὁ δὲ αὐτίκα συγκαλεῖ τοὺς Ἀχαιούς, καὶ λέγεται ἄριστα ἑαυτοῦ διαλεχθῆναι τότε ὁ Νέστωρ. συνελθεῖν μὲν γὰρ αὐτοὺς χαίροντας ἐπὶ τῷ παῖδα ὄψεσθαι Νέστορος (οὐδὲ γὰρ εἶναι αὐτῷ ἐν Τροίᾳ υἱόν, οὔτε, ὥς φασί τινες ψευδῶς, Θρασυμήδην τινά, οὔτε ἕτερον)· ἑστάναι δὲ τὸν Ἀντίλοχον ὑπὸ τῷ πατρὶ ἐρυθριῶντά τε καὶ εἰς τὴν γῆν βλέποντα, καὶ θαυμαστὰς κτήσασθαι τοῦ κάλλους οὐκ ἐλάττους, ἢ Ἀχιλλεὺς ἐκέκτητο. τὸ μὲν γὰρ ἐκείνου εἶδος ἐκπληκτικόν τε φαίνεσθαι καὶ θεῖον, τὸ δὲ τοῦ Ἀντιλόχου τερπνόν τε καὶ ἥμερον δοκεῖν πᾶσι, τὰ δὲ πολέμια γενναῖόν τε εἶναι καὶ πτηνὸν τὼ πόδε καὶ ταχὺν τὴν ἐν τοῖς ὅπλοις κίνησιν ἱστοροῦσιν· εὐξύνετόν τε τοῖς παραγγελλομένοις χρήσασθαι, καὶ τὸ ἐπίχαρι μηδὲ ἐν ταῖς μάχαις ἀπολείποντα. ἀποθανεῖν δέ, οὐχ, ὥς τινες λέγουσιν, ὑπὸ Μέμνονος ἐξ Αἰθιοπίας ἥκοντος· Αἰθίοπα μὲν γὰρ γενέσθαι Μέμνονα, δυναστεύσαντα ἐπὶ τῶν Τρωϊκῶν ἐν Αἰθιοπίᾳ, ἐφ' οὗ καὶ τὸ ψάμμινον ὄρος ἀναχωσθῆναι λέγεται ὑπὸ τοῦ Νείλου, καὶ θύ-

---

8 φρονήσας F 13 ὥς — ψευδῶς om. F 21 ἱστοροῦσιν om. F 22 μηδὲ F μὴ δὲ PV 26 ψάμμινον F ψάμμιον PV

ουσιν αὐτῷ κατὰ Μερόην καὶ Μέμφιν Αἰγύπτιοι καὶ Αἰθίοπες, ἐπειδὰν ἀκτῖνα πρώτην ὁ ἥλιος ἐκβάλλῃ· παρ' ἧς τὸ ἄγαλμα φωνὴν ἐκρήγνυσιν, ᾗ τοὺς θεραπεύοντας ἀσπάζεται. Τρῶα δὲ ἕτερόν φασι γενέσθαι Μέμνονα νεώτερον τοῦ Τρωϊκοῦ, ὅν, ζῶντος μὲν Ἕκτορος, οὐδὲν βελτίω δόξαι τῶν ἀμφὶ Δηΐφοβόν τε καὶ Εὔφορβον, ἀποθανόντος δέ, προθυμότατον καὶ ἀνδρειότατον νομισθῆναι· καὶ τὴν Τροίαν εἰς αὐτὸν βλέψαι, κακῶς ἤδη πράττουσαν. οὗτος Ἀντίλοχον προασπίζοντα τοῦ πατρὸς Νέστορος ἀποκτεῖναι λέγεται.

4 LXXII. *Περὶ τῶν ἀπύγων καὶ μελαμπύγων.*

Ἡ κατὰ τοὺς ἀπύγους ἱστορία ᾧδέ πως ἔχει. ὁ Πειρίθους κατελθὼν εἰς τὸν Ἅιδην διὰ τὸ ἁρπάσαι τὴν Περσεφόνην, τὴν τοῦ Πλούτωνος, ἐδέθη κάτω παρὰ πέτραις τισί. κατελθὼν οὖν ὁ Ἡρακλῆς καὶ θέλων λαβεῖν τὸν Πειρίθουν, αὐτὸν μὲν οὖν ἀνέλκυσεν, αἱ δὲ πυγαὶ αὐτοῦ προσέμειναν τῇ πέτρᾳ· ἐκλήθη οὖν ὁ Πειρίθους ἄπυγος. ἡ δὲ κατὰ τοὺς μελαμπύγους ἔστιν αὕτη. δύο τινὲς ἀδελφοί, κατὰ γῆν πᾶσαν ἀδικίαν ἐνδεικνύμενοι, ἐλέγοντο Κέρκωπες, ἐκ τῆς τῶν ἔργων δεινότητος τὴν ἐπωνυμίαν λαχόντες· ὁ μὲν γὰρ αὐτῶν ἐλέγετο Πάσσαλος, ὁ δὲ ἕτερος Ἄκμων, ὥς φησι Δίων ὁ ὑπομνηματιστής. τούτων οὖν ἡ μήτηρ, Μεμνονὶς τοὔνομα, ἑωρακυῖα κατὰ γῆν αὐτοὺς πολλὰ δεινὰ ἐργαζομένους, εἶπε, μὴ περιτυχεῖν μελαμπύγῳ·

LXXII. Nonn. I, 39 (Cosm. p. 225)

---

1 *Μέμφην* P corr. V 17 *μελάμπυγας* PV 22 *Δῖος* F sed Dion in latina versione Billius, *Δῖος* scripsit Westermann. Myth. p. 375, *Δίων* praefert etiam Leutsch. ad Zenob. V, 10

καί ποτε τοῦ Ἡρακλέους ὑπὸ δένδρου κοιμωμένου, καὶ τῶν ἑαυτοῦ ὅπλων ὑποκεκλιμένων τῷ φυτῷ, πλησιάσαντες οὗτοι τοῖς ὅπλοις ἐπιχειρῆσαι ἐβουλήθησαν. εὐθὺς δὲ ὁ Ἡρακλῆς αἰσθόμενος, λαβὼν αὐτοὺς κατὰ κεφαλήν, ἐπὶ ξύλῳ δεσμεύσας ἐβάσταξε, καὶ τότε ἐκεῖνοι τῆς ἐντολῆς τῆς ἑαυτῶν μητρὸς ἐμνήσθησαν κρεμάμενοι, ἑωρακότες τοῦ Ἡρακλέους τὴν πυγὴν μέλαιναν ἐκ τῆς τῶν τριχῶν δασύτητος· καὶ πρὸς ἀλλήλους αὐτὸ τοῦτο διαλεγόμενοι, γέλωτα πολλὴν προσῆψαν τῷ Ἡρακλεῖ· καὶ εὐθὺς αὐτοὺς μετὰ τοῦτο τῶν δεσμῶν ἐλυτρώσατο.

LXXIII. *Περὶ Αἰγύπτου καὶ τῶν παίδων αὐτοῦ.*

Αἴγυπτος υἱὸς Βήλου ἦν, καὶ κατὰ τὴν παλαιὰν ἱστορίαν πεντήκοντα παίδων αὐτοῦ πεντήκοντα νεανίσιν αὐτανεψιαῖς συνευνασθέντων θυγατράσι Δαναοῦ, ἡ Βεβρύκη μὲν καὶ Ὑπερμνήστρα μόναι τῶν συνεύνων ἐφείσαντο (αἱ δὲ λοιπαὶ τοὺς λοιποὺς διεχρήσαντο), ἡ Βεβρύκη μὲν Ἱππολύτου τοῦ αὐτανεψιοῦ νυμφίου, ἡ Ὑπερμνήστρα δὲ τοῦ Λυγκέως· καὶ φυγεῖν σὺν ἐκείνῳ καὶ πολλὰ δυνηθῆναι τὴν Βεβρύκην ἱστοροῦσιν, διὰ τὸ διδάσκειν τοὺς βαρβάρους τὴν Αἰγυπτίαν σοφίαν· διὸ καὶ Βεβρύκην ἢ Βεβρυκίαν ἀπ' αὐτῆς κληθῆναι τὴν χώραν εἰς ἣν ἔφυγεν. ὅθεν οἱ Βέβρυκες λέγονται μείζω δοκεῖν ἔχειν τὰ σώματα, ἢ καθ' ἡλικίαν ἀνθρώπων· παρ' οἷς καὶ ὁ Βέβρυξ ἐκεῖνος Ἀράντας, ᾧ τὸ μὲν μῆκος εἰς ὀκτὼ λέγεται

LXXIII. Eustath. Dion. 805. V. Eud. p. 107, ubi *ὅθεν οἱ βέβρυκες — ἐτῶν ιξ'* desiderantur

18 *Λυγκέως* F *Λυγγέως* PV

πήχεις, εὖρος δέ, ὡς Ἀρριανός φησιν, ὅσον τοσῷδε 48 μήκει εἰς κουφότητα ξύμμετρον, ἤγουν ὅσον ἦν ξύμμετρόν πως τοὺς ὀκτὼ πήχεις τοῦ μήκους, ἐς τὸ κούφως βαίνειν τὸν ἄνθρωπον. κατὰ δὲ τοῦ τοσούτου ἀνδρὸς νικηφόρος γέγονεν εἰς μονομαχίαν συστάς, νεανίας ἐτῶν ιζ'. Πίνδαρος δὲ μὴ τὰς Δαναΐδας ἱστορεῖ διὰ τοῦτο, ὡς τὰς δύο μὴ συναριθμεῖν τῶν λοιπῶν θέλων, οἷον μὴ πεισθείσας τῷ πατρὶ κατεργάσασθαι τοὺς αὐτῶν συνεύνους, καὶ διὰ τοῦτο ἀπαλειφῆναι τῆς ἐκείνου πατρότητος.

LXXIV. *Περὶ Ἄμβρακος.*

Ἄμβραξ υἱὸς Θεσπρωτοῦ, ἐξ οὗ Ἀμβρακιεῖς, ἠπειρωτικὸν ἔθνος· ἢ ἀπὸ Ἀμβρακίας τῆς Αὐγέου θυγατρός, ἀφ' οὗ καὶ ὁ πόλπος Ἀμβρακιωτικός, καὶ πόλις Ἀμβρακία, ὡς ἀπὸ Θεσπρωτοῦ ἡ Θεσπρωτία χώρα.

LXXV. *Περὶ Ἄμμωνος.*

Ἄμμων Λιβυκός ἐστι θεὸς παρὰ τοῖς Ἀσβύσταις (ἔθνος δὲ τοῦτο μεσήπειρον κατὰ Λιβύην), οὗ τινος αἱ μαντεῖαι διὰ συμβόλων γίνονται, ἤτοι διὰ σχημάτων τινῶν καὶ κατανεύσεων καὶ ἀνανεύσεων· οἱ δέ φασι τὸν ἐκεῖ Δία Ἄμμωνα κληθῆναι ἀπό τινος ὁμωνύμου ποιμένος, προκατάρξαντος τῆς τοῦ ἱεροῦ αὐτοῦ ἱδρύσεως. Ἡρόδοτος δὲ ταὐτὸν οἰόμενος εἰπεῖν Ἄμμωνα καὶ Δία λέγει, ὅτι κριοπρόσωπον τὸ τοῦ Διὸς ἦν αὐ-

LXXIV. Eustath. Dion. 493 LXXV. Eustath. Dion. 211

---

1 Müller III, p. 596 2 *ξύμμετρόν πως* P *σύμμετρόν πως* V 6 Pyth. IX, 113

τόθι ἄγαλμα, ἐξ οὗ καὶ τὸ ἔθνος Ἀμμώνιοι, παρ᾽ οἷς λέγεται ἡ τοῦ ἡλίου εἶναι κρήνη, ἥτις ἐν ἑκάστῳ νυχθημέρῳ πολλὰς δέχεται τροπὰς κατὰ τὸ ψύχεσθαι καὶ θερμαίνεσθαι περιοδικῶς· Ἀμμοῦν γὰρ Αἰγύπτιοι τὸν Δία καλοῦσι. τῶν τις δὲ μεγάλων φιλοσόφων Ἀμοῦν καὶ πατέρα εἰπεῖν ταὐτὸν εἶναι ἱστορεῖ. τὸ δὲ μαντεῖον λέγουσι Θηβαίαν γυναῖκα συστήσασθαι, ἱέρειαν τοῦ Θηβαίου Διός. ἱστορεῖται δὲ καὶ ὅτι Ἀλέξανδρος ὁ Μακεδών, ἀκούσας Περσέα καὶ Ἡρακλέα εἰς Ἄμμωνος ἀναβῆναι, ἐφιλοδόξησεν ἀνελθεῖν καὶ αὐτός· καὶ ἐποίησεν οὕτω, κοράκων προηγησαμένων αὐτῷ εὐτυχῶς τῆς ὁδοῦ, καίτοι ἄλλως ἠφανισμένης τὰ σημεῖα τῇ ἐπιχύσει τῆς ἄμμου, ἣν πάνυ πολλὴν ὁ νότος ἐκεῖ ἐπιφορεῖ· ὅτε, φασί, καὶ ὁ τοῦ Ἄμμωνος ἱερεὺς ἀντὶ τοῦ εἰπεῖν παιδίον παιδίος καλέσας βαρβαρικῶς τὸν Ἀλέξανδρον, ἔδοξεν, ὡς ἐν χρησμοῦ λοξότητι, ὦ παῖ Διὸς αὐτὸν προσειπεῖν, οὕτω τῶν ἐπιτρίπτων κολάκων ἐκλαμβανομένων τὸ βάρβαρον τῆς φωνῆς.

Ἰατροί. 49

LXXVI. *Περὶ Ἄκρωνος Ἰατροῦ.*

Ἄκρων, Ἀκραγαντῖνος, ἰατρός, υἱὸς Ξένωνος. ἐσοφίστευσεν ἐν Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ· ἔστι πρεσβύτερος Ἱπποκράτους. ἔγραψε περὶ ἰατρικῆς Δωρίδι διαλέκτῳ, περὶ τροφῆς ὑγιεινῶν βιβλίον ἕν.

LXXVI. Hesych. (Suid.)

---

22 Nonnulla ex Diog. Laert. VIII, 65 add. S

LXXVII. Περὶ Ἀγαπίου.

Ἀγάπιος, Ἀλεξανδρεύς· ἐξηγήσεις πλείστας ἰατρικῶν μαθημάτων συνέγραψε.

Ἱστορικοί.

LXXVIII. Περὶ Ἀπολλωνίδου.

Ἀπολλωνίδης, ὁ καὶ Ὡράπιος ἐπικληθείς, ἱστορικός. ἔγραψε περί τε τῆς θρησκείας τῆς Αἰγυπτιακῆς καὶ τῶν βασιλέων αὐτῶν καὶ τῆς ἐν αὐτοῖς ματαιοποιίας, ἐν πολλαῖς ἱστορίαις, καὶ μάλιστα ἐν τῇ βίβλῳ τῇ ἐπιγραφομένῃ Σεμενουθί.

LXXIX. Περὶ Ἀκουσιλάου.

Ἀκουσίλαος, Κάβα υἱός, Ἀργεῖος, ἀπὸ Κερκάδος πόλεως οὔσης πλησίον Αὐλίδος, ἱστορικὸς πρεσβύτατος. ἔγραψε γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ, ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

LXXX. Περὶ Ἀναξιμάνδρου.

Ἀναξίμανδρος, Ἀναξιμάνδρου υἱός, Μιλήσιος ὁ

LXXVII. Hesych. (Suid.) LXXVIII. Theoph. Ant. ad Autol. II, 6 (p. 62 Otto) LXXIX. Hesych. (Suid.) LXXX. Hesych. (Suid.)

---

2 uberius de Agapio egit S 3 Ὡράπιος F Ὀράπιος PV De Apollonide omnia testimonia nostro excepto convacavit A. de Gutschmid in Scharpe, Geschichte Aegyptens II, p. 164 (Teubner 1857). Idem Ἀπολλώνιος ὁ καὶ Ὡραπίδης emendandum esse monuit 8 Κερκάδος S Κεκάδος PV. V. Sturz. Pherec. app. p. 214

νεώτερος, ἱστορικός, ἔγραψε συμβόλων Πυθαγορείων ἐξήγησιν.

LXXXI. *Περὶ Ἀντιπάτρου.*

Ἀντίπατρος, Ἰολάου υἱός, πόλεως Παλιούρας τῆς Μακεδονίας, στρατηγὸς Φιλίππου καὶ διάδοχος, μαθητὴς Ἀριστοτέλους. ἔγραψεν ἱστορίαν καὶ σύγγραμμα ἐπιστολῶν ἐν βιβλίοις εἴκοσι.

LXXXII. *Περὶ Ἀπολλωνίου τοῦ Ἀφροδισιέως.* 50

Ἀπολλώνιος Ἀφροδισιεύς, ἀρχιερεὺς καὶ ἱστορικός. γέγραφε Καρικά, περὶ Τράλλεων, περὶ Ὀρφέως κατὰ τῶν τελετῶν αὐτοῦ.

LXXXIII. *Περὶ Ἀλεξάνδρου τοῦ Μυνδίου.*

Ἀλέξανδρος ὁ Μύνδιος ἱστορικός· διαλαμβάνει περὶ Γοργόνος.

Ῥήτορες.

LXXXIV. *Περὶ Ἀδριανοῦ τοῦ ῥήτορος.*

Ἀδριανὸς ἐκ πόλεως Τύρου τῆς Φοινίκης, μαθητὴς Ἡρώδου, ἀντισχολαστὴς Ἀριστείδου τοῦ ῥήτορος,

LXXXI. Hesych. (Suid.) LXXXII. Hesych. (Suid.) LXXXIII. Hesych. ? (*ἐν ἐνάτῳ μυθικῶν* laudavit Diogenes Laert. I, 7) LXXXIV. Hesych. (Suid.) *καὶ φύσεως — τῇ τραγῳδίᾳ χρώμενος* Philostrat. Vit. II. 10 *ἔγραψε μελέτας* — exit. Hesych. (Suid.)

---

1 *ὁ νεώτερος, ἱστορικός* S *ὁ νεώτερος ἱστορικός* PV post *ἱστορκός* add. S: *γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ μνήμονος κληθέντος,* post *ἐξήγησιν* idem: *οἷόν ἐστι τὸ ζυγὸν μὴ ὑπερβαίνειν, μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν καὶ τὰ λοιπά.* 5 *κατέλιπεν σύγγραμμα ἐν βιβλίοις δυσὶν καὶ ἱστορίαν* S, qui in hac quoque vita locupletior est. 8 *Τράλλεων* S *Τραλλέων* PV 9 *τῶν τελετῶν* corr. Harles *τῶν τελευτῶν* PV 11 Respexit Eudocia vel is

ἐν Ἀθήναις γενόμενος, καὶ φύσεως ἰσχὺν σοφιστικωτάτην ἐνδεικνύμενος, καὶ οὐκ ἄδηλος ὤν, ὡς ἐπὶ μέγα ἥξοι· ἐφοίτησε μὲν γὰρ τῷ Ἡρώδῃ, ὀκτὼ καὶ δέκα γεγονὼς ἔτη, καὶ ταχέως ἀξιωθείς, ὧν Σκέπτος τε καὶ Ἀμφικλῆς ἠξιοῦντο, ἐνεγράφη καὶ τῇ τοῦ Κλεψυδρίου ἀκροάσει. τὸ δὲ Κλεψύδριον ὧδε ἔχει· τῶν τοῦ Ἡρώδου ἀκροατῶν δέκα οἱ ἀρετῆς ἀξιούμενοι ἐπεσιτίζοντο τῇ εἰς πάντας ἀκροάσει, κλεψύδραν ξυμμεμετρημένην εἰς ἑκατὸν ἔπη, ἃ διῄει ἀποτάδην ὁ Ἡρώδης, παρῃτημένος τὸν ἐκ τῶν ἀκροατῶν ἔπαινον, καὶ μόνος γεγονὼς τοῦ λέγειν. παραδεδωκότος δὲ αὐτοῦ τοῖς γνωρίμοις τὸ μηδὲ τὸν πότου καιρὸν ἀνιέναι, ἀλλὰ κἀκεῖ τι ἐπισπουδάζειν τῷ οἴνῳ, ξυνέπινε μὲν ὁ Ἀδριανὸς τοῖς ἀπὸ τῆς κλεψύδρας, ὡς κοινωνὸς μεγάλου ἀπορρήτου, λόγου δὲ αὐτοῖς περὶ τῆς ἑκάστου τῶν σοφιστῶν ἰδέας προβαίνοντος, παρελθὼν εἰς μέσους ὁ Ἀδριανός, ἐγώ, ἔφη, ὑπογράψω τοὺς χαρακτῆρας, οὐ κομματίων ἀπομνημονεύων ἢ νοϊδίων ἢ κώλων ἢ ῥυθμῶν, ἀλλ' εἰς μίμησιν ἐμαυτὸν καθιστὰς καὶ τὰς ἁπάντων διανοίας ἀποσχεδιάζων σὺν εὐροίᾳ καὶ ἐφιεὶς τῇ γλώττῃ. ἦν δὲ πολὺς περὶ τὰς ἐννοίας, καὶ λαμπρὸς τὰς διασκευὰς τῶν ὑποθέσεων καὶ ποικιλώτατος, ἐκ τῆς τραγῳδίας τοῦτο ᾐρηκώς, οὐ μὴν τεταγμένος γε, οὐδὲ τῇ τέχνῃ ἑπόμενος, τὴν δὲ παρασκευὴν τῆς λέξεως ἀπὸ τῶν ἀρχαίων σοφιστῶν περιεβάλλετο, ἤχῳ προσάγων μᾶλλον, ἢ κρότῳ. πολλαχοῦ δὲ τῆς μεγαλοφωνίας ἐξ-

---

scriptor, quem hic compilavit, ad Athen. V, p. 221, quo loco narratiuncula de Gorgonibus ex altero κτηνῶν ἱστορίας libro affertur. Eundem Athenaei locum laudavit Eustath. Od. p. 1704
6 εἶχε P 8 ξυμμεμετρημένην P συμμεμετρημένην V 12 μηδὲ τοὺ F μηδὲ τοῦ PV 16 ἰδέας F 20 ἐφιεὶς F ἀφιεὶς PV

ἔπεσεν, ἀταμιεύτως τῇ τραγῳδίᾳ χρώμενος. ἔγραψε μελέτας, καὶ μεταμορφώσεις ἐν βιβλίοις ἑπτά, περὶ ἰδεῶν λόγου ἐν βιβλίοις πέντε, περὶ τῶν ἐν ταῖς 51 *στάσεσιν ἰδιωμάτων ἐν βιβλίοις τρισίν, ἐπιστολὰς καὶ λόγους διαφόρους ἐπιδεικτικούς, Φάλαριν, παραμυθητικὸν εἰς Κέλερα.*

LXXXV. *Περὶ Ἀθηνοδώρου.*

Ἀθηνόδωρος ὁ ῥήτωρ, τὸ γένος ἐπιφανέστατος, ἐκ πόλεως Αἴνου τῆς Θρᾳκικῆς, μαθητὴς Ἀριστοκλέους παῖς ἔτι, Χρήστου δὲ ἤδη ξυνιείς, ὅθεν ἀπ' ἀμφοῖν ἐκράθη τὴν γλῶτταν ἀττικίζων τε καὶ ἐκ περιβολῆς ἑρμηνεύων· παιδεύων δὲ Ἀθήνησι κατὰ χρόνους, οὓς καὶ Πολυδεύκης ὁ Ναυκρατίτης ἐπαίδευσεν, ἐπέσκωπτεν αὐτὸν ταῖς διαλέξεσιν ὡς μειρακιώδη, λέγων „οἱ Ταντάλου κῆποι,“ τὸ κοῦφον τοῦ λόγου καὶ ἐπιπόλαιον, φαντασίᾳ προσεικάζων οὔσῃ τε καὶ οὐκ οὔσῃ. ἐμβριθὴς δὲ καὶ τὸ ἦθος γενόμενος, ἐτελεύτα ἡβῶν ἔτι, ἀφαιρεθεὶς ὑπὸ τῆς τύχης καὶ τὸ πρόσω ἐλάσαι δόξης. ἔστι καὶ ἕτερος σοφιστὴς Ἀθηνόδωρος, ἀδελφὸς Γρηγορίου τοῦ Θαυματουργοῦ, εὖ γινώσκων τοὺς ῥητορικοὺς τῶν λόγων, καὶ πολυμαθὴς περὶ τὰ ῥητορικὰ μέτρα.

LXXXVI. *Αἰσχῖναι πόσοι.*

Αἰσχῖναι γεγόνασιν ὀκτώ, ὧν ὁ μὲν πρῶτος ὁ τὰς τέχνας γεγραφὼς τὰς ῥητορικάς· δεύτερος δὲ ὁ

LXXXV. Philostr. Vit. II, 14 *ἔστι καὶ ἕτερος* — exit. Hesych. (Suid.) LXXXVI. Diog. Laert. II, 64

1 *ἀταμιεύτως* F *ἀταμιεύτῳ* PV 5 *Φάραριν* PV *παραμυθιτικὸν* S *παραμυθητικὸν* PV 10 *ἐκράθη* F *ἐκράτει* PV 12 *ἐπέσκωπτεν* F *ἐπέκοπτεν* PV

Μιτυληναῖος, ὃν καὶ ῥητορομάστιγα ἐκάλουν· τρίτος ὁ ῥήτωρ, ὁ κατὰ Δημοσθένην· τέταρτος ὁ Χαρίνου τοῦ ἀλλαντοποιοῦ, οἱ δέ, Λυσανίου, Ἀθηναῖος, ἐκ νέου φιλόπονος, διὸ καὶ Σωκράτους οὐκ ἀπέστη· πέμπτος Νεαπολίτης φιλόσοφος Ἀκαδημαϊκός, Μελανθίου τοῦ Ῥοδίου μαθητής· ἕκτος Ἀρκάς, μαθητὴς Ἰσοκράτους· ἕβδομος Μιλήσιος, πολιτικὸς συγγραφεύς· ὄγδοος ἀνδριαντοποιός.

LXXXVII. Περὶ Ἄβαντος.

Ἄβας σοφιστής, ἱστορικὰ ὑπομνήματα καὶ μέθοδον ῥητορικὴν πάνυ γλαφυρὰν κατέλιπεν.

LXXXVIII. Περὶ Ἀναξιμένους.

Ἀναξιμένης Ἀριστοκλέους, Λαμψακηνὸς ῥήτωρ, μαθητὴς Διογένους τοῦ Κυνικοῦ καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου τοῦ γραμματικοῦ, τοῦ κακίζοντος Ὅμηρον, διδάσκαλος Ἀλεξάνδρου τοῦ Μακεδόνος.

52 LXXXIX. Περὶ Ἀλεξάνδρου τοῦ Πηλοπλάτωνος.

Ἀλέξανδρος ὁ ῥήτωρ, πατρίδα μὲν ἔσχε Σελεύκειαν, πόλιν οὐκ ἀφανῆ ἐν Κιλικίᾳ, πατέρα δὲ ὁμώνυμον. διδάσκαλοι δ' αὐτῷ ἐγένοντο Φαβωρῖνός τε καὶ Διονύσιος οἱ ῥήτορες· ἀλλὰ Διονυσίου μὲν ἡμιμαθὴς ἀπῆλθε, μεταπεμφθεὶς ὑπὸ τοῦ πατρὸς νοσοῦντος, ὅτε δὴ καὶ ἐτελεύτα· Φαβωρίνου δὲ γνησιώτατα ἠκροά-

LXXXVII. Hesych. (Suid.) LXXXVIII. Hesych. (Suid.) LXXXIX. Philostrat. Vit. II, 5

---

3 ἀλλαντοποιοῦ F ἀλαντοποιοῦ PV 10 καὶ τέχνην ῥητορικὴν καταλιπών S 13 prius τοῦ om. S

σατο· παρ' οὗ μάλιστα καὶ τὴν ἰδέαν τοῦ λόγου ἔσπασεν. ἀλλὰ τὸ μὲν δὴ πλεῖστον τοῦ βίου ἐν Ἀντιοχείᾳ καὶ Ῥώμῃ καὶ Ταρσοῖς καὶ Αἰγύπτῳ πάσῃ ἐσπούδαζεν. ἀφίκετο γὰρ εἰς τὰ τῶν Γυμνῶν ἤθη. αἱ δὲ Ἀθήνησι διατριβαὶ τοῦ ἀνδρὸς ὀλίγαι μέν, οὐκ ἄξιαι δὲ ἀγνοεῖσθαι· ἐβάδιζε μὲν γὰρ ἐς τὰ Παιονικὰ ἔθνη, μετακληθεὶς ὑπὸ Μάρκου βασιλέως ἐκεῖ στρατεύοντος καὶ δεδωκότος αὐτῷ τὸ ἐπιστέλλειν Ἕλλησιν. ἀφικόμενος δὲ ἐς τὰς Ἀθήνας, ὁδοῦ δὲ μῆκος τοῦτο οὐ μέτριον τῷ ἐκ τῆς ἑῴας ἐλαύνοντι, „ἐνταῦθα", ἔφη, „γόνυ κάμψωμεν". καὶ εἰπὼν τοῦτο ἐπήγγειλε τοῖς Ἀθηναίοις αὐτοσχεδίους λόγους ἐρῶσιν αὐτοῦ τῆς ἀκροάσεως. ἀκούων δὲ τὸν Ἡρώδην ἐν Μαραθῶνι διαιτώμενον καὶ τὴν νεότητα ἐπακολουθοῦσαν αὐτῷ πᾶσαν, γράφει πρὸς αὐτὸν ἐπιστολὴν αἰτῶν τοὺς Ἕλληνας, καὶ ὁ Ἡρώδης „ἀφίξομαι", ἔφη, „μετὰ τῶν Ἑλλήνων καὶ αὐτός". συνελέγοντο μὲν δὴ εἰς τὸ ἐν τῷ Κεραμικῷ θέατρον, ὃ δὴ ἐπωνόμασται Ἀγριππεῖον. προϊούσης δὲ ἤδη τῆς ἡμέρας καὶ τοῦ Ἡρώδου βραδύνοντος, ἤσχαλλον οἱ Ἀθηναῖοι, ὡς ἐκλυομένης τῆς ἀκροάσεως, καὶ τέχνην αὐτὸ ᾤοντο· ὅθεν ἀνάγκη τῷ Ἀλεξάνδρῳ ἐγένετο, παρελθεῖν ἐπὶ τὴν διάλεξιν καὶ πρὶν ἥκειν τὸν Ἡρώδην. ἡ μὲν δὴ διάλεξις ἔπαινοι ἦσαν τοῦ ἄστεος καὶ ἀπολογία πρὸς τοὺς Ἀθηναίους ὑπὲρ τοῦ μήπω πρότερον πρὸς αὐτοὺς ἀφῖχθαι, εἶχε δὲ ἀποχρῶν μῆκος, Παναθηναϊκοῦ γὰρ λόγου ἐπιτομῇ εἴκαστο.

1 ἔσπασεν F ἔσπασε PV 3 ἐσπούδαζεν correxi ἐνεσπούδαζε F ἐσπούδασεν PV 7 μετακληθεὶς coni. Kayser κατακληθεὶς FPV 10 τὸ P corr. V 16 ἐπεὶ ὁ Ἡρ. PV 21 αὐτὸ F αὐτῷ PV 24 ἀπολογίαι PV 25 παρ' F

εὐσταλὴς δὲ οὕτω τοῖς Ἀθηναίοις ἔδοξεν, ὡς καὶ βόμβον διελθεῖν αὐτοῦ ἔτι σιωπῶντος, ἐπαινεσάντων αὐτοῦ τὸ εὔσχημον. ἡ μὲν δὴ νενικηκυῖα ὑπόθεσις, ὁ τοὺς Σκύθας ἐπανάγων εἰς τὴν προτέραν πλάνην, ἐπειδὴ πόλιν οἰκοῦντες νοσοῦσι. καιρὸν δ' ἐπισχὼν βραχύν, ἀνεπήδησε τοῦ θρόνου, φαιδρῷ τῷ προσώπῳ καθάπερ εὐαγγέλια ἐπάγων τοῖς ἀκροωμένοις, ὧν εἰπεῖν ἔχοι. προϊόντος δὲ αὐτῷ τοῦ λόγου, ἐπέστη ὁ Ἡρώδης, Ἀρκάδι πίλῳ τὴν κεφαλὴν σκιάζων, ὡς ἐν ὥρᾳ θέρους εἰώθει Ἀθήνησιν, ἴσως δέ που καὶ ἐνδεικνύμενος αὐτῷ τὸ ἐκ τῆς ὁδοῦ ἥκειν. καὶ ὁ Ἀλέξανδρος ἔνθεν ἑλών διελέχθη μὲν ἐς τὴν παρουσίαν τοῦ ἀνδρὸς ὑποσέμνῳ τῇ λέξει καὶ ἠχούσῃ, ἐπ' αὐτῷ
53 *δὲ ἔθετο, εἴτε βούλοιτο τῆς ἤδη σπουδαζομένης ὑποθέσεως ἀκροᾶσθαι, εἴτε ἑτέραν αὐτὸς δοῦναι. τοῦ δὲ Ἡρώδου ἀναβλέψαντος εἰς τοὺς ἀκροωμένους καὶ εἰπόντος ποιήσειν ὅπερ ἂν ἐκείνοις δόξῃ, πάντες συνεπένευσαν εἰς τὴν τῶν Σκυθῶν ἀκρόασιν· καὶ γὰρ δὴ καὶ λαμπρῶς διῄει τὸν ἀγῶνα, ὡς δηλοῖ τὰ εἰρημένα. θαυμασίαν δὲ ἰσχὺν ἐπεδείξατο καὶ ἐν τοῖσδε· τὰς γὰρ διανοίας τὰς πρὶν ἥκειν τὸν Ἡρώδην λαμπρῶς αὐτῷ εἰρημένας, μετεχειρίσατο ἐπιστάντος οὕτω τῇ ἑτέρᾳ λέξει καὶ ἑτέροις ῥυθμοῖς, ὡς τοῖς δεύτερον ἀκροωμένοις μὴ διλογεῖν δόξαν. ἐπὶ τελευτῇ δὲ τοῦ λόγου καὶ τὴν πόλιν διαβάλλων ὡς πνιγηρὸν οἰκητήριον, τὸ ἐπὶ πᾶσιν ᾧδε ἀνεφθέγξατο· „ἀλλ' ἀναπέτασον τὰς πύλας, ἀναπνεῦσαι θέλω“. προσδραμὼν δὲ τῷ Ἡρώδῃ καὶ περισχὼν αὐτὸν „ἀντεφεστίασόν*

---

16 *ἀναβλέψαντος* F *ἄνω βλέψαντος* PV 17 *ποιήσοι* F 23 *τι* F 24 Post *δόξαν* nonnulla add. F 27 *θέλω* F *θέλων* male PV

με“ ἔφη· καὶ ὁ Ἡρώδης, „τί δὲ οὐ μέλλω“, εἶπε, „λαμπρῶς οὕτως ἑστιάσαντα“; διαλυθείσης δὲ τῆς ἀκροάσεως, καλέσας ὁ Ἡρώδης τῶν ἑαυτοῦ γνωρίμων τοὺς ἐν ἐπιδόσει ἠρώτα, ποῖός τις αὐτοῖς ὁ σοφιστὴς φαίνοιτο, Σκέπτου δὲ τοῦ Κορινθίου τὸν μὲν πηλὸν εὑρηκέναι φήσαντος, τὸν δὲ Πλάτωνα ζητεῖν, ἐπισκώπτων αὐτὸν ὁ Ἡρώδης, „τουτί,“ ἔφη, „πρὸς μηδένα εἴπῃς ἕτερον· σεαυτὸν γὰρ διαβάλλεις, ὡς ἀμαθῶς κρίναντα.“ τελευτῆσαι δὲ τὸν Ἀλέξανδρον οἱ μὲν ἐν Κελτοῖς φασιν, ἔτι ἐπιστέλλοντα, οἱ δ' ἐν Ἰταλίᾳ, πεπαυμένον τοῦ ἐπιστέλλειν· καὶ οἱ μὲν ἑξηκοντούτην, οἱ δὲ καὶ ὀκτὼ πρὸς τοῖς ἑξήκοντα.

Φιλόσοφοι.

XC. *Περὶ Ἀλκμαίωνος.*

Ἀλκμαίων, Περίθου υἱός, Κροτωνιάτης, ὡς αὐτὸς ἐναρχόμενος τοῦ συγγράμματος φησίν· „Ἀλκμαίων Κροτωνιήτης τάδε ἔλεξε, Πειρίθου υἱός, Βροντίνῳ καὶ Λέοντι καὶ Βαθύλλῳ περὶ τῆς ἀφανέων περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι· ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι,“ καὶ τὰ ἑξῆς. Πυθαγόρου δὲ ἀκροατὴς ἦν· καὶ τὰ πλεῖστά γε ἰατρικὰ λέγει, ὅμως δὲ καὶ φυσιολογεῖ ἐνίοτε λέγων. δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. ἔφη δὲ καὶ τὴν ψυχὴν ἀθάνατον καὶ κινεῖσθαι αὐτὴν συνεχῶς ὡς τὸν ἥλιον, τὴν δὲ σελήνην καθόλου ταύτην ἔχειν ἀΐδιον φύσιν.

XC. Diogenes Laert. VIII, 5

---

6 *Πλάτωνα* F *πλάστην* PV *ἐπικόπτων* F 8 *διαβαλεῖς* F
12 Paulo uberiora praebet F 15 *Βροντίνῳ* F *Βροτίνῳ* PV

54 XCI. *Περὶ Ἀναξάρχου.*

Ἀνάξαρχος ὁ φιλόσοφος, Ἀβδηρίτης τὸ γένος, Διομένους τοῦ Σμυρναίου ἀκουστής, οἱ δὲ Μητροδώρου τοῦ Χίου, ὃς ἔλεγε, μηδὲ αὐτὸ τοῦτο εἰδέναι, ὅτι οὐδὲν οἶδεν. οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ (πτίσσεσθαι δέ ἐστι τὸ δίκην πτισάνης τύπτεσθαι, ἔνθεν καὶ πτισσάνη παρὰ τὸ πτίσσεσθαι), πτισσόμενος δὲ οὕτως ἔφη· „πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, οὐ γὰρ πτίσσεις Ἀνάξαρχον", αἰνιττόμενος, οἷα φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι. ἄλλοι δὲ Νικοκρέοντα τὸν Κύπρου τύραννον φασὶν γενέσθαι τὸν αὐτὸν τυραννήσαντα. ὁ δ' οὖν Ἀνάξαρχος καὶ Ἀλεξάνδρῳ συνῆν, ὅντινα οἰόμενον εἶναι θεὸν ἐπέτρεψεν. ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτῷ καταρρέον αἷμα, δείξας τῇ χειρὶ πρὸς αὐτὸν φησί· „τουτὶ μὲν αἷμα καὶ οὐκ ἰχώρ,

οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι."

Πλούταρχος δὲ αὐτὸν τὸν Ἀλέξανδρον τοῦτο λέξαι πρὸς τοὺς φίλους φησίν. ἀλλὰ καὶ ἄλλοτε προπίνοντα αὐτῷ τὸν Ἀνάξαρχον, δεῖξαι τὴν κύλικα καὶ εἰπεῖν· „βεβλήσεταί τις θεῶν βροτησίᾳ χειρί"· ἐκαλεῖτο δὲ διὰ τὴν ἀπειθείαν καὶ εὐκολίαν τοῦ βίου εὐδαιμονι-

XCI. Diogenes Laert. IX, 10 *οὗτος συσχεθεὶς — λόγον ποιεῖσθαι* Nonn. I, 15 (Cosm. p. 206; Clarke, p. 53 seq.) *ἄλλοι δὲ* — exit. Diog. Laert. l. c. *ὃς ἔλεγε — οἶδεν* exscripsit Pseudo-Hesych. p. 12 Orelli

---

1 *Αὐδερίτης* P corr. V 3 *μὴ δὲ* PV 4 *οἶδε* PV 8 *οὕτως* F *οὗτος* PV 10 *τὰ σώματα* P corr. V 17 Il. V, 340 20 *τὴν* P *τὸν* V 21 |*βεβλήσεταί τις* scripsi cum Eurip. Or. 271 *βληθήσεται δὴ* PV

κὸς ὁ Ἀνάξαρχος· διὸ καὶ ἐκ τοῦ ῥᾴστου δυνατὸς ἦν σωφρονίζειν.

XCII. *Περὶ Ἀναξαγόρου.*

Ἀναξαγόραι τέσσαρες γεγόνασιν, ὧν ὁ πρῶτος Ἡγησιβούλου ἢ Εὐβούλου, Κλαζομένιος· δεύτερος δὲ ῥήτωρ ἦν Ἰσοκράτειος· τρίτος γραμματικὸς Ζηνοδότειος· τέταρτος ἀνδριαντοποιός, οὗ μέμνηται Ἀντίγονος. ὁ οὖν Κλαζομένιος, περὶ οὗ διαλαβεῖν μέλλομεν, ἀκουστὴς ἦν Ἀναξιμένους, εὐγενείᾳ καὶ πλούτῳ καὶ μεγαλοφροσύνῃ διαφέρων· ὅς γε καὶ τὰ πατρῷα περαχωρῆσαι τοῖς οἰκείοις λέγεται· αἰτιασθεὶς γὰρ ὑπ' αὐτῶν ὡς ἀμελῶν, „τί οὖν, ἔφη, οὐχ ὑμεῖς ἐπιμελεῖσθε;“ καὶ τέλος ἀπέστη. καὶ περὶ τὴν τῶν φυσικῶν θεωρίαν ἦν, οὐ φροντίζων τῶν πολιτικῶν, ὅτε καὶ πρὸς τὸν εἰπόντα, „οὐδέν σοι μέλει τῆς πατρίδος“· „εὐφήμει“, ἔφη „ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος“, δείξας τὸν οὐρανόν. λέγεται δὲ κατὰ τὴν Ξέρξου διάβασιν εἴκοσιν ἐτῶν εἶναι, βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλιάδου ἐτῶν εἴκοσιν ὤν, ἔνθα καὶ φασὶν αὐτὸν ἔτη διατρῖψαι τριάκοντα· καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον αὐτόθι τῆς τοῦ βίου λήξεως τετύχηκεν. 55

XCIII. *Περὶ Ἀγαπίου.*

Ἀγάπιος ὁ φιλόσοφος, Ἀθηναῖος τὸ γένος, μετὰ Πρόκλον ἀποιχόμενον ὑπὸ Μαρίνῳ, ὃς ἐθαυμάζετο ἐπὶ φιλομαθίᾳ καὶ ἀποριῶν προβολῇ δυσεπηβόλων.

XCII. Diogenes Laert. II, 3 XCIII. Hesych. (Suid.)

---

18 *Καλλίου* PV 19 *ἐτῶν* P corr. V 24 *καὶ* addidi ex S om. PV

XCIV. *Περὶ Ἀναξιμάνδρου.*

Ἀναξίμανδρος Πραξιάδου, Μιλήσιος, φιλόσοφος, συγγενὴς καὶ ἀκουστὴς καὶ διάδοχος Θάλητος, ἔφασκεν ἀρχὴν στοιχεῖον τὸ ἄπειρον, οὐ διορίζων ἀέρα ἢ ὕδωρ ἢ ἄλλο τι· καὶ τὰ μὲν μέρη διαβάλλειν, τὸ δὲ πᾶν ἀμετάβλητον εἶναι· καὶ τὴν γῆν ἐν μεσαιτάτῳ κεῖσθαι, κέντρου τάξιν ἐπέχουσαν, οὖσαν σφαιροειδῆ· τήν τε σελήνην ψευδοειδῆ καὶ ἀπὸ ἡλίου φωτίζεσθαι· ἀλλὰ καὶ τὸν ἥλιον οὐκ ἐλάττονα τῆς γῆς καὶ καθαρώτατον πῦρ. οὗτος πρῶτον ἰσημερίαν εὗρεν, ὡρολογεῖα καὶ τροπάς· γνώμονά τε εἰσήγαγε καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι. καὶ σφαῖραν κατεσκεύασε, καὶ ὅλως γεωμετρίας ὑποτύπωσιν ἔδειξεν. ἔγραψε καὶ περὶ φύσεως καὶ ἀπλανῶν, οὐ μὴν ἀλλὰ καὶ πρῶτος ἐτόλμησε τὴν οἰκουμένην ἐν πίνακι γράψαι. ἐτελεύτησε δὲ ἑξηκοντούτης, ἀκμάσας μάλιστα κατὰ Πολυκράτην τὸν Σάμου τύραννον.

XCV. *Περὶ Ἀναξιμένους.*

Ἀναξιμένης Εὐρυστράτου, Μιλήσιος, καὶ οὗτος φιλόσοφος, μαθητὴς καὶ διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου, ἀρχὴν τὸν ἀέρα καὶ τὸ ἄπειρον εἶπε· κινεῖσθαι δὲ τὰ ἄστρα οὐχ ὑπὲρ γῆν, ἀλλὰ περὶ γῆν. οὗτος τὸν βίον κατέστρεψε περὶ τὴν Σάρδεων ἅλωσιν.

XCIV. Hesych. (Suid.) *ἔφασκεν ἀρχὴν* — exit. Diogenes Laert. II, 1 (*ἔγραψε — γράψαι* Hesych. Suid.) XCV. Hesych. (Suid.) *ἀρχὴν τὸν ἀέρα* — exit. Diogenes Laert. II, 2

---

2 *Θάλητος* S *Θάλεω* PV 7 *ψευδοφαῆ* F 14 *ἔγραψε περὶ φύσεως, γῆς περίοδον καὶ περὶ τῶν ἀπλανῶν καὶ σφαῖραν καὶ ἄλλα τινά* S

XCVI. *Περὶ Ἀντισθένους.*

Ἀντισθένης ὁ φιλόσοφος, τὸ γένος Ἀθηναῖος, καταρχὰς ἀκουστὴς ἦν Γοργίου τοῦ ῥήτορος, ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει καὶ μάλιστα ἐν τῇ ἀληθείᾳ καὶ τοῖς προτρεπτικοῖς. ὕστερον δὲ παρέβαλε Σωκράτει, καὶ τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς, οἰκῶν τ' ἐν Πειραιεῖ καθ' ἑκάστην ἡμέραν τοὺς τετταράκοντα σταδίους ἀνιών, ἤκουσε Σωκράτους· παρ' οὗ καὶ τὸ καρτερικὸν λαβὼν καὶ τὸ ἀπαθὲς ζηλώσας κατῆρξε πρῶτος τοῦ κυνισμοῦ· καὶ ὅτι ὁ πόνος ἀγαθὸν συνέστησε διὰ τοῦ 56
μεγάλου Ἡρακλέους καὶ τοῦ Κύρου, τὸ μὲν ἀπὸ τῶν Ἑλλήνων, τὸ δὲ ἀπὸ τῶν βαρβάρων ἑλκύσας. διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ μικρὸν ἄποθεν τῶν πυλῶν, ὅθεν λέγεται καὶ τὴν κυνικὴν ἐντεῦθεν ὀνομασθῆναι· αὐτός τε ἐπεκαλεῖτο Ἁπλοκύων. καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, καθά φησι Διοκλῆς, καὶ μόνῳ αὐτῷ ἐχρῆτο, βάκτρον τε ἀνέλαβε καὶ πήραν, πρῶτος δὲ ἐδίπλωσε καὶ θοἰμάτιον. τοῦτον μόνον ἐκ πάντων τῶν Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ καί φησι δεινόν τε εἶναι, καὶ δι' ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι πάνθ' ὁντινοῦν. δῆλον δ' ἐκ τῶν αὐτοῦ συγγραμμάτων καὶ ἐκ τοῦ Συμποσίου Ξενοφῶντος. οὗτος καὶ τῆς ἀνδρωδεστάτης στωϊκῆς κατ-

XCVI. Diogenes Laert. VI, 1. Pauca excripsit etiam Pseudo-Hesychius p. 8

2 *μὲν ἤκουσε* F 7 *Πειρεεῖ* F 12 *Θεύρου* PV 19 *ἐδίπλωσε* F *ἤπλωσε* PV 23 *αὐτοῦ* om. F 24 *ἀνδροδεστάτης* P corr. V

ἦρξε καὶ τῆς Διογένους ἀπαθείας καὶ τῆς Κράτητος ἐγκρατείας καὶ τῆς Ζήνωνος καρτερίας ἡγήσατο, ὑποθέμενος τῇ πόλει τὰ θεμέλια. ὁ δὲ Ξενοφῶν ἥδιστον μὲν εἶναι περὶ τὰς ὁμιλίας φησὶν αὐτόν, ἐγκρατέστατον δὲ περὶ τὰ ἄλλα. φέρονται δ' αὐτοῦ συγγράμματα περὶ διαφόρων ὑποθέσεων, τόμοι δέκα. ἐτελεύτησε δὲ Ἀθήνησιν, ἑβδομηκοντούτης γενόμενος.

XCVII. Περὶ Ἀκύλα τοῦ φιλοσόφου.

Ἀκύλας, φιλόσοφος. ἔγραψε σχόλια λογικὰ περὶ συλλογισμῶν.

XCVIII. Περὶ Ἀλεξάνδρου τοῦ Αἰγαίου.

Ἀλέξανδρος, Αἰγαῖος, φιλόσοφος περιπατητικός, διδάσκαλος Νέρωνος ἅμα Χαιρήμονι φιλοσόφῳ.

XCIX. Περὶ Ἀλκιδάμαντος τοῦ φιλοσόφου.

Ἀλκιδάμας, φιλόσοφος, ἀπὸ Ἐλαίας τῆς Ἀσίας, Διοκλέους υἱός, μουσικὰ γεγραφότος, μαθητὴς Γοργίου τοῦ Λεοντίνου.

C. Περὶ Ἀμμωνίου τοῦ καὶ Ἀλεξάνδρου.

Ἀμμώνιος, φιλόσοφος, ὁ καλούμενος Ἀλέξανδρος. οὗτος διεδέξατο τὴς σχολὴν Ἀριστάρχου πρὸ τοῦ μοναρχῆσαι τὸν Αὔγουστον.

XCVII. Hesych. (Suid.) XCVIII. Hesych. (Suid.) XCIX. Hesych. (Suid.) C. Hesych. (Suid.)

---

6 περὶ διαφόρων ὑποθέσεων et Ἀθήνησιν — exit. om. F 11 plura add. S 12 Ἐλαίας S Ἐλέας PV 15 Ἀμμώνιος S Ἀμώνιος PV Ἀμμωνίου, Ἀλεξανδρεύς, Ἀλεξάνδρου γνώριμος pro φιλ. ὁ κ. Ἀλ. S

CI. *Περὶ Ἀπολλωνίου τοῦ Τυανέως.* 57

Ἀπολλώνιος Τυανεύς, φιλόσοφος, ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος, μέχρι Νέρβα, συνέταξε τελετὰς ἢ περὶ θυσιῶν, διαθήκην, χρησμούς, ἐπιστολάς, Πυθαγόρου βίον, καὶ ἄλλα πολλά.

Ῥήτορες.

CII. *Περὶ Ἀντιπάτρου τοῦ ῥήτορος.*

Ἀντιπάτρῳ πατρὶς μὲν ἦν Ἱεράπολις, πατὴρ δὲ Ζευξίδημος, τῶν ἐπιφανεστάτων. Ἀδριανοῦ καὶ Πολυδεύκους ἀκουστὴς γενόμενος, ἀπὸ τοῦ Πολυδεύκους μᾶλλον ἥρμοσται, τὰς ὁρμὰς τῶν νοημάτων ἐκλύων τοῖς τῆς ἑρμηνείας ῥυθμοῖς. ἀκροασάμενος δὲ καὶ Ζήνωνος τοῦ Ἀθηναίου, τὸ περὶ τέχνην ἀκριβὲς ἐκείνου ἔμαθεν. αὐτοσχέδιος δὲ ὢν οὐδὲ φροντισμάτων ἠμέλει, ἀλλ' Ὀλυμπιακούς τε διῄει καὶ Παναθηναϊκούς. καὶ εἰς ἱστορίαν τὰ Σεβήρου τοῦ βασιλέως ἔργα ἔλαβεν, ὑφ' οὗ μάλιστα ταῖς βασιλείοις ἐπιστολαῖς ἐπιταχθεὶς λαμπρόν τι ἐν αὐταῖς ἤχησεν. ἐτελεύτησε δὲ ἑξηκοντούτης καὶ ἐτάφη οἴκοι.

CIII. *Περὶ Ἀπολλωνίου τοῦ Ἀθηναίου ῥήτορος.*

Ἀπολλώνιος ὁ Ἀθηναῖος, ἱκανὸς τὰ δικανικὰ καὶ τὰ περὶ μελέτην οὐ μεμπτός, ἐπαίδευσεν Ἀθήνησι·

XCI. Hesych. (Suid.) XCII. Philostrat. Vit. II, 24 XCIII. Philostrat. Vit. II, 20

4 *καὶ ἄλλα πολλά* om. S, qui omnino hic uberior est 6 *ἐκείνῃ* post *ἐπ.* add. F 14 *ὑφ' οὗ* F *ἐφ' οὗ* PV 15 *ἤχησεν* F *ἤχησε* PV

καθ' Ἡρακλείδην τε καὶ τὸν ὁμώνυμον τοῦ πολιτικοῦ θρόνου προεστὼς ἐπὶ ταλάντῳ· διαπρεπὴς δὲ καὶ τὰ πολιτικὰ γενόμενος, ἔν τε πρεσβείαις ὑπὲρ τῶν μεγίστων ἐπρέσβευσεν, ἔν τε λειτουργίαις, ἃς μεγίστας Ἀθηναῖοι νομίζουσι· τήν τε ἐπώνυμον καὶ τὴν ἐπὶ τῶν ὅπλων ἐπετράπη καὶ τὰς ἐξ ἱεροφαντῶν φωνὰς ἤδη γηράσκων, Ἡρακλείδου καὶ Λογίμου καὶ Γλαύκου καὶ τῶν τοιούτων ἀξιαγάστων εὐφωνίᾳ μὲν ἀποδέων, σεμνότητι δὲ καὶ μεγαλοπρεπείᾳ καὶ κόσμῳ παρὰ πολλοὺς δοκῶν τῶν ἄνω. πρεσβεύων δὲ παρὰ Σεβῆρον ἐν Ῥώμῃ τὸν αὐτοκράτορα, ἀπεδύσατο πρὸς Ἡρακλείδην τὸν σοφιστὴν τὸν ὑπὲρ μελέτης ἀγῶνα, καὶ ἀπῆλθεν ὁ μὲν τὴν ἀτέλειαν ἀφαιρεθείς, ὁ δὲ Ἀπολλώνιος δῶρα ἔχων. διαδόντος δὲ τοῦ Ἡρακλείδου λόγον οὐκ ἀληθῆ ὑπὲρ τοῦ Ἀπολλωνίου, ὡς αὐτίκα δὴ βαδιουμένου ἐς Λιβύην, ἡνίκα Λεπτίνης ἦν ὁ αὐτοκράτωρ ἐκεῖ, καὶ τὰς ἐξ ἁπάσης γῆς ἀρετὰς συν-
58 ῆγε καὶ πρὸς αὐτὸν εἰπόντος, „ὥρα σοι ἀναγινώσκειν τὸν πρὸς Λεπτίνην", „σοὶ μὲν οὖν," ἦδ' ὁ Ἀπολλώνιος, „καὶ γὰρ δὴ καὶ ὑπὲρ τῆς ἀτελείας γέγραπται." βαλβῖδα μὲν δὴ τοῦ λόγου ὁ Ἀπολλώνιος ἐκ τῆς Ἀδριανοῦ ἰδέας βέβληται, ἅτε δὴ καὶ ἀκροατὴς γενόμενος, παραλλάττει δὲ ὅμως ἐς ῥυθμοὺς ἐμμέτρους τε καὶ ἀναπαίοντας. ἐτελεύτησε πολὺς ἐν τῷ τῶν Ἀθηναίων δήμῳ πνεύσας περὶ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη.

---

5 τε F δὲ PV 6 ἱεροφαντῶν F ἀνακτόρων PV 14 διαδόντος F διαδεδόντος PV 16 ὁ addidi ex F om. PV 20 βαλβῖδα F βαλβίδα PV 22 ἅτε δὴ FP ἅτε δὲ V 24 ἐτελεύτησε corr. ἐτελεύτησεν PV ἐτελεύτα F

CIV. *Περὶ Ἀντιόχου τοῦ ῥήτορος.*

Ἀντίοχος, [ὁ ῥήτωρ καὶ σοφιστής, τὸ μὲν εἰς πατέρα ἧκον ἐπιφανέστατος ἦν κατὰ τὴν ἡλικίαν· τὸ δὲ εἰς διδασκάλους καὶ παίδευσιν, φανερώτατος τοῦ Ἑλληνικοῦ. Ἀριστοκλέους μὲν γὰρ ἤκουσε παῖς ἔτι· Χρήστου δὲ ἤδη ξυνιείς· ὅθεν ἀπ' ἀμφοῖν ἐκράθη, τὴν γλῶτταν ἀττικίζων τε κἀκ περιβολῆς ἑρμηνεύων·] εἰσὶ δ' οἳ ἀκροατὴν αὐτὸν Δαρδάνου τοῦ Ἀσσυρίου βεβαιοῦσι, καὶ προϊόντα εἰς μειράκιον Διονυσίου Μιλησίου, κατέχοντος ἤδη τὴν Ἐφεσίων. φρονιμώτατος δ' ἀνθρώπων γενόμενος, διέβαλλεν ὡς μειρακιῶδες, ἵνα ὑπερεωρακὼς αὐτοῦ μᾶλλον ἢ ἀπολειπόμενος φαίνοιτο, τὰ δὲ περὶ μελέτας ἐλλογιμώτατος ἦν· ἀσφαλὴς μὲν γὰρ ἐν ταῖς κατὰ σχῆμα προηγμέναις τῶν ὑποθέσεων, σφοδρὸς δὲ ἐν ταῖς κατηγορίαις καὶ ἐπιφοραῖς, εὐπρεπὴς δὲ τὰς ἀπολογίας καὶ τῷ ἠθικῷ ἰσχύων, καὶ καθάπαξ τὴν ἰδέαν τοῦ λόγου δικανικῆς μὲν σοφιστικώτερος, σοφιστικῆς δὲ δικανικώτερος. καὶ τὰ πάθη ἄριστα σοφιστῶν μετεχειρίσατο, οὐ γὰρ μονῳδίας ἀπεμήκυνεν, οὐδὲ θρήνους ὑποκειμένους, ἀλλ' ἐβραχυλόγει αὐτὰ σὺν διανοίαις λόγου κρείττοσιν, ὡς ἐκ τῶν αὐτοῦ συγγραμμάτων δηλοῦται.

CIV. Philostrat. Vit. II, 4

---

1 Verba *ὁ ῥήτωρ καὶ σοφιστὴς — ἑρμηνευών* mire e vita Athenodori p. 51 huc transposita sunt, quapropter uncis circumscripsi 7 *οἳ* P *οἵ* V 10 *αὐτὸ* add. F 11 *ἀπολειπόμενος* F *λειπόμενος* PV 12 in margine adscriptum est *γράφεται ἐστίν*

CV. *Περὶ Ἀνδοκίδου τοῦ ῥήτορος.*

Ἀνδοκίδης, Ἀθηναῖος, ῥήτωρ τῶν πρωτευόντων δέκα εἷς, υἱὸς Λεωγόρου, ἀπόγονος Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Ναυσικάας, ὥς φησιν Ἑλλάνικος.

CVI. *Περὶ Ἀνδρομάχου.*

Ἀνδρόμαχος Νεαπολίτης, ἐκ Συρίας, σοφιστής, υἱὸς Ζωνᾶ ἢ Σαβίνου, ἐπαίδευσε κατὰ Νικομήδειαν ἐπὶ Διοκλητιανοῦ βασιλέως.

59 CVII. *Περὶ Ἀνδροτίωνος.*

Ἀνδροτίων Ἄνδρωνος, Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, μαθητὴς Ἰσοκράτους.

CVIII. *Περὶ Ἀντιφῶντος.*

Ἀντιφῶν Σωφίλου διδασκάλου λόγων ῥητορικῶν, Ἀθηναῖος. οὗτος ῥητορικὴν οὐκ οὖσαν εὑρεῖν λέγεται ἢ εὑρημένην αὐξῆσαι. ἦρξε δὲ τοῦ δικανικοῦ χαρακτῆρος μετὰ Γοργίαν τὸν Λεοντῖνον· καθάπτεται δ' ἡ κωμῳδία τοῦ Ἀντιφῶντος, ὡς δεινοῦ τὰ δικανικὰ καὶ λόγους κατὰ τοῦ δικαίου συγκειμένους ἀποδιδομένου πολλῶν χρημάτων αὐτοῖς μάλιστα τοῖς κινδυνεύουσι. λέγεται δὲ Θουκυδίδου γενέσθαι διδάσκαλος· ἐκαλεῖτο δὲ Νέστωρ ἐπὶ τῷ περὶ παντὸς εἰπὼν ἂν πεῖσαι. ἀπέθανε περὶ Σικέλιαν, ὑπὸ Διονυσίου

CV. Hesych. (Suid.) CVI. Hesych. (Suid.) CVII. Hesych. (Suid.) CVIII. Hesych. (Suid.) *οὗτος ῥητορικὴν — αὐξῆσαι* Philostr. Vit. I, 15 *ἦρξε δὲ — Νέστωρ* Hesych. (Suid.) *ἐπὶ τῷ περὶ παντὸς* — exit. Philostrat. l. c.

---

3 fr. 78 Müller 5 *Νικομήδειαν* S *Νικομηδείαν* PV 9 *Σωφίλου* S *Σοφίλου* PV *διδασκάλου λόγων ῥητορικῶν* om. S 17 *εἰπὼν ἂν* F *ἂν εἰπὼν* PV

τοῦ τυράννου· τὰς δ' αἰτίας ἐφ' αἷς ἀπέθανεν, Ἀντιφῶντι μᾶλλον ἢ Διονυσίῳ προσγράφουσι· διεφαύλιζε γὰρ τὰς τοῦ Διονυσίου τραγῳδίας, ἐφ' αἷς ἐκεῖνος ἐφρόνει μεῖζον ἢ ἐπὶ τῷ τυραννεύειν. σπουδάζοντος δὲ τοῦ τυράννου περὶ εὐγενείας χαλκοῦ καὶ ἐρομένου τοὺς παρόντας, τίς ἤπειρος ἢ νῆσος, ἢ τὸν ἄριστον χαλκὸν φύει, περιτυχὼν ὁ Ἀντιφῶν τῷ λόγῳ „ἐγὼ ἄριστον," ἔφη, „οἶδα τὸν Ἀθήνησιν, οὗ γεγόνασιν αἱ Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνες". ἐπὶ μὲν δὴ τούτοις ἀπέθανεν, ὡς ὑφέρπων τὸν Διονύσιον καὶ τρέπων ἐπ' αὐτὸν τοὺς Σικελιώτας.

CIX. Περὶ Ἀνδροκλείδου.

Ἀνδροκλείδης, ὁ τοῦ Συνεσίου τοῦ Λυδοῦ τοῦ Φιλαδελφέως υἱός, ἐπὶ Πορφυρίου τοῦ φιλοσόφου ἐδίδασκεν, ἐπειδὴ μέμνηται αὐτοῦ ἐν τῷ περὶ τοῦ ἐμποδὼν τεχνολογῶν.

CX. Περὶ Ἀπολλωνίου υἱοῦ Ἀρχεβούλου.

Ἀπολλώνιος Ἀρχεβούλου ἢ Ἀρχεβίου. ἔγραψε περὶ λέξεων Ὁμηρικῶν κατὰ στοιχεῖον.

Ποιηταί.

CXI. Περὶ Ἀγαθίου.

Ἀγαθίας, σχολαστικὸς Μυριναῖος, τὴν μετὰ Προκόπιον ἱστορίαν συνέγραψε· συνέταξε καὶ ἔμμετρα βι-

CIX. Hesych. (Suid.) V. Eud. p. 75 CX. Hesych. (Suid.) CXI. Hesych. (Suid.)

4 *τυραννεύειν* F *τυραννεῖν* P V 6 *ἢ* addidi ex F om. PV 8 *οἶδα* recte F om. PV 12 *Λυδοῦ* S *Ληδοῦ* PV Post 17 tit. *Ποιηταί* P praebet, om. V 18 *Μυριναῖος* cum S scribendum, *Σμυρναῖος* PV. Ceterum more suo uberior est S

βλία καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακὰ καὶ τὸν κύκλον τῶν νέων ἐπιγραμμάτων, ὧν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν. συνήκμασε δὲ Παύλῳ τῷ Σιλεντιαρίῳ καὶ Μακεδονίῳ τῷ ὑπάτῳ καὶ Τριβουνιανῷ, ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.

CXII. *Περὶ Ἀλέξιδος τοῦ κωμικοῦ.*

Ἄλεξις Θούριος, κωμικός [ὅστις πρότερον Σύβαρις ἐκαλεῖτο]. ἐδίδαξε δράματα σμε΄· γέγονε πάτρως Μενάνδρου τοῦ κωμικοῦ· ἔσχεν υἱὸν Στέφανον, καὶ αὐτὸν κωμικόν.

CXIII. *Περὶ Ἀλκαίου τοῦ τραγικοῦ.*

Ἀλκαῖος, Ἀθηναῖος τραγικός, ὅν τινες θέλουσι πρῶτον τραγικὸν γεγονέναι.

CXIV. *Περὶ Ἀλκαίου τοῦ κωμικοῦ.*

Ἀλκαῖος, Μιτυληναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ἔγραψε δράματα δέκα.

CXV. *Περὶ Ἀλκμᾶνος.*

Ἀλκμὰν Λάκων, ἀπὸ Μεσσόας, λυρικός, εὑρετὴς τῶν ἐρωτικῶν μελῶν. ἔγραψε βιβλία ς΄ μέλη, καὶ Κολυμβώσας, πρῶτος εἰσήγαγε τὸ μὴ ἑξαμέτροις μελῳδεῖν. κέχρηται Δωρίδι διαλέκτῳ ὡς Λακεδαιμόνιος.

CXII—CXV. Hesych. (Suid.)

---

4 *Μακεδονίῳ* P *Μακεδωνίῳ* V 6 Verba *ὅστις — ἐκαλεῖτο* cum Bernhard. I, p. 106 uncis circumsepsi; huc ex deteriore Suidae libro translata sunt 10 *ὅν τινες* S *ὅντινα* PV Haec librariorum neglegentia obscurata esse perspexit Bernhardy; neque enim poetam tragicum sed fabulae *Κωμῳδοτραγῳδίας* principem Alcaeum habitum esse monuit. V. Meinek. hist. com. Gr. p. 257. Wachsmuth. Symbol. Bonn. p. 146 not. 27 12 *εἶτα Ἀθηναῖος* add. S et paulo infra *υἱὸς δὲ Μίκκου* 14 perverse ex uno poeta lyrico duos fecit S

CXVI. *Περὶ Ἀνακρέοντος.*

Ἀνακρέων Τήϊος, λυρικός. ἔγραψεν ἐλεγεῖα καὶ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ, καὶ παροίνια μέλη καὶ τὰ καλούμενα Ἀνακρεόντεια.

CXVII. *Περὶ Ἀναξανδρίδου.*

Ἀναξανδρίδης Ἀναξάνδρου, Ῥόδιος, ἐκ Καμείρου, γεγονὼς ἐν τοῖς ἀγῶσι Φιλίππου τοῦ Μακεδόνος. ἔγραψε δράματα ξε΄, καὶ πρῶτος οὗτος ἔρωτας καὶ παρθένων φθορὰς ὁ παμμίαρος εἰσήγαγεν.

CXVIII. *Περὶ Ἀναξίππου.*

Ἀνάξιππος, κωμικὸς τῆς νέας κωμῳδίας, ἤκμασεν ἐπὶ Ἀντιγόνου καὶ Δημητρίου τοῦ Πολιορκητοῦ.

CXIX. *Περὶ Ἀντιμάχου.* 61

Ἀντίμαχος Κολοφώνιος, υἱὸς Ὑπάρχου, ποιητὴς καὶ γραμματικός, γέγονε πρὸ τοῦ Πλάτωνος.

καὶ ἕτερος Ἀντίμαχος Ἡλιοπολίτης, ἀπ᾽ Αἰγύπτου, ὃς ἔγραψε Κοσμοποιΐαν ἐν ἔπεσιν ἡρωϊκοῖς.

CXX. *Περὶ Ἀντιφάνους τοῦ κωμικοῦ.*

Ἀντιφάνης, Σμυρναῖος, κατὰ δὲ Διονύσιον Ῥόδιος, κωμικὸς τῆς μέσης κωμῳδίας. ἔγραψε κωμῳ-

CXVI.—CXX. Hesych. (Suid.)

---

2 *καὶ* correxi, *ἤτοι* male PV plura de Anacreonte attulit S 7 *ὀλυμπιάδ ρα΄. κατὰ δέ τινας Κολοφώνιος* add. S infra *ὁ παμμίαρος* ab honesta femina additum abest S 10 *τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Παννάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι, ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου* add. S infra *γψ* post *ἡρωικοῖς* add. S 14 Verba cum S transposui, *Σμυρναῖος κωμικός* PV *Δημοφάνους, οἱ δὲ Στεφάνου καὶ μητρὸς Οἰνύης, Κιανός,* mox *ἀπὸ δούλων ὥς τινες, κατὰ τὴν ἐνενηκοστὴν τρίτην ὀλυμπιάδα — νίκας δὲ εἶλε ιγ* add. S

δίας τξε΄, οἱ δὲ σπ΄. παῖδα ἔσχε Στέφανον, καὶ αὐτὸν κωμικόν. τελευτᾷ ἐν Κίῳ, οδ΄ ἐτῶν ὑπάρχων, κατά τινα τύχην ἀπίῳ βληθείς.

Καὶ ἕτερος Ἀντιφάνης Ἀθηναῖος κωμικός, νεώτερος τοῦ Παναιτίου, ἔγραψε κωμῳδίας λ, οἱ δὲ πεντήκοντα.

Καὶ ἄλλος, Καρύστιος, τραγικός.

CXXI. *Περὶ Ἀπολλοδώρου.*

Ἀπολλόδωρος, Γελῷος, κωμικός, σύγχρονος τοῦ κωμικοῦ Μενάνδρου. δράματα αὐτοῦ φέρονται Δευσοποιός, Ἱέρεια, Ἀποκαρτερῶν ἢ Φιλάδελφοι, Αἰσχρίων, Ψευδαίας, Σίσυφος, Γραμματειδιοποιός.

CXII. *Περὶ Ἀπολλωνίου τοῦ Σιλλέως.*

Ἀπολλώνιος, Ἀλεξανδρεύς, ἐπῶν ποιητής, διατρίψας ἐν Ῥόδῳ, υἱὸς Σιλλέως, μαθητὴς Καλλιμάχου, ἐπὶ Πτολεμαίου τοῦ Εὐεργέτου, σύγχρονος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου, καὶ διάδοχος Ἐρατοσθένους ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

CXXI—CXXII. Hesych. (Suid.)

---

4 Post *Παναιτίου* inserui *ἔγραψε — πεντήκοντα*, quae PV in exitu articuli exhibent, quoniam secutus sum Bernhard. I p. 491 scribentem ex Toupii coniectura *Καρύστιος τραγικός*, qua de re cf. D. Volkmann. Quaest. nov. p. IX not. 10, *ἔγραψε — πεντήκοντα* om. S 7 *Γελῷος* ex S correxi *γελῷος* PV 8 *Δευσοποιός — Αἰσχρίων — Ψευδαίας — Γραμματειδιοποιός* S *Δευσοποιοί — Αἰσχίων — Ψευδέας — Γραμματόδειπνος* PV in exitu *ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων* add. S 12 *Σιλλέως* S *Σόλλεως* P *Σολλέως* V 14 *Ἐφορίωνος* P corr. V 15 Totum locum ex S emendavi, *διάδοχος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου* perverse commiscuit librarius secutus est V. Ct. Meinek. Anal. Al. p. 10

CXXIII. *Περὶ Ἀπολλοφάνους.*

Ἀπολλοφάνης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. δράματα αὐτοῦ Δαλίς, Ἰφιγέρων, Κρῆτες, Δανάη, Κένταυροι.

CXXIV. *Περὶ Ἀπολλοδώρου.*

Ἀπολλόδωρος Ταρσεύς, τραγικός. δράματα αὐτοῦ Ἀκανθοπλήξ, Τεκνοκτόνος, Ἱκέτιδες, Ὀδυσσεύς, Ἕλληνες, Θυέστης.

CXXV. *Περὶ Ἀράτου.* 62

Ἄρατος Σολεὺς τῆς Κιλικίας, υἱὸς Ἀθηνοδώρου, ἀκουστὴς ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους, φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου, ἐπὶ Ἀντιγόνου, βασιλέως Μακεδονίας, σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ, ἐποποιός. συνέταξε βιβλία ταῦτα· τὰ Φαινόμενα, ὕμνους εἰς Πᾶνα, Σπονδοφόρους, Παίγνια, Ἀστρολογίαν καὶ Ἀστροθεσίαν, σύνθεσιν φαρμάκων θηριακῷ ἐπιτηδείων, Ἀνθρωπογονίαν, ἔτι Θυτικὸν εἰς Θεόπροπον, εἰς Ἀντίγονον Ἠθοποιΐας, ἐπιστολάς, ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου, ἀνατομὴν εἰς Πανσανίαν τὸν Μακεδόνα, ἐπικήδειον Κλεομβρότου, διόρθωσιν Ὀδυσσείας, ἐπιστολὰς ὁμοίως καταλογάδην.

CXXIII—CXXV. Hesych. (Suid.)

---

2 *Δαλίς* S *Δάλις* PV 5 *Ἀκανθοπλήξ* et *Τεκνοκτόνος* S *Ἀκανθόπληξ* et *Τεκτοκτόνος* PV 14 *θηριακῷ ἐπιτηδείων* scripsi cum S *ἰατρῷ ἐπιτηδείαν* PV 15 *ἔτι Θυτικόν* proposuit Bernhard. I p. 688 *Ἐπιθυτικόν* SPV

Γραμματικοί.

CXXVI. *Περὶ Ἄβρωνος τοῦ γραμματικοῦ.*

Ἄβρων, γραμματικός, Φρὺξ ἢ Ῥόδιος, μαθητὴς Τρύφωνος, ἐσοφίστευσεν ἐν Ῥώμῃ. γέγονεν ἐκ δούλων, ὥς φησιν Ἕρμιππος.

CXXVII. *Περὶ Ἀκύλου.*

Ἀκύλας γραμματικὸς καὶ μουσικός.

CXXVIII. *Περὶ Ἀλεξάνδρου τοῦ γραμματικοῦ.*

Ἀλέξανδρος ὁ Μιλήσιος, ὃς καὶ Πολυΐστωρ καὶ Κορνήλιος ἐπεκλήθη, γραμματικός, τῶν Κράτητος μαθητῶν. συνέγραψε βιβλία ἀριθμοῦ κρείττω, καὶ περὶ Ῥώμης βιβλία πέντε. ἐν τούτοις λέγει, ὡς γυνὴ γέγονεν Ἑβραία Μωσώ, ἧς ἐστι σύγγραμμα ὁ παρ' Ἑβραίοις νόμος.

CXXIX. *Περὶ Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ γραμματικοῦ.*

Ἀλέξανδρος Αἰτωλός, [γραμματικός] ἐκ Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός. ἔγραψε καὶ τραγῳδίας, ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι, οἵπερ ἐπεκλήθησαν ἡ Πλειάς.

CXXX. *Περὶ Ἀντέρωτος.*

Ἀντέρως ὁ καὶ Ἀπολλώνιος, Ἀλεξανδρεὺς γραμματικός· ἐπαίδευσεν ἐν Ῥώμῃ ἐπὶ Κλαυδίου, τοῖ με-

CXXVI—CXXX. Hesych. (Suid.) CXXVI. brevius tradidit Zonaras lex. I, p. 7

---

3 Müller III, p. 35 not. 6 *Κορνήλιος* S *Κορνίλιος* PV. *ἐπεκλήθη* add. ex S om. PV. De vita Alexandri plura dedit S 11 *γραμματικός* utpote lectoris neglegentis manu additum seclusi

τὰ Γάϊον βασιλεύσαντος. φέρονται β′ βιβλία περὶ 63
γραμματικῆς.

CXXXI. Περὶ Ἀπίωνος.

Ἀπίων ὁ Πλειστονίκου, ὁ ἐπικληθεὶς Μόχθος, Αἰγύπτιος, κατὰ δὲ Ἑλικώνιον Κρής, γραμματικός· μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου, ἠκηκόει καὶ Εὐφράνορος γηραιοῦ καὶ ὑπὲρ ἑκατὸν ἔτη γεγονότος, Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσεν ἐπὶ Τιβερίου Καίσαρος καὶ Κλαυδίου ἐν Ῥώμῃ, διάδοχος Θέωνος τοῦ γραμματικοῦ καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνασσέως. ἔγραψεν ἱστορίαν κατ᾽ ἔθνος καὶ ἄλλα τινά.

CXXXII. Περὶ Ἀπολλοδώρου.

Ἀπολλόδωρος Ἀσκληπιάδου, γραμματικός, εἷς τῶν τοῦ Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος. ἦρξε δὲ πρῶτος τῶν καλουμένων Τραγιάμβων.

CXXXIII. Περὶ τοῦ Ἀπολλωνίου.

Ἀπολλώνιος Ἀλεξανδρεύς, ὁ κληθεὶς δύσκολος, πατὴρ Ἡρωδιανοῦ τοῦ τεχνογράφου καὶ δαιμονίου τῆς γραμματικῆς. ἔγραψε περὶ μερισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία δ′, περὶ ῥήματος, ἤτοι ῥηματικὸν ἐν βιβλίοις ε′, περὶ τῶν εἰς μι ληγόντων ῥημάτων

CXXXI—CXXXIII. Hesych. (Suid.)

---

1 ἐφ᾽ οὗπερ καὶ Ἡρακλείδης ὁ Ποντικὸς γέγονεν, ἀκουστὴς δὲ ἦν Ἀπίωνος τοῦ Μόχθου add. S Ἀπίονος PV 7 θρεπτοῦ coni. E. Rohde. De potestate vocis θρεπτός v. Schmidt. Didym. p. 7 13 τοῦ om. S 18 περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν δ add. S mox ῥηματικὸν S ῥηματικῶν PV

παραγώγων βιβλίον ἕν, περὶ ὀνομάτων, ἤτοι ὀνοματικὸν ἕν, περὶ ὀνομάτων κατὰ διάλεκτον, περὶ τῆς ἐν θηλυκοῖς ὀνόμασιν εὐθείας ἕν, περὶ συγκριτικῶν, καὶ περὶ διαλέκτων Δωρίδος, Ἰάδος, Αἰολίδος, Ἀτθίδος, περὶ σχημάτων Ὁμηρικῶν, περὶ κατεψευσμένης ἱστορίας, περὶ παθῶν, περὶ τόνων κατηναγκασμένων βιβλία β', περὶ τόνων σκολιῶν βιβλίον ἕν, περὶ προσῳδιῶν ε', περὶ στοιχείων, περὶ προθέσεων, περὶ διαφορουμένων, περὶ τοῦ τίς, περὶ γενῶν, περὶ πνευμάτων, περὶ κτητικῶν, περὶ συζυγίας.

CXXXIV. *Περὶ τοῦ Ἀριστάρχου.*

Ἀρίσταρχος, Ἀλεξανδρεὺς θέσει, τῇ δὲ φύσει Σαμοθρᾴξ, ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, οὗ καὶ τὸν υἱὸν ἐπαίδευσε. λέγεται δὲ γράψαι ὑπὲρ ω' βιβλία ὑπομνημάτων μόνων. μαθητὴς γέγονεν Ἀριστοφάνους τοῦ γραμματικοῦ.

64 CXXXV. *Περὶ Ἀριστονίκου.*

Ἀριστόνικος, Ἀλεξανδρεὺς γραμματικός, ἔγραψε περὶ τῶν σημείων τῶν ἐν τῇ Θεογονίᾳ Ἡσιόδου, καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, ἀσυντάκτων ὀνομάτων βιβλία ς'.

CXXXVI. *Περὶ Ἀριστοφάνους.*

Ἀριστοφάνης, γραμματικός, Βυζάντιος, υἱὸς Ἀπελλοῦ, Καλλιμάχου μαθητὴς καὶ Ζηνοδότου, πρὸς δὲ

CXXXIV—CXXXVI. Hesych. (Suid.)

---

1 *ὀνομάτων* S [*ῥημάτων* PV *ὀνοματικόν* hic et infra S *ὀνομαστικὸν* V *ἤτοι μαστικὸν* P 6 *περὶ τῶν Διδύμου πιθανῶν, περὶ συνθέσεως* add. S 12 *τοῦ* add. P om. V multo uberiorem vitam prodidit S 21 *ἡγουμένου στρατιωτῶν* add. S idem post *Ζηνοδότου* habet *ἀλλὰ τοῦ μὲν νέος, τοῦ δὲ παῖς*

τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου καὶ Εὐφρονίδα τοῦ Κορινθίου.

CXXXVII. Περὶ Ἀρκαδίου.

Ἀρκάδιος, γραμματικὸς Ἀντιοχεύς, ἔγραψε περὶ ὀρθογραφίας, περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, ὀνοματικὸν θαυμάσιον.

CXXXVIII. Περὶ Ἀρχιβίου.

Ἀρχίβιος Ἀπολλωνίου, γραμματικός, τῶν Καλλιμάχου ἐπιγραμμάτων ἐξήγησιν ἔγραψε.

Καὶ ἕτερος Ἀρχίβιος Πτολεμαίου, Λευκάδιος ἢ Ἀλεξανδρεύς, γραμματικὸς τῶν ἕως Τραϊανοῦ ἐν Ῥώμῃ παιδευσάντων.

CXXXIX. Περὶ Ἀσκληπιάδου.

Ἀσκληπιάδης Μυρλεανός (πόλις ἐστὶ Βιθυνίας, ἡ νῦν Ἀπάμεια, τὸ ἄνωθεν γένος Νικαεύς), γραμματικός, μαθητὴς Ἀπολλωνίου, γέγονε δὲ ἐπὶ Ἀττάλου. ἔγραψε διορθωτικὰ βιβλίων φιλοσόφων.

CXL. Περὶ Ἀστυάγους.

Ἀστυάγης γραμματικός. τέχνην γραμματικὴν ἔγραψε, περὶ διαλέκτων, περὶ μέτρων, κανόνας ὀνοματικούς, καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

CXXXVII—CXL. Hesych. (Suid.)

ἤκουσε, in fine articuli γέγονε δὲ κατὰ τὴν ρμδʹ ὀλυμπιάδα 9 τοῦ Καίσαρος add. S 13 Διοτίμου add. S idem Ἀττάλου καὶ Εὐμενοῦς τῶν ἐν Περγάμῳ βασιλέων duorum virorum vitas confundens. Cf. Lehrs. Herod. p. 428 16 περὶ μέτρων, κανόνας ὀνοματικούς S περὶ μέτρων κανόνας, ὀνοματικούς PV

Ἰατροί.

CXLI. Περὶ Ἀριστογένους τοῦ ἰατροῦ.

Ἀριστογένης, Θάσιος ἰατρός. ἔγραψε βιβλία τριάκοντα, ἐκρίθη δὲ περὶ διαίτης ἕν, περὶ δυνάμεως δύο, περὶ δακέτων δ', περὶ σπέρματος δύο, ὑγιεινὸν ἕν, ἐπιστολικά, ἐπιτομὴν φυσικῶν βοηθημάτων πρὸς Ἀντίγονον.

65 CXLII. Περὶ Ἀριστογένους τοῦ Κνιδίου.

Ἀριστογένης, ἰατρὸς Κνίδιος, δοῦλος Χρυσίππου τοῦ φιλοσόφου, ἰάτρευσεν Ἀντίγονον τὸν Γονατᾶ.

CXLIII. Περὶ Ἀρχιγένους.

Ἀρχιγένης, ἰατρός, Φιλίππου υἱὸς τοῦ ἰατροῦ, Ἀπαμεὺς Συρίας, ἰατροῦ Ἀγαθίνου μαθητής, ἐπὶ Τραϊανοῦ ἰατρέυσας ἐν Ῥώμῃ, βιοὺς ἔτη πγ'. καὶ ἔγραψε πολλὰ ἰατρικά τε καὶ φυσικά.

CXLIV. Περὶ Ἀψύρτου.

Ἄψυρτος, Προυσαεὺς ἢ Νικομηδεύς, ἰατρὸς καὶ στρατιώτης, στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. ἔγραψεν ἱππιατρικὸν βιβλίον καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων ἐν βιβλίοις τέσσαρσιν.

CXLI—CXLIV. Hesych. (Suid.)

Tit. Ἰατροὶ ex P addidi om. V 1 κδ S 2 π. δ. ἓν S 3 utroque loco ἓν S 8 τοῦ ἰατροῦ hic et infra om. S 10 ξγ' S 12 ἢ ex S addidi om. PV ἰατρὸς καὶ om. S 16 ἐν βιβλίοις τέσσαρσιν om. S, idem add. καὶ ἕτερα. ἔγραψε καὶ Κίμων (sed Σίμων leg.) Ἀθηναῖος ἱπποσκοπικὸν βιβλίον θαυμάσιον. Cf. Bernhard. praef. p. XXXI

Ῥήτορες.

CXLV. *Περὶ Ἀριστείδους τοῦ ῥήτορος.*

Ἀριστείδης ὁ ῥήτωρ, Ἀδριανεύς (Ἀδριανοὶ δὲ πόλις οὐ μεγάλη ἐν Μυσοῖς τῆς νῦν Βιθυνίας), υἱὸς Εὐδαίμονος, φιλοσόφου τε καὶ ἱερέως γενομένου, Ἀθῆναι δὲ αὐτὸν ἤσκησαν κατὰ τὴν τοῦ Ἡρώδου ἀκμὴν καὶ τὸ ἐν τῇ Ἀσίᾳ Πέργαμον κατὰ τὴν Ἀριστοκλέους γλῶσσαν. ἐγένετο δὲ ἐπὶ Μάρκου τοῦ αὐτοκράτορος τεχνικώτατος πάντων τῶν τότε σοφιστῶν καὶ πολὺς ἐν θεωρήμασιν. ὅθεν καὶ τοῦ σχεδιάζειν ἀπηνέχθη, τὸ γὰρ κατὰ θεωρίαν βούλεσθαι προάγειν πάντα, ἀσχολεῖ τὴν γνώμην καὶ ἀπαλλάττει τοῦ ἑτοίμου. ἀποθανεῖν δὲ τὸν Ἀριστείδην οἱ μὲν ἑξηκοντούτην, οἱ δὲ ἑβδομηκοντούτην, καίπερ νοσώδη ἐκ μειρακίου γενόμενον καὶ τοῦ πονεῖν μὴ ἀμελήσαντα. τὴν μὲν οὖν ἰδέαν τῆς νόσου, καὶ ὅτι τὰ νεῦρα αὐτῷ ἐπεφρίκει, ἐν ἱεροῖς βιβλίοις αὐτὸς φράζει· τὰ δὲ βιβλία ταῦτα ἐφημερίδων ἐπέχει τινὰ αὐτῶν λόγον, αἱ δὲ ἐφημερίδες ἀγαθοὶ διδάσκαλοι τοῦ περὶ παντὸς εὖ διαλέγεσθαι.

CXLVI. *Περὶ Ἀριστογείτονος.*

Ἀριστογείτων Κυδιμάχου, Ἀθηναῖος ῥήτωρ, ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγόν, πρὸς Λυκοῦργον, κατὰ Τιμοθέου, κατὰ Τιμάρχου, κατὰ Ὑπε-

CXLV. Philostrat. Vit. II, 9 CXLVI. Hesych. (Suid.)

Tit. *Ῥήτορες* ex P addidi, om. V 7 *τότε* P *τοτὲ* V 19 *ἢ Λυσιμάχου* et post *ῥήτωρ* verba *μητρὸς δὲ ἀπελευθερικῆς· ὅστις ἐπεκαλεῖτο κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ, ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων* add. S

ρίδου, κατὰ Θρασύλλου, ὀρφανικὸν συνέγραψε, καὶ ἄλλα πλεῖστα.

66 CXLVII. *Περὶ Ἀπολλωνίου τοῦ Ναυκρατίτου.*

Ἀπολλώνιος ὁ Ναυκρατίτης, Ἀδριανοῦ μὲν καὶ Χρήστου τῶν ῥητόρων ἀκροατὴς ἐγένετο, ἀμφοῖν δὲ ἀφέστηκεν ὅσον οἱ μὴ ἀκούσαντες. ἐπαίδευσεν ἐναντία Ἡρακλείδῃ τῷ ῥήτορι, τὸν Ἀθήνησι θρόνον κατειληφότι. λόγου δὲ ἐπεμελήθη πολιτικοῦ καὶ εὖ κεκολασμένου, ἧττον δὲ ἀγωνιζομένου· περιβολὴ γὰρ ἄπεστιν αὐτοῦ καὶ πνεῦμα. ἐτελεύτησεν Ἀθήνησιν ἑβδομηκοντούτης, τὴν ἐξ ἁπάντων Ἀθηναίων εὔνοιαν ἔχων ἐντάφιον.

CXLVIII. *Περὶ Ἀριστοκλέους.*

Ἀριστοκλῆς, Περγαμηνός, σοφιστής, ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ, τὸν ἐκ παίδων εἰς ἥβην χρόνον, τοὺς ἀπὸ τοῦ Περιπάτου φιλοσοφήσας λόγους, εἰς τοὺς σοφιστὰς μετερρύη, θαμίζων ἐν τῇ Ῥώμῃ Ἡρώδῃ τῷ ῥήτορι διατιθεμένῳ σχεδίους λόγους. ἐτελεύτησε δὲ μεσαιπόλιος, ἄρτι προσβαίνων τῷ γηράσκειν, συνθεὶς τέχνην ῥητορικήν, ἐπιστολάς, περὶ ῥητορικῆς βιβλία πέντε, μελέτας πρὸς τὸν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

CXLIX. *Περὶ Ἁρποκρατίωνος.*

Ἁρποκρατίωνες περὶ τὰ ῥητορικὰ τρεῖς λέγονται γενέσθαι, ὁ μὲν Αἴλιος, γράψας περὶ τῶν δοκούντων

CXLVII. Philostrat. Vit. II, 19 CXLVIII. Hesych. (Suid.) *τὸν ἐκ παίδων — γηράσκειν* Philostrat. Vit. II, 3 CXLIX. Hesych. (Suid.)

---

1 *καὶ ἄλλα πλεῖστα* om. S 5 *μὴ* F *μὴ δὲ* P *μηδὲ* V 9 Sic scripsi *ἐτελεύτα* F *ἐτελεύτησε* PV

τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ ὑποθέσεις τῶν λόγων Ὑπερίδου, περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν, περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, περὶ τέχνης ῥητορικῆς, περὶ ἰδεῶν. ὁ δὲ Γάϊος, περὶ τῶν Ἀντιφῶντος σχημάτων, περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων, καὶ ἕτερα. ὁ δὲ τρίτος, ὁ καλούμενος Βαλέριος, Ἀλεξανδρεύς, λέξεις τῶν δέκα ῥητόρων, ἀνθηρῶν συναγωγήν.

CL. *Περὶ Ἀσπασίων τῶν σοφιστῶν.*

Ἀσπάσιοι τρεῖς σοφισταὶ ἐγένοντο. ὁ μὲν Τύριος σοφιστὴς ἱστορικός· ἔγραψε περὶ Ἠπείρου, καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις εἴκοσι, περὶ τέχνης ῥητορικῆς καὶ ἄλλα. ὁ δὲ Ῥαβενναῖος Δημητριανοῦ τοῦ κριτικοῦ, μαθηματικοῦ, καὶ εὖ γινώσκοντος τοὺς ῥητορικοὺς τῶν λόγων, υἱὸς καὶ μαθητής, ἠκροάσατο δὲ καὶ Παυσανίου καὶ Ἱπποδρόμου, πολυμαθὴς δὲ ἦν καὶ φιλόπονος, καὶ πολυήκοος, εἰς τὸ μὲν καινοπρεπὲς ἐπαινῶν, εἰς ἀπειροκαλίαν δὲ οὐδαμοῦ ἐκπίπτων ὑπὸ τοῦ ἐν καιρῷ χρῆσθαι οἷς γινώσκει. ἐπαίδευσεν ἐν Ῥώμῃ ἐπὶ Ἀλεξάνδρου τοῖ 67 *Μαμαίας ἱκανῶς γηράσκων. συνέγραψε λόγους διαφόρους πρὸς τοὺς φιλολοιδόρους καὶ πρὸς Ἀρίστωνα.*

CL. Hesych. (Suid.) *πολυμαθὴς — γινώσκει* Philostrat. Vit. II '32 *ἐπαίδευσεν* — exit. Hesych. (Suid.)

---

7 *ἀνθηρῶν* S *ἀνθηρὰν* PV 10 *Ἠπείρου* S *ἠπείρου* PV 13 *μαθηματικοῦ* om. S 14 *καὶ εὖ γινώσκοντος τοὺς κριτικοὺς τῶν λόγων* habet Philostrat., om. S Cf. etiam vitam Athenod. p. 51, in qua verba extrema hinc fluxisse videntur, mox *υἱὸς καὶ* om. S, sed recte se habere Philostrati verbis probatur 17 *ἐπαινῶν* F *ἐπαινεῖν* PV

ὁ δὲ τρίτος Βύβλιος, σύγχρονος Ἀριστείδῃ καὶ Ἀδριανῷ, ἔγραψε περὶ Βύβλου, περὶ στάσεων ἐσχηματισμένων, μελέτας, τέχνας, ὑπομνήματα, λαλιάς, ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.

CLI. Περὶ Ἀφαρέως τοῦ ῥήτορος.

Ἀφαρεύς, Ἀθηναῖος, ῥήτωρ, υἱὸς τοῦ σοφιστοῦ Ἱππίου, πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος, ἀκμάσας κατὰ τὴν ἐνενηκοστὴν πέμπτην Ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

CLII. Περὶ Ἀψίνου.

Ἀψῖναι τρεῖς φαίνονται· ὁ μὲν Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου υἱός. ὁ δὲ Γαδαρεύς, πρεσβύτερος τοῦ Ὀνασίμου, σπαρείς, ὡς λόγος, ἐκ Πανός· μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίστευσεν Ἀθήνησι, βασιλεύσαντος Μαξιμίνου, ὑπατικοῦ λαβὼν ἀξίωμα. ὁ δὲ Ἀθηναῖος, ἀξιόλογος σοφιστής, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ, τοῦ πατρὸς Ἀψίνου.

CLIII. Περὶ Αἰσώπου τοῦ σοφιστοῦ.

Αἴσωπος, Μιθριδάτου ἀναγνώστης, σοφιστής. ἔγραψε περὶ Ἑλένης, ἐν ᾧ φησι Πᾶνα ἰχθὺν κητώδη καλεῖσθαι (ἐν τούτῳ δὲ ἀστερίτην λίθον εὑρίσκεσθαι,

CLI.—CLIII. Hesych. (Suid.)

6 *καὶ Πλαθάνης* add. S 10 *νεώτερος τοῦ Γαδαρέως Ἀψίνου* add. et infra *πρεσβύτερος τοῦ Ὀνασίμου* om. S 13 *Ἀθήνησι* S *Ἀθήνῃσιν* PV *βασιλεύοντος* S mox *ἀξιόλογος* om. S 14 *Μαξιμίνου, ὑπατικοῦ λαβὼν ἀξίωμα* S *Μαξιμιανοῦ ὑπατικοῦ, λαβὼν ἀξ.* perperam PV 18 *κητώδη* S *κυτώδη* PV 19 *τὸν ἀστερίτην* S

ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα), ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.

CLIV. *Περὶ Ἀρισταινέτου.*

Ἀρισταίνετος ῥήτωρ. ἔγραψεν ἱστορίαν Αἰγυπτίων, καὶ περὶ τῶν τοῦ Νείλου ἀγαθῶν.

Ποιηταί.

CLV. *Περὶ Ἀρριανοῦ τοῦ ποιητοῦ.*

Ἀρριανὸς ἐποποιός, μετέφρασε τὰ τοῦ Βεργιλίου γεωργικὰ ἐπικῶς, καὶ ἄλλα πολλὰ εἰς Ἄτταλον τὸν Περγαμηνόν.

CLVI. *Περὶ Ἀρίωνος.* 68

Ἀρίων, Μηθυμναῖος, λυρικός, Κυκλέως υἱός, μαθητὴς Ἀλκμᾶνος. ἔγραψεν ᾄσματα, προοίμια εἰς ἔπη β′. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορον στῆσαι, καὶ διθύραμβον ᾆσαι, καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. φυλάττει τὸ ω.

CLVII. *Περὶ Ἀριστέου.*

Ἀριστέας Δημοχάριδος ἢ Καυστροβίου, Προκοννήσιος, ἐποποιός. συντέθηκε τὰ Ἀριμάσπεια καλου-

CLIV. Nonn. II, 32 CLV.—CLVII. Hesych. (Suid.)

5 *Βεργιλίου* S *Βεργιλλίου* PV *μετάφρασιν τῶν γεωργικῶν — ποιήσας* S 6 *καὶ ἄλλα πολλὰ* om. S, qui praeterea enumerat *Ἀλεξανδριάδα* (*ἔστι δὲ τὰ κατὰ τὸν Μακεδόνα ἐν ῥαψῳδίαις κδ′*) et in fine add. *ποιήματα* 8 *Μυθημναῖος* P corr. V *γέγονε κατὰ τὴν λη′ ὀλυμπιάδα* add. S 12 *καὶ ἐπὶ γενικῆς* add. S 14 *Προκοννήσιος* S *Προικονήσιος* PV. Ceterum v. Kinkel I, p. 244, qui Eudociae locum neglexit

μενα ἔπη (ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία τρία), ἔγραψε καὶ Θεογονίαν πάνυ καλῶς.

CLVIII. Περὶ Ἀριστομένους.

Ἀριστομένης Ἀθηναῖος κωμικός, τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν, ὀλυμπιάδι πζ'· ἐπεκλήθη θυροποιός.

CLIX. Περὶ Ἀριστωνύμου.

Ἀριστώνυμος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἥλιος ῥιγῶν· καὶ ἄλλα πολλὰ συγγράμματα αὐτοῦ εὑρίσκονται λόγου ἄξια.

CLX. Περὶ Ἀρχεδίκου.

Ἀρχέδικος, κωμικός· τῶν δραμάτων αὐτοῦ ἔστι Θησαυρός. [Ἀρχέδικος κωμῳδιογράφος, ὃς κατὰ Δημοχάρους ἔγραψε, τοῦ ἀνεψιαδοῦ Δημοσθένους.]

CLXI. Περὶ Ἀστυδάμαντος τοῦ τραγικοῦ.

Ἀστυδάμας, Ἀθηναῖος, τραγικός, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων. ἔγραψε τραγῳδίας σμ', ἐνίκησε δὲ ιε', ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους, καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

CLVIII.—CLXI. Hesych. (Suid.)

---

2 τούτου φασὶ τὴν ψυχήν, ὅτε ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, ὀλυμπιάδι ν' add. S infra πάνυ καλῶς om. S, qui add. καταλογάδην εἰς ἔπη ᾳ 5 Πελοποννησιακῶν, ὀλυμπιάδι πζ' rectius S Πελοποννησιακῶν Ὀλυμπιάδων πζ' PV 8 ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς reliquis omissis add. S 12 ὡς Ἀθήναιός φησιν ἐν τοῖς Δειπνοσοφισταῖς add. S. Quae sequitur alteram eiusdem Archedici vitam ex Suidae lexico interpolator apposuit, solita dicendi ratione prorsus neglecta. Hinc corrigas Untersuch. p. 166. ἀνεψιοῦ PV

[CLXII. *Περὶ Ἀρχίππου.*

Ἄρχιππος, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος.]

CLXIII. *Περὶ Ἀστυδάμαντος τοῦ νέου.* 69

Ἀστυδάμας ὁ νέος, τραγικὸς καὶ αὐτός, υἱός τοῦ προτέρου. δράματα αὐτοῦ Ἡρακλῆς σατυρικός, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

CLXIV. *Περὶ τοῦ Αὐγούστου Καίσαρος.*

Αὔγουστος Καῖσαρ Ὀκταβιανός, ὁ καὶ Σεβαστὸς ἐπικληθείς, τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως συντέθηκε, καὶ περὶ τοῦ ἰδίου βίου καὶ πράξεων βιβλία ιγ'.

CLXV. *Περὶ Αὐγέου τοῦ κωμικοῦ.*

Αὐγέας, Ἀθηναῖος, κωμικός. τῶν δραμάτων αὐτοῦ Ἄγροικος, Πορφύρα, Δίς κατηγορούμενος. ἔστι δὲ τῆς μέσης κωμῳδίας.

CLXVI. *Περὶ Ἀχιλλέως τοῦ ποιητοῦ.*

Ἀχιλλεὺς Στάτιος, Ἀλεξανδρεύς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις η'. γέγονεν ἔσχατον χριστιανὸς καὶ ἐπί-

CLXII. Suidas CLXIII.—CLXVI. Hesych. (Suid.)

---

1 *ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ρα' Ὀλυμπιάδος* add. S. Hanc quoque vitam et propter violatum literarum ordinem et propter proximi articuli verba *υἱὸς τοῦ προτέρου* Eudociam non inseruisse patet, quapropter interpolatorem addidisse verisimile est. Cf. D. Volkmann. Quaest. nov. p. VI. De poeta Archippo disseruit Meineke, Quaest. Scen. II, p. 45 seq. 3 *Ἡρακλῆς, Σατυρικός* PV 11 *Πορφύρα* S *Πυρφόρα* PV

σκοπος. ἔγραψε δὲ περὶ σφαίρας καὶ ἐτυμολογίας, καὶ ἱστορίαν σύμμικτον πολλῶν καὶ μεγάλων θαυμασίων ἀνδρῶν μνημονεύουσαν· ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς.

CLXVII. *Περὶ Αὐτοκράτους.*

Αὐτοκράτης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ Τυμπανισταί· ἔγραψε καὶ τραγῳδίας πολλάς.

CLXVIII. *Περὶ Ἀχαιοῦ τοῦ τραγικοῦ.*]

Ἀχαιὸς Πυθοδώρου ἢ Πυθοδωρίδου, Ἐρετριεὺς τραγικός, ἦν δὲ νεώτερος Σοφοκλέους. ἐδίδαξε δράματα ξδ'.

Καὶ ἕτερος Ἀχαιὸς Συρακούσιος νεώτερος. ἔγραψε τραγῳδίας δέκα καὶ τέσσαρας.

CLXIX. *Περὶ Αἰνίκου.*

Αἴνικος, Ἀθηναῖος, κωμικός· ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ Ἄντεια.

CLXVII.—CLXIX. Hesych. (Suid.)

---

1 *δὲ* S *καὶ* PV. Ceterum de fide huius articuli cf. quae exposuit E. Rohde, Griech. Roman p. 470   8 *Πυθοδωρίδου* Bernhardy, *Πυθοδώριδος* omnes libri   9 *γέγονε κατὰ τὴν οδ' ὀλυμπιάδα καὶ δράματα ἐδίδαξε μδ', οἱ δὲ λ' ἱστορήκασιν, ἄλλοι κδ'. ἐνίκησε δὲ ἕν. ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινί, ἐπεδείκνυντο δὲ κοινῇ σὺν καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ' ὀλυμπιάδος* S   12 *δέκα* S   13 *Εὔνικος* hic et apud Suidam substituendum esse ad aliorum exemplum monuit Bergk. Lit. Gr. I, p. 293 not. 50 (sed cf. quae idem docuit in Mus. Rhen. XXXIV, p. 309 not.)   14 *δραμάτων* tentavit Meinek. Quaest. Scen. II, p. 56, in quo *τῶν* desideravit Bernhardy I, 2, p. 39. Post *Ἄντεια* nonnulla in libris excidisse videntur. — *ἔστι δὲ καὶ Αἴνιος σοφιστής, οὗ τινὸς βιβλία αἱ Μετάβολοι* add. S

CLXX. *Περὶ Αἰσχρίωνος.* 70

Αἰσχρίων, Μιτυληναῖος, ἐποποιός. συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου, ἦν δὲ Ἀριστοτέλους γνώριμος καὶ ἐρώμενος, ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀριστοτέλους μαθητῶν ὑφηγεῖται.

Φιλόσοφοι.

CLXXI. *Περὶ Ἀρκεσιλάου τοῦ Ἀκαδημαϊκοῦ.*

Ἀρκεσίλαος Σεύθου ἢ Σκύθου, ὁ τῆς μέσης Ἀκαδημίας κατάρξας πρῶτος, ἐπισχὼν τὰς ἀποφάσεις διὰ τὰς ἐναντιότητας τῶν λόγων, πρῶτος δὲ καὶ εἰς ἑκάτερον ἐπεχείρησε, καὶ πρῶτος τὸν λόγον ἐκίνησε τὸν ὑπὸ Πλάτωνος παραδεδομένον. καὶ ἐποίησε δι' ἐρωτήσεως καὶ ἀποκρίσεως ἐριστικώτερον. ἤκουσε δὲ καταρχὰς μὲν Αὐτολύκου τοῦ μαθηματικοῦ πολίτου τυγχάνοντος, πρὶν ἀπαίρειν εἰς Ἀθήνας, μεθ' οὗ καὶ εἰς Σάρδεις ἀπεδήμησεν, ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μουσικοῦ, μεθ' ὃν Θεοφράστου διήκουσεν. ἔπειτα μετῆλθεν εἰς Ἀκαδημίας πρὸς Κράντορα. διήκουσε δὲ καὶ Ἱππονίκου τοῦ γεωμέτρου, ὃν καὶ ἔσκωψε, τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐπτῆναι. τοῦτον καὶ παρακόψαντα ἀναλαβὼν οἴκοι ἐς τοσοῦτον ἐθεράπευσεν ἐς ὅσον ἀποκαταστῆσαι. Κράτητος δὲ ἐκλιπόντος, κατέσχε τὴν

CLXX. Hesych. (Suid.). Eadem breviter narrat Zonaras p. 73 CLXXI. Diogenes Laert. IV, 6

---

3 Müller IV, p. 462 4 *ὑφηγεῖται* om. S 16 *ἔσκοψε* P corr. V

σχολήν, ἐκχωρήσαντος αὐτῷ Σωκρατίδου τινός. διὰ δὲ τὸ περὶ πάντων ἐπέχειν οὐδὲ βιβλίον, φασί τινες, ἐνέγραψεν, οἱ δέ, ὅτι ἐφωράθη τινὰ κατορθῶν, ἅ φασιν οἱ μὲν ἐκδοῦναι, οἱ δὲ κατακαῦσαι. ἐῴκει δὴ θαυμάζειν καὶ τὸν Πλάτωνα, καὶ τὰ βιβλία ἐκέκτητο αὐτοῖ. ἀλλὰ καὶ τὸν Πύρρωνα κατά τινας ἐζηλώκει, καὶ τῆς διαλεκτικῆς εἴχετο, καὶ τῶν Ἐρετρικῶν ἥπτετο λόγων, ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ' Ἀρίστωνος· πρόσθε Πλάτων, ὄπισθε δὲ Πύρρων, μέσος Διόδωρος. ἥπτετο δὲ καὶ ποιητικῆς καὶ ἀπεδέχετο πάντων μᾶλλον Ὅμηρον, οὗ καὶ εἰς ὕπνον ἰὼν πάντως τι ἀνεγίνωσκεν, ἀλλὰ καὶ ὄρθρου λέγων ἐπὶ τὸν ἐρώμενον ἀπιέναι, ὁπότ' ἂν βούλοιτο ἀναγνῶναι. τόν τε Πίνδαρον ἔφασκε δεινὸν εἶναι φωνῆς ἐμπλῆσαι, καὶ ὀνομάτων καὶ ῥημάτων εὐπορίαν παρασχεῖν. Ἴωνα δὲ καὶ ἐχαρακτήριξε νέος ὤν· ἦν δὲ ἀξιοματικώτατος καὶ συνηγμένος καὶ ἐν τῇ λαλιᾷ διαστατικὸς τῶν ὀνομάτων, ἐπικόπτης θ'
71 ἱκανῶς καὶ παρρησιαστής, ἀγαθὸς δὲ σφόδρα, ὥς φησι Τίμων, καὶ ἐλπίδων ὑποπιμπλὰς τοὺς ἀκούοντας. ἔν τε τῷ βίῳ κοινωνικώτατος ἐγένετο, καὶ εὐεργετῆσαι πρόχειρος ἦν, καὶ λαθεῖν τὴν χάριν ἀτυφότατος. ἐτελεύτησε δὲ περὶ τὴν εἰκοστὴν καὶ ἑκατοστὴν ὀλυμπιάδα, ἤδη γεγονὼς ἔτος πέμπτον καὶ ἑβδομηκοστόν.

CLXXII. *Περὶ Ἀρριανοῦ τοῦ φιλοσόφου.*

Ἀρριανὸς Νικομηδεύς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδρια-

CLXXII. Hesych. (Suid.)

---

20 κοινωνικώτατος recte P κοινικώτατος V

νοῦ καὶ Μάρκου καὶ Ἀντωνίνου. ἔγραψε βιβλία παμπληθῆ.

CLXXIII. *Περὶ Ἀριγνώτης τῆς φιλοσόφου.*

Ἀριγνώτη, μαθήτρια Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία, φιλόσοφος Πυθαγορική. συνέταξε τάδε· Βακχικά, ἔτι δὲ περὶ τῶν τῆς Δήμητρος μυστηρίων· ἐπιγράφεται δὲ καὶ ἱερὸς λόγος. ἔγραψε δὲ καὶ τελετὰς Διονύσου καὶ ἄλλα φιλόσοφα.

CLXXIV. *Περὶ Ἀριστοκλέους.*

Ἀριστοκλῆς Λαμψακηνός, φιλόσοφος στωϊκός. ἔγραψεν ἐξήγησιν τῶν Χρυσίππου περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα, βιβλία τέσσαρα.

Καὶ ἕτερος Ἀριστοκλῆς, Μεσσήνιος τῆς Ἰταλίας, φιλόσοφος περιπατητικός, συνέταξε περὶ φιλοσοφίας βιβλία δέκα, πότερον σπουδαιότερος Ὅμηρος ἢ Πλάτων (καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν), ἔγραψε καὶ τεχνὰς ῥητορικάς, περὶ Σαράπιδος, ἠθικὰ βιβλία ἐννέα.

CLXXIII. et CLXXIV. Hesych. (Suid.)

---

1 *τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα* add. S 4 *Σαμία* uncinis circumsepsit Bernhardy I, p. 714, quia absit AE, forte ex Eudociae lexico in nonnulla Suidae exemplaria migravit; mox *ἔτι δὲ* iure flagitavit Bernhardy, *ἔστι δὲ* SPV 5 *μυστηρίων· ἐπιγράφεται δὲ καὶ* scripsit Bernhardy cum Lobeck. Aglaoph. I, p. 359 vulgatam lectionem *μυστηρίων ἐπιγράμματα· γράφεται* a dittographia profectam suspicante 9 *ἔγραψεν* S *ἔγραψε* PV 14 *καταλέγει* seq. certe ad librum *περὶ φιλοσοφίας* spectant

CLXXV. *Περὶ Ἀριστίππου.*

Ἀρίστιπποι τέσσαρες γεγόνασι. πρῶτος Ἀριτάδου ἀπὸ Κυρήνης, φιλόσοφος, Σωκράτους ἀκουστής, ἀφ᾽ οὗπερ ἡ Κυρηναϊκὴ αἵρεσις ἤρξατο, περὶ οὗ τε ὁ λόγος. καὶ δεύτερος ὁ τὰ περὶ Ἀρκαδίας γεγραφώς. τρίτος ὁ μητροδίδακτος, θυγατριδοῦς τοῦ πρώτου. τέταρτος ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας. ὁ δὲ Κυρηναϊκὸς ἀφιγμένος Ἀθήναζε κατὰ κλέος Σωκράτους, πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσεπράξατο, καὶ ἀπέστειλε χρήματα τῷ διδασκάλῳ. καί ποτε πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἔλαβεν, εἰπόντος Σωκράτους, τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν, ἐδυσχέραινε γὰρ ἐπὶ τούτῳ. Διονυσίου δὲ τοῦ τυράννου
72 *προσπτύσαντος αὐτῷ, ἠνέσχετο. μεμψαμένου δὲ τινος, ὁ Ἀρίστιππος „εἶτα οἱ μὲν ἁλιεῖς“ εἶπεν, „ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ ἵνα κωβιὸν θηράσωσιν, ἐγὼ δὲ μὴ ἀνάσχωμαι κράματι ῥανθῆναι, ἵνα βλέννον λάβω;“ τοῦτον παριόντα ποτὲ λάχανα πλύνων Διογένης ἔσκωψε, καί φησιν „εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες“, ὁ δὲ „καὶ σύ,“ εἶπεν, „εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες“, ὅθεν καὶ Διογένης βασιλικὸν κύνα ἔλεγεν αὐτόν. ἦν δὲ καὶ ἑλέσθαι καὶ καταφρονῆσαι ὁ Ἀρίστιππος πολύς. διὸ καὶ παρὰ Διονυσίῳ τῶν ἄλλων*

CLXXV. Diogenes Laert. II, 8

---

1 *γεγόνασι* F *γεγόνασιν* PV Patris *Ἀριταδου* nomen neque in nostris Diogenis Laertii exemplaribus neque in Suidae lexico legitur. V. Nietzsche in Mus. Rhen. XXIV, p. 214 14 *ὁ Ἀρίστιππος* om. F 16 *κράμματι* mox *βλένον* PV 17 *παριόντα* P consentiente F *προσιόντα* V

εὐδοκίμει μᾶλλον. καί ποτε Στράτωνα λέγουσι πρὸς αὐτὸν εἰπεῖν „σοὶ μόνῳ δέδοται καὶ χλαμύδα φορεῖν καὶ ῥάκος". Ξενοφῶν τ' εἶχε πρὸς αὐτὸν δυσμενῶς, διὸ καὶ τὸν κατὰ τῆς ἡδονῆς λόγον Σωκράτει κατὰ Ἀριστίππου περιτέθεικεν. οὐ μὴν ἀλλὰ καὶ Θεόδωρος ἐν τῷ περὶ αἱρέσεων ἐκάκισεν αὐτόν, καὶ Πλάτων ἐν τῷ περὶ ψυχῆς. ἦν δὲ καὶ ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμοδίως ὑποκρίνασθαι. ἐρωτηθεὶς δέ ποτε, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη „τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν". φέρεται δὲ βιβλία αὐτοῦ τρία μὲν ἱστορίας τῶν κατὰ Λιβύην, ἀπεσταλμένα παρὰ Διονυσίῳ, ἓν δέ, ἐν ᾧ διάλογοι πέντε καὶ εἴκοσιν, οἱ μὲν Ἀτθίδι, οἱ δὲ Δωρίδι διαλέκτῳ γεγραμμένοι.

CLXXVI. *Περὶ τοῦ Ἀριστοξένου.*

Ἀριστόξενος, υἱὸς Μνησίου τοῦ Σπινθάρου, μουσικοῦ ἀπὸ Τάραντος τῆς Ἰταλίας, διατρίψας ἐν Μαντινείᾳ φιλόσοφος γέγονε, καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς καὶ Λάμπρου τοῦ Ἐρυθραίου εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου, καὶ τέλος Ἀριστοτέλους, ἐπὶ Ἀλεξάνδρου, σύγχρονος Δικαιάρχῳ τῷ

CLXXVI. Hesych. (Suid.)

2 χλανίδα F nescio an melius 5 περιτέθηκεν PV 9 ἁρμονίως PV 16 τοῦ καὶ S 21 εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον Θεόφραστον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς Ἀριστοτέλους ἔχοντος. γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων, ὡς εἶναι ἀπὸ τῆς ρια' ὀλυμπιάδος add. S

Μεσσηνίῳ. συνετάξατο μουσικὰ καὶ φιλόσοφα καὶ ἱστορίας.

CLXXVII. *Περὶ Ἀρνούφιος.*

Ἄρνουφις, Αἰγύπτιος, φιλόσοφος ἐπὶ Μάρκου, ἐξαίφνης πεποίηκε γενέσθαι ὑετόν.

CLXXVIII. *Περὶ Αἰσχίνου τοῦ φιλοσόφου.*

Αἰσχίνης Χαρίνου ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. διάλογοι δὲ αὐτοῦ φέρονται Μιλτιάδης, Καλλίας, Ῥίνων, Ἀσπασία, Ἀξίοχος, Τηλαύγης, Ἀλκιβιάδης, καὶ οἱ καλούμενοι ἀκέφαλοι Φαίδων, Πο-
73 *λύαινος, Δράκων, Ἐρυξίας, περὶ ἀρετῆς, Ἐρασίστρατος, Σκυθικοί.*

CLXXIX. *Περὶ Ἀρχελάου τοῦ φιλοσόφου.*

Ἀρχέλαος Ἀθηναῖος, πατρὸς Ἀπολλοδώρου, μαθητὴς Ἀναξαγόρου, καὶ Σωκράτους διδάσκαλος. οὗτος πρῶτος εἶπε φωνῆς γένεσιν τὴν τοῦ ἀέρος πλῆξιν, τὴν δὲ θάλασσαν ἐν τοῖς κοίλοις διὰ τῆς γῆς ἠθουμένην συνεστᾶναι, καὶ μέγιστον τῶν ἄστρων τὸν ἥλιον, καὶ τὸ πᾶν ἄπειρον. πρῶτός τε ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε, καὶ ἐκλήθη φυσικός, παρ' ὃ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσάγοντος. ἔοικε δὲ καὶ οὗτος ἅψασθαι τῆς ἠθικῆς, καὶ γὰρ περὶ νόμων πε-

CLXXVII et CLXXVIII. Hesych. (Suid.)   CLXXIX. Diogenes Laert. II, 4

---

2 *καὶ παντὸς εἴδους παιδείας, καὶ ἀριθμοῦνται αὐτοῦ τὰ βιβλία εἰς υνγ'* add. S   4 historiam uberius exornavit S   5 *τινὲς δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον Σφήττιον* add. S

φιλοσόφηκε καὶ καλῶν καὶ δικαίων, παρ' οὗ λαβὼν Σωκράτης τῷ αὐξῆσαι το εὑρεῖν ὑπελήφθη. ἔλεγε δὲ δύο αἰτίας εἶναι γενέσεως, θερμὸν καὶ ψυχρόν, καὶ τὰ ζῶα ἀπὸ τῆς ἰλύος γεννηθῆναι· καὶ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ. ὁ δὲ λόγος αὐτῷ οὕτως ἔχει· τηκόμενόν φησι τὸ ὕδωρ ὑπὸ τοῦ θερμοῦ, καθὸ μὲν εἰς τὸ πυρῶδες συνίσταται, ποιεῖν γῆν, καθὸ δὲ περιρρεῖ, ἀέρα γεννᾶν, ὅθεν ἡ μὲν ὑπὸ τοῦ ἀέρος, ὁ δὲ ὑπὸ τῆς τοῦ πυρὸς περιφορᾶς κρατεῖται. γεννᾶσθαι δέ φησι τὰ ζῶα ἐκ θερμῆς τῆς γῆς καὶ ἰλὺν παραπλησίαν γάλακτι οἷον τροφὴν ἀνιείσης, οὕτω δὲ καὶ τοὺς ἀνθρώπους ποιῆσαι.

CLXXX. *Περὶ Ἁρποκρατίωνος.*

Ἁρποκρατίων Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος. ἔγραψεν ὑπομνήματα εἰς Πλάτωνα ἐν βιβλίοις κδ', λέξεις Πλάτωνος ἐν βιβλίοις δυσίν.

CLXXXI. *Περὶ Ἀφρικανοῦ.*

Ἀφρικανός, ὁ Σέξτος χρηματίσας, φιλόσοφος Λίβυς, ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδ'· εἰσὶ δὲ οἱονεὶ φυσικά, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινων χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τούτου ἔγραψεν Ὠριγένης ἔνστασιν ποιησαμένου περὶ τοῦ τῆς Σωσάννης βιβλίου τοῦ εἰς τὸν Δανιήλ.

CLXXX et CLXXXI. Hesych. (Suid.)

---

14 *ὑπόμνημα* S   17 *Σέξτος* S *Σέκτωρ* PV   19 *ἐκ λόγων* S *ἐκλόγων* PV   22 *ποιησαμένου* S *ποιησάμενος* PV

CLXXXII. *Περὶ Ἀναχάρσιδος.*

Ἀνάχαρσις ὁ Σκύθης Γνούρου μὲν ἦν υἱός, ἀδελφος δὲ Καδουΐδα τοῦ Σκυθῶν βασιλέως, μητρὸς δὲ
74 *Ἑλληνίδος, διὸ καὶ δίγλωττος ἦν. οὗτος ἐποίησε τῶν τε παρὰ τοῖς Σκύθαις νομίμων καὶ τῶν παρὰ τοῖς Ἕλλησιν εἰς εὐτέλειαν βίου, καὶ τὰ κατὰ τὸν πόλεμον, ἔπη ὀκτακόσια. παρέσχε δὲ καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παρρησιαστὴς εἶναι, τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. λέγει δὲ αὐτὸν Σωσικράτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὴν τεσσαρακοστὴν ἑβδόμην Ὀλυμπιάδα, ἐπὶ ἄρχοντος Εὐκράτου, Ἕρμιππος δὲ πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενον τῶν θεραπόντων τινὶ κελεῦσαι μηνῦσαι, ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις καὶ βούλοιτο αὐτὸν θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτιπερ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται, ἔνθεν ὁ Ἀνάχαρσις ἐλθών, ἔφη, νῦν αὐτὸς ἐν τῇ πατρίδι εἶναι, καὶ προσήκειν αὐτῷ ξένους ποιεῖσθαι. ὁ δὲ καταπλαγεὶς τὴν ἑτοιμότητα εἰσέφρικεν αὐτόν, καὶ μέγιστον φίλον ἐποιήσατο. μετὰ χρόνον δὲ παραγενόμενος εἰς Σκυθίαν καὶ νομίζων τὰ νόμιμα παραλύειν τῆς πατρίδος, πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, τοξευθεὶς ἐν κυνηγεσίῳ πρὸς τοῦ ἀδελφοῦ τελευτᾷ, εἰπὼν διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι.*

CLXXXII. Diogenes Laert. I, 8.

---

2 *Καδουΐδα* F *Καδουΐδου* PV 8 *Σωσικράτης* P *Σωκράτης* V v. Müller III, p. 40

CLXXXIII. *Περὶ Ἀρτεμιδώρου.*

Ἀρτεμίδωρος Δαλδιανός (Δάλδις, πόλις Λυδίας), φιλόσοφος. ἔγραψεν ὀνειροκριτικὰ ἐν βιβλίοις τέσσαρσιν, οἰωνοσκοπικὰ καὶ χειροσκοπικά.

CLXXXIV. *Περὶ Ἀρχιμήδους.*

Ἀρχιμήδης, Τραλλιανός, φιλόσοφος. ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον, καὶ μηχανικά, καὶ εἴς τινας τοῦ Πλάτωνος διαλόγους.

CLXXXV. *Περὶ Ἀρχύτου.*

Ἀρχύτας Μνησαγόρου Ταραντῖνος, Πυθαγορικός. οὗτός ἐστιν ὁ ῥυσάμενος Πλάτωνα δι' ἐπιστολῆς παρὰ Διονυσίου τοῦ τυράννου μέλλοντα ἀναιρεῖσθαι, ἐθαυμάζετο δὲ καὶ παρὰ τοῖς πολλοῖς ἐπὶ πάσῃ ἀρετῇ, καὶ δὴ ἑπτάκις τῶν πολιτῶν ἐστρατήγησε, τῶν ἄλλων μὴ πλέον ἐνιαυτοῦ στρατηγούντων, διὰ τὸ κωλύειν τὸν νόμον. πρὸς τοῦτον καὶ Πλάτωνος φαίνονται ἐπιστολαί.

CLXXXVI. *Περὶ Ἀριστάνδρου τοῦ μάντεως.* 75

Ἀρίστανδρος ὁ μάντις, Σεύθου υἱός, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως. ἔγραψε περὶ μαντι-

CLXXXIII et CLXXXIV. Hesych. (Suid.) CLXXXV. Diogenes Laert. VIII, 4 CLXXXVI. Hesych.? *στρατεύοντος — ἔφασκεν* Eustath. Dion. 747

---

1 *ἡ δὲ Δαλδὶς* ex S add. V om. P *Δάλδις* S 3 *οἰονοσκοπικὰ* P corr. V 6 *καὶ εἴς τινας τοῦ Πλάτωνος διαλόγους* om. S v. Bernhard. praef. p. XXXI 13 *π. τ. κ. Πλάτων γέγραφεν ἐπιστολὰς δύο* F. Post CLXXXV Eudocia vel librarius vitam Androclidis ex p. 59 paucis mutatis repetivit, itaque margini subiicio *Ἀνδροκλείδης, ὁ τοῦ Συνεσίου τοῦ Λυδεντοῦ Φιλαδελφέως υἱός· οὗτος ἐπὶ Πορφυρίου τοῦ φιλοσόφου ἐδίδασκεν ἐν Ἀλεξανδρείᾳ· καὶ μέμνηται αὐτοῦ ἐν τῷ περὶ τοῦ ἐμποδῶν τεχνολογῶν*

κῆς βιβλία δέκα. στρατεύοντος δὲ τοῦ Ἀλεξάνδρου περὶ τὸν Ὦξον ποταμὸν τῆς Σουγδιάδος γῆς, οὐ μακρὰν τῆς αὐτοῦ σκηνῆς πηγὴ ὕδατος εὕρηται, καὶ ἄλλη ἐλαίου πλησίον αὐτῆς. ὁ δὲ μάντις συστρατεύων αὐτῷ ἔφη, ὅτι πόνων τέ ἐστι σημεῖον τοῦ ἐλαίου ἡ πηγή (ἀθλούντων γὰρ ἄλειμμα τὸ ἔλαιον), ἀλλὰ καὶ νίκην ἐπὶ τοῖς πόνοις σημαίνειν ἔφασκεν.

75 *Ἱστορίαι.*

CLXXXVII. *Περὶ Ἀπατουρίων.*

Ἀπατούρια ἑορτὴ ἐπίσημος καὶ δημοτελής, ἀγομένη παρὰ Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα, ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν, ἐπειδὴ οἱ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο, τὴν δὲ δευτέραν ἀνάῤῥυσιν, ἀπὸ τοῦ θύειν (ἔθυον δὲ Διῒ Φρατρίῳ καὶ Ἀθηνᾷ), τὴν δὲ τρίτην κουρεῶτιν, ἀπὸ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας, ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκου. ἡ δὲ αἰτία, πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις, Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην, οὐ δεξαμένου δέ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος τὸ γένος, ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ· μονομαχούντων δέ, ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξανθίου, τρα-

CLXXXVII. Schol. Ar. Acharn. 146 (Suid.; similia affert Schol. Ar. Pac. 890; Bekker, Anecd. p. 417; eundem locum descripsit Arsen. Viol. p. 64)

Post 7 tit. Ἱστορίαι ex P addidi, ubi tamen hic titulus vitiose ante CLXXXVIII legitur, om. V

γῆν, τουτέστι αἰγίδα μέλαιναν, ἐνημμένος. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα, ὁ δὲ ἐπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια καὶ Διονύσου μελαναιγίδος ἐδωμήσαντο. οἱ δέ φασιν, ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων, διὰ τὰς τῶν παίδων ἐγγραφάς, οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν, ὁποίῳ τρόπῳ λέγομεν τὴν ὁμόλεκτρον καὶ ἄκοιτιν, τὴν ὁμόκοιτον, οὕτω καὶ ὁμοπατόρια.

CLXXXVIII. Περὶ τοῦ ἅπαγ' εἰς Μακαρίαν λεγομένου. 76

Ἅπαγ' εἰς Μακαρίαν παροιμιῶδες λέγεται δι' αἰτίαν τοιάνδε· Μακαρία Ἡρακλέους θυγάτηρ κατὰ τὴν ἐπὶ τὰς Ἀθήνας Εὐρυσθέως στρατείαν, τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας, πρὸς τὸν τοῦ Ἐλέου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος, τοὺς Ἀθηναίους νικήσειν, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτόν, κατέσφαξεν ἑαυτήν, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν πολυτελῶς ἔθαψαν, καὶ τὸν τάφον αὐτῆς ἄνθεσι καὶ στεφάνοις τιμῶντες, ὡς τῶν Ἀργείων ἡττηθέντων, ἐπέλεγον τὸ ἅπαγ' εἰς Μακαρίαν. λέγεται δὲ καὶ ἔρρ' εἰς Μακαρίαν, καὶ βάλλ' εἰς Μακαρίαν, κατ' εὐφημισμόν, ἀντὶ τοῦ εἰς ὄλεθρον, ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται, ἢ ἀντὶ τοῦ εἰς δειλαιότητα. ἔνιοι δὲ καὶ Μακαρίαν ἐν Ἅιδου χωρίον διατυποῦσιν.

CLXXXVIII. Schol. Ar. Equ. 1148 (Suid.). V. Eud. p. 284

---

2 ἐπεστράφη F ἀπεστράφη PV 4 ἐδωμήσαντο P consentiente F ἐδομήσαντο V. Utramque lectionem servavit etiam Arsenius 9 παροιμιῶδες F παροιμιωδῶς PV 16 αὐτῶν P corr. V

CLXXXIX. *Πόθεν Αὔσονες οἱ Ἰταλοὶ λέγονται.*

Αὔσονες δὲ οἱ Ἰταλοὶ λέγονται ἀπὸ Αὔσονος, ὃς πρῶτος τῶν κατὰ Ῥώμην βασιλεῦσαι πρός τινων ἱστορεῖται, Ὀδυσσεῖ γεγονὼς ἐκ τῆς Κίρκης, ἢ κατὰ τὸν τὰ Ἐθνικά γράψαντα ἐκ Καλυψοῦς γεννηθεὶς τῷ Ἄτλαντι, ἀφ' οὗ καὶ τὸ Σικελικὸν πέλαγος Αὐσόνιον ἐκλήθη ποτέ, ὡς καὶ Ἰταλοὶ ἀπό τινος Ἰταλοῦ.

CXC. *Περὶ τῆς Αἰνείου ἀρχῆς καὶ τοῦ τούτου εἰς Ἰταλίαν ἀπόπλου.*

Αἰνείαν τὸν Ἀγχίσου τινὲς μέν φασιν μετὰ τοῦ πατρὸς καὶ Ἀσκανίου τοῦ παιδὸς λαὸν ἀθροῖσαι καὶ πλεῦσαι εἰς Σικελίαν, ἐκεῖθεν δὲ εἰς τὴν Λατίνην χώραν ἐλθεῖν κατά τι λόγιον καὶ ἐκεῖ οἰκῆσαι. ἕτεροι δὲ αὐτόν φασι περὶ τὸν Μακεδονικὸν Ὄλυμπον οἰκῆσαι, ἄλλοι δὲ εἰς Σικελίαν καθᾶραι. Ὅμηρος δὲ ἐμφαίνει ἐν Τροίᾳ μεῖναι αὐτόν, καὶ διαδεξάμενον τὴν ἀρχὴν παραδεδωκέναι τοῖς παισίν, ἠφανισμένων τῶν Πριαμιδῶν·

Ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων,

καὶ τὰ ἑξῆς. οἱ δὲ μεθ' Ὅμηρον τοῦτο ἐν τῇ τῶν Λατίνων χώρᾳ γενέσθαι βούλονται· καί τινες γράφουσι

Νῦν δὲ δὴ Αἰνείαιο γένος πάντεσσιν ἀνάξει,
Καὶ παίδων παῖδες,

CLXXXIX. Eustath. Dion. 78 CXC. Eustath. Il. p. 1285

---

4 Steph. Byzant. v. *Αὔσων* In tit. post 6 *τῆς* add. P om. V 14 *παραδεδοκέναι* P corr. V 16 Il. XX, 306 19 v. 307 seq. scil. pro *βίῃ Τρώεσσιν ἀνάξει*; cf. Schol. ad h. v. *ἀνάξειν* P corr. V

τοὺς Ῥωμαίους λέγοντες, παρ' οἷς τὸν Αἰνείαν καὶ καταστρέψαι τὸν βίον φασίν. 77

CXCI. *Ἀρκεσιλάου γενεαλογία.*

Διὸς καὶ Εὐρυοδίας γενεαλογοῦσιν Ἀρκείσιον, αὐτοῦ δὲ καὶ Χαλκομεδούσης Λαέρτην, τοῦ δὲ καὶ Ἀντικλείας Ὀδυσσέα, οὗ καὶ Πηνελόπης Τηλέμαχον, αὐτοῦ δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν, ὡς Ἡσίοδος. Ἀριστοτέλης δὲ καὶ Ἑλλάνικος Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι, τὴν Ἀλκινόου, καὶ γεννῆσαι τὸν Περσέπτολιν. τινὲς δὲ καὶ τοιούτοις λόγοις ἐνευκαιροῦσιν· ἐκ Κίρκης υἱοὶ καθ' Ἡσίοδον Ὀδυσσεῖ Ἄγριος καὶ Λατῖνος, ἐκ δὲ Καλυψοῦς Ναυσίθοος καὶ Ναυσίνοος. ὁ δὲ Τηλεγόνειαν γράψας Κυρηναῖος ἐκ μὲν Καλυψοῦς Τηλέγονον υἱὸν Ὀδυσσεῖ ἀναγράφει ἢ Τηλέδαμον, ἐκ δὲ Πηνελόπης Τηλέμαχον καὶ Ἀρκεσίλαον. κατὰ δὲ Λυσίμαχον υἱὸς αὐτῷ ἐξ Εὐίππης Θεσπρωτίδος Λεοντόφρων, ὃν ἄλλοι Δόρυκλόν φασιν. Σοφοκλῆς δὲ ἐκ τῆς αὐτῆς Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος.

CXCII. *Περὶ τοῦ Ἀτρέως.*

Ἀτρεὺς βασιλεύων τῆς Πελοποννήσου ηὔξατό ποτε, ὅτι ἂν κάλλιστον ἐν τοῖς ποιμνίοις αὐτοῦ γεννηθῇ, τοῦτο Ἀρτέμιδι θῦσαι. γεννηθείσης δὲ αὐτῷ

CXCI. Eustath. Od. p. 1796. V. Eud. p. 394 CXCII. Schol. Ven. Il. II, 105

---

3 *Ἀρκείσιον* F *Ἀρκεσίλαον* PV 7 Hes. fr. 138 Hell. fr. 141 Müller 11 *καὶ Ναυσίνοος* rectius add. F om. PV. V. Hes. Theog. 1013 12 Kinkel I, p. 58 15 Müller III, p. 339 16 *Θεοπρώτιδος* PV 17 fr. 204 Nauck 20 *αὐτοῦ* P et F *αὐτοῦ* V

χρυσῆς ἀρνὸς τῆς εὐχῆς μετημέλησε, καὶ καθείρξας αὐτὴν εἰς λάρνακα ἐφύλαττε. μέγα δέ τι φρονῶν ἐπὶ τῷ κτήματι κομπάζει κατὰ τὴν ἀγοράν. ἀνιώμενον δὲ ἐπὶ τούτῳ Θυέστην ὑπελθόντα, ὡς ἐρῶντα, πεῖσαι Ἀερόπην ἐκδοῦναι αὐτῷ τὸ κτῆμα, λαβόντα δὲ ἀντειπεῖν τῷ ἀδελφῷ, ὡς οὐ δεόντως περὶ τοῦ τοιούτου κομπάζει, αὐτὸς δὲ ἔλεγεν, ἐν τῷ πλήθει δεῖν καὶ τὴν βασιλείαν ἔχειν τὸν τὴν χρυσῆν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντος καὶ Ἀτρέως, Ζεὺς Ἑρμῆν πέμπει πρὸς Ἀτρέα, συνθέσθαι λέγων περὶ τῆς βασιλείας, καὶ δηλοῦν τὰ περὶ τῆς ἀνατολῆς, διότι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθεμένου δὲ περὶ τούτων, ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὰς ἐποιήσατο, ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τὴν Θυέστου πλεονεξίαν, τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε καὶ τὸν Θυέστην ἐφυγάδευσεν.

78 CXCIII. *Περὶ Ἀντιγόνης.*

Ἀντιγόνη Οἰδίποδος καὶ Ἰοκάστης ἀποθανόντα Πολυνείκην ἐν τῇ πρὸς τὸν ἀδελφὸν Ἐτεοκλέα μονομαχίᾳ (καὶ τοῦτον Κρέων ὁ πάτρως ἄταφον ἐκβαλὼν κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας) θάπτειν ἐφωράθη. καὶ δὴ λαθοῦσα τοὺς φύλακας καὶ εἰς μνημεῖον ἐνθεῖσα ἐπιβάλλει χῶμα· οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τὸν τοῦτο δράσαντα ἐξεύροιεν. οὗτοι τὴν κόνον τὴν ἐπιβεβλημένην καθαίροντες οὐδὲν ἧττον ἐφρούρουν. ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη καὶ γυμνὸν εὑροῦσα τὸν νεκρόν, ἀνοιμώξασα

CXCIII. Argum. Sophocl. Antig.

22 *ἐντεθεῖσα* PV

ἑαυτὴν εἰσαγγέλλει· ταύτην ὑπὸ τῶν φυλάκων παραδεδομένην Κρέων καταδικάζει καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν. ἐπὶ τούτοις Αἵμων, ὁ Κρέοντος υἱός, ὃς ἐμνᾶτο αὐτήν, ἀγανακτήσας ἑαυτὸν ἐπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου ταῦτα προθεσπίσαντος. ἐφ' ᾧ λυπηθεῖσα ἡ Εὐρυδίκη, ἡ Κρέοντος γαμετή, ἑαυτὴν κατασφάζει.

CXCIV. *Περὶ Ἁρμονίας τῆς Κάδμου γυναικός.*

Ἁρμονίαν, τὴν τῷ Κάδμῳ συνοικήσασαν, Ἄρεως καὶ Ἀφροδίτης ὁ μῦθος γενεαλογεῖ. Ἀρριανὸς δὲ Ἀσιανήν τε αὐτὴν οἶδε καὶ Δαρδάνου ἀδελφήν, φησὶ γὰρ „ὅτι Κάδμος ὑπὸ τοῦ πατρὸς κατὰ ζήτησιν τῆς ἀδελφῆς Εὐρώπης σταλεὶς καὶ πλανώμενος, περιπετὴς γέγονεν Ἁρμονίᾳ, τῇ τοῦ Δαρδάνου ἀδελφῇ, καὶ ἁρπάσας καὶ εἰς τὰς νῆας ἐνθέμενος, προσέσχε τῇ Βοιωτῶν γῇ· ἔνθα Θηβαίων ἐγένετο καρτερός, πλούτῳ τε εὐδοκιμῶν καὶ τῇ ἄλλῃ σοφίᾳ". περὶ ὧν μῦθός ἐστιν, ὡς ἄρα μετὰ λιπαρὸν γῆρας εἰς ὄφεων γένος ἠλλάξαντο, ἐπεὶ καὶ Κάδμος τὸν Ἄρεως ἀνεῖλέ ποτε ἐν Θήβαις δράκοντα, τὸν τῆς Δίρκης φύλακα. δηλοῖ δὲ ὁ λόγος, ὡς ἐξ Ἑλλάδος εἰς τὸν κόλπον τὸν κατὰ τὰ Κεραύνια ὄρη ἐλθόντες, ἐκεῖνοι μετέθεντο τὴν Ἑλληνικὴν χρηστοήθειαν· καὶ μετέπεσον ἐξ ἐπιεικείας πρεπούσης Ἕλλησιν εἰς σκολιὰ ἤθη καὶ οἷον ὀφεώδη καὶ βάρβαρα, παρὰ τὸ γῆρας δυσπραγήσαντες εἰς ἤθους μεταβολήν. καὶ ἔστιν ἐναλλαγῆναι αὐτοὺς εἰς ὄφεις, ὡς ἔπος εἰπεῖν, τὸ εἰς θηριωδίαν μεταμειφθῆ-

CXCIV. Eustath. Dion. 391

9 Müller III, p. 598

ναι. τὸν μέντοι Κέκροπά φασιν οἱ μῦθοι τοὐναντίον ἀπὸ ὄφεως εἰς ἄνθρωπον ἐλθεῖν, ἐπειδὴ ἐκεῖνος ἐλθὼν εἰς Ἑλλάδα καὶ τὸν βάρβαρον Αἰγυπτιασμὸν ἀφεὶς χρηστοὺς ἀνελάβετο τρόπους πολιτικούς.

79 CXCV. *Περὶ τῆς Ἀριάδνης.*

Ἀριάδνη θυγάτηρ Μίνωος τοῦ Κρητῶν βασιλέως. αὕτη ἠράσθη Θησέως τοῦ Ἀθηνῶν βασιλέως, ἐλθόντος ἐπ' ἀναιρέσει τοῦ Μινωταύρου. ἐκ τοῦ οὖν Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος καὶ ἀνήγαγεν ἐν τῇ Νάξῳ καὶ συνεμίγη αὐτῇ, καὶ πρὸς τιμὴν αὐτῆς στέφανον ἐν τῷ οὐρανῷ δι' ἀστέρων ὑπεζωγράφησεν.

CXCVI. *Περὶ Ἀγήνορος.*

Ἀγήνωρ, Φορωνέως υἱός. φησὶν Ἑλλάνικος παῖδας τρεῖς Φορονέως γενέσθαι, οἳ τοῦ πατρὸς θανόντος διενείμαντο τὴν Ἀργείαν. καὶ ἡ μὲν πρὸς Ἐρασινῷ τῷ ποταμῷ Πελασγῷ ἔλαχε, τῷ καὶ τὴν ἐκεῖ Λάρισσαν κτίσαντι, Ἰάσονι δὲ τὰ πρὸς Ἦλιν, Ἀγήνωρ δὲ ἀναλωθείσης τῆς γῆς τὴν πατρικὴν εἴληφεν ἵππον· ὅθεν ἐν τῷ αὐτῷ χρόνῳ ὠνομάσθη τὸ Ἄργος τριχῶς· Ἴασον, Πελασγικὸν καὶ Ἱππόβωτον. τινὲς δὲ μετὰ τὸν θάνατον τῶν δύο ἀδελφῶν ἐπιστρατεῦσαί φασι τὸν Ἀγήνορα, πολλὴν ἐπαγόμενον ἵππον, ἀφ' ἧς κληθῆναι τὸ Ἄργος Ἱππόβωτον.

CXCV. Nonn. II, 1 CXCVI. Eustath. Il. p. 385 (Phavorin.)

---

5 Ante CXCV in margine P haec genealogia apposita est *Ἥλιος γεννᾷ Αἰήτην, οὗ Μήδεια, Ἄψυρτος· Πασιφάην, τῆς καὶ Μίνωνος Ἀνδρόγεως Ἀριάδνη, Φαίδρα· Κίρκην, ἧς Τηλέγονος, Πασιφάη,* quam om. V 11 fr. 37

CXCVII. *Περὶ τοῦ Ἄργου.*

Ἄργος, εἷς τῶν Φρίξου παίδων, οὓς Ἡρόδωρός φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός, Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. καὶ οὗτος μέν φησιν αὐτοὺς τέσσαρας, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον, Ἐπιμενίδης δὲ καὶ πέμπτον προστίθησι Πρέσβωνα, τὸν δ' Ἄργον φασὶν εἰς ταῶνα μεταβεβλῆσθαι. διὰ τοῦτο λέγει Ἀριστοφάνης· Τηρεὺς γὰρ εἶ σύ; πότερον ὄρνις ἢ ταῶς; Τηρεὺς παρὰ τὸ τηρεῖν τὴν Ἰώ.

CXCVIII. *Περὶ τῆς Ἀργοῦς.*

Ἀργὼ ἡ ναῦς, ἀφ' ἧς καὶ οἱ Ἀργοναῦται. Ἄργος γὰρ ὑποθημοσύνῃσι τῆς Ἀθηνᾶς πεποίηκε τὴν Ἀργώ, ἀλλὰ οὐχ ὥσπερ αὐτῷ ἐκέλευσεν ὁ Πελίας ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ τοὺς Ἀργοναύτας. διὰ τοῦτο ὁ Ἀπολλώνιός φησιν Ἀθηνᾶς ὑποθημοσύνῃσι γενέσθαι αὐτήν. Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ· ταύτην δέ φασι πρώτην ναῦν γε-

CXCVII. Schol. Apoll. II. 1122 (Phavorin.) *διὰ τοῦτο* — exit. Schol. Ar. Aves 102 CXCVIII. Etym. M. p. 136, 31 *Ἄργος — Ἀργώ* Schol. Apoll. I, 18 *ἀλλὰ — αὐτὴν* Schol. Apoll. I, 224 *Φερεκύδης — ἐκλήθη* Schol. Apoll. I, 4 *ἢ ὅτι — Σαλαμίνιος* Tzetz. Lyc. 863 (Phavorin.)

---

1 Müller II, p. 37 2 fr. 31 Sturz 3 fr. 91 5 Kinkel I, p. 233, qui Eudociae locum praetermisit *τὸν δ' Ἄργον — μεταβεβλῆσθαι* ex schol. Aristoph. add. P iniuria om. V 9 Verba corrupta ex Arist. Av. 102 emendavi, *πότερον ὄρνις εἶ σύ, ὁ λεγόμενος Τηρεύς* PV cum F Extrema verba sic reposui ex frustulis in F et PV *παρὰ τὸ τηρεῖν τὴν Ἰώ, ἢ ταῶς*, quoniam verba *ἢ ταῶς* certe ex versu Aristophaneo huc delapsa sunt 11 *ὑποθυμοσύνῃσι* hic et infra P corr. V 14 Argon. I, 226 15 fr. 40 Sturz

νέσθαι μακράν. ἄλλοι δὲ λέγουσι, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου πρῶτον κατασκευάσαι, ὅθεν καὶ Δαναὶς ἐκλήθη, ἢ ὅτι ἐν Ἄργει ἐναυπηγήθη, ὥς φησιν Ἡγήσανδρος ὁ Σαλαμίνιος [ὑπὸ Ἄργου].

80 CXCIX. *Περὶ Ἀπίδων.*

Ἄπιδες θεοὶ ἦσαν τιμώμενοι παρ' Αἰγυπτίοις, σημεῖον ἔχοντες περὶ τὴν οὐρὰν καὶ τὴν γλῶσσαν, δηλοῦν εἶναι αὐτοὺς Ἄπιδας. οἷς γεννωμένοις διὰ χρόνου, ὡς ἔλεγον, ἐκ τοῦ σέλαος τῆς σελήνης, ἑορτὴν μεγάλην ἦγον· καὶ ἱερεῖς τινες περὶ τὸν τεχθέντα βοῦν ἱερῶντο, παρατιθέντες πανδαισίαν, ὡς εὐωχοῦντες αὐτὸν. [λέγεται δὲ Ἄπις καὶ ὁ παρ' ἐκείνοις βασιλεύς.]

CC. *Περὶ τῆς ἀστρῴου Ἄρκτου.*

Ἄρκτος μία τῶν ἄστρων. λόγος ἐστί, Καλλιστὼ τὴν Λυκάονος χόλῳ Ἥρας διὰ τὸν Διὸς ἔρωτα μεταπεσεῖν εἰς ἄρκτον, καὶ τοξευθῆναι μὲν ὑπ' Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς ἀστέρας ὑπὸ τοῦ Διός· διὸ καὶ [ἐπεὶ] ἄρκτον ὁ μῦθος κατὰ ζωωνυμίαν τὸ τῆς Καλλιστοῦς ὠνόμασεν ἀστεροθέτημα, ὁ δὲ Ὠρίων κυνηγέτης ὑπόκειται. χαριέντως εἶπεν ὁ ποιητὴς τὸ

Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει,

CXCIX. Nonn. II, 33 (Cosm. p. 180; Suid.; Arsen. Viol. p. 68). V. Eud. p. 15. CC. Eustath. Il. p. 1212.

---

4 Müller IV, p. 226 Verba ex codice Vit. 3, quo Tzetzae commentarii continentur, huc inepte translata sunt; hinc fluxerunt in lex. Phavorini 8 *σέλαος, τῆς Σεληνίδος ἑορτὴν* F 11 *αὐτὸν* recte Cosmas *αὐτοῖς* PV *αὐτοὺς* S Haec verba certe ex sequente Suidae glossemate huc irrepserunt. Cf. Untersuchungen p. 78 15 Post *Διός* pauca add. F 16 *ἐπεὶ* removi 19 Il. XVIII, 488

ἀληθῶς μέν, διότι τὴν αὐτὴν ἡ ἄρκτος τῷ Ὠρίωνι ποιεῖται κίνησιν, ἀστείως δέ, ὡς πρὸς τὸν μῦθον, διότι δέδιεν ὡς ἄρκτος τὸν κυνηγέτην, καὶ διὰ τοῦτο πρὸς τὸ τοῦ Ὠρίωνος ἀπονεύει ἄστρον. λέγει δὲ προσέτι ὁ ποιητὴς καὶ κύριον μὲν αὐτῆς εἶναι τὸ ἄρκτος, διὰ τὴν τοῦ μύθου ἐξουσίαν, ἥτις αὐτὴν ἐξ ἄρκτου κατηστέρισεν, ἐπίκλησιν δὲ τὸ ἅμαξα δι' ὁμοιότητα τῆς τῶν ἁμαξοειδῶς αὐτὴν συμπληρούντων ἀστέρων θέσεως.

CCI. *Περὶ Ἄρνης.*

Ἄρνη ἡρωΐς, Βοιωτοῦ μήτηρ. ἔοικε δὲ ὑπὸ τοῦ πατρὸς Ἄρνη κληθῆναι ἀπὸ περιουσιασμοῦ ἀρνῶν, καθὰ καὶ αὐτὴ παῖδα ὑπὸ Ποσειδῶνος τεκοῦσα, Βοιωτὸν ἐκ τῶν βοῶν ἐκάλεσε. φησὶ γοῦν Εὐφορίων·

Βοιωτὸν δ' ὀνόμηνε, τὸ γὰρ καλέσαντο νομῆες,
Ὅττι ῥα πατρῴῃσι βοῶν ἀπεθήκατο κόπροις.

ὡς οὖν ὁ υἱὸς αὐτῆς ἐκλήθη Βοιωτὸς ἐκ τῶν βοῶν, οὕτω καὶ αὐτή, ὡς εἰκός, Ἄρνη ἐκ παρωνυμίας ἀρνῶν, ζώου φιλουμένου τοῖς παλαιοῖς. φασὶ δὲ ταύτην ὑπὸ τῆς Κοπαΐδος λίμνης καταποθῆναι, καὶ τὴν Μίδειαν.

CCII. *Περὶ Ἁρπυιῶν.* 81

Ἅρπυιαι θήλειαι δαίμονες πτερωταί, τὰ μὲν κάτω μέρη ὀρνίθων ἔχουσαι, τὰ δὲ ἄνω ἀνθρώπων [ἃς αἱ

CCI. Eustath. Il. p. 270   CCII. Tzetzes Lyc. 653

7 *κατεστέρισεν* P corr. V   13 fr. 49 Meineke   15 *ὅττι* F *ὅτι* PV   17 *οὕτω* P *οὕτο* V   20 *καὶ τὴν Μίδειαν* add. P consentiente F om. V   21 *μὲν* pro *δὲ* et post *ἔχουσαι* verba *τὰ δὲ ἄνω ἀνθρώπων* recte add. F om. PV.   Quae sequuntur verba ad finem, quamquam in F ad interpretationem

Μοῦσαι νικήσασαι μελῳδίᾳ τοῖς πτεροῖς ἐκείνων ἐστεφανώθησαν· πλὴν Τερψιχόρης, ὅτι μήτηρ ἦν Σειρήνων. περὶ δὲ Κρήτην ταῦτα γεγόνασιν, ὅθεν καὶ πόλις Ἀπτέρα τῆς Κρήτης παρὰ τὸ ἐκεῖ τὰ πτερὰ νικηθείσας ἀποβαλεῖν τὰς Σειρῆνας. ἦσαν δὲ αἵ Σειρῆνες, τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι· τὰ δὲ ἄνω ἀνθρώπων, οἰκοῦσαι περὶ τὴν Τυρσηνίαν.]

CCIII. Περὶ Ἀστάρτης.

Ἀστάρτη, ἄγαλμα Ἀφροδίτης, τιμώμενον παρὰ Σιδωνίοις· τοῦ ἄστρου δὲ τύπος, αὐτὸ τὸ ἄστρον ὁ ἑωσφόρος, ὅπερ Ἀφροδίτην ὀνομάζουσι. τὸ αὐτὸ καὶ παρὰ Μωαβιτῶν ἐτιμᾶτο.

[CCIV. Περὶ τῆς Ἀστερίας.

Ἀστερία φεύγουσα τὴν μῖξιν τοῦ Διὸς μετέβαλεν ἑαυτὴν εἰς ὄρτυγα· καὶ ἥλατο εἰς τὴν θάλασσαν, καὶ ἐγένετο νῆσος, ἥτις Ἀστερία καὶ Ὀρτυγία ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγενομένου Λητοῖ, καὶ ποιήσαντος αὐτὴν ἔγκυον, Ἄρτεμιν καὶ Ἀπόλλωνα, ζήλῳ δὲ τῆς Ἥρας μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ ὑποδεχομένης τὴν Λητὼ πρὸς ἀπότεξιν, κελεύει τῷ Ποσειδῶνι Ζεὺς καὶ ἀνέδωκε ταύτην τὴν νῆσον, τὴν Ὄρτυγα καὶ

CCIII. Schol. Greg. Naz.? (Suid.) CCIV. Tzetzes Lyc. 401. V. Eud. p. 277

Sirenum spectant, librarius aliquis ineptissimus prorsus mutilata adscripsit, itaque seclusimus 2 Post ἐστεφανώθησαν add. F ὅθεν καὶ ζωγραφοῦνται αἵ Μοῦσαι ἐν ταῖς κεφαλαῖς ἔχουσαι πτερά, post Τερψιχόρης verba ἐκείνη γὰρ οὐκ εἶχε πτερά, καί, quae om. PV 12 Hic interpolator addidit. Cf. Untersuch. p. 163 17 δὲ add. F om. PV 18 τὴν Λητὼ correxi τῆς Ληθοῦς FPV

Ἀστερίαν λεγομένην, πρότερον κρυπτομένην τοῖς κύμασιν, ἔτι δὲ καὶ τρέμουσαν. καὶ ἐκ τοῦ φανῆναι αὐτὴν Δῆλον ὠνόμασεν. ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ καὶ δάφνης καὶ φοίνικος πρῶτον ἐκεῖ φανέντων ἁψαμένη τὴν Ἄρτεμιν γεννᾷ· ἡ δὲ ταύτην μαιεύει, καὶ τίκτει τὸν Ἀπόλλωνα [καὶ Ἄρτεμιν]· καὶ Ἄρτεμις δὲ τὴν Δῆλον κατέλαβεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν.]

CCV. *Περὶ Ἀστυανάσσης.*

Ἀστυάνασσα, Ἑλένης θεράπαινα, ἥτις πρώτη ἐξεῦρεν Ἀφροδίτην καὶ ἀκόλαστα σχήματα.

CCVI. *Περὶ Ἀστυδαμείας.*

Ἀστυδάμεια Ἀκάστου γυνή.

CCVII. *Περὶ Ἀστυόχης.* 82

Ἀστυόχη, κατὰ Ὅμηρον Ἀστυόχεια, (ὡς καὶ Πηνελόπη, Πηνελόπεια), Φύλαντος ἦν θυγάτηρ. ταύτην Ἡρακλῆς ἄγεται ἀνελὼν τὸν Φύλαντα, ὅτε κατὰ Ἐφυρέων Αἰτωλοῖς ἐστρατήγει. γεννᾷ δὲ ἐξ αὐτῆς Τληπόλεμον, ὃς ἐκτραφεὶς περιπέπτωκεν ἀκουσίῳ κακῷ. ἰδὼν γὰρ τὸν ἑαυτῷ μὲν πάππον, τῷ δὲ πατρὶ μήτρων, ἤτοι τὸν πρὸς μητρὸς θεῖον τοῦ Ἡρακλέους, τουτέστι τὸν Λικύμνιον (ἀδελφὸς γὰρ ἦν Ἀλκμήνης, ὥς φασιν, ὁ Λικύμνιος), τοῦτον οὖν ἰδὼν ἀμελῶς, φασίν, ἐν τῷ γήρᾳ χειραγωγούμενον, καὶ ἀφεὶς βακτηρίαν ἐπὶ τὸν οἰκέτην, τοῦ μὲν οἰκέτου ἥμαρτεν οὐ

CCV. Hesych. Alex. v. *Ἀστ.* (Suid.) CCVI. Hesych. Al. v. CCVII. Eustath. Il. p. 313

11 Il. II, 658 15 *περιπίπτοκεν* P corr. V 16 *μήτρῳον* PV

καταστοχήσας, τὸν δὲ γέροντα πλήξας ἔκτεινεν οὐχ ἑκών. διὸ καὶ ἔφυγεν εἰς Ῥόδον, συναγαγὼν λαόν, καὶ στασιαζομένους τοὺς Ῥοδίους εὑρηκὼς καὶ ἑνὶ προσκεχωρηκὼς μέρει ἐκράτησε, καὶ δυνατὸς γενόμενος ἐστράτευσε κατὰ τῆς Τροίας καὶ αὐτός.

CCVIII. Περὶ Ἀσφαλίωνος.

Ἀσφαλίων πλάττεται ὀτρηρὸς θεράπων Μενελάου, προσφυὲς ὄνομα, ὃν οὐ χρὴ σφάλλεσθαι τοῦ δέοντος πρὸς τὸν δεσπότην, ὥσπερ καὶ Ἐτεωνεὺς πρὸ αὐτοῦ, ὃν ἀληθεύειν χρεών.

CCIX. Περὶ Αὐγείου.

Αὐγείας υἱὸς μὲν Ἡλίου ἦν, τῇ δὲ ἀληθείᾳ Φόρμητος ἐκ τῆς Ἰκλέως Ὑρμίνης· οἱ δὲ αὐτὴν θυγατέρα Νυκτέως, οἱ δὲ Ἐπόχου φασί. τούτου δὲ τῶν ὀφθαλμῶν ἀκτῖνας ἀπολάμπειν φασίν. Ἡρακλεῖ οὖν τὴν τῶν αὐτοῦ βοῶν κόπρον καθήραντι οὐκ ἐδίδου ἀπαιτοῦντι τὸν μισθόν, ὅς ἦν δεκάτη τῶν βοῶν, λέγων οὐχ ἑκόντα ποιῆσαι τὸ ἔργον, ἀλλὰ ἐπιταγέντα ὑπὸ Εὐρυσθέως. καθίζουσιν οὖν κριτὴν αὐτοῖς τῆς δίκης αἱρετὸν Φυλέα, τὸν Αὐγείου υἱόν· ὁ δὲ καταψηφίζεται τοῦ πατρός. ἀγανακτεῖ ἐπὶ τούτοις Αὐγείας καὶ ἐκβάλλει τὸν υἱόν. Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος πορθεῖ τὴν Ἦλιν, καὶ μεταπεμψάμενος ἐκ Δουλιχίου τὸν Φυλέα, δίδωσιν αὐτῷ τὴν τοῦ πατρὸς βασιλείαν, καὶ τὸν στρατὸν διὰ τὴν ἐκ πολέμου ὀλιγανδρίαν συγκατακλίνει ταῖς τῶν τετελευτηκότων γυναιξί. καὶ

CCVIII. Eustath. Od. p. 1442 CCIX. Schol. Apoll. I, 172 Ἡρακλεῖ — exit. Eustath. Il. p. 874

---

17 αὐτοῖς F αὐτῆς PV 22 Φυλέα F Φιλέα bis PV

τὸν Ὀλυμπιακὸν διαθέμενος ἀγῶνα, πρῶτος αὐτὸς τῶν
ἀγωνισμάτων ἅπτεται. πρὸς δὲ τούτοις ἱστορεῖται, καὶ
ὅτι τὴν ἀρχὴν Πισάται τοῦ ἀγῶνος ἐπεμέλοντο· ἐπεὶ
δὲ τοῖς Μεσσηνίοις αὐτοὶ κατὰ Λακεδαιμονίων συνε-
μάχησαν, καθελόντες ὕστερον αὐτοὺς οἱ Λακεδαιμόνιοι
παρέσχον τὴν τοῦ ἀγῶνος ἀρχὴν τοῖς Ἠλείοις, οἳ κατὰ 83
Μεσσηνίων τοῖς Λάκωσι συνεμάχησαν.

CCX. *Περὶ τοῦ Ἀχέροντος.*

Ἀχέρων ὁ ἐν Ἅιδου ποταμός [παρὰ τὸ ἐστερῆσθαι χαρᾶς τοὺς ἐκεῖ κατιόντας· καὶ καθ' ὑπέρθεσιν, Ἀχέρων] κατὰ τὸν ἐν Ὀδυσσείᾳ κείμενον μῦθον. φασὶ γὰρ Ἡρακλέα ἐκεῖ διὰ τὸν Κέρβερον κατελθόντα, καὶ ἰδόντα τὸ φυτὸν αἴγειρον, τὴν καὶ ἀχερωΐδα λεγομένην, καὶ ἐκ τῆς εὐφυΐας θαυμάσαντα, στεφανώσασθαί τε καὶ ἀναγαγεῖν καὶ Ἡλίῳ δεῖξαι. ὡς ἄκαρπος δὲ ἡ ἀχερωῒς τῷ Ἅιδῃ ἀνάκειται. διὸ καὶ ἰτέαι καὶ αἴγειροι τὸν τῆς Περσεφόνης πληροῦσι λειμῶνα.

CCXI. *Ἀχαιοὶ πόθεν οἱ Ἕλληνες ὠνομάσθησαν.*

Αἴολος ὁ Ἱππότου γεννᾷ Ξοῦθον, οὗ καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς Ἴων (οὗτος ὁ Ἴων ᾤκησε τὰς Ἀθήνας, ὅθεν καὶ Ἴωνες) καὶ Ἀχαιός. ὁ δ'

CCX. Etym. M. p. 180, 46 *κατὰ τὸν* — exit. Eustath. Il. p. 938 CCXI. Pausan. VII, 1 *οὗτος ὁ Ἴων* — exit. Schol. Ven. Il. I, 2

---

8 Interpolator verba circumsepta ex Etym. M. adscripsit, quo factum est, ut sequentia *κατὰ τὸν ἐν Ὀδυσσείᾳ κείμενον μῦθον* nunc sensu careant, idemque omisit post *κατιόντας* originationem *ἢ ὁ τὰ ἄχεα ῥέων, ἀχρέων*, quae necessaria est 12 *αἴγειρον — λεγομένην* om. F sequens *καὶ* ipse addidi, om. PV 14 *Ἡλίῳ* cum F scripsi, *ἡλίῳ* PV 17 *Ξοῦθον* F *Ζοῆθον* P *Ζοῦθον* V

Ἀχαιὸς φόνον ἐμφύλιον δράσας παρεγένετο εἰς Θεσσαλίαν, καὶ κυριεύσας τῆς χώρας τοὺς ὑποτεταγμένους ἀφ' ἑαυτοῦ Ἀχαιοὺς προσηγόρευσεν.

CCXII. *Περὶ Ἀρτυβίου τοῦ Περσοῦ.*

Ἀρτύβιος Πέρσης ἀνὴρ στατηγὸς ἐπὶ τῶν Περσικῶν, τὰ πολέμια γενναῖός τε καὶ πρόθυμος καὶ ταχὺς τὴν ἐν τοῖς ὅπλοις κίνησιν καὶ πτηνὸς τὼ πόδε, τὸ εἶδος ἐκπληκτικός τε καὶ θεῖος φαινόμενος, ὡς ἄλλος Ἀχιλλεύς. φιλιππότατον δὲ προσέτι γενέσθαι αὐτὸν καὶ κυνηγετικώτατον, καὶ ταῖς τῶν πολέμων ἀνοχαῖς ἐπὶ τὰ θηρία χρώμενον Ἡρόδοτος ἱστορεῖ. οὗτος πρῶτος ἐδίδαξεν ἵππον ὀρθὸν ἀνίστασθαι πρὸς ὁπλίτην, καὶ τὸν προσενεχθέντα κατεργάζεσθαι, ποσί τε πλήττοντα καὶ στόματι δάκνοντα.

84

CCXIII. *Ἀχιλλέως γενεαλογία.*

Ζεὺς ἐκ τῆς Αἰγίνης τοῦ Ἀσωποῦ γεννᾷ
Αἰακόν, Μίνω, Ῥαδάμανθυν.
οὗ — οὗ καὶ Πασιφάης
Φῶκος, Τελαμών, Πηλεύς, — Δευκαλίων, Ἀνδρόγεως,
οὗ — οὗ — οὗ — Γλαῦκος,
Τεῦκρος, Αἴας, καὶ Θέτιδος — Μόλος, Ἰδο- — Ἀριάδνη,
οὗ καὶ Τεκμήσσης Ἀχιλλεύς, — μενεύς, — Φαίδρα.
Εὐρυσάκης. — οὗ — οὗ
Νεοπτόλεμος. Μηριόνης.

CCXII. Excerpta ex Herod. V, 108 seq. *οὗτος* — exit. Eustath. Dion. 374. De Artybio cf. narratiunculam Tzetz. Chil. III, 116 CCXIII. Compilata ex Apollod. III, 12, 5 seq. *γεννηθεὶς* —

4 *Ἀρτυβίου* F *Ἀρτιβίου* PV 11 *ὀρθόν* P om. V

Γεννηθεὶς ὁ Ἀχιλλεὺς ὑπὸ Θέτιδος παρεδόθη τῷ Χείρωνι, τροφεῖ ἅμα καὶ διδασκάλῳ τῆς τοξείας χρησάμενος. ἦν δὲ οὗτος ὁ Χείρων ἱπποκένταυρος, οἰκῶν ἄντρον τι καὶ σπήλαιον ἐν Θετταλίᾳ. ὁ οὖν Χείρων λαβὼν τὸν Ἀχιλλέα, οὐ γάλακτι καὶ ἄρτῳ ἔτρεφεν αὐτόν, ἀλλὰ κηρίοις τε καὶ μυελοῖς ἐλάφων καὶ ἄλλων ζώων. διὸ καὶ Ἀχιλλεὺς ὠνομάσθη, ὁ μὴ μετασχὼν τοῦ χιλοῦ· χιλὸς γὰρ ἡ τροφή. κολακεύει δὲ αὐτὸν ὁ Χείρων οἷον λέοντα, πτῶκας ἁρπάζειν καὶ νεβροῖς συμπέτεσθαι. εἰς ἡλικίαν δὲ ἥκοντα, ἐν ᾗ οἱ παῖδες ἁμαξίδων καὶ ἀστραγάλων δέονται, εἶργε μὲν οὐδὲν τῶν τοιούτων· ἀκοντίοις δὲ εἴθιζε καὶ παλτοῖς καὶ δρόμοις· ἱππάζεσθαί τε καὶ κεχρῆσθαι αὐτῷ ὡς ἵππῳ. ἐπικαθίσας οὖν αὐτὸν ὄπισθεν αὐτοῦ, κατὰ τοῦ ἱππίου μέρους, οὕτως ἐγύμναζε, καὶ ἐδίδασκεν αὐτὸν τὴν τοξικήν. καὶ οὕτω μὲν περὶ τοῦ Χείρωνος μυθικῶς πως λέγεται. ἡ δὲ ἱστορία γενέσθαι αὐτὸν ἐν Πηλίῳ ἀνθρώπῳ ὅμοιον οἶδε, σοφὸν δὲ καὶ λόγους καὶ ἔργα· θήρας τε γὰρ ποικίλης ἥπτετο καὶ τὰ πολεμικὰ ἐπαίδευε καὶ ἰατρικοὺς ἀπέφαινε καὶ μουσικοὺς ἥρμοττε καὶ δικαίους ἐποίει βιῶναί τε ἐπὶ μήκιστον. φοιτῆσαι δὲ αὐτῷ καὶ Ἀσκληπιὸν καὶ Τελαμῶνα καὶ Πηλέα

ζώων Philostrat. Her. XIX, 2 *διὸ καὶ — τροφὴ* Etym. M. p. 187, 27 *κολακεύει — συμπέτεσθαι* Philostrat. Imag. II, 2 *εἰς ἡλικίαν δὲ ἥκοντα — τῶν μητέρων* Philostrat. Her. l. c. *ὁ δὲ Πολυξένης — δέδωκεν* Tzetzes Lyc. 269. V. Eud. p. 341 *Σώστρατος — Ἄρην* Eustath. Od. p. 1696 *μετὰ δὲ θάνατον — Ἄψυρτος* Tzetzes Lyc. 798 *καὶ τοῦτο — ἔντιμον* Schol. Apoll. IV, 814 *λέγεται — Ἑλληνικοῦ Ἀχιλλέως* Philostrat. Her. l. c. *λέγουσι* — exit. Eustath. Dion. 306

2 *τοξίας* P corr. V   12 *ἤθιζε* PV

καὶ Θησέα· θαμίζειν δὲ καὶ Ἡρακλέα, ὅτε μὴ ἀπάγοιεν αὐτὸν οἱ ἆθλοι, μετασχεῖν τε τῆς τοῦ Χείρωνος ὁμιλίας Παλαμήδει ἅμα καὶ Ἀχιλλεῖ καὶ Αἴαντι. ἀλλ' ἐπὶ τὸν προκείμενον Ἀχιλλέα ἐπανέλθωμεν. οὗτος μὲν οὖν ἐν Σκύρῳ Δηϊδάμειαν, θυγατέρα Λυκομήδους, ἔτι ἔφηβος γήμας, γεννᾷ Νεοπτόλεμον, οὕτως ὀνομασθέντα διὰ τὴν νεότητα τοῦ Ἀχιλλέως, καθ' ἣν εἰς τὸ πολεμεῖν ὥρμησεν. ἐνταῦθα τῷ Ἀχιλλεῖ διαιτωμένῳ παρεγένετο ἡ Θέτις, ὡς ὁ μῦθος, καὶ ἐθεράπευε τὸν υἱόν, ὥσπερ αἱ θνηταὶ τῶν μητέρων. ὁ δὲ Πολυξένης, τῆς Πριάμου θυγατρός, ἐρασθεὶς ἐδήλωσε τῷ Πριάμῳ
85 συμμαχῆσαι αὐτῷ, εἰ λάβοι τὴν κόρην· ὁ δὲ Πρίαμος συνέθετο δοῦναι, ὡς τοῖς πολλοῖς ἱστόρηται. καὶ ἐλθόντων ἐν τῷ Θυμβραίου Ἀπόλλωνος ναῷ, Ἀλέξανδρος λάθρα τοξεύει τὸν Ἀχιλλέα, καὶ οὕτω συνέβη ἀποθανεῖν τὸν ἥρωα. οἱ δὲ Τρῶες τὸ σῶμα αὐτοῦ τοῖς Ἕλλησιν οὐκ ἐδίδουν, ἕως ἔλαβον πάλιν τὰ δῶρα, ἃ Πρίαμος ἀκριβεῖ ζυγοσταθμήσει τρυτάνης τοῦ ζυγοῦ ὑπὲρ τοῦ νεκροῦ Ἕκτορος λάθρα τῶν Ἑλλήνων τῆς νυκτὸς τῷ Ἀχιλλεῖ δέδωκε. Σώστρατος δὲ ἱστορεῖ Ἀλέξανδρον Ἀπόλλωνος ἐρώμενον καὶ μαθητὴν τοξείας, ὑφ' οὗ τόξον ἐλεφάντινον σχόντα τοξεῦσαι Ἀχιλλέα κατὰ γαστρός. Τέλης δὲ ἱστορεῖ Πενθεσίλειαν ἀνελεῖν τὸν Ἀχιλλέα, αἰτησαμένης δὲ Θέτιδος τὸν Δία, ἀναστῆναι αὐτὸν καὶ ἀντανελεῖν ἐκείνην, Ἄρεα δὲ πατέρα

---

5 *Δηϊδάμειαν* P *Δηϊοδάμειαν* V 10 Iisdem scholiis usus est etiam Nonn. I, 8 13 *ὡς τοῖς πολλοῖς ἱστόρηται* om. F 18 *ἀκριβεῖ — 20 νυκτός* om F. Quae sequuntur ex Ptolemaei Hephaestionis historiis fluxisse docuit Hercher. Annal. Phil. Suppl. I, p. 291 seq. 23 *Τέλης* vel *Τέλλις* proposuit Hercher l. c. p. 291 *Τέλης* PV *Τέλλης* F

Πενθεσιλείας δίκην λαχεῖν Θέτιδι· κριτὴν δὲ γενόμενον Ποσειδῶνα, κατακρῖναι Ἄρην. μετὰ δὲ θάνατον Ἀχιλλεύς, ὡς ληροῦσιν, ἔγημε Μήδειαν τὴν Αἰήτου παῖδα, εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος. [Αἰήτης δὲ καὶ Κίρκη καὶ Πασιφάη Ἡλίου παῖδες καὶ Πέρσης τῆς Ὠκεανοῦ, Αἰήτου μὲν παῖδες καὶ Εἰδυΐας Μήδεια καὶ Ἄψυρτος.] καὶ τοῦτο πρῶτος Ἴβυκος εἴρηκε καὶ Σιμωνίδης· τῷ Ἀχιλλεῖ κεκλωσμένον ἦν, ἢ πολυχρόνιον γενήσεσθαι καὶ ἄτιμον ἢ ὀλιγοχρόνιον καὶ ἔντιμον. λέγεται δὲ καὶ ὅτι ἐκέλευσε τὸ μαντεῖον, Θετταλοὺς εἰς Τροίαν πλέοντας θύειν κατ' ἔτος τῷ Ἀχιλλεῖ καὶ σφάττειν τὰ μὲν ὡς θεῷ, τὰ δὲ ὡς ἐν μοίρᾳ τῶν κειμένων. [ἐπειδὴ καὶ οἰμωγὴ τῆς Θέτιδος, ὡς ὁ μῦθος, διεφοίτα τὸν στρατὸν ἀνευφημούσης τε καὶ τὸν υἱὸν βοώσης (ἐβόα δὲ τορὸν μέγα τε καὶ ἔναυλον, καθάπερ ἡ ἐν τοῖς ὄρεσιν ἠχώ) καὶ τότε μάλιστα καὶ Ἀχαιοὶ συνῆκαν, ὅτι τέκοι τὸν Ἀχιλλέα ἡ Θέτις, οὐδὲ ἄλλως ἀπιστοῦντες.] τὰ δὲ Θετταλικὰ ἐναγίσματα οὕτως ἦν· ναῦς ἐκ Θετταλίας μέλαινα ἱστία ἠρμένη εἰς Τροίαν ἔπλει, θεωροὺς μὲν τεσσαρεσκαίδεκα ἀπάγουσα, ταύρους δὲ λευκόν τε καὶ μέλανα, χειροήθεις ἄμφω, καὶ ὕλην ἐκ τοῦ Πηλίου, ὡς μηδὲν τῆς πόλεως δέοιντο, καὶ πῦρ ἐκ Θετταλίας ἦγον καὶ σπονδὰς καὶ ὕδωρ τοῦ Σπερχειοῦ ἀρυσάμενοι, ὅθεν καὶ στεφάνους ἀμαραντίνους εἰς τὰ κήδη πρῶτοι Θετταλοὶ ἐνόμισαν, ἵνα κἂν ἄνεμοι τὴν ναῦν ἀπολάβωσι, μὴ σαπροὺς ἐπιφέρωσι μηδ' ἐξώρους. νυκτὸς μὲν δὴ

---

4 *εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος* om. F *Αἰήτης — Ἄψυρτος. ἐπειδὴ — ἀπιστοῦντες* ex Tzetzae et Philostrati libris interpolator adscripsit 7 fr. 37 B 8 fr. 213 B

καθορμίζεσθαι ἔδει καὶ πρὶν ἅψασθαι τῆς γῆς, ὕμνον ἀπὸ τῆς νεὼς ᾄδειν εἰς τὴν Θέτιν ὧδε συγκείμενον·

Θέτι κυανέα, Θέτι Πηλεία,
ἃ τὸν μέγαν τέκες υἱόν,
Ἀχιλλέα, τὸν θνατὰ μὲν ὅσον
86 φύσις ἤνεγκεν,
Τροία λάχε, σᾶς δ' ὅσον ἀθανάτου
γενεᾶς παῖς ἔσπασε, Πόντος ἔχει.
βαῖνε πρὸς αἰπὺν τόνδε κολωνὸν
μετ' Ἀχιλλέως ἔμπυρα ....
βαῖν ἀδάκρυτος μετὰ Θεσσαλίας
Θέτι κυανέα, Θέτι Πηλεία.

προσελθόντων δὲ τῷ σήματι κατὰ τὸν ὕμνον, ἀσπὶς μὲν ὥσπερ ἐν πολέμῳ περιεδουπεῖτο, δρόμοις δὲ ἐρρυθμισμένοις συνηλάλαξον, ἀνακαλοῦντες τὸν Ἀχιλλέα. στεφανώσαντες δὲ τὴν κορυφὴν τοῦ κολωνοῦ καὶ βόθρους ἐπ' αὐτῇ ὀρύξαντες τὸν ταῦρον τὸν μέλανα ὡς τεθνεῶτι ἔσφαττον· ἐκάλουν δὲ καὶ τὸν Πάτροκλον ἐπὶ τὴν δαῖτα, ὡς καὶ τοῦτο εἰς χάριν τῷ Ἀχιλλεῖ πράττοντες. ἐντεμόντες δὲ καὶ ἐναγίσαντες κατέβαινον ἐπὶ τὴν ναῦν ἤδη καὶ θύσαντες ἐπὶ τὸν

---

2 ναὸς P corr. V 3 Restitui omnino recensionem a Kaysero curatam τὸν μέγαν ἔτεκες υἱὸν Ἀχιλλῆα | τοῦ, θνατὰ μέν, ὅσον φύσις, ἤνεγκέ τοι | Τροία λάχε | σᾶς δ' ὅσον ἀθανάτου γενεᾶς πάϊς ἔσπασε | Πόντος ἔχει | βαῖνε πρὸς αἰπὺν τόνδε κολωνὸν | μετ' Ἀχιλλέως ἐν πυρᾷ | βαῖν' εὐδάκρυτος μετὰ θνηλάς, | Θέτι etc. PV. Paucis mutatis versus sequentes edidit Bergkius Poet. Lyr. p. 1321: σὺ μέγαν τέκες υἱὸν Ἀχιλλέα· | θνατὰ μὲν ὅσον φύσις ἤνεγκεν, | Τροία λάχε, σᾶς δ' ὅσον ἀθανάτου | γενεᾶς παῖς ἔσπασο, Πόντος ἔχει | βαῖνε πρός αἰπὺν τόνδε κολωνόν, | μετ' Ἀχιλλέως ἔμπυρα (βαῖνε) etc. Quod carmen quin Philostratus ipse finxerit dubium non esse idem vir doctissimus confirmavit 18 ἔσφατον P corr. V

αἰγιαλὸν τὸν ἕτερον τῶν ταύρων Ἀχιλλεῖ πάλιν κανοῦ τε ἐναρξάμενοι καὶ σπλάγχνων ἐπ᾽ ἐκείνῃ τῇ θυσίᾳ (ἔθυον γὰρ τὴν θυσίαν ταύτην ὡς θεῷ), περὶ ὄρθρον ἀπέπλεον, ἀπάγοντες τὸ ἱερεῖον, ὡς μὴ ἐν τῇ πολεμίᾳ ἐνωχοῖντο. καὶ ταῦτα περὶ Ἑλληνικοῦ Ἀχιλλέως. λέγουσι δέ τινες καὶ ἕτερον γεγονέναι Ἀχιλλέα παρὰ Σκύθαις, βασιλέα τῶν τόπων, ὃς ἠράσθη τε τῆς τοῦ Ἀγαμέμνονος Ἰφιγενείας πεμφθείσης ἐκεῖ καὶ ἔμεινεν ἐπιδιώκων, ἐξ οὗ καὶ ὁ τόπος Ἀχίλλειον ὠνομάσθη, οὐ μὴν ἐκ τοῦ Ἑλληνικοῦ. οἱ δὲ τοῦτο λέγοντες παραφέρουσι μάρτυρα τὸν Ἀλκαῖον λέγοντα· Ἀχίλλευ ὃ τᾶς Σκυθίκας μέδεις.

CCXIV. *Περὶ Ἀψύρτου.*

Ἄψυρτος υἱὸς Αἰήτου, ὃν συνδιωχθέντα ἑλοῦσα ἡ ἀδελφὴ Μήδεια διέφθειρε, μελεϊστὶ ταμοῦσα καὶ τῇ θαλάσσῃ τὰ τῶν σαρκῶν ἐπισπείρασα τμήματα, ὅθεν αἱ Ἀψυρτίδες νῆσοι πρὸς ἀνατολὰς τῆς Ἀδριάδος, ἃς οἱ Κόλχοι ἐπέδραμον, τὰ τῆς Μηδείας ἴχνη μαστεύοντες καὶ ζητοῦντες, ὅτε τῷ Ἰάσονι κατ᾽ ἔρωτα ἠκολούθησεν. ἣν καὶ μὴ συλλαβεῖν ἐκεῖνοι ἐξισχύσαντες, ἀλλ᾽ εἰς κενὸν μογήσαντες, ᾤκησαν ὑπ᾽ ἀμηχανίας ἐκεῖ· οὐ γὰρ ἦν αὐτοὺς εἰς Κολχίδα νοστῆσαι, εἰ μὴ καὶ τὴν Μήδειαν ἀνακομίσονται· οὕτω γὰρ ὁ Αἰήτης ἠπειλήσατο. Ἡλίου καὶ Πέρσης τῆς Ὠκεανοῦ Αἰήτης, οὗ καὶ Εἰδυίας Μήδεια, Ἄψυρτος.

CCXIV. Eustath. Dion. 488

---

11 Secutus sum Bergkium fr. 49, *Ἀχιλλεῦ, ὃς τᾶς Σκυθικᾶς μεδέεις* PV 13 Sic correxi, *συνδιώκοντα* FPV 14 *τεμοῦσα* P corr. V 18 *τῷ* bis scr. P corr. V

87 CCXV. *Περὶ Βάκχου.*

Βάκχον οὐ μόνον τὸν Διόνυσον ἐκάλουν, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια, οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους, οὕς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν Σιλλοῖς οὕτως·

Ἑστᾶσι δ' ἐλάται πυκινὸν περὶ δῶμα.

ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ἐν τῷ περὶ τῶν γλωσσῶν ἱστορεῖ. * * * *φησὶ γὰρ οὕτω·*

Βάκχοισιν κεφαλὰς περιανθέσιν ἐστέψαντο.

καὶ Βάκχον κλαυθμὸν Φοίνικες. Βάκχος δὲ καὶ Βρόμιος καλεῖται διὰ τὸ τοὺς πατοῦντας τὸν οἶνον ἐκθλίβειν τοῖς ποσὶν αὐτῶν καὶ πρώτους χρῆσθαι· εἶτα καὶ τοὺς ἕως μέθης μετὰ ταῦτα χρωμένους ἀφιέναι ταῖς ἐν τοῖς πότοις παιδιαῖς. [Βάκχαι δὲ καὶ Σάτυροι καὶ Πᾶνες καὶ Σειληνοὶ ὀπαδοὶ Βάκχου. καὶ Βασσά-

CCXV. Schol. Ar. Equ. 406 (Suid.) *Βάκχος — παιδιαῖς* Cornut. 30. V. Eud. p. 119 *Βάκχαι — Βάκχου* Suidas v. *Βάκχαι καὶ Βασσάραι — ἠσχολεῖτο* Eustath. Il. p. 289. V. Eud. p. 118 *ἄλλοι* — exit. Etym. M. p. 214, 39

---

1 Literas initiales *ΒΓΔ* etc., cum codice Parisino absint, omnino eiiciendas putavi, scr. V 4 *Ξενοφάνης* corr. A. C. Meineke et Harles *Ξενοφάντης* PV 7 Müller IV, p. 462 Post *ἱστορεῖ* excidisse nonnulla verba, quibus alterius Nicandri mentio facta esset, iure suspicatus est Bernhardy 8 *Βάκχοισι* P *βάκχοισιν* F *βακχοῖσι* V *περιανθέσιν* PV Schol. *πολυανθέσιν* S. Cf. fr. 30 Schneider 13 Totum locum Osannus sic restituit: *διὰ τὸ πολλὰς τοιαύτας φωνὰς τοὺς πατοῦντας αὐτὸν πρῶτον, εἶτα τοὺς ἕως μέθης μετὰ ταῦτα χρωμένους ἀφιέναι. τῆς δ' ἐν τοῖς πότοις παιδιᾶς* etc., in quo pauca, quae in Violario leguntur, abesse animadvertas *Βάκχοι δὲ — ἠσχολεῖτο* serius addita sunt, cum interpretationes vocis *Βρόμιος* moleste illis verbis interrumpantur. Ceterum quoniam margini P adscriptum est *περὶ Βασσαρῶν*, novam quandam particulam, quae subinde insequeretur, huc intrusam suspiceris

ραι αἱ τοῦ Βάκχου τροφοὶ διὰ τὸ βάσιν ἐπ' ἀρᾷ ποιεῖσθαι τὸ μανιῶδες, καὶ Λυδαὶ καὶ Μακέται καὶ Μιμαλλόνες δαιμόνιά τινα, τιθῆναι Βάκχου. εἰς ἀμπέλους δὲ ἀλληγορικῶς μετελαμβάνοντο, τὰς τρίχας καταχεχυμέναι καὶ ἄλλα τινὰ ποιοῦσαι φίλα τῷ Βάκχῳ, κιττῷ, φασί, στεφανούμεναι καὶ ἀμπέλῳ, καὶ κατέχουσαι χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. τοῦτο δὲ πρὸς αἴνιγμα τοῦ καὶ θηριώδεις καὶ φονικοὺς εἶναι τοὺς μεθύοντας. ἰστέον δ' ὅτι εἰς οἶνον ἀλληγορεῖται ὁ Διόνυσος, ἀφ' οὗ καὶ τὸ διονυσιάζειν, συμποσιακὴ λέξις παρὰ Πλάτωνι· οἷον, πάντα τὸν βίον ἐδιονυσίαζεν, ἤγουν περὶ οἶνον ἠσχολεῖτο.] ἄλλοι δὲ λέγουσι Βρόμιον λέγεσθαι τὸν Διόνυσον παρὰ τὸν βρόμον. καὶ γὰρ τῆς Σεμέλης κεραυνωθείσης, ἡρπάγη ὑπὸ τοῦ Ἑρμοῦ κατὰ βούλησιν τοῦ Διὸς ἐκ μέσου τοῦ πυρὸς βρόμῳ καὶ ἤχῳ βροντῆς· ἢ ὅτι μετὰ τυμπάνων καὶ βρόμων, ἤγουν ἤχων, ἐν ὄρεσι σὺν Βάκχαις καὶ Σατύροις καὶ Σιληνοῖς ἐπόμπευον.

CCXVI. *Περὶ Βριμοῦς.*

Βριμὼ καὶ Ὀβριμὼ ἡ Περσεφόνη. Ἀπολλώνιος·
Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν.
φασὶν Ἑρμῆν ἐρασθέντα ἐπὶ κυνηγεσίαν ἐξιούσῃ θελῆ-

CCXVI. Tzetzes Lyc. 698 et 1176 ἢ διὰ τὸ φοβερὸν — οὖσα Schol. Apoll. III, 682

---

3 *Μιμαλλόνες*, *φονικοὺς* (8), *Σιληνοῖς* (18) recepi ex F *Μιμάλλοντες*, *φοινικοῦς*, *Σειληνοῖς* perperam PV. In margine P verba *ἢ βρόμος παρὰ τὸν βρόμον — ἐπόμπευον*, a neglegenti librario ex contextu male repetita, lector aliquis benevolus delevit 20 Ex Apoll. Argon. III, 861 *νυκτιπόλον* et *χθονίην* reposui, *νυκτίπολον* et *φθονίην* PV

σαι βιαίως μιχθῆναι, ἡ δὲ ἐνεβριμήσατο· ὁ δὲ φοβη-
88 θεὶς ἀπετράπη, καὶ ἐντεῦθεν Βριμὼ προσηγορεύθη. ἢ διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος καὶ φάσματα ἐπιπέμπειν τὰ καλούμενα Ἑκαταῖα· καὶ πολλάκις αὐτὰ μεταβάλλειν τὸ εἶδος διὰ τὸ Ἔμπουσαν καλεῖσθαι. ἢ παρὰ τὸν βρόμον, τὸν τοῦ πυρὸς ψόφον·

„τόσσος γε πέλει βρόμος“.

ἡ γὰρ θεὸς λαμπαδοῦχος, τὸ δὲ βρι ἐπιτάσεώς ἐστιν, ὡς τὸ „βριήπυος ὄβριμος Ἄρης“. ἢ Βριμὼ ἡ μεγάλην ἔχουσα μῆνιν, βρίμηνίς τις οὖσα.

CCXVII. Περὶ Βελλεροφόντου.

Βελλεροφόντης ὁ Κορίνθιος, ὁ καὶ Ἱππόνους πρώην καλούμενος, ἀνὴρ ὑπάρχων Φρυγίας, ἄκων ἀνελὼν Κορίνθιόν τινα Βέλλερον ἢ τὸν ἴδιον ἀδελφὸν Δηλιάδην ἢ Πειρῆνα ἢ Ἀλκιμένην, ἐλθὼν εἰς Ἄργος πρὸς Προῖτον καθαίρεται. Ἄντεια δὲ ἡ Σθενέβοια, γυνὴ Προίτου, ἐρωτικῶς ἐπεμάνη Βελλεροφόντῃ. ὡς δὲ οὐκ ἐπείσθη συγγενέσθαι αὐτῇ, διαβάλλεται παρ' αὐτῆς Προίτῳ, ὡς πειράζων αὐτήν. Προῖτος δὲ αὐτοχειρίᾳ τοῦτον ἀνελεῖν οὐκ ἠθέλησε, κατά τε παλαιὸν ἦθος ἐπικρατοῦν, τὸ μὴ συμφαγόντας ἀλλή-

CCXVII. Tzetzes Lyc. 17. τὰ δὲ περὶ τῆς Χιμαίρας — μῦθος Palaeph. 29 (Arsen. Viol. p. 408) ἡ δὲ ἀλληγορία — κεκραμένον Schol. Hes. Theog. 319 et 325 (Etym. M. p. 194, 51 ὅτι δὲ — exit. Eustath. Il. p. 632)

---

7 Verba corrupta in PV τόσσος γὰρ πέλεται βρόμος ex Il. XIV, 396 emendavi 9 Scholiasta citat Il. XIII, 521 13 Κορίνθιόν τινα e scholio revocavit A. C. Meineke Κορίνθιον om. PV 14 Sic cum Tzetza et Heyn. ad Apollod. II, 3, 1 scribendum est, Ἡλιάδην — Πυρίναν — Ἀλκίμενον PV

λοις παρ' ἀλλήλων θνήσκειν, εἰ μὴ τοῦτο ἀκουσίως συμβῇ. διὰ τοῦτο καὶ Προῖτος ἀνελεῖν Βελλεροφόντην οὐκ ἠθέλησε, πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς Ἰοβάτην τὸν πενθερὸν αὐτοῦ, γράμματα δοὺς κατ' αὐτοῦ περιέχοντα τὴν τῆς αἰτίας διαβολήν. καὶ Ἰοβάτης ὁμοίως ἡμέρας ἐννέα συνεστιασάμενος αὐτῷ, τῇ δεκάτῃ τὰ γράμματα δεξάμενος, ἐπειδὴ μηδ' αὐτὸς εἶχεν αὐτὸν ἀνελεῖν διὰ τὸ συμφαγεῖν μετ' αὐτοῦ, κελεύει τοῦτον ἀπελθεῖν καὶ πολεμῆσαι Χιμαίρᾳ, εἶτα Σολύμοις, εἶτα Ἀμαζόσιν. οἱ θεοὶ δὲ τούτῳ ἐπτερωμένον ἵππον, ὅν φασι Πήγασον, ἀπέστειλαν, ᾧ ἐποχηθεὶς τὴν Χίμαιραν μὲν ἀνεῖλε, μόλιβδον τῷ αὐτοῦ δόρατι ἐπιτιθεὶς καὶ ἐμβαλὼν τῷ ἐκείνης πυρπνέοντι στόματι, ἀφ' οὗ πυρὸς ὁ μόλιβδος συντακεὶς ἐκείνην ἀπέκτεινεν. ἦν γὰρ προϊδόντα τινὰ τὸ πῦρ τῆς Χιμαίρας φυλάξασθαι, καθά φησι Λυσίας ὁ ῥήτωρ μυθικῶς. οὕτως οὖν ἐκείνην ἀνεῖλε, τούς τε Σολύμους καὶ τὰς Ἀμαζόνας πολέμῳ. ὑποστρέφοντα δὲ ἐνέδρᾳ Λυκίων ἔμελλεν αὐτὸν ἀνελεῖν. ὡς δὲ καὶ τοὺς ἐν ἐνέδρᾳ ἀνεῖλεν, Ἰοβάτης αὐτὸν γαμβρὸν ἔσχεν ἐπὶ Φιλονόῃ τῇ θυγατρὶ αὐτοῦ, καὶ τελευτῶν αὐτῷ τὴν βασιλείαν καταλιμπάνει. Βελλεροφόντης δέ, ὥς φασί τινες, ἐπαρθεὶς τοῖς κατορθώμασιν ἠθέλησε σὺν τῷ Πηγάσῳ τὸν οὐρανὸν περιπολεῦσαι, Ζεὺς δὲ οἶστρον τῷ Πηγάσῳ βαλὼν ἔπεισε τὸν Βελλεροφόντην ἀποσφαιρίσαι τῶν ἑαυτοῦ νώτων καὶ καταβαλεῖν αὐτὸν εἰς γῆν. καὶ 89

6 συνεσθιασάμενος P corr. V συνεστιώμενος F 14 ὑφ' οὗ F 16 ῥήτωρ μυθικῶς. οὕτως οὖν ex F restituit A. C. Meineke, ῥήτωρ. μυθικῶς οὕτως οὖν PV 19 ἐν om. P add. V 20 αὐτὸν addidi ex F om. PV Φιλονόῃ F Φιλογωνίᾳ PV 25 Sic F ἀποσφερίσαι PV

δὴ περὶ τὸ Ἀλήϊον πεδίον κατενεχθέντος τοῦ Βελλεροφόντου καὶ παραπορευομένου χωλοῦ ἀπὸ τῆς πτώσεως, ὁ Πήγασος ἄνω περιεπολεῖτο καὶ κάτω. ἡ γοῦν Ἡμέρα τοῦτον παρὰ τοῦ Διὸς αἰτεῖται, ὡς ἂν ἐποχουμένη αὐτῷ τὸν ἡμερήσον κύκλον βαδίζῃ. ταῦτα μέν εἰσι τὰ περὶ Βελλεροφόντου μυθικῶς λεγόμενα. τὰ δὲ περὶ τῆς Χιμαίρας τάδε· ὅτι ἐν Πατάροις ὄρος ἐστίν, ἐν ᾧ θηρίον Ἀμισοδάρου, ὃ ἔμπροσθεν μὲν ἦν λέων, ὄπισθε δὲ δράκων, μέση δὲ χίμαιρα· ἐξ ἧς πῦρ ἐκ τοῦ στόματος ἀνεδίδοτο καὶ ἐλυμαίνετο τὴν χώραν καὶ πάντας τοὺς παριόντας. ὕστερον δὲ ἐλθὼν ὁ Βελλεροφόντης ἐτεχνάσατο, καὶ τῷ δόρατι περιθεὶς σφαῖραν μολίβδου ἐνέβαλεν εἰς τὸ στόμα τῆς χιμαίρας. ἐλύθη δὲ ὑπὸ τοῦ πυρὸς ὁ μόλιβδος καὶ ἐχώνευσε τὰ σπλάγχνα αὐτῆς, καὶ οὕτως ἀπεκτάνθη ἡ Χίμαιρα. ἀλλὰ ταῦτα μὲν μυθώδη, τὸ δ᾽ ἀληθὲς οὕτως ἔχει. Βελλεροφόντης ἦν φυγὰς ἀνήρ, τὸ γένος Κορίνθιος, καλὸς κἀγαθός, ὃς πλοῖον κατασκευάσας μακρὸν ἐληΐζετο τὰ παραθαλάσσια χωρία. ὄνομα δὲ ἦν τῷ πλοίῳ Πήγασος, ὡς καὶ νῦν ἕκαστον σχεδὸν τῶν πλοίων ὄνομα ἔχει· μᾶλλον δὲ δοκεῖ πλοίῳ ἢ ἵππῳ ὄνομα εἶναι Πήγασος. βασιλεὺς δὲ Ἀμισόδαρος ᾤκει ἐπὶ Ξάνθῳ τῷ ποταμῷ· ὄρος δὲ ἦν ὑψηλὸν ὑπ᾽ αὐτῷ, ᾧ ὄνομα Τελμισσός, πρὸς ὃ δὴ ὄρος προβάσεις εἰσὶ δύο μὲν ἔμπροσθεν ἐκ πόλεως τῶν Ξανθίων,

2 *περιπορευομένου τυφλοῦ* F servavi lectionem PV propter Schol. Pind. Olymp. XIII, 130 3 *περιεπολεῖτο* F *περιεποχεῖτο* P *περιεπωχεῖτο* V 5 *ἡμερήσιον* correxi *ἡμερίσιον* PV 17 *φυγὰς* corr. Piers. ad Moer. p. 395 rec. Westerm. *Φρύγιος* vulg. 20 *σχεδὸν* om. F 25 *δύο μὲν* e cod. Mosc. scripsit Fischer, *μὲν* om. PV

τρίτη δὲ ὄπισθεν τῆς Καρίας, τὰ δ' ἄλλα κρημνοί. ἐν δὲ τῷ μέσῳ αὐτῶν χάσμα ἐστὶ τῆς γῆς μέγα, ἐξ οὗ δὴ καὶ πῦρ ἀναδίδοται. ἐπὶ τούτοις δέ ἐστιν ἕτερον ὄρος, ᾧ ὄνομα Χίμαιρα. τότε δὲ ἦν, ὡς λέγουσιν οἱ προσχώριοι, κατὰ μὲν τὴν πρόσβασιν οἰκῶν λέων ἔμπροσθεν, ὄπισθεν δὲ δράκων, οἳ δὴ καὶ ἔσινον τοὺς νομέας καὶ τοὺς ὑλοτόμους. τότε δὴ καὶ Βελλεροφόντης ἐλθὼν τὸ ὄρος ἐνέπρησε, καὶ ἡ Τελμισσὸς κατεκάη καὶ τὰ θηρία ἀπώλετο. ἔλεγον οὖν οἱ προσχώριοι, Βελλεροφόντην ἀφικόμενον κατὰ Πηγάσου τὴν Ἀμισοδάρου χίμαιραν ἀπολέσαι. τούτου οὖν γεγονότος, προσανεπλάσθη ὁ μῦθος. ἡ δὲ ἀλληγορία Πήγασον οἶδε τὸν συγκεκραμένον θυμόν, ὃς ἔχει συγκεκραμένον τὸ ἄλογον μέρος τῷ λογικῷ. Βελλεροφόντην δὲ τὸν ἀναιροῦντα τὰ θανάσιμα παρὰ τὸ ἐν τῇ ἔρᾳ βάλλειν, τὰ βάλλοντα εἰς τὴν γῆν. καὶ ἄλλως. βέλλερα τὰ κακὰ λέγονται, Βελλεροφόντης οὖν ὁ προνοούμενος παύειν τὰ κακά, τὴν δὲ χίμαιραν τὴν καθόλου κακίαν, ἣ ἐγέννησε τὴν μερικήν, καὶ τὸν λέοντα φανερὸν καὶ ὀξὺν θυμόν· τὸν δράκοντα δὲ θυμὸν ποικιλώτερον. ἢ τὴν Χίμαιραν τὸν μερικὸν θυμὸν καὶ 90
μέσον καὶ κεκραμένον. ὅτι δὲ ὁ Βελλεροφόντης καὶ Βελλεροφῶν τετρασυλλάβως λέγεται, ποιητὴς ὁ Περδίκης δηλοῖ· δῆλον δέ, ὡς ἐκ τοῦ Βελλεροφόων κατὰ συναίρεσιν, ὡς Ξενοφόων Ξενοφῶν. δῆλον δὲ ὅτι καὶ Ἑλλεροφόντην τοῦτον ἱστόρησάν τινες καλεῖσθαι καὶ

---

1 *κρημνοί* F *κρημνός* PV 5 *πρόσβασιν* F *πρόβασιν* PV 17 *κακὰ* legendum est, *καλὰ* FPV vitiosissime 23 Quis scit *ποιητὴς ὁ Περδίκης*, nescire me fateor, *ποιητὴς ἕτερος* F (an *Πίνδαρος*?) 26 *Ἑλλεροφόντην* P *Βελλεροφόντην* V

Βέλλερον καὶ Λεοφόντην. ἀνελόντα δὲ Βέλλερον, δυνάστην Κορινθίων, μεταθέσθαι τὸ ὄνομα.

CCXVIII. *Περὶ τοῦ τῆς Βερονίκης πλοκάμου.*

Βερονίκη γυνὴ ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Εὐεργέτου καλουμένου. τοῦ οὖν ἀνδρὸς αὐτῆς τοῦ Πτολεμαίου ὄντος ἐν τῷ πολέμῳ, ηὔξατο, ὅτι, εἰ ὑποστρέψει ἄτρωτος, τῶν πλοκάμων ἀποκείρασα τῶν ἑαυτῆς, ἀναθήσει ἀνάθημα ἐν τῷ ἱερῷ· καὶ ἀνέθηκεν ἡ Βερονίκη. ἦν δέ τις ἐπὶ τῶν αὐτῆς χρόνων ἀστρονόμος, Κόνων καλούμενος, ὃς πρὸς κολακείαν αὐτῆς ἔφησεν, ὅτι οἱ θεοὶ τὸν πλόκαμον τοῦτον ἐν ἄστροις ἀνέθηκαν· καὶ οὕτω κατηστέρισε τῆς Βερονίκης τὸν πλόκαμον. τοῦτο δὲ καὶ μυρίοι ἕτεροι πεποιήκεσαν σοφώτατοι ὄντες, καὶ πολλοὺς ἄνδρας τε καὶ γυναῖκας πρὸς κολακείαν ἢ μυθικῷ τινι τρόπῳ ἐν τοῖς ἄστροις κατηστέρισαν.

CCXIX. *Περὶ Βήλου.*

Βῆλος υἱὸς Διός, βασιλεὺς Βαβυλῶνος, ἀφ' οὗ καὶ αἱ πύλαι Βαβυλῶνος Βηλίδες ὠνομάσθησαν· ἢ καὶ αὐτὸς ὁ Ζεὺς κατά τινας Βῆλος λέγεται. διὸ καὶ Ἡρόδοτος ἱερὸν λέγει Βήλου Διὸς εἶναι ἐν τῇ Περ-

CCXVIII. Nonn. II, 2 (Cosm. p. 127; Arsen. Viol. p. 151)
CCXIX. Eustath. Dion. 1005

1 *Βέλλορον* P *Βέλλερον* V   6 *τῶν πλοκάμων — τῶν ἑαυτῆς* F *τὸν πλόκαμον — τὸν ἑαυτῆς* PV (consentit Cosmas) 8 *Βερονίκης* P *Βερενίκης* V   9 *Κόνων* P idemque praebent Nonnus et Hesychius v. *Βερενίκης πλ.*, *Κάμων* Cosmas *Κώνων* V   12 *τοῦτο* — exit. om. Nonnus-Cosmas   17 *ὠνομάσθησαν* om. F ad marginem scriptum est librarii manu *περὶ Βαβυλῶνος*

σικῇ Βαβυλῶνι. τὴν δὲ Βαβυλῶνα κτίσμα εἶναι Βαβυλῶνος, ἀνδρὸς σοφωτάτου, παιδὸς Μήδου, καὶ οὐ Σεμιράμιδος, λέγουσιν· ἀλλ' εἶναι ἀρχαιοτέραν τὴν πόλιν τῆς Σεμιράμιδος ἔτεσι χιλίοις ὀκτακοσίοις, βασιλίσσης γενομένης μετὰ ταῦτα σοφῆς τε καὶ συνετῆς, συνετωτέραν δὲ αὐτῆς τὴν Νίτωκριν, Βαβυλῶνος καὶ αὐτὴν βασιλεύσασαν. ἄλλοι δὲ περὶ τῆς Βαβυλῶνος τοιαῦτά τινα ἱστοροῦσιν, ὅτι Νίνου τοῦ Σύρων βασιλέως τὴν Νινευὶ κτίσαντος, ἡ τούτου γυνὴ τὸν ἄνδρα ὑπερβαλλομένη Βαβυλῶνα ἐν τῷ πεδίῳ κτίζει, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου καὶ λίθων λαξευτῶν, τριπήχεων μὲν τὸ πλάτος, ἑξαπήχεων δὲ τὸ μῆκος. καὶ περίμετρον αὐτῇ διεγράψατο στάδια πφε', τὸ δὲ τεῖχος εἰς ὕψος ἀνέτεινε πεντήκοντα πήχεων, οὗ τὸ πάχος εἰς τριάκοντα πήχεις διέστησεν, ὡς καὶ τέθριππα ἐπ' αὐτοῦ ἐναντιοδρομεῖν ἀλλήλοις. καὶ πύργους ταῖς πύλαις ἐπέστησεν ὑψηλούς, χαλκᾶς τε πύλας ποιήσασα, 91 *εἰς ὕψος τε ἀνατεινομένας πολὺ καὶ εἰς πλάτος ἀξιόλογον. ἔκτισε δὲ καὶ δεξαμενὴν μεγάλην, ᾗ κῆπον ἐπήγειρε θαυμαστόν, ἐπιλεγόμενον κρεμαστόν, ὃς τετράπλευρος μὲν ἦν, ἑκάστην δὲ πλευρὰν εἶχε τετράπλεθρον· καὶ ἦν ἓν καὶ αὐτὸς τῶν ἑπτὰ κοσμικῶν θεαμάτων.*

CCXX. *Περὶ Βορέου.*

Βορέας βασιλεὺς ἦν Θρᾴκης. οὗτος ἥρπασέ ποτε Ὠρείθυιαν, τὴν τοῦ Ἐρεχθέως βασιλέως Ἀττικῆς, εἰ

CCXX. Eustath. Dion. 423

---

13 *τπε'* F 16 *ἐναντιοδρομεῖν* corr. A. C. Meineke *ἐναντιδρομεῖν* PV 17 *ὑψηλούς* F *ὑψηλάς* perperam PV

καὶ ὁ μῦθος διὰ τὴν ὁμωνυμίαν ἀπαναστήσας τῆς γῆς τὸν ἄνθρωπον ἐξηνέμωσε. καθὰ καὶ Ἀϊδωνεὺς βασιλεὺς μὲν ἦν, ὡς οἱ ἀκριβέστεροί φασιν, Ἠπείρου τῆς ἐν Μολοττοῖς, πρὸς ὃν καὶ Πειρίθους ἦλθε καὶ Θησεὺς διὰ τὴν Περσεφόνην, ἀλλὰ δὴ καὶ ὁ Ἡρακλῆς διὰ τὸν Κέρβερον κύνα πολλοῦ ἄξιον. ὅμως δὲ καὶ ἐκεῖνος ὁ Ἀϊδωνεὺς δι' ὁμοιότητα κλήσεως εἰς τὸν Ἅιδην μεταλαμβάνεται, καὶ εἰς τὸν ὑπὸ γῆν τοῖς μυθογράφοις μετατίθεται Πλούτωνα. Ἑρμείας δὲ ὁ Πλατωνικὸς βασιλικὴν παῖδα τὴν Ὠρείθυιαν κατὰ κρημνοῦ ὑπονοεῖ ὠσθῆναι ἀνέμῳ Βορρᾷ, καὶ τούτῳ τῷ τρόπῳ λεχθῆναι ἁρπασθῆναι αὐτὴν ὑπὸ τοῦ Βορρᾶ.

CCXXI. Περὶ Βριάρεω.

Βριάρεως κατὰ μὲν Ἡσίοδον Οὐρανοῦ καὶ Γῆς παῖς ἐστιν (ὁ αὐτὸς δὲ Βριάρεως καὶ Αἰγαίων καὶ Γύγης συνωνύμως), κατὰ δὲ Εὔμηλον Γῆς καὶ Πόντου. οὗτος καὶ Κόττος ἑκατὸν χεῖρας ἐσχηκότες, μετὰ τῶν θεῶν ἐπολέμησαν πρὸς τοὺς Τιτᾶνας. Ἴων δέ φησι, τὸν Βριάρεων ἐκ τοῦ πελάγους παρακληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι, φυλάξοντα τὸν Δία, Θαλάσσης ὄντα παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. τὸ δ' ἀληθὲς οὕτως ἔχει. τῇ πόλει, ἐν ᾗ ᾤκουν Κόττος καὶ Βριάρεως, ὄνομα Ἑκατογχειρία· ἦν δὲ πόλις τῆς νῦν καλουμένης Ὀρεστιάδος. ἔλεγον οὖν οἱ πολῖται, ὅτι Κόττος καὶ Βριάρεως καὶ Γύγης οἱ ἑκατόγ-

CCXXI. Schol. Apoll. I, 1165. V. Eud. p. 29 τὸ δ' ἀληθὲς — exit. Palaeph. 20. V. Eud. p. 258 (Arsen. Viol. p. 321)

2 ἀϊδονεὺς P corr. V 13 Theog. 820 15 Εὔμυλον P corr. V. Cf. Kinkel I, p. 6 23 ἄνθρωποι F sequens ὅτι om. F 24 ἑκατοντάχειρες ut supra Ἑκατονταχειρία PV

χειρες βοηθήσαντες τοῖς θεοῖς, αὐτοὶ ἐξήλασαν τοὺς Τιτᾶνας ἐκ τοῦ Ὀλύμπου.

CCXXII. *Περὶ τῆς Βριζοῦς.*

Βριζὼ λέγεται εἶναι μάντις ἐν ὕπνῳ, ἣ αἱ Δηλιάδες, ἤγουν αἱ κατὰ τὴν Δῆλον νῆσον γυναῖκες, θύουσαι προσφέρουσι σκάφας πλήρεις ἁπάντων ἀγαθῶν διὰ τὸ εὔχεσθαι αὐτὴν καὶ ὑπὲρ πλοίων σωτηρίας.

CCXXIII. *Περὶ Βίαντος.* 92

Βίας ἀδελφὸς Μελάμποδος.

CCXXIV. *Περὶ Βρόντου.*

Βρόντης υἱὸς Οὐρανοῦ καὶ Γῆς. οὗτος μυθεύεται τοὺς τοῦ Διὸς κεραυνοὺς χαλκεύειν μετὰ τοῦ ἰδίου ἀδελφοῦ Στερόπου.

CCXXV. *Περὶ Βακίδων.*

Βάκιδες τρεῖς ἐγένοντο, ὧν ὁ πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ δεύτερος Ἀττικὸς καὶ μάντις, οὗ καὶ Ἀριστοφάνης μέμνηται, καὶ ὁ τρίτος Ἀρκάς, ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης, ὥς φησι Φιλήτας ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ ἐννάτῃ τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ

CCXXII. Eustath. Od. p. 1720 CCXXIII. Schol. Theocrit. III, 43 CCXXIV. Compilata ex Hes. Theog. 140 CCXXV. Schol. Ar. Pac. 1070 (Similia affert Schol. Av. 963, quae compilavit Suidas). V. Eud. p. 374

---

2 *Τιτᾶνας* F *Γίγαντας* hic et supra PV, quod utroque loco correxi 15 Müller IV, p. 474

τῶν Λακεδαιμονίων τὰς γυναῖκ ασμανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος.

CCXXVI. *Περὶ Βάττου.*

Βάττος βασιλεὺς Λίβυς, ὃς δοκεῖ παροιμίαν δοῦναι τοῦ βαττολογεῖν. οὗτος Κυρήνην ἔκτισεν, ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου, ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων, τὸ σίλφιον καὶ ἐν νομίσμασιν αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον. ἄλλως· Βάττος ἐν Λιβύῃ Κυρήνην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τῷ Ἀπόλλωνι χρησμόν. καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ ἐποίησαν εἰκόνα, ὡς δέ τινες, δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον, τὴν πολυτίμητον βοτάνην. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστι. καὶ οἱ Ἀμπελιῶται δέ, ἔθνος Λιβύης, εἰς Δελφους ἀνέθεσαν καυλὸν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης.

[CCXXVII. *Περὶ Βήρου.*

Βῆρος στρατηγὸς Ῥωμαίων. οὗτος οὐκ ἦν κατεσπουδασμένος, ἀλλὰ μέθης νόσῳ ἀνειμένος ἐκ τοῦ

CCXXVI. Schol. Ar. Plut. 925 (Suid.; Arsen. Viol. p. 137)
CCXXVII. Procop. de bell. Geth. III, 3, 27 (Suid.)

7 *νομίσματι* F 15 *καυλός* scripsi cum Müllero III, p. 106 *κλάδος* PV 20 Haec mire cum Suidae excerptis congruunt, ut ex eius lexico huc irrepsisse luce clarius sit, cum praesertim Eudociam Procopii historias nusquam adhibuisse constet. Cf. Untersuchungen p. 79

ἐπιπλεῖστον, καὶ ἀπ' αὐτοῦ θράσει ἀπερισκέπτῳ ἐσαεὶ εἴχετο.]

CCXXVIII. *Περὶ Βασιλικοῦ τοῦ σοφιστοῦ.* 93

Βασιλικὸς σοφιστής. περὶ τῶν διὰ τῶν λέξεων σχημάτων, περὶ ῥητορικῆς παρασκευῆς, ἤτοι περὶ ἀσκήσεως, περὶ μεταποιήσεως. ἔγραψε καὶ περὶ ἄλλων πολλῶν ῥητορικῶν.

Ποιηταί.

CCXXIX. *Περὶ Βακχυλίδου.*

Βακχυλίδης Κεῖος, ἀπὸ Κέω, πόλεως Ἰουλίδος, συγγενὴς Σιμωνίδου τοῦ λυρικοῦ, καὶ αὐτὸς λυρικός.

CCXXX. *Περὶ Βάτωνος.*

Βάτων κωμικός. δράματα αὐτοῦ Συνεξαπατῶν, Ἀνδροφόνος, Εὐεργέται.

Φιλόσοφοι.

CCXXXI. *Περὶ Βαβώ.*

Βαβὼ καὶ Δημώ, ὀνόματα σοφῶν γυναικῶν ἐξένισεν ἡ Βαβὼ τὴν Δημώ.

CCXXXII. *Περὶ Βώλου.*

Βῶλος Δημοκρίτειος φιλόσοφος. συντέθηκε τέχνην

CCXXVIII—CCXXXII. Hesych. (Suid.)

6 *καὶ ἄλλα τινά* S 7 *τῆς νήσου* add. S, qui post *Ἰουλίδος* haec addit: (*ἔχει γὰρ πόλεις δ' Ἰουλίδα, Καρθαίαν, Κορεσσίαν, Ποιήεσσαν*) *Μέδωνος υἱὸς τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός* 9 *Βάτων* S *Βάττων* PV 11 *Βαβὼ* S *Βαρὼ* PV. Suidas Babonis vitam iterum sub voce *Δημώ* enarravit. *Βαυβὼ* et *Δηὼ* scribendum esse monuit Kuesterus. Cf. Lobeck. Aglaoph. p. 822. 13 *Δημοκρίτειος* S *Δημοκρίτιος* PV mox *ἱστορίαν* add. S

ἰατρικήν (ἔχει δὲ ἰάσεις φυσικὰς ἀπό τινων βοηθημάτων τῆς φύσεως).

CCXXXIII. *Περὶ Βίαντος.*

Βίας Τευτάμου, Πριηνεύς, εἷς τῶν ἑπτὰ σοφῶν. τοῦτον λέγουσιν, Ἀλυάττου πολιορκοῦντος Πριήνην, πιήναντα δύο ἡμιόνους ἐξελάσαι εἰς τὸ στρατόπεδον, τὸν δὲ Ἀλυάττην συνιδόντα καταπλαγῆναι μέχρι καὶ ἀλόγων διατείνειν αὐτῶν τὴν εὐθήνειαν. καὶ ἐβουλήθη σπείσασθαι καὶ εἰσέπεμψεν ἄγγελον. Βίας δὲ σωροὺς ψάμμου χέας καὶ ἄνωθεν σῖτον περιχέας, ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τέλος μαθὼν ὁ Ἀλυάττης, εἰρήνην ἐσπείσατο πρὸς τοὺς Πριηνέας. θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα, ἵνα ἥκῃ παρ' αὐτόν, ἐγὼ δέ, φησίν, Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν [ἴσον τῷ κλαίειν]. λέγεται δὲ καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ προσ-
94 *εχρῆτο. ὅθεν καὶ Δημόδοκος ὁ Λέριος τοῦτο αἰνίττεται λέγων· „ἢν τύχῃς κρίνων, δικάζευ τὴν Πριηνίην δίκην“. καὶ Ἱππῶναξ· „καὶ δικάσσασθαι Βίαντος τοῦ Πριηνέος κρέσσων“. τοῦτον οὖν καὶ ἐτελεύτα τὸν τρόπον. δίκην γὰρ ὑπέρ τινος λέξας ἤδη ὑπεργήρως ὑπάρχων, κατὰ τὸ καταπαῦσαι τὸν λόγον ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τοῦ τῆς θυγατρὸς υἱοῦ κόλπους· εἰπόντος δὲ καὶ τοῦ ἐξ ἐναντίας, τῶν δικαστῶν τὴν ψῆφον ἐνεγ-*

CCXXXIII. Diogenes Laert. I, 5

---

7 *εὐθένειαν* P corr. V *εὐθενίαν* F 14 Eadem excerpsit Suidas v. *Βίαντος Πριηνέως δίκη* et *δικάζεσθαι* 16 *Δημ. ὁ Λέριος* F *Δημ. ὁ Ἀλείριος* PV. Cf. fr. 6 B 18 Sic scripsi cum Bergkio; *ἃ καὶ δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρεῖσσον* PV

κόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου, νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη, καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, καὶ ἐπέγραψαν·

Κλεινοῖς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
Ἧδε Βίαντα πέτρα, κόσμον Ἴωσι μέγαν.

CCXXXIV. Περὶ Βώλου τοῦ Πυθαγορείου.

Βῶλος, Μενδήσιος, Πυθαγόρειος. ἔγραψε περὶ τῶν ἐκ τῆς ἀναγνώσεως ἱστοριῶν εἰς ἐπίστασιν ἡμᾶς ἀγαγόντων, περὶ θαυμασίων, φυσικὰ δυναμερά (ἔχει δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν λίθων κατὰ στοιχεῖον), περὶ σημείων τῶν ἐξ ἡλίου καὶ σελήνης καὶ ἄρκτου καὶ λύχνου καὶ ἴριδος.

CCXXXV. Περὶ Βίωνος.

Βίωνες γεγόνασι δέκα· πρῶτος ὁ Φερεκύδει τῷ Συρίῳ συνακμάσας, οὗ φέρεται βιβλία δύο· ἔστι δὲ Προικοννήσιος. δεύτερος Συρακούσιος, τέχνας ῥητορικὰς γεγραφώς. τρίτος Δημοκρίτειος μαθηματικός, Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ἰάδι. οὗτος πρῶτος εἶπεν εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα, καὶ ἓξ τὴν ἡμέραν. τέταρτος Σολεύς, Αἰθιοπικὰ γεγραφώς. πέμπτος ῥητορικός, οὗ φέρεται ἐννέα βιβλία, Μουσῶν ἐπιγραφόμενα. ἕκτος μελικὸς

CCXXXIV. Hesych. (Suid). CCXXXV. Diogenes Laert. IV, 7 (v. Arsen. Viol. p. 140; Pseudo-Hesych. p. 14)

---

4 κλεινοῖς ex Anthol. Pal. VII, 90 correxi, κλεινῆς PV 6 περὶ τῶν ἐκ τῆς recte S περὶ τῶν τῆς P (omisso ἐκ) περὶ τῆς inepte V 8 ἀγόντων S nescio an melius; interpunctionem post θαυμασίων cum S posui, om. PV 16 Αὐδερίτης mutatis, ut solet, β et υ P corr. V

ποιητής. ἕβδομος Μιλήσιος ἀνδριαντοποιός, οὗ μέμνηται καὶ Πολέμων. ὄγδοος ποιητὴς τραγῳδίας τῶν Ταρσικῶν λεγομένων. ἔννατος ἀγαλματοποιὸς Κλαζομένιος ἢ Χῖος, οὗ μέμνηται καὶ Ἱππῶναξ. δέκατος ὁ Βορυσθενίτης φιλόσοφος, τὰ μὲν ἄλλα πολύτροπος καὶ σοφιστὴς ποικίλος, καὶ πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιππάζεσθαι φιλοσοφίας, ἔν τισι δὲ καὶ πότιμος καὶ ἀπολαῦσαι τύφου δυνάμενος, πλεῖστά τε καταλέλοιπεν ὑπομνήματα, ἀλλὰ καὶ ἀποφθέγματα χρειώδη πραγματείαν ἔχοντα.

95 CCXXXVI. *Περὶ τοῦ Βουθοίνα.*

Βουθοίνας ἐκλήθη ὁ Ἡρακλῆς διὰ τοιαύτην αἰτίαν. τὴν Δρυόπιδα γῆν παρῄει βαστάζων καὶ τὸν υἱὸν αὐτοῦ Ὕλλον, εἶτα πεπεινακότος τοῦ Ὕλλου καὶ αἰτοῦντος τροφὴν τὸν πατέρα, ἀροτριῶντα, λεγόμενον Θειοδάμαντα, εὗρεν ὁ Ἡρακλῆς, καὶ ᾐτήσατο αὐτὸν δοῦναι αὐτῷ ἄρτον· ὁ δὲ οὐκ ἔδωκεν, ἀλλὰ καὶ ὕβρισε τὸν Ἡρακλέα. εἶτα ὁ Ἡρακλῆς ἕνα τῶν ἀροτριώντων βοῶν λαβὼν ἔσφαξε, καὶ ἐθοινήθη καὶ αὐτὸς καὶ ὁ υἱὸς αὐτοῦ. καὶ ἐκλήθη διὰ τὴν αἰτίαν ταύτην Βουθοίνας, ἐπειδὴ ὅλον ἐθοινήθη τὸν βοῦν. ἔνθεν αὐτῷ τῷ Ἡρακλεῖ γέγονεν ὁ πρὸς τοὺς Δρύοπας πόλεμος. τοῦ γὰρ Θειοδάμαντος ἀνελθόντος εἰς τὴν πόλιν καὶ

CCXXXVI. Nonn. I, 41 (Cosm. p. 64, qui praeter alios compilaverunt Argum. Soph. Trach.). Sed p. 209 Eudocia Argumentum ipsum describens haec omnia iteravit, ut dubium sit, an hic quoque plenius Argumentum adhibuerit

---

3 *ἔνδατος* P corr. V 4 fr. 95 B 13 *αὐτοῦ* P *αὐτοῦ* V 16 *ἔδωκεν* P *ἔδωκε* V 19 *Ὕλλος* add. F 20 *ἐπειδὴ — βοῦν* om. F 22 *Θειοδάμαντος* F *Θεοδάμαντος* ubique PV

εἰπόντος, ὡς Πολέμιος ἦλθεν εἰς τὴν χώραν ἡμῶν, λέγων περὶ τοῦ Ἡρακλέους, ἐξῆλθον κατ' αὐτοῦ, καὶ νενίκηκε πάντας ὁ Ἡρακλῆς.

[CCXXXVII. *Περὶ Γάγγου τοῦ δεκαπήχεως.*

Γάγγης βασιλεὺς Αἰθιόπων, ὃν ἀπέκτεινεν Ἀλέξανδρος, δεκάπηχυν τὸ μῆκος, τὴν δὲ ὥραν, οἷος οὔπω τις ἀνθρώπων. Ποταμοῦ δὲ Γάγγου παῖς, ὡς ὁ μῦθος.]

CCXXXVIII. *Περὶ Γανυμήδους.*

Γανυμήδης υἱὸς ἦν Τρωός, ᾧ χρυσῆν τινα ἄμπελον Ζεὺς ἐχαρίσατο ἀντὶ Γανυμήδους. Πρίαμος δὲ ἐκ διαδοχῆς ἐλθοῦσαν εἰς αὐτὸν ὑπέσχετο Ἀστυόχῃ, τῇ ἑαυτοῦ μὲν ἀδελφῇ, Εὐρυπύλου δὲ μητρί, εἰ πέμψει ἐπὶ συμμαχίᾳ τὸν υἱὸν φάμενον, ἐπὶ τῇ μητρὶ κεῖσθαι τὴν εἰς πόλεμον ἐξέλευσιν αὐτοῦ· ἵνα δηλοῖ ὁ λόγος, ὡς διὰ γυναικὸς δωροδοκίαν ὁ Εὐρύπυλος συνεμάχησεν. ἡ δὲ τοῦ Γανυμήδους ἁρπαγὴ ἄωρον αἰνίττεται τοῦ παιδὸς θάνατον, ὁποῖα πολλὰ οἱ μῦθοι πλάττουσι. τινὲς δέ φασιν ἀπὸ τοῦ Ταντάλου αὐτὸν ἁρπαγῆναι καὶ ἐν κυνηγεσίῳ πεσεῖν καὶ ταφῆναι ἐν τῷ Μυσίῳ Ὀλύμπῳ. οἱ δὲ ἱστοροῦσιν, ὑπὸ Μίνωος

CCXXXVII. Philostrat. Vit. Apoll. III, 6 (Suid.) CCXXXVIII. Eustath. Od. p. 1697, v. Eud. p. 161, *ἡ δὲ τοῦ Γανυμήδους ἁρπαγή* — exit. Eustath. Il. p. 1280

---

1 *Πολέμιος* F *πολέμιος* PV 5 *δεκάπηχυς* F magis placet *δεκάπηχυν*. Ceterum hunc locum ex Suidae articulo quocum ad verbum congruat huc translatum suspicatus sum Untersuchungen p. 79 15 Verborum ordinem ex F restitui, *τοῦ δὲ Γαν. ἡ ἁρπαγὴ* PV 19 *Μίνωνος* PV

ἁρπαγῆναι, καὶ τὸν τῆς ἁρπαγῆς τόπον Ἁρπάγην κληθῆναι. φασὶ δὲ καὶ ὅτι βιαζόμενος κατεκρήμνισεν
96 ἑαυτόν. τῷ δὲ πατρὶ ἐπέμφθη πλάσμα, ὅτι θύελλα καὶ νέφος ὑφήρπασεν αὐτὸν οἰνοχόον τῷ Διί. ὅτι δὲ καὶ ἄνδρες ᾠνοχόουν, δηλοῦσι καὶ οἱ τῶν μνηστήρων κοῦροι. ἄλλως δὲ ἀκριβέστερον φάναι· ᾠνοχόουν παρὰ τοῖς παλαιοῖς εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός· παρὰ Ῥωμαίοις δέ, φασί, τοιοῦτοι παῖδες ταύτην λειτουργίαν ἐξετέλουν ταῖς δημοτελέσι θυσίαις· οὐκοῦν καὶ ὁ μῦθος οὕτω τὰ κατὰ τὸν Γανυμήδην ποιεῖ Διὶ κιρνῶντα. Σαπφὼ δὲ ἡ καλὴ τὸν Ἑρμῆν οἰνοχοεῖν φησι θεοῖς, ἐμφαίνουσα τῷ μύθῳ εὐλόγως χρῆναι προβαίνειν τὰ συμπόσια· καὶ μὴν καὶ κατὰ δίκην, ἣν ἡ Ὁμηρικὴ Θέμις ἐμφαίνει συμπαροῦσά που τοῖς οὐρανίοις δαιταλεῦσιν. ἡ δ' αὐτὴ Σαπφὼ καὶ τὸν Λάριχον ἀδελφὸν αὐτῆς ἐπαινεῖ, ὡς οἰνοχοοῦντα ἐν τῷ Πρυτανείῳ τῆς Μιτυλήνης. καὶ Εὐριπίδης δέ, ὃν κατάχρυσον ὁ Δίφιλος εἶπε, λέγεται οἰνοχοεῖν Ἀθήνησι τοῖς καλουμένοις ὀρχησταῖς. μυθεύεται δὲ οἰνοχόος θεοῖς καὶ Ἥβη. τοῦτο δὲ ἴσως διὰ τὸ ἡβητήρια καλεῖσθαι τὰ συμπόσια, εἰ καί ποτε ἄσεμνον συναγωγὴν ἡ τοιαύτη λέξις δηλοῖ. ὅτι δὲ παρὰ τοῖς Ἐφεσίοις οἱ ἐν τῇ τοῦ Ποσειδῶνος ἑορτῇ οἰνοχοοῦντες ἠΐθεοι Ταῦροι ἐκαλοῦντο, ἐν τοῖς τοῦ Ἀθηναίου καὶ αὐτὸ κεῖται.

---

1 Ἁρπάγην rectius F Ἁρπαγὴν PV 8 τοιοῦτοι παῖδες recte P τοιοῦτοι om. V 11 fr. 139 B 12 ἐλλόγως F 14 Sic P idemque F male συμπαροῦσάν V πω F 16 ἐν add. F om. PV 18 Meineke fr. com. IV, p. 402 seq. 20 καὶ add. F om. PV 24 αὐτὸ F αὐτὴ PV. De Athenaeo v. X, p. 424

CCXXXIX. *Περὶ Γαργιττίου τοῦ κυνός.*

Γαργίττιος ὄνομα κυνὸς Γηρυόνου, ἀδελφὸς τοῦ Κερβέρου, ὃς τὰς βοῦς φυλάττων, ἀνῃρέθη ὑφ' Ἡρακλέους, καὶ ἔχει μνῆμα ἐν Ἰβηρίᾳ. γνώριμος δὲ καὶ Τριακὰς ἡ Παιωνικὴ ἀνθρώπων. Πάνης δὲ αὐτήν, ὁ Παιωνίας σατράπης, δῶρον ἔδωκεν Ἀλεξάνδρῳ τῷ βασιλεῖ. οὐ μὴν οὐδὲ ὁ Μάγνης ὁ κύων, τὸ Ἱππαίμονος κτῆμα, ᾧ Λήθαργος ἐπώνυμον, οὐκ ἀνώνυμος, ὃς τῷ δεσπότῃ συντέθαπται, καθάπερ μηνύει τοὐπίγραμμα·

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος,
Καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης.

τὰ μὲν δὴ τῶν Ἀκταίονος κυνῶν ὀνόματα κατὰ τὴν Αἰσχύλου δόξαν Κόραξ, Ἅρπυια, Χάρων, Λυκόττις.

CCXL. *Περὶ γεωργίας πῶς εὑρέθη.*

Καθὼς μυθεύεται, ἡ Δημήτηρ εἶχε θυγατέρα τὴν Περσεφόνην, ἣν ἥρπασεν ὁ Πλούτων. περιϊοῦσα δὲ ἡ Δημήτηρ καὶ ζητοῦσα τὴν θυγατέρα ἦλθεν εἰς τὴν Ἀττικὴν καὶ κατέλυσε παρὰ Τριπτολέμῳ τινί, ἐν κώμῃ Ἐλευσίνι οὕτω καλουμένῃ. μανθάνει δὲ αὐτοῦ παρὰ Τριπτολέμου, ὅτι ὁ Πλούτων ἥρπασε τὴν Περσεφόνην, 97 *καὶ ὑπὲρ ταύτης τῆς εὐεργεσίας δίδωσι τῷ Τριπτολέμῳ τὰ σπέρματα, λέγω δὴ σῖτον καὶ κριθήν, ἐντει-*

CCXXXIX. Pollux V, 47   CCXL. Compilavit Apollod. I, 4, 5 seq.

---

1 *Γαργίττιος* F *Γαργίττος* vitiose PV itemque *Γηριόνου* PV 6 *Μάγνης* P *Μάγης* V *Ἱππαίμονος* F *Ἱππάμωνος* PV 8 Anthol. Pal. VII, 304 10 *Βάβης* F *Βάθης* PV 11 *Ἀκταίονος* F *Ἀκταίωνος* PV 12 fr. 241 Nauck, quem secutus sum scribens *Λυκόττις*, PV enim *Λυκιτᾶς* 16 *καταλύσας* P corr. V 17 *αὐτοῦ* correxi, *αὕτη* P *αὐτὴ* V

λαμένη μὴ φθονῆσαι, ἀλλὰ ἐλθεῖν καὶ σκορπίσαι τὰ σπέρματα πᾶσιν ἀνθρώποις, ἵνα μάθωσι τὸ σπείρειν καὶ γεωργεῖν καὶ ἐσθίειν τοὺς ἡμέρους καρπούς. πάλαι γὰρ οἱ ἀγροῖκοι ἤσθιον τὰς βαλάνους ἐκ τῶν φηγῶν, ἔνθεν ἀπὸ τῆς φηγοῦ καὶ τὸ φαγεῖν εἴρηται. λέγεται δὲ ὅτι Τριπτόλεμος λαβὼν ἅρμα δρακόντων πτερωτῶν, συμπαραλαβὼν καὶ τὸν Κελεόν, οὕτως ἐπλανᾶτο φιλοτιμούμενος τὰ σπέρματα.

CCXLI. *Περὶ τοῦ Γηρυόνου.*

Γηρυόνης γέγονε Χρυσάορος παῖς καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ. ἦν δὲ τρικέφαλος τὸ σῶμα ὁ Γηρυόνης διὰ τὸ εἰδέναι τά τε ἐσόμενα, τά τε ἐνεστῶτα καὶ τὰ παρεληλυθότα. Στησίχορος δὲ καὶ ἓξ χεῖράς φησι καὶ ἓξ πόδας ἔχειν καὶ ὑπόπτερον αὐτὸν εἶναι. περὶ δὲ τὸν τάφον ἐκείνου δύο δένδρα μυθεύεται ἑστῶτα, ὅτι καταλείβεται αἵματος.

CCXLII. *Περὶ Γλαύκου.*

Γλαῦκος Ἀνθηδόνιος ἦν ἁλιεύς, ὃς ἐμμανὴς γενόμενος ἥλατο εἰς τὴν θάλασσαν· ἰχθὺν γὰρ ἁλιεύσας καὶ ῥίψας νεκρὸν εἰς γῆν εἶδε προσεγγίσαντα βοτάνῃ καὶ ἀναζήσαντα. φαγὼν δὲ καὶ αὐτὸς γέγονεν ἀθάνατος, ἀλλ᾽ οὐκ ἀγήρως, καὶ ἥλατο εἰς τὴν θάλασσαν. μαντεύεται δέ, ὡς παρ᾽ Ὁμήρῳ Πρωτεύς, καὶ παρὰ Πινδάρῳ Τρίτων, τοῖς Ἀργοναύταις. τὴν δὲ βοτά-

CCXLI. Schol. Hes. Theog. 287. V. Eud. p. 214 CCXLII. Tzetzes Lyc. 754 *καὶ Γλαύκη* — exit. Schol. Hes. Theog. 244

---

4 *ἀγρίκοι* P corr. V 9 *Χρυσαόρου* PV 14 Haec nostris in scholiis non leguntur 16 *Ἀνθηδόνιος* F *Ἀθηναῖος* PV 18 *εἶδε* P *ἴδε* V 22 Pyth. IV, 13 sq.

νην, ἧς ἐγεύσατο, φασί τινες ἀείζωον εἶναι. καὶ Γλαύκη ὄνομα Νηρηΐδος λέγεται διὰ τὴν ὄψιν τῶν ὑδάτων.

CCXLIII. *Περὶ Γλαύκου τοῦ Μίνωος.*

Γλαύκου τοῦ Μίνωος ἀποθανόντος ἐπὶ τῷ μέλιτι, ὁ Μίνως ἐν τῷ τίμβῳ κατώρυξε τὸν τοῦ Κοιράνου Πολύειδον, ὃς ἦν ἐκ τοῦ Ἄργους· ὃς ἰδὼν δράκοντα ἑτέρῳ δράκοντι πόαν ἐπιθέντα τεθνεῶτι καὶ ἀναστήσαντα αὐτόν, καὶ οὕτω τὸ αὐτὸ ποιήσας εἰς τὸν Γλαῦκον ἀνέστησεν. οὕτως ὁ μῦθος διαλαμβάνει. ἡ δὲ ἱστορία οὕτως ἔχει· Γλαῦκος πιὼν μέλι ἐταράχθη. χολῆς δὲ αὐτῷ πλείονος κινηθείσης, ἐλειποθύμησεν ὁ Γλαῦκος. ἀφίκοντο δ' οὖν οἵ τε δὴ ἄλλοι ἰατροί, ἅτε δὴ χρήματα ληψόμενοι, ἀλλὰ δὴ καὶ Πολύειδος, ὃς ἰδὼν τὴν πόαν, ἣν ἔμαθε παρά τινος ἰατροῦ, ᾧ ἦν ὄνομα Δράκων, καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμενος ὑγιᾶ ἐποίησε τὸν Γλαῦκον. ἔλεγον οὖν τινες, ὅτι Πο- 98
λύειδος τὸν Γλαῦκον ὑπὸ μέλιτος θανόντα ἀνέστησεν.

CCXLIV. *Περὶ Γλαύκου τοῦ θαλαττίου.*

Ὁ Γλαῦκος οὗτος ᾄδεται, ὅτι πόαν φαγών ποτε ἀθάνατος ἐγένετο καὶ νῦν ἐν τῇ θαλάσσῃ οἰκεῖ. ἡ δὲ ἱστορία ἔχει οὕτω· Γλαῦκος ἦν ἀνὴρ ἁλιεύς, Ἀνθηδόνιος τὸ γένος. ἦν δὲ κολυμβητής, ἐν τούτῳ ὑπερφέρων πάντων τῶν κολυμβητῶν. κολυμβῶντος δὲ ἐν

CCXLIII. Palaeph. 27 (Arsen. Viol. p. 162) CCXLIV. Palaeph. 28 (Arsen. Viol. p. 163)

---

4 *ἐπὶ τῷ μέλιτι* FPV, quod merito rec. Westermann. *ἐν πιθῷ μέλιτος* tentavit Valcken. diatr. p. 201 seq., probante Heyn. ad Apollod. T. II. p. 544 5 *ὁ Μίνως* F *ὁ Μίως* vitiose PV 8 *οὕτω* F *οὗτος* PV 21 *ἦν δὲ — κολυμβητῶν* om. Arsen.

τῷ λιμένι, ὁρώντων αὐτὸν τῶν ἐν τῇ πόλει, αὐτὸς διακολυμβήσας εἴς τινα τόπον, καὶ μὴ ὀφθεὶς τοῖς οἰκείοις ἐπὶ ἡμέρας ἱκανάς, διακολυμβήσας πάλιν ὤφθη αὐτοῖς. πυνθανομένων δὲ τῶν οἰκείων, ποῦ διέτριβεν, αὐτὸς ψευδόμενος ἔφη· ἐν τῇ θαλάττῃ. καὶ συγκλείων εἰς αὐτὸν ἰχθύας, ὁπότε χειμὼν γένοιτο, καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο λαμβάνειν, ἔλεγε τοῖς πολίταις, τίνας βούλοιντο τῶν ἰχθύων ἀποκομισθῆναι αὐτοῖς, καὶ κομίζων, οὓς ἂν ἤθελον, Γλαῦκος θαλάσσιος ἐκλήθη. καὶ περιτυχὼν θηρίῳ θαλαττίῳ ἀπώλετο. μὴ ἐλθόντος δὲ αὐτοῦ ἐκ τῆς θαλάττης, ἐμύθευσαν οἱ ἄνθρωποι, ὡς ἐν θαλάσσῃ οἰκεῖ κἀκεῖ διατρίβει.

CCXLV. *Περὶ τῶν Γιγάντων τῶν σπαρέντων καὶ φυέντων αὐθήμερον.*

Ἐν Θήβαις τῆς Βοιωτίας λέγεται, ὅτι Κάδμος ἀποκτείνας τὸν ἐν Δίρκῃ δράκοντα καὶ τοὺς ὀδόντας ἐκλεξάμενος ἔσπειρεν εἰς τὴν ἰδίαν γῆν, καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες. ἐξεφύησαν δὲ ἀπὸ μηρῶν ἕως ἄνω. καὶ οὕτως ἱστάμενοι ἐπολέμουν ἀλλήλοις καὶ τοῖς ἄλλοις. ἡ δὲ ἱστορία οὕτω διαλαμβάνει· Κάδμος τὸ γένος ἦν Φοίνιξ, ἀφίκετο δὲ εἰς Θήβας πρὸς τὸν ἀδελφὸν Φοίνικα, ἁμιλληθησόμενος περὶ τῆς βασιλείας, ἔχων ἄλλα τε πολλὰ ὡς βασιλεύς, ἀλλὰ δὴ καὶ ὀδόντας ἐλεφάντων. ἦν δὲ ὁ βασιλεὺς τῶν Θηβῶν Δράκων, Ἄρεως παῖς, ὃν ὁ Κάδμος ἀποκτείνας ἐβα-

CCXLV. Palaeph. 6

---

8 *καὶ ἔλεγε* P *ἔλεγε* V 13 *μένει* F 15 *Δίρκῃ* corr. Fischer, *Λέρνῃ* vulg. 16 *ἐν τῇ ἰδίᾳ γῇ* F

σίλευσεν. οἱ δὲ φίλοι τοῦ Δράκοντος ἐπολέμουν αὐτῷ. ἀνέστησαν [δὲ κατα Κάδμου καὶ οἱ παῖδες τοῦ Δράκοντος. ἐπεὶ οὖν οἱ φίλοι καὶ οἱ παῖδες ἥττους ἐγένοντο, ἁρπάσαντες τὰ χρήματα τοῦ Κάδμου καὶ τοὺς ἐλεφαντίνους ὀδόντας, ᾤχοντο φεύγοντες ὅθεν ὡρμῶντο, ἄλλοι δ' ἀλλαχῇ διεσπάρησαν, οἱ μὲν εἰς τὴν Ἀττικήν, οἱ δὲ εἰς τὴν Πελοπόννησον, ἄλλοι δὲ εἰς Φωκίδα, ἕτεροι δὲ εἰς Λοκρίδα. ἀφ' ὧν χωρῶν ἐρχόμενοι ἐπολέμουν τοῖς Θηβαίοις καὶ ἦσαν ἀργαλέοι πολεμισταί. ἐπεὶ 99 *οὖν τοὺς ἐλεφαντίνους ὀδόντας, οὓς εἶχεν ὁ Κάδμος, ἁρπάσαντες ἔφυγον, ἔλεγον οἱ Θηβαῖοι, ὅτι τοιαῦτα δεινὰ ὁ Κάδμος ἐπήγαγεν ἡμῖν, ἀποκτείνας τὸν Δράκοντα, ἐκ τῶν ἐκείνου ὀδόντων πολλοὶ καὶ ἀγαθοὶ ἄνδρες σπαρτοὶ πολεμοῦσιν ἡμῖν. τούτου δὴ τοιούτου συμβάντος ὁ μῦθος προσανεπλάσθη.*

CCXLVI. *Περὶ Γοργόνων.*

Γοργόνες τρεῖς γυναῖκες, αἱ τοσοῦτον εἶχον τὰ πρόσωπα φρικτὰ καὶ φοβερά, ὡς τοὺς ὁρῶντας θνήσκειν. ἡ Γοργώ, ἡ Γοργόνη καὶ ἡ Γοργώς· διὰ γὰρ τῆς γοργότητος ἀπελίθουν φερωνύμους τοὺς ὁρῶντας.

CCXLVII. *Περὶ Γύγου.*

Γύγην οἱ Ἕλληνες ἐμυθεύοντο τῇ στροφῇ τῆς σφενδόνης, ἣν ἐφόρει, ἀφανίζεσθαι καὶ μὴ ὁρᾶσθαι

CCXLVI. Nonn. I, 76 (Suid.) CCXLVII. Nonn. I, 55 (Cosm. p. 304)

---

5 *ᾤχοντο φεύγοντες* corr. Unger. ep. crit. ad Krahner. p. XX, *ἔφυγον ὅθεν ὡρμῶντο* FPV 7 *δὲ* recte add. F om. PV 17 *φρικτὰ καὶ* om. S 18 *παραυτίκα ἀποθνήσκειν* Nonnus; mox *ὧν μίαν ἀνελεῖν λογχοδρεπάνῳ τὸν Περσέα* pergit S *λέγεται δέ, ὅτι ὁ Περσεὺς τὴν μίαν τούτων ἀνεῖλε τῷ λογχοδρεπάνῳ* Nonnus, uterque reliquis omissis

παρόντα καὶ εἰς ὄψιν ἔρχεσθαι· ὃν καὶ Πλάτων ὁ φιλόσοφος ἐν πολιτείαις εἰσφέρει μυθικῶς οὕτω λέγων, ὅτι Γύγης τις ἦν ποιμὴν περὶ τὴν Λυδίαν. οὗτος ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα, περιέτυχε σπηλαίῳ τινί. καὶ εἰσελθὼν ἐν αὐτῷ εὗρεν ἵππον χαλκοῦν, καὶ ἔνδον τοῦ χαλκοῦ ἵππου νεκρὸν ἄνθρωπον φοροῦντα δακτύλιον, οὗ δακτυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν καὶ ἐστρέφετο· ἥτις σφενδόνη ἐκαλεῖτο. ἔλαβεν οὖν ὁ Γύγης τὸν δακτύλιον, καὶ ἐξῆλθεν. καὶ ἡνίκα μὲν ἦν ἐν τῇ τάξει ὁ δακτύλιος, ἑωρᾶτο ὑπὸ πάντων, ἡνίκα δὲ τὴν σφενδόνην τοῦ δακτυλίου ἔστρεφεν, ἀφανὴς ἐγίνετο ἐν πᾶσιν. ὁ οὖν Πλάτων εἰσφέρει τὸν μῦθον τοῦτον, ὅτι, φησίν, ὁ δίκαιος ἀνήρ, κἂν τοῦ Γύγου λάβῃ τὸν δακτύλιον, ἵνα μὴ ὁρᾶται ὑπό τινος, οὐδὲ οὕτως ὀφείλει ἀδικεῖν. δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύεσθαι, καὶ μὴ δι' ἄλλο τι. ἔχων οὖν ὁ Γύγης τοῦτον τὸν δακτύλιον, ἐλθὼν ἐπὶ τὰ βασίλεια τῶν Λυδῶν καὶ ἀντιστρέψας τὴν σφενδόνην ἐγένετο ἀφανής. καὶ εἰσελθὼν ἀπέκτεινε τὸν βασιλέα καὶ ἔλαβε τὴν βασιλείαν. διὸ καὶ Γύγου δακτύλιος ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων λέγεται. ὁ δὲ Ἡρόδοτος ἄλλως ἱστορεῖ τὰ κατὰ τὸν Γύγην, ὅτι ἐπιτροπῇ τῆς δεσποίνης ἀπέκτεινε τὸν Κανδαύλην ὁ Γύγης καὶ ἐβασίλευσεν.

Ἰατροί.

CCXLVIII. Περὶ Γεσίου τοῦ ἰατροῦ.

Γέσιος ἰατροσοφιστής, Πετραῖος τὸ γένος, ἐπὶ

CCXLVIII. Hesych. (Suid.; v. Phot. Bibl. p. 352 Bekker)

---

4 ποιμένων P corr. V 22 Her. I, 8 Post 24 tit. Ἰατροί addidi morem Eudociae respiciens, om. PV 25 Locupletior S,

Ζήνωνος. καθελὼν δὲ Δόμνον τὸν ἑαυτοῦ διδάσκαλον, Ἰουδαῖον ὄντα, καὶ τοὺς ἑταίρους εἰς ἑαυτὸν μετα- 100 *στησάμενος ὀλίγου πάντας, πανταχῇ ἐγνωρίζετο καὶ μέγα κλέος εἶχεν. οὗτος κατώρθωσε τέχνην ἰατρῶν τῶν καθ' ἑαυτὸν πάντων.*

Ῥήτορες.

CCXLIX. *Περὶ Γαϊανοῦ τοῦ ῥήτορος.*|

Γαϊανὸς Ἀράβιος, ῥήτωρ καὶ σοφιστής, μαθητὴς Ἀψίνου τοῦ Γαδαρέως, ἐπὶ Μαξιμίνου καὶ Γορδιανοῦ. ἔγραψε περὶ συντάξεως βιβλία πέντε, τέχνην ῥητορικήν, μελέτας. ἐσοφίστευσεν ἐν Βηρυτῷ.

CCL. *Περὶ Γενεθλίου.*

Γενέθλιος, Παλαιστῖνος σοφιστής, ἐκ Πετρῶν, μαθητὴς Μινουκιανοῦ καὶ Ἀγαπητοῦ, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν. τελευτᾷ νέος ἐτῶν ὀκτὼ πρὸς τοῖς εἴκοσιν. ἔγραψε λαλιάς, ἤτοι διαλέξεις, καὶ μελέτας. ὧν ἔστιν ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν, προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους Δᾳδοῦχον καὶ Ἀσκληπιάδην, πανηγυρικοὺς πέντε.

CCXLIX et CCL. Hesych. (Suid.)

---

qui praeter Hesychium Milesium fontem quoque eius, ipsum Damascium, descripsit, quod de Domnini quoque vita constat 2 *πρὸς* S 3 *πανταχοῦ* S 4 Sic S *μέγα τὸ κλέος* PV *κατόρθωσε* vitiose PV 6 *ῥήτωρ καὶ* om. S 7 *Μαξιμίνου* S *Μαξίμου* PV 9 *Βηρητῷ* P corr. V 10 *Γενεθλίου* add. S 13 *καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν μιᾷ ἀκροάσει* add. S (Pseudo-Hes. p. 14) *δὲ* post *τελευτᾷ* S *εἴκοσι* PV 17 *πέντε* om. S

CCLI. *Περὶ Γοργίου.*

Γοργίας Χαρμαντίδου Λεοντῖνος ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέους. οὗτος πρῶτος τῷ ῥητορικῷ εἴδει τῆς παιδείας δύναμιν φραστικὴν καὶ τέχνην ἔδωκεν, εἰς ὃν ἀναφέρειν ἡγοῦνται, ὥσπερ εἰς πατέρα, τὴν τῶν σοφιστῶν τέχνην. τροπαῖς τε γὰρ καὶ μεταφοραῖς καὶ ἀλληγορίαις καὶ ὑπαλλαγαῖς καὶ καταχρήσεσι καὶ ὑπερβάσεσι καὶ ἀναδιπλώσεσι καὶ ἐπαναλήψεσι καὶ ἀποστροφαῖς καὶ παρισώσεσιν ἐχρήσατο. οὐ μὴν ἀλλὰ καὶ ὁρμῆς τοῖς σοφισταῖς ἦρξε καὶ παραδοξολογίας καὶ πνεύματος καὶ τοῦ τὰ μεγάλα μεγάλως ἑρμηνεύειν ἀποστάσεών τε καὶ προσβολῶν, ὑφ' ὧν ὁ λόγος ἡδίων ἑαυτοῦ καὶ σοβαρώτερος, περιεβάλετο δὲ καὶ ποιητικὰ ὀνόματα ὑπὲρ κόσμου καὶ σεμνότητος. ἀπεσχεδίαζε δὲ καὶ ῥᾷστα. διαλεχθεὶς δὲ Ἀθήνησιν ἤδη γηράσκων ὑπὸ πάντων ἐθαυμάσθη. διδάσκαλος δὲ ἦν Πώλου Ἀκραγαντίνου καὶ Περικλέους καὶ Ἰσοκράτους καὶ Ἀλκιδάμαντος τοῦ Ἐλαΐτου, ὃς αὐτοῦ καὶ τὴν σχολὴν διεδέξατο, ἀδελφὸς δὲ ἦν τοῦ ἰατροῦ Ἡροδίκου, Κριτίου τε καὶ Ἀλκιβιάδου νέων ὄντων, Θουκυδίδου δὲ καὶ Περικλέους ἤδη γηρασκόντων. ἐμπρέπων δὲ ὁ

CCLI. Hesych. (Suid.) *εἰς ὃν — τέχνην* Philostrat. Vit. I, 9 *τροπαῖς — ἐχρήσατο* Hesych. (Suid.) *οὐ μὴν ἀλλὰ — ἐθαυμάσθη* Philostr. l. c. *διδάσκαλος δὲ ἦν — ἰατροῦ Ἡροδίκου* Hesych. (Suid.) *Κριτίου τε καὶ Ἀλκιβιάδου — αἰσθήσεις ἡβῶν* Philostr. l. c. *ἐρωτηθεὶς δὲ τίνι* — exit. Stob. Flor. 101, 21 (Arsen. Viol. p. 172)

---

2 *πρῶτος* addidi ex S om. PV 11 *προσβολῶν* F *προβολῶν* PV *ὑφ' ὧν* FP *ἐφ' ὧν* V 12 *περιεβάλλετο* F *περιεβάλετο* PV 17 *Ἐλαΐτου* S *Ἐλάτου* vitiose PV

Γοργίας καὶ ταῖς τῶν Ἑλλήνων πανηγύρεσι, τὸν μὲν 101
λόγον τὸν Πυθικὸν ἀπὸ τοῦ βωμοῦ ἤχησεν, ἐφ᾽ οὗ καὶ χρυσοῦς ἀνετέθη ἐν τῷ τοῦ Πυθίου ἱερῷ. ὁ δὲ Ὀλυμπιακὸς λόγος ὑπὲρ τοῦ μεγίστου αὐτῷ ἐπολιτεύθη. στασιάζουσαν γὰρ τὴν Ἑλλάδα ὁρῶν, ὁμονοίας σύμβουλος αὐτοῖς ἐγένετο, τρέπων ἐπὶ τοὺς βαρβάρους καὶ πείθων ἆθλα ποιεῖσθαι τῶν ὅπλων μὴ τὰς ἀλλήλων πόλεις, ἀλλὰ τὴν τῶν βαρβάρων χώραν. ὁ δὲ ἐπιτάφιος, ὃν διῆλθεν Ἀθήνησιν, εἴρηται μὲν ἐπὶ τοῖς ἐκ τῶν πολέμων πεσοῦσιν, οὓς οἱ Ἀθηναῖοι δημοσίᾳ σὺν ἐπαίνοις ἔθαψαν, σοφίᾳ δὲ ὑπερβαλλούσῃ σύγκειται. παροξύνων τε γὰρ τοὺς Ἀθηναίους ἐπὶ Μήδους τε καὶ Πέρσας καὶ τὸν αὐτὸν νοῦν τῷ Ὀλυμπιακῷ ἀγωνιζόμενος, ὑπὲρ ὁμονοίας μὲν τῆς πρὸς τοὺς Ἕλληνας οὐδὲν διῆλθεν, ἐπειδὴ πρὸς Ἀθηναίους ἦν ἀρχῆς ἐρῶντας, ἣν οὐκ ἦν κτήσασθαι, μὴ τὸν δραστήριον αἱρουμένους. ἐνδιέτριψε δὲ τοῖς τῶν Μηδικῶν τροπαίων ἐπαίνοις, ἐνδεικνύμενος αὐτοῖς, ὅτι τὰ μὲν κατὰ τῶν βαρβάρων τρόπαια ὕμνους ἀπαιτεῖ, τὰ δὲ κατὰ τῶν Ἑλλήνων θρήνους. λέγεται δὲ ὁ Γοργίας εἰς ὀκτὼ καὶ ἑκατὸν ἐλάσας ἔτη μὴ καταλυθῆναι τὸ σῶμα ὑπὸ γήρως, ἀλλ᾽ ἄρτιος καταβιῶναι καὶ τὰς αἰσθήσεις ἡβῶν. [ἐρωτηθεὶς δέ, τίνι διαίτῃ χρώμενος οὕτω βιώσοι, φάναι, ὡς οὐδὲν πώποτε ἡδονῆς ἕνεκα ἔπραξε.]

---

10 πεσοῦσιν uncis circumscripsit Kayser   13 αὐτὸν F αὐτοῦ PV   Ὀλυμπικῷ F Ὀλυμπιακῷ PV   22 τοῦ add. F. Verba postrema ἐρωτηθεὶς — exit. ab interpolatore addita esse constat

Φιλόσοφοι.

CCLII. Περὶ Γλαύκωνος.

Γλαύκων Ἀθηναῖος, φιλόσοφος. φέρονται αὐτοῦ ἐν ἑνὶ διάλογοι ἐννέα· Φειδύλος, Εὐριπίδης, Ἀμμύτιχος, Εὐθίας, Λυσιθείδης, Ἀριστοφάνης, Κέφαλος, Ἀναξίφημος, Μενέξενος. φέρονται καὶ ἄλλοι δύο καὶ τριάκοντα, οἳ νοθεύονται.

CCLIII. Περὶ Δαιδάλου.

Δαίδαλον μυθεύονται ποιῆσαι βοῦν ξυλίνην, καὶ ἐγκλεῖσαι τὴν Πασιφάην εἰς αὐτὴν ἐρασθεῖσαν ταύρου νεμομένου, οὕτω τε τὸν ταῦρον ἐπιβάντα μιγῆναι
102 τῇ γυναικί. τὴν δὲ κυῆσαι παῖδα ἔχοντα μὲν σῶμα ἀνδρός, κεφαλὴν δὲ βοός. διό φασιν, ὅτι Μίνως Δαίδαλον καὶ Ἴκαρον καθεῖρξεν εἰς εἱρκτήν, υἱὸν αὐτοῦ ὄντα. Δαίδαλος δὲ ποιήσας πτέρυγας προσθετάς, ἐξέπτη μετὰ τοῦ Ἰκάρου. τὸ δ' ἀληθὲς οὕτως ἔχει. Μίνωά φασιν ἀλγοῦντα τὰ αἰδοῖα θεραπευθῆναι ὑπὸ Πρόκριδος τῆς Πανδίονος· κατ' ἐκεῖνον δὲ τὸν τῆς θεραπείας καιρὸν ἠκολούθει τῷ Μίνωι νεανίας εὐειδής, ὀνόματι Ταῦρος, οὗ Πασιφάη ἔρωτι ἁλοῦσα μίγνυται αὐτῷ καὶ γεννᾷ παῖδα. Μίνως δ' ἐπιλογισάμενος τὸν χρόνον

CCLII. Diogenes Laert. II, 14 CCLIII. Palaeph. 2. V. Eud. p. 330 διὸ — Ἰκάρου Palaeph. 13 (Arsen. Viol. p. 175) τὸ δ' ἀληθὲς — Μινώταυρον Palaeph. 2 τὸν δὲ Δαίδαλον — ἐτάφη Palaeph. 13 περὶ δὲ τοῦ θρυλλουμένου — ναῦς Palaeph. 22 Ἀρριανὸς δὲ — exit. Eustath. Dion. 793

---

2 Φειδύλος F Φείδυλος PV 7 τὴν recepi ex F om. PV ἐρασθεῖσαν — 8 νεμομένου initio capitis exhibet, hic om. F 11 Sic correxi, υἱοὺς αὐτοὺς ὄντας PV 12 ἐξέπτη F ἐξῆλθε PV 14 Πρόκριδος τῆς F Κριδὸς τοῦ PV

τῆς ἀλγηδόνος τῶν αἰδοίων, καὶ γνοὺς ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ὁ παῖς διὰ τὸ μὴ συγκοιμᾶσθαι αὐτὸν τῇ Πασιφάῃ, ἔγνω ὡς ἐκ τοῦ Ταύρου ἐστὶ τὸ κυηθέν. ἀποκτεῖναι μὲν οὐκ ἤθελε τὸν παῖδα διὰ τὸ δοκεῖν ἀδελφὸν εἶναι τῶν ἑαυτοῦ παίδων, ἀποπέμπει δὲ αὐτὸν εἰς ὄρος, ὡς ἐν θεράποντος μοίρᾳ ὑπάρχῃ τοῖς ποιμέσιν. ὁ δὲ οὐχ ὑπετάσσετο τοῖς βουκόλοις. πυθόμενος δὲ ὁ Μίνως τὰ κατ' αὐτὸν ἐκέλευσεν αὐτὸν παρὰ τῶν πολιτῶν κρατηθῆναι, καὶ εἰ μὲν ἕποιτο, λελυμένον ἐλθεῖν, εἰ δὲ μή, δέσμιον. αἰσθόμενος δὲ ὁ νεανίας ἀφίσταται εἰς τὰ ὄρη καὶ ἁρπάζων βοσκήματα οὕτω διέζη. πέμψαντος δὲ Μίνωος καὶ ἕτερον ὄχλον πλείονα διὰ τὸ συλλαβεῖν αὐτόν, ὁ νεανίας ὄρυγμα ποιήσας βαθὺ καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο. ἔνθα ὄντος τοῦ Ταύρου, εἴ ποτε παρὰ τοῦ Μίνωος ἐκρατήθη τις ἀδικῶν, παρὰ τὸν Ταῦρον ἐπέμπετο, ὡς ὁ Ταῦρος αὐτὸν τιμωρήσαιτο. λαβὼν οὖν ποτε Μίνως τὸν Θησέα πολέμιον, ἐπὶ τὸν Ταῦρον ἀπέστειλεν, ὡς ἀποθανούμενον. γνοῦσα δὲ τοῦτο ἡ Ἀριάδνη προεισπέμπει ξίφος εἰς τὴν εἱρκτήν, δι' οὗ ὁ Θησεὺς ἀναιρεῖ τὸν Μινώταυρον. τὸν δὲ Δαίδαλόν φασιν, ὄντα ἐν εἱρκτῇ, καθέντα ἑαυτὸν διὰ θυρίδος καὶ σκαφίδι ἐμβάντα εἰς θάλασσαν πλεῦσαι. αἰσθόμενος δὲ ὁ Μίνως πέμπει πλοῖα διώξοντα. ὡς ᾔσθοντο δὲ Ἴκαρός τε καὶ Δαίδαλος διωκόμενοι, ἀνέμου λάβρου καὶ σφοδροῦ ὄντος, πετόμενοι, ἤγουν πλέοντες, ἐν τῷ

4 ἀποκτεῖνε P corr. V 6 ὑπάρχῃ F ὑπάρχειν PV 17 τιμωρήσαιτο F τιμωρίσαιτο PV sequens καὶ recte om. F 21 Μινώταυρον et φασιν recte P Μινόταυρον et φασι V 26 πετόμενοι F πετώμενοι PV

πελάγει περιτρέπονται. καὶ ὁ μὲν Δαίδαλος σώζεται
εἰς τὴν γῆν, ὁ δὲ Ἴκαρος τελευτᾷ ἐν τῷ πελάγει,
ὅθεν ἀπ' ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη. ἐκβληθεὶς
δ' ὁ Ἴκαρος ὑπὸ τῶν κυμάτων παρὰ τοῦ πατρὸς
ἐτάφη. περὶ δὲ τοῦ θρυλλουμένου περὶ Δαιδάλου,
ὡς ἀγάλματα κατεσκεύαζε δι' ἑαυτῶν πορευόμενα,
οὕτως ἡ ἱστορία ἔχει. οἱ τότε ἀνδριαντοποιοὶ καὶ
ἀγαλματοποιοὶ κατεσκεύαζον ἀνδριάντας, συμπεφυκό-
τας ἔχοντας καὶ τοὺς πόδας, Δαίδαλος δὲ πρῶτος
ἐποίει διαβεβηκότας τὸν ἕνα πόδα. οἱ δὲ ἄνθρωποι
ἔλεγον· ὁδοιποροῦν τοῦτο τὸ ἄγαλμα, ὃ εἰργάσατο
103 Δαίδαλος, ἀλλ' οὐχὶ ἑστηκός, ὡς καὶ νῦν λέγομεν.
εἰσὶ δὲ καὶ μαχόμενοι ἄνδρες γεγραμμένοι καὶ τρέ-
χοντες ἵπποι καὶ χειμαζομένη ναῦς. Ἀρριανὸς δὲ
δημιουργόν τινα ἱστορεῖ παρὰ Βιθυνοῖς Δαίδαλον
καλούμενον, οὗ ἔργον ἐν Νικομηδείᾳ γενέσθαι θαυ-
μαστὸν ἄγαλμα Στρατίου Διός.

CCLIV. *Περὶ Δακτύλων τῶν καλουμένων Ἰδαίων.*

Δακτύλους τοὺς καλουμένους Ἰδαίους Προμαθίδας λέγει, ὅτι νύμφη τις Ἀγχιάλη Οἰαξίδος γῆς δραξαμένη ἐποίησεν, καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν Δάκτυλοι ἐκλήθησαν. οἱ δὲ τοὺς Ἰδαίους Δακτύλους ἓξ καὶ πέντε φασὶν εἶναι, καὶ τοὺς μὲν δε-

CCLIV. Schol. Apoll. I, 1126. V. Eud. p. 234 (Phavorin.)

---

6 *δι' ἑαυτῶν* addidi ex F om. PV 9 Item addidi *πρῶτος*, quod om. PV 14 Müller III, p. 594 17 *Στρατίου* F *στρατίου* PV 18 *Προμαθίδας* F *Προμαχίδης* PV

ξιοὺς ἄρρενας, τοὺς δὲ ἀριστεροὺς θηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς εἴκοσί φησιν εἶναι· τοὺς δὲ εὐωνύμους τριάκοντα δύο. γόητες δὲ ἦσαν καὶ φαρμακεῖς, καὶ δημιουργοὶ σιδήρου λέγονται πρῶτοι καὶ μεταλλεῖς γενέσθαι. ὠνομάσθησαν δὲ Ἰδαῖοι ἀπὸ τῆς μητρὸς Ἴδης, ἀριστεροὶ μέν, ὥς φησι Φερεκύδης, οἱ γόητες αὐτῶν, οἱ δὲ ἀναλύοντες δεξιοί. ὡς Ἑλλάνικός φησιν, Ἰδαῖοι Δάκτυλοι ἐκλήθησαν, ἐπειδὴ ἐντὸς Ἴδης συντυχόντες τῇ Ἥρᾳ, οἱ δὲ τῇ Ῥέᾳ, ἐδεξιώσαντο τὴν θεὸν καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο· ὡς δὲ Μνασέας ἐν πρώτῳ περὶ Ἀσίας λέγει, Δάκτυλοι λέγονται ἀπὸ Δακτύλου τοῦ πατρός, καὶ Ἰδαῖοι ἀπὸ τῆς μητρὸς Ἴδης. ὁ δὲ τὴν Φορωνίδα συνθείς, γράφει οὕτως·

Ἔνθα γόητες
Ἰδαῖοι, Φρύγες ἄνδρες ὀρέστεροι, οἰκί' ἔναιον
Κέλμις, Δαμναμενεύς τε μέγας, καὶ ὑπέρβιος Ἄκμων,
Εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης.
Οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο
Εὗρον ἐν οὐρείῃσι νάπαις, ἰόεντα σίδηρον.

CCLV. *Περὶ τῆς δαιμόνων λιχνείας.*

Πάντες οἱ δαίμονες κνίσαις χαίροντες λίχνοι εἰσί, μάλιστα δὲ κωμῳδεῖται ὁ Ἑρμῆς· διὸ λέγεται

CCLV. Schol. Ar. Pac. 192 (Suid. v. *δειλάκρα*)

---

1 fr. 31 Sturz 4 *λέγονται εἶναι* F 6 *ὥς φησι* F *ὅς φησι* PV 7 Lectionem ex F recepi, *διξιοί, ὡς Ἑλλάνικος. οἱ δέ φασιν* PV 9 *συντυχόντες* F *ἐντυχόντες* PV 11 Müller III, p. 154 14 Kinkel I, p. 211, qui Eudociae locum silentio praetermisit 16 *ἔναιον* P *ἔαιον* V 20 In F additum est *ἐς πῦρ τ' ἤνεγκαν καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν*

δειλακρίων, ὡς κρεαδίων ἐπιδεικνυμένων αὐτῷ κατέρχεται εἰς τὰ κρέατα. [*ἀπατηλοὶ δὲ διὰ πάντας· ἐξαιρέτως δὲ διὰ τὸν Ἀπόλλωνα, ὅτι ἀπατηλοὺς ἔλεγε χρησμούς.*]

CCLVI. *Περὶ τῆς Δανάης.*

Δανάη θυγάτηρ Ἀκρισίου Ἀργείων βασιλέως καὶ Εὐρυδίκης, τῆς Εὐρώτα θυγατρός, γέγονεν, ἣν Ἀκρί-
104 *σιος ὁ πατὴρ σιδηροῦν ποιήσας θάλαμον ἐνέκλεισεν, ὅπως τούτῳ τῷ τρόπῳ μείνῃ παρθένος. χρωμένῳ γὰρ αὐτῷ περὶ ἄρσενος παιδὸς ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην, ἐκ δὲ τῆς θυγατρός, πρὸς οὗ αὐτὸν δεῖ ἀναιρεθῆναι. ὁ δὲ παρελθὼν εἰς Ἄργος τὸν χαλκοῦν ποιεῖ θάλαμον ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ, ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ ὁ Ζεὺς τῆς παιδὸς καὶ εἰς χρυσόν, ὡς ληροῦσι, μεταστρέψας, ἀχθεὶς διὰ τοῦ ὀρόφου, ἐμίγη αὐτῇ. τῶν δὲ γίνεται Περσεύς, καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη καὶ ἡ τροφός, κρύπτουσαι Ἀκρίσιον. ὅτε δὲ Περσεὺς τριετὴς ἢ τετραετὴς ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος ὁ Ἀκρίσιος, καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ κατάγει*

CCLVI. Tzetzes Lyc. 838. *χρωμένῳ — ἐπεμελεῖτο* Schol. Apoll. IV, 1091. V. Eud. p. 32. *ὁ δὲ Πολυδέκτης* — exit. Tzetzes Lyc. l. c. V. Eud. p. 288, 334

---

1 Sic correxi, *κατερχομένῳ* vitiose PV. Quae sequuntur verba cum neque in scholiis legantur neque in Suidae lexico, neque quidquam afferant ad eam rem, quam Eudocia explicare vult, uncis circumscripsi 6 *Εὐρώτα* F *Εὐρώπης* vitiose PV 11 *απολεῖσθαι* et *ἀναχωρήσας* F

σὺν τῷ παιδὶ ἐπὶ τὸν τοῦ ἑρκίου Διὸς βωμόν, μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. ἡ δὲ ἔφη, ἐκ Διός. ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ξυλίνην ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδὸς καὶ κλείσας καταποντοῖ. καὶ φερόμενοι ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον μίαν τῶν Κυκλάδων, ἧς ἐβασίλευε Πολυδέκτης, υἱὸς Ποσειδῶνος καὶ Κηρεβίης, ἀδελφὸν ἔχων Δίκτυν· ἦσαν γὰρ ὁ Δίκτυς καὶ ὁ Πολυδέκτης Ἀνδροθόης τῆς Κάστορος καὶ Περισθένου τοῦ Δαμάστορος, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῳ. Δίκτυς δὲ δικτύῳ ἁλιεύων κατὰ τύχην αὐτοὺς ἐξέλκει. εἶτα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. ὁ δὲ ἀνοίξας καὶ μαθὼν οἵ τινές εἰσιν, ἄγει εἰς τὸν οἶκον καὶ τρέφει ὡς ἴδιον παῖδα τὸν Περσέα, καὶ ἐπαιδαγώγει, καὶ τῆς Δανάης ἐπεμελεῖτο. [ὁ δὲ Πολυδέκτης ἐβίαζε τὴν Δανάην. μὴ δυνάμενος δὲ συγγενέσθαι αὐτῇ, τοῦ Περσέως ἤδη πρὸς ἥβην ἐλαύνοντος, πλάττει ὡς ἕδνων χρείαν ἔχει πρὸς γάμον Ἱπποδαμείας τῆς Οἰνομάου, καὶ ἄλλον ἄλλο τῶν φίλων αἰτεῖ, Περσέα δὲ πέμπει ἐπὶ Γοργόνας, δειροτομῆσαι τὴν Μέδουσαν, καὶ τὴν κεφαλὴν αὐτῷ ἐνεγκεῖν, ὅπως τῇ Ἱπποδαμείᾳ δοίη. τοῦτο δὲ ἐπραγματεύετο, ὅπως, τοῦ Περσέως ὑπὸ Γοργόνων ἀναιρεθέντος, αὐτὸς ἀδεῶς τῇ Δανάῃ συγγένοιτο. ταῦτα δὲ λῆρος· Πολυδέκτης γὰρ τρεῖς γενεὰς πρότερον ἦν Ἱπποδαμείας· τὸ δ' ἀληθὲς οὕτως ἔχει. τέως μυθικώ-

7 υἱὸς et Κηρεβίης F υἱωνὸς et Κηρεμίας PV 10 Ἀμυμονης PV 16 Verba ὁ δὲ Πολυδέκτης — exit. utpote ex Tzetzae commentariis interpolata seclusi 18 πλάττει et ἕδνων F πλάττεται et ἕδνην PV 19 ἄλλο τῶν φίλων F ἄλλῃ τὸν φίλον PV 22 ἐπραγματεύσατο F

τερον, ἀλληγορικώτερον δὲ εἶπον κατ' ἀρχάς, ὅτι μὲν ἐβίαζεν ὁ Πολυδέκτης Δανάην, ᾔδει καὶ Περσεύς, ἐπεὶ ἡ Μέδουσα, γυνὴ οὖσα Πεισίδου, τῇ Ἀθηνᾷ πρὸς κάλλος ἀντήριξεν. Ἀθηνᾶ δὲ τὸν Περσέα κατ' αὐτῆς ἔπεμψεν, ὑπογράψασα καὶ ὑποδείξασα τούτῳ ἐν
105 *ζωγραφίαις τὴν Γοργόνα, περὶ πόλιν τῆς Σάμου Δεικτήριον, κληθεῖσαν ἀπὸ τοῦ ὑποδειχθῆναι ταῦτα αὐτῷ. ἐλθὼν δὲ περὶ τὰς Φορκίδας, πρῶτον τήν τε Πεφριδὼ καὶ τὴν Ἐνυώ, τὰς ἐκ γενετῆς γραῦς, ἀδελφὰς δὲ τῶν Γοργόνων, ἔλαβε παρ' αὐτῶν τὸν ἕνα ὀφθαλμὸν αὐτῶν, καὶ τὸν ἕνα ὀδόντα, ὃν μόνον εἶχον κατ' ἀμοιβήν, καὶ οὐ πρότερον αὐταῖς ταῦτα ἔδωκεν, ἕως ὡδήγησαν αὐτὸν πρὸς Νύμφας, καὶ λαβὼν τὰ πτερωτὰ τῶν Νυμφῶν πέδιλα καὶ κίβισιν, ἤτοι πήραν, καὶ κιβωτὸν καὶ τὴν κυνέαν τοῦ Ἅιδου καὶ παρ' Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, ἔχων παρὰ τῆς Ἀθηνᾶς κάτοπτρον, πετόμενος ἦλθεν ἐπὶ Γοργόνας αὐτάς, ἐπ' Ὠκεανὸν οὔσας περὶ πόλιν Ἰβηρίας τὴν Ταρτησόν, αἵτινες δρακοντοφολίδας εἶχον, κεφαλὰς συῶν, μεγάλους ὀδόντας, χεῖρας χαλκᾶς καὶ πτέρυγας, αἷς ἐπέτοντο. οὕτω γοῦν πετόμενος, ἐπ' αὐτὰς ἐλθὼν καὶ κοιμωμένας εὑρὼν καρατομεῖ τὴν Μέδουσαν ἐν τῷ κατόπτρῳ βλέπων, οὐ πρὸς αὐτήν· ἢ γὰρ ἂν ἀπελιθώθη, ταύτην*

---

1 Verba necessaria *ἀλληγορικώτερον δὲ* addidi ex F om. PV 2 *ἐβίαζεν ὁ* F *ἐβιάζετο* PV (quem errorem a literis uncialibus profectum esse constat) 3 *γυνὴ* F *θυγάτηρ* PV 5 *ἔπεμψεν* P *ἔπεμψε* V 6 *Γοργόνα* F *Γοργόνην* PV 7 *ἀπὸ τοῦ ὑποδειχθῆναι* F *ὑπὸ τοῦ ὑποδεχθῆναι* PV 6 *περὶ* P *παρὰ* V 13 *πρὸς* F *εἰς* PV 14 *πέδιλα* F *πέδηλα* PV *κίβισιν* F *κίσηβιν* PV 15 *κυβωτὸν* P corr. V 19 *δρακοντοφολίδας* P consentiente F *δράκοντος φολίδας* V 23 *ἂν* add. F om. PV

ἰδών. αἱ δὲ λοιπαὶ αὐτῆς ἀδελφαὶ θρῆνον μέγα ἐκώκυον, ἐκ τῶν πολλῶν ὀφιωδῶν αὐτῶν κεφαλῶν ἐκπέμπουσαι συρισμόν, ἐξ ὧνπερ Ἀθηνᾶ κατὰ Πίνδαρον τὸν αὐλητικὸν καλούμενον πολυκέφαλον εὗρε νόμον. Περσεὺς δὲ τῇ πήρᾳ τὴν κεφαλὴν θεὶς καὶ κατὰ νώτων φέρων αὐτὴν ἐπορέυετο. ἐλθὼν δὲ καὶ πρὸς Αἰθιοπίαν τὴν Ἀνδρομέδαν τοῦ κήτους ἐρρύσατο, καὶ λαβὼν γυναῖκα ἐξ αὐτῆς ἔσχε παῖδα τὸν Πέρσην καὶ καταλείπει παρὰ Κηφεῖ. τὸν δὲ Κηφέως ἀδελφὸν Φινέα προμνηστευόμενον Ἀνδρομέδαν καὶ αὐτοῦ ἐπιβουλεύοντα ἀπελίθωσε, δείξας τὴν Γοργόνα· αὐτὸς δὲ σὺν Ἀνδρομέδᾳ ἦλθεν εἰς Σέριφον. εὑρὼν δὲ τὴν μητέρα μετὰ τοῦ Δίκτυος προσπεφευγυῖαν ἐν τῷ ναῷ διὰ τὸν Πολυδέκτην, ἐλθὼν περὶ τὴν οἰκίαν τοῦ Πολυδέκτου καὶ συμπόσιον λαμπρὸν ἐφευρών, δείξας τὴν Γοργόνος κεφαλήν, πάντας ἐλίθωσε, τὴν δὲ βασιλείαν Δίκτυϊ δίδωσι. τὰ δὲ τῶν Νυμφῶν πέδιλα καὶ τὴν Ἄιδου κυνῆν Ἑρμῆς παρ' αὐτοῦ λαβὼν τοῖς ἰδίοις δεσπόταις ἀπέδωκε, τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Περσεὺς παρέσχε τῇ Ἀθηνᾷ. ἡ δὲ πρὸς τὸ μέσον τῆς ἰδίας ἀσπίδος ταύτην ἐνέπηξεν. ἄλλοι δέ φασιν, ὅτι ἐπὶ τοῦ κόσμου, ὃν περὶ τὸ στῆθος εἶχε, ταύτην ἐνέπηξεν, ὅθεν ἀπὸ τῆς Γοργόνος καὶ ὁ ἐπιστήθιος ἐκεῖνος τῆς Ἀθηνᾶς κόσμος Γοργόνιον ἐκλήθη. Περ-

---

1 Sic reposui ex F, *θρῆνον μὲν ἐκώλυον* PV 3 *συρισμὸν* F *συριγμὸν* PV 4 *αὐλητικὸν* F *αὐδητικὸν* PV. V. Pindar. Pyth. XII, 23 14 *οἰκίαν τοῦ Πολυδέκτου — πάντας* addidi ex F *περὶ τὴν Γοργόνα, πάντας* P *παρὰ τ. Γ., π.* V 19 *ἀπέδωκε* recte F *παρέδωκε* PV 21 *ἄλλοι δέ φασιν — 23 ἐνέπηξεν* recte ex F add. V, om. *ὅτι* et scribens *οὗ* pro *ὃν*, quae correxi 24 *ἐκεῖνος* F *ἐκεῖ* PV

σεὺς δὲ σὺν Ἀνδρομέδᾳ καὶ τῇ μητρὶ Δανάῃ ἔσπευδεν εἰς Ἄργος ἐλθεῖν, πρὸς θέαν Ἀκρισίου. Ἀκρίσιος δὲ τὸν χρησμὸν δεδοικὼς εἰς Πελασγίαν ἀνεχώρησε.
106 Τευταμίδου δὲ τοῦ βασιλέως Λαρισαίων πένταθλον θέντος ἐπὶ τῇ τοῦ πατρὸς τελευτῇ, Περσεὺς ἀγωνιζόμενος δίσκῳ βαλὼν τὸν Ἀκρισίου πόδα ἄκων αὐτὸν ἀναιρεῖ. καὶ πενθήσας ἔθαψεν ἔξω τῆς πόλεως. πρὸς δὲ Μεγαπένθην, τὸν Προίτου, ἐλθὼν αὐτῷ μὲν ἔδωκε τὴν ἰδίαν βασιλείαν τὴν Ἄργους ἀρχήν. αὐτὸς δὲ ὁ Περσεύς τὴν Τίρυνθα κατέσχε καὶ τὴν ἐκείνου βασιλείαν προσέκτισε, Μίδειαν καὶ Μυκήνας. ἔνθα καὶ ἑτέρους παῖδας ἐξ Ἀνδρομέδας ἔσχεν Ἀλκαῖον, καὶ Σθένελον, Ἕλληνα, Μήστωρα, Ἠλεκτρύονα, καὶ Γοργοφόντην, τοῦ ἑτέρου υἱοῦ αὐτοῦ Πέρσου καταλειφθέντος ἐν Αἰθιοπίᾳ παρὰ τῷ πάππῳ Κηφεῖ.]

CCLVII. Γενεαλογία Περσέως τοῦ τῆς Δανάης.

Λυγγεὺς ὁ τοῦ Ἄργους βασιλεὺς γεννᾷ Ἄβαντα, οὗ Ἀκρίσιος, οὗ καὶ Εὐρυδίκης Δανάη, ἧς καὶ Διὸς Περσεύς, οὗ καὶ Ἀνδρομέδης Πέρσης, Ἀλκαῖος, Σθένελος, Ἕλλην, Μήστωρ, Ἠλεκτρύων, Γοργοφόντης.

CCLVIII. Περὶ Δαρδάνου.

Δάρδανος ὁ Διὸς υἱὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρός. ἐν τῷ κατακλυσμῷ κατὰ τὸν Δευκαλίωνα,

CCLVII. Apollodor. II, 2, 1 seq. CCLVIII. Tzetzes Lyc. 72. V. Eud. p. 73

2 θέαν P θεὰν V 3 ἐχώρησε F 5 τοῦ πατρὸς P et F τῆς μητρὸς V 8 Sic F δὲ μέγα πένθος, τὸν Προῖτον PV 11 προσέκτισε et Μίδειαν F προσέκτησε et Μήδειαν PV 13 Ἕλληνα et Μήστορα F Ἔλειον et Μνήστορα PV. Idem infra mutavi

ἐκ τῆς Σαμοθράκης ἀσκὸν ἢ σχεδίαν μετὰ δερμάτων σκευάσας, καθὰ καὶ τῷ Λυκόφρονι δοκεῖ, καὶ ὑποδύς, καὶ τοῖς ὕδασιν ἑαυτὸν ἐπιδούς, προσοκείλας τε τῇ Τροίᾳ μετὰ τὸ ξηρανθῆναι τὸ ὕδωρ, τὴν Δαρδανίαν ἔκτισεν ὑψηλοτέραν κειμένην τῆς ὕστερον Ἰλίου, φόβῳ τῆς ἐξ ὑετῶν κατακλύσεως, ἧς αὐτὸς ἐπειράθη, κἀκεῖ τελευτᾷ (καὶ ὁ τάφος αὐτοῦ κεῖται περὶ τὴν Τροίαν, ἐν τῷ μέρει τῆς Δαρδανίας), καταλιπὼν Ἐριχθόνιον τὸν αὑτοῦ υἱὸν τοῖς ἐκεῖ βασιλεύειν. ὕστερον δὲ ἡ Δαρδανία καὶ τὸ Ἴλιον μία πόλις γεγόνασιν.

CCLIX. *Περὶ Δάφνης.*

Δάφνη Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ ὑπῆρχε] θυγάτηρ εὐπρεπεστάτη. ἐρασθεὶς δὲ αὐτῆς Ἀπόλλων καὶ βουλόμενος συγγενέσθαι ἐδίωκε. καταλαμβανομένης δὲ αὐτῆς ὑπὸ τοῦ θεοῦ, ηὔξατο τῇ μητρὶ Γῇ, χάσματι αὐτὴν δεχθῆναι. γενομένου δὲ τούτου, καὶ τῆς Γῆς ἀναδούσης ὁμώνυμον φυτόν, Ἀπόλλων θεασάμενος ἐξεπλάγη· καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου] δάφνην προσηγόρευσεν ὁμωνύμως· λαβὼν δὲ κλάδον αὐτῆς, ἐστέψατο. διὸ καὶ οἱ ἱερεῖς καὶ οἱ μάντεις δάφνῃ ἐστεφανοῦντο. μυθεύεται δὲ καὶ ὅτι
οἱ μάντεις δάφνας ἐσθίοντες ἐμαντεύοντο, ἵνα τῇ ὀπω- 107
πῇ καὶ τῇ ὀσφρήσει γαννύμενος ὁ θεὸς ἀντιδώσῃ αὐτοῖς τὰς θεοπροπίας.

CCLIX. Nonn. II, 23 (Cosm. p. 171; Clarke, Catal. Bodlei. p. 48. Similia tradidit Tzetzes Lyc. 6, quae Eudocia p. 273 descripsit)

---

2 *προσωκείλας* V 9 *αὐτοῦ* V 14 *αὐτὴν* P corr. V

CCLX. *Περὶ Δαναοῦ.*

Δαναὸς υἱὸς ἦν Βήλου τοῦ τῆς Λιβύης βασιλέως, ἀδελφὸς δὲ Αἰγύπτου· δίδυμοι δὲ οὗτοι παῖδες. Αἴγυπτος μὲν υἱοὺς πεντήκοντα ἔσχε, Δαναὸς δὲ θυγατέρας τοσαύτας. ἀλλ' ὁ μὲν Δαναός, θανόντος τοῦ πατρός, ἦρξε Λιβύης, Αἴγυπτος δὲ Ἀραβίας. ἔνθα καὶ καταστρεψάμενος τὴν τῶν Μελαμπόδων, φασί, χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. ἐπεὶ δὲ χρησμὸς ὑπέπτησε τὸν Δαναὸν ἐπὶ τοῖς τοῦ Αἰγύπτου παισί, φεύγει ἐκεῖθεν, πρῶτος ναῦν κατασκευάσας Ἀθηνᾶς ὑποθήκῃ, κληθεῖσαν πεντηκόντορον, κατὰ τὸν ἀριθμὸν τῶν αὐτοῦ θυγατρῶν, ἃς καὶ ἐκθέμενος τῇ νηὶ ἔφυγε. καὶ εἰς Ἄργος ἐλθὼν βασιλεύει, καὶ ἀπ' αὐτοῦ οἱ Ἕλληνες Δαναοί. ἀλλ' ἰστέον, ὅτι οὐχ ἁπλῶς οὕτω Δαναὸς κατέσχε τοῦ Ἄργους ἀπόνως, ὑποχωρήσαντος αὐτῷ τοῦ τότε κρατοῦντος Ἑλλάνορος, ἀλλὰ διότι μετῆν τοῦ Ἄργους ἀνέκαθεν διὰ τὴν τοῦ Ἰνάχου θυγατέρα Ἰώ, ἧς πέμπτη γέννα πεντηκοντάπαις. οἷα δὲ ὕστερον ἔπαθεν ὁ Αἴγυπτος, ἐλθὼν καὶ αὐτός, καὶ ὡς αἱ Δαναΐδες πᾶσαι πάντας τοὺς ἐκείνου κατέσφαξαν ἀφυλάκτως, ὡς ἐν γάμῳ νυμφίους σχοῦσαι, δίχα μιᾶς ἢ δύο τινῶν, αἱ ἱστορίαι δηλοῦσι. [καὶ γὰρ κατὰ τὴν παλαιὰν ἱστορίαν τῶν πεντήκοντα παίδων τοῦ Αἰγύπτου ταῖς πεντήκοντα νεανίσιν αὐτανεψιαῖς συνευνασθέντων, θυγατράσι Δαναοῦ, ἡ Βεβρύκη μὲν

CCLX. Eustath. Il. p. 37 *καὶ γὰρ κατὰ τὴν παλαιὰν* — exit. Eustath. Dion. 805. V. Eud. p. 47

---

3 *ἔσχεν* PV   17 Sic cum F legendum est, *γέννα* P *γενεὰ* V *πεντηκοντάπαις* om. V

καὶ Ὑπερμνήστρα μόναι τῶν συνεύνων ἐφείσαντο, αἱ δὲ λοιπαὶ τοὺς λοιποὺς διεχρήσαντο, ἡ Ὑπερμνήστρα μὲν τοῦ Λυγκέως, ἡ δὲ Βεβρύκη Ἱππολύτου τῶν αὐτανεψιῶν καὶ νυμφίων. φυγεῖν δὲ λέγεται τὴν Βεβρύκην σὺν Ἱππολύτῳ καὶ πολλὰ δυνηθῆναι, διὰ τὸ διδάσκειν τοὺς βαρβάρους τὴν Αἰγυπτίαν σοφίαν. διὸ καὶ Βεβρύκην ἢ Βεβρυκίαν ἀπ' αὐτῆς κληθῆναι τὴν χώραν, εἰς ἣν ἔφυγε. Πίνδαρος οὖν διὰ τοῦτο τεσσαράκοντα ὀκτὼ ἱστορεῖ τὰς Δαναΐδας, ὡς τὰς δύο μὴ συναριθμεῖν τῶν λοιπῶν θέλων, οἷον μὴ πεισθείσας τῷ πατρὶ καὶ διὰ τοῦτο ἀπαλιφείσας τῆς ἐκείνου πατρότητος].

CCLXI. *Δελφίνιος διὰ τί ὁ Ἀπόλλων.*

Δελφίνιος ὁ Ἀπόλλων λέγεται ἢ ὅτι τὸν ἐν Πυθῶνι δράκοντα Δελφῖνα τοξεύσας ἀνεῖλε Λητὼ βιάζοντα ὥς φησιν Ἀπολλώνιος·

„Ὅς ποτε πετραίῃ ὑπὸ δειράδι Παρνησσοῖο 108
Δελφύνην τόξοισι πελώριον ἐξενάριξεν“,

ἢ ὅτι ἐπὶ δελφῖνος ὀχούμενος ἢ δελφῖνι ὁμοιωθεὶς Κασταλίῳ τῷ Κρητὶ πρὸς ἀποικίαν στελλομένῳ ὁ Ἀπόλλων προηγήσατο τῆς νεὼς ἕως τοῦ Κρισσαίου

CCLXI. Tzetzes Lyc. 208 (Phavorin.)

---

2 *Λυγκέως* F *Λυγγέως* PV 11 *ἀπαλιφείσας* F *ἀπαλειφῆναι* PV. Ceterum totam fabulam, quam Eudocia p. 47 plenius narravit, hic pro spuria habui, cum interpolatorem verbis *αἱ ἱστορίαι δηλοῦσι* adiunxisse *κατὰ τὴν παλαιὰν ἱστορίαν* consectarium sit 14 *δράκοντα* om. F 15 *Ἡλιόδορος* PV *Ἡλιόδωρος* coni. A. C. Meineke, legendum est *Ἀπολλώνιος*, cuius videlicet versus ex Argon. II, 706 seq. desumpti sequuntur. Versus ad Merkelii recensionem correxi, *ὅς — δειράδι Δελφῖνα τόξοισι* etc. PV 18 *πρὸς* addidi ex F, om. PV 19 *προηγεῖτο* F

κόλπου, καὶ ἐκεῖ κατοικήσας ἐκράτησε τὸν τόπον. καὶ ἀπ' αὐτοῦ Δελφοὺς ἐκάλουν τοὺς ἐνοικοῦντας. καὶ Δελφινίου Ἀπόλλωνος ἱερὸν ἱδρύσατο. τινὲς δέ φασιν, ὅτι ὁ δελφὶς εἰς τὴν ναῦν ἦλθε καὶ κατὰ τοῦτον τὸν τόπον ἐπήδησεν εἰς τὴν θάλασσαν. καὶ δελφινοφόρους διὰ τοῦτο λέγουσι ναῦς, ὡς σχῆμα ἐχούσας δελφῖνος.

CCLXII. *Περὶ τοῦ δέρατος τοῦ χρυσομάλλου.*

Δέρας τοῦ κριοῦ πολλοὶ χρυσοῦν εἰρήκασιν, οἷς Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικὰ ποιήσας ἠκολούθησεν, ὁ δὲ Σιμωνίδης πορφυροῦν. Διονύσιος δὲ ὁ Μιτυληναῖος ἄνθρωπόν φησι γεγενῆσθαι παιδαγωγὸν τοῦ Φρίξου, ὀνόματι Κριόν. καὶ δέρας χρυσόμαλλον, οὐχ, ὡς ποιητικῶς φέρεται, ἀλλὰ βιβλίον ἦν ἐν δέρμασι γεγραμμένον, περιέχον, ὅπως δεῖ γενέσθαι διὰ χυμείας χρυσόν. εἰκότως οὖν οἱ τότε, λέγει, χρυσοῦν ὠνόμαζον αὐτὸ δέρας διὰ τὴν ἐξ αὐτοῦ ἐνέργειαν. [καὶ Χάραξ δὲ αὐτὸς τὸ χρυσοῦν δέρμα μέθοδον εἶναι λέγει χρυσογραφίας, μεμβράναις ἐμπεριειλημμένην, δι' ἣν, ὡς λόγου ἀξίαν, τὸν τῆς Ἀργοῦς καταρτισθῆναι στόλον φησί.]

CCLXIII. *Περὶ τοῦ Δευκαλίωνος.*

Δευκαλίων ὅτι Προμηθέως καὶ Πανδώρας υἱός, Ἡσίοδος ἐν πρώτῳ καταλόγων φησί, καὶ ὅτι Δευκα-

CCXLII. Schol. Apoll. IV, 177 *καὶ δέρας — ἐνέργειαν* Anonym. de incred. p. 321 Westerm. (Suid.; Phavorin.) *καὶ Χάραξ* — exit. Eustath. Dion. 689 CCLXIII. Schol. Apoll.

9 Arg. IV, 176 10 Müller II, p. 8 14 *χημείας* S 17 Müller III, p. 639. Haec ex Eustathio interpolata sunt, itaque om. Phavorin. *τὸ χρυσοῦν δέρμα* ex F sumpsi, om. PV 22 Sic corr. Marckscheffel Hes. fr. p. 275 *Προμηθέως* vulg.

λίωνος καὶ Πύρρας Ἕλλην. ὅστις Δευκαλίων μετα τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμὸν εἰς τὴν Ἤπειρον ἐμαντεύετο ἐν τῇ δρυΐ. πελειάδος δὲ αὐτῷ χρησμὸν δούσης, κατοικίζει τὸν τόπον συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ. οὕτω Θρασύβουλος καὶ Ἀκεστόδωρος ἱστοροῦσιν. ὅτι δὲ ὁ Δευκαλίων ἐβασίλευσε καὶ Θεσσαλίας, Ἑλλάνικος ἐν τῷ πρώτῳ τῆς Δευκαλιωνείας ἱστορεῖ· καὶ ὅτι δώδεκα θεῶν βωμοὺς ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησι συγγράμματι.

CCLXIV. *Περὶ δημάρχων.*

Δήμαρχοι ἄρχοντές τινες ἦσαν Ἀθήνησιν, οἳ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν, καὶ συνῆγον τοὺς δήμους, ὁπότε δεήσειε, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους κατα- 109
σταθῆναι, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι, δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.

III, 1086 (Steph. Byz. v. *Δωδώνη*; Phavorin.) *ὅστις — ἱστοροῦσιν* Schol. Il. XVI, 233. V. Eud. p. 106 et 200 seq. (Arsen. Viol. p. 215) *ὅτι δὲ ὁ Δευκαλίων* — exit. Schol. Apoll. l. c. CCLXIV. Harpocrat. s. v. (Schol. Ar. Nub. 637; Suid.; Bekker Anecdot. I, p. 237)

---

3 *πελειάδος* F *πελιάδος* PV 8 *Δευκαλιωνείας* F *Δευκαλιωνίας* PV. Cf. Hellan. fr. 15 Müller 13 *παρ' αὐτοῖς* F 14 *δεήσειε* F *δεήσειεν* PV 18 *ναυκράροις* F *ναυκράτοις* PV *ἐνεχυρίαζον* et *Σκηναῖς* PV. De fragm. Aristoph. cf. Meinek. fr. com. II, 2 p. 1146

CCLXV. *Περὶ τοῦ δελφικοῦ τρίποδος.*

Δελφοὶ πόλις ἐστὶ τῆς Φωκίδος, ἡ δὲ Φωκὶς ἐπαρχία τῆς Ἑλλάδος. ἐν τούτοις τοῖς Δελφοῖς ἦν ἱερὸν τοῦ Ἀπόλλωνος, ἐν ᾧ ἦν ἡ Πυθώ· ἐν ᾗ ἵστατο ὁ τρίπους ὁ χαλκοῦς, ἐξ οὗ χαλκοῦ τρίποδος ἡ μαντεία ἐξεφέρετο. ἐπάνω γὰρ τοῦ τρίποδος ἦν τις φιάλη, ἐν ᾗ αἱ ψῆφοι αἱ μαντικαὶ ἥλλοντο καὶ ἐπήδων, ἡνίκα ὁ Ἀπόλλων τὴν μαντείαν ἐξέφερε. τρίπους δὲ ἦν [διὰ τοῦτο] διὰ τὸ καὶ τὴν μαντείαν τοὺς τρεῖς χρόνους περιέχειν· ἡ γὰρ ὄντως μαντική ἐστι καὶ περὶ τῶν παρῳχημένων καὶ περὶ τῶν ἐνεστώτων καὶ περὶ τῶν μελλόντων.

[CCLXVI. *Περὶ τῆς Δήμητρος.*

Δημήτηρ μὲν ἡ γῆ καλεῖται, ὅτι πάντων ἡ γῆ μήτηρ. ἔστι δὲ Δωριέων, οὗτοι γὰρ ἀντὶ τοῦ Γ Δ τιθέασι δνοφερὸν γνοφερόν καὶ Δήμητραν Γήμητραν λέγοντες. περὶ δὲ ταύτης τὴν μυθικὴν ἱστορίαν λεκτέον, ἀλλὰ καὶ ἀλληγορητέον. ἐκ Κρήτης ἢ μᾶλλον ἐκ Σικελίας, Ἅιδης ἀφήρπασε τὴν Δήμητρος θυγατέρα, τὴν Περσεφόνην, τὴν καὶ Κόρην ὀνομαζομένην. διώκουσα δὲ ἡ Δημήτηρ, μέχρι τῶν Ἀθηνῶν καὶ τῆς Ἑλλάδος ἀφίκετο. ὑπὸ Τριπτολέμου δέ, τοῦ Κελεοῦ καὶ Μετανείρας παιδός, τὰ περὶ τὴν παῖδα μαθοῦσα εἰς ἀμοιβὴν τῷ Τριπτολέμῳ τὰ σπέρματα δίδωσι καὶ

CCLXV. Nonn. II, 20 (Clarke, p. 47). V. Eud. p. 349
CCLXVI. Tzetzes Hes. Oper. 32

7 *διὰ τοῦτο* expunxi 19 *διόκουσα* P corr. V *Δημήτηρ* F *μήτηρ* PV. Totum caput postea ex Tzetzae commentariis adscripsit librarius, quapropter a ceteris seiunxi. Cf. Untersuch. p. 117 seq.

πτερωτῶν ἅρμα δρακόντων, ὡς τούτῳ περιιπτάμενος πανταχοῦ, τὰ περὶ γεωργίας διδάσκῃ. ταῦτα μὲν τὰ μυθώδη, τὸ δ' ἀληθὲς οὕτως ἔχει. μήπω τῶν γεωργικῶν ἐπιγνωσθέντων περὶ τὴν Σικελίαν καὶ τὴν Λιβύην, σῖτος αὐτοματίζων ἐγίνετο καὶ πάλιν ἐφθείρετο, μηδενὸς τοῦτον ἐπιγινώσκοντος. Κέκροψ δὲ ἤ τις ἕτερος Ἄργον εἰς Λιβύην καὶ Σικελίαν πέμψας, οὐκ οἶδα παρὰ τίνος μαθών, ἐκέλευσε συναγαγεῖν σῖτον ἐκ τοῦ ἐκεῖ φυομένου καὶ εἰς Ἑλλάδα μετακομίσαι. οὗ δὴ γεγονότος, Τριπτόλεμος πρῶτος ἀρόσας καὶ σπείρας ἢ ἐν Ἀρόῃ (χωρίῳ ἀπὸ τῆς πρώτης ἀροτριάσεως, ὃ νῦν Νέαι Πάτραι καλοῦνται) ἢ κατὰ τοὺς πλείστους ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς γεωργεῖ καὶ συγκομίζεται τοὺς καρπούς, εἶτα καὶ συγγραψάμενος τὰ περὶ γεωργίας τοῖς πᾶσιν ἀνθρώποις δέδωκε. Κόρη δὲ καὶ Περσεφόνη τὰ ἐκ τῆς Δήμητρος, ἤγουν τῆς [110] γῆς, κατ' ἔτος πρὸς τὸ ζῆν διδόμενα, μᾶλλον δὲ σῖτος καὶ τὰ γεωργικά, δι' ἃ περισσοὶ φόνοι καὶ πόλεμοι γίνονται. ταύτην οὖν τὴν Κόρην, ἤγουν νεάζοντα σῖτον, Ἅιδης ἀφήρπασε. φυόμενον γὰρ τοῦτον πρότερον συνέβαινε ἀφανίζεσθαι πάλιν διὰ τὴν ἄγνοιαν γεωργίας, ὡς ἔφημεν. ὡς δέ, Ἄργου μετακομίσαντος, παρὰ Τριπτολέμου ἐν Ἐλευσῖνι ἐσπάρη καὶ ἀνεφύη καὶ πανταχοῦ ἐδιδάχθη, ἔφασαν τὴν Δήμητραν εἰς Ἀθήνας

1 πτεροτῶν P corr. V   περιεπταμένῳ P corr. V   2 διδάσκει P et F διδάσκοι V   γεωργίας F γεωργίαν PV   7 πέμψας F μεταπεμψάμενος PV   10 ἀρόσας F ἀρώσας PV   12 Sic F ἀρδεύσεως PV   13 τοὺς πλείστους F τὴν πλείστην PV   15 τὰ περὶ F περὶ PV   Post δέδωκε verba καὶ Δημήτηρ μὲν ἡ γῆ καλεῖται, ὅτι πάντων ἡ γῆ μήτηρ, post Κόρη δὲ vocabulum νῦν add. F   19 τὸν νεάζοντα σῖτον correxi ex F τὸν σῖτον PV

ἐλθεῖν, ἤγουν τὰ τῆς γῆς δωρήματα, καὶ παρὰ Τριπτολέμου μαθοῦσαν εὑρεῖν τὴν Κόρην δι' Ἐλευσῖνος ἀνερχομένην ἐξ Ἅιδου λευκόπωλον· ἐκεῖ γὰρ κρυβεὶς καὶ σπαρεὶς ἐν τῇ γῇ ὁ σῖτος εἰς φῶς ἐξῆλθε. δράκοντες δὲ πτερωτοὶ οἱ προφορικοὶ λόγοι καὶ οἱ γραπτοί, οἱ πανταχοῦ περιπορευόμενοι καὶ τὴν γεωργίαν διδάσκοντες. ταῦτα μὲν τὰ μυθικὰ καὶ ἀλληγορούμενα. ἔστι δὲ καὶ ἑτέρα ἱστορία περιφερομένη περὶ τῆς Δήμητρος. Ὄσιρις, ὃ καὶ Διόνυσος, μετὰ Ἴσιδος τῆς αὐτοῦ γυναικός, τῆς καὶ Δήμητρος καλουμένης, καὶ στρατοῦ πλείστου, μετὰ μουσικῶν καὶ αὐλῶν περιήρχετο, τὴν γεωργίαν καὶ φυτουργίαν διδάσκων. ὅθεν αὐτὸν καὶ Διόνυσον ἐκάλεσαν, ὡς εὑρετὴν φυτουργίας, τὴν δὲ Ἶσιν Δήμητραν, ὡς τὰ τῆς γῆς δωρουμένην καὶ γεωργίαν διδάξασαν.]

CCLXVII. Ἔτι ἄλλως πως περὶ τῆς Δήμητρος καὶ τῆς Ἑστίας.

Περὶ τῆς Δήμητρος ἔτι καὶ Ἑστίας ἀμφότερον λεκτέον· ἑκατέρα δ' ἔοικεν οὐχ ἑτέρα τῆς γῆς εἶναι. ταύτην μὲν γὰρ διὰ τὸ ἑστάναι διὰ πάντων Ἑστίαν προσηγόρευσαν οἱ παλαιοί, ἢ διὰ τὸ ἐπ' αὐτῆς, ὡσανεὶ ἐπὶ θεμελίου, τὸν ὅλον ἑστάναι κόσμον. διὰ δὲ τὸ μητρὸς τρόπον φύειν τε καὶ τρέφειν πάντα Δήμητραν, οἱονεὶ γῆς μήτραν οὖσαν, ἢ Διὸς μητέρα διὰ τὸ καὶ αὐτὸς τὰ ἐπ' αὐτοῖς ἀφθόνως ἐφιεῖσθαι τοῖς

CCLXVII. Cornut. 28

2 δι' F ἐξ perperam PV 7 μὲν addidi ex F om. PV item τῆς post γυναικὸς 22 τὸ καὶ P τῷ καὶ V διὰ τὸ καὶ recepi Δηὼ μητέρα — αὐτὸ — ἐπ' αὐτῆς — ἐφεῖσθαι Osannus

ἀνθρώποις, δατεῖσθαι καὶ δαίνυσθαι, ἢ ἐπ' αὐτοῖς δήειν, ὅ ἐστιν εὑρίσκειν, ἃ μάλιστα ἐπιζητοῦσι. παρεισάγεται δ' ἡμῖν Ἑστία παρθένος διὰ τὸ τὴν ἀεικινησίαν μηδενὸς εἶναι γεννητικήν, καὶ τούτου χάριν ὑπὸ παρθένου νεωκορεῖται. ἡ δὲ Δημήτηρ οὐκ ἔτι, ἀλλὰ τὴν Κόρην τετοκυῖα, οἷον τὸν κόρον, ἡ πρὸς τὸ τρέφεσθαι μέχρι κόρου ὕλη· τὸ δ' ἀεὶ ζῶον πῦρ ἀποδίδοται τῇ Ἑστίᾳ διὰ τὸ καὶ αὐτὴν δοκεῖν εἶναι ὄν. τάχα δ' ἐπεὶ τὰ πυρὰ τὰ ἐν τῷ κόσμῳ ἐντεῦθεν τρέφεται, καὶ διὰ ταύτην ὑφέστηκεν, ἢ ἐπεὶ ζείδωρος ἄρουρά ἐστι καὶ ζώων μήτηρ, ἧς ἐστι αἴτιον τοῦ ζῆν τὸ πυρῶδες. στρογγύλως δὲ πλάττεται καὶ κατὰ μέσους ἵδρυται τοὺς ὤμους διὰ τὸ καὶ τὴν γῆν τοιαύτην εἶναι καὶ οὕτως ἱδρύεσθαι συμπεπιλημένην, ὅθεν 111
κατὰ μίμησιν γῆ τε καὶ χθὼν προσηγόρευται. τάχα δὲ ἀπὸ τοῦ χεῖσθαι ἡ γῆ, ἤτοι χωρεῖν πάντα, οὕτως ἐκλήθη, ὡς εἴρηται τό·

Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται.

μυθεύεται δὲ προτέρα καὶ ἐσχάτη γενέσθαι, τῷ εἰς ταύτην ἀναλύεσθαι τὰ ἀπ' αὐτῆς γιγνόμενα καὶ ἐξ αὐτῆς ξυνίστασθαι. καθὸ καὶ ταῖς θυσίαις οἱ Ἕλληνες ἀπὸ τῆς πρώτης τε αὐτῆς ἤρχοντο καὶ εἰς ἐσχάτην αὐτὴν κατέπαυον. στέμματα δ' αὐτῇ λευκὰ παράκεινται τῷ στέφεσθαι καὶ καλύπτεσθαι πανταχόθεν αὐτὴν ὑπὸ τοῦ λευκοτάτου στοιχείου. ἡ μέντοι Δημήτηρ κατὰ τὸ ἀναδοτικὸν τῶν σπερμάτων εἰδοποιουμένη, πάνυ

---

1 δαίνυσθαι F δαίννυσθαι P δάννυσθαι V 5 ἔτι P quocum conspirat F ἔστι e coni. V 8 αὐτὸ Osannus 12 στρογγύλη et οἴκους Os. 18 δ' ἀμφοτέρους — χείσεται ex Od. XVIII, 1 emendavi, ἀμφοτέρων — χεῖται PV 21 ξυνίστασθαι P συνιστ. V

οἰκείως εἰσάγεται στάχυσιν ἐστεφανωμένη. τοῦτο γὰρ ἀναγκαιότατον ὧν κεχάρισται τοῖς ἀνθρώποις ἡ ἥμερος τροφή ἐστι. ταύτην δὲ μυθεύεται σπεῖραι διὰ τῆς οἰκουμένης ὁ Τριπτόλεμος ὁ Ἐλευσίνιος, ἀναβιβάσης αὐτὸν ἐπὶ πτερωτῶν δρακόντων ὄχημα τῆς Δήμητρος. ἔοικε γὰρ πρῶτόν τις τῶν παλαιῶν διαδραμεῖν καὶ συνιέναι, θεοῦ ἐπὶ μετεωροτέραν ἐπίνοιαν ἀναβιβάσαντος, τὸν μεταχειρισμὸν τῆς κριθῆς, ὃν τρόπον κρινομένη καὶ διατριβομένη διὰ τοῦ εἰς τὸν ἀέρα ἀναρριπτεῖσθαι ἀπὸ τῶν ἀχύρων, ὅθεν καὶ κριὸς ἐπιτηδείως ἔχει πρὸς τὴν σποράν. ἐντεῦθεν δὲ τὴν ὀνομασίαν εἴληφεν ὁ τρίψας τὰς οὐλάς, οὐλαὶ δὲ λέγονται αἱ κριθαί. Ἐλευσὶς δὲ ὁ τόπος, ὅπου πρότερον εὑρέθησαν. καὶ ἡ Δημήτηρ Ἐλευσινία ἀπὸ τῆς αὐτόθι πρῶτον εὑρέσεως γενομένης τοῖς ἀνθρώποις εἰς οὐράνιον βίον ὄντως. ἁρπάσαι δὲ ὁ Ἅδης τὴν θυγατέρα τῆς Δήμητρος ἐμυθεύθη διὰ τὸν γινόμενον ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν. προσεπλάσθη δὲ ἡ κατήφεια τῆς θεοῦ καὶ ἡ διὰ τοῦ κόσμου ζήτησις· τοιοῦτον γάρ τι καὶ παρ' Αἰγυπτίοις ὁ ζητούμενος καὶ ἀνευρισκόμενος ἀφανισμὸς ἀπὸ τῆς Ἴσιδος Ὄσιρις ἐμφαίνει. ὅπερ ἀνὰ μέρος παρ' ἓξ μῆνας, ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν γιγνόμενος Ἄδωνις, ἀπὸ τοῦ ἅδειν τοῖς ἀνθρώποις, οὕτως ὠνομασμένος τὸν Δημητριακὸν καρπόν. ὗς δὲ πλήξας προσανελεῖν λέγεται διὰ τὸ τὰς ὗς δοκεῖν ληϊβότειρας εἶναι, ἢ τὸν τῆς ὕνεως ὀδόντα αἰνιττομένων αὐτῶν, ὑφ' οὗ

2 κεχείρησται PV   5 Δημήτερος etc. omnibus locis PV   15 ἐλεύσεως Os.   19 κατήφεια recte P καθήφεια V   24 ὠνομασμένος P et F ὠνομασμένου V τὸν Δημ. καρπόν scripsi cum F, τοῦ Δημ. καρποῦ PV

κατὰ γῆς κρύπτει τὸ σπέρμα. διατετάχθαι δὲ ᾧδε παρά τε τῇ Ἀφροδίτῃ, τὸν ἴσον χρόνον μένειν τὸν Ἄδωνιν καὶ παρὰ τῇ Περσεφόνῃ, δι' ἣν εἴπομεν αἰτίαν. ἐκάλεσαν δὲ Περσεφόνην τὴν τῆς Δήμητρος θυγατέρα, διὰ τὸ ἐπίπονον εἶναι καὶ πόνων οἰστικὴν ἐργασίαν, ἢ τῷ ἐκ πόνων ὑπομονὴν φέρεσθαι. νηστεύουσι δὲ εἰς τιμὴν τῆς Δήμητρος ἢ γεραίροντες 112
αὐτὴν ἰδίῳ τρόπῳ τινὶ ἀπ' αὐτῆς ἢ διὰ τὸ πρὸς μίαν ἡμέραν ἀπέχεσθαι τῶν δεδομένων αὐτοῖς ὑπ' αὐτῆς ἢ κατ' εὐλάβειαν ἐνδείας παρὰ τῆς θεοῦ ποτε γενομένης. ἐπειδὴ δὲ ἔσπειρον, ἀφῄρουν ἀπὸ τῶν ἰδίων χρεῶν, καθὸ καὶ περὶ τὸν τοῦ σπόρου καιρὸν αὐτῆς ἄγουσι τὴν ἑορτήν. περὶ δὲ τὸ ἔαρ Δήμητρι Χλόῃ θύουσι, μετὰ παιδιᾶς καὶ χαρᾶς ἰδόντες χλοάζοντα, καὶ ἀφθονίας αὐτοῖς ἐλπίδα ἐπιδεικνύντα. ἐντεῦθεν δὲ καὶ ὁ Πλοῦτος λέγεται τῆς Δήμητρος εἶναι υἱός· καλῶς γὰρ εἴρηται τὸ

Σίτου καὶ κριθῆς, ὦ νήπιε, πλοῦτος ἄριστος.

καὶ ἐναντίον πώς ἐστι τῷ λιμώττειν τὸ περιουσιάζεσθαι, εἰς ὃ καὶ ἀπιδὼν Ἡσίοδός φησιν·

Ἐργάζευ Πέρση, δῖον γένος, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐϋστέφανος Δημήτηρ.

θύουσι δ' ὗς ἐγκύμονας Δήμητρι πάνυ οἰκείως, τὸ πολύγονον καὶ εὐσύλληπτον καὶ τελεσφόρον παριστάντες. ἀνατιθέασι δ' αὐτῇ καὶ τὰς μήκωνας κατὰ τὸν λόγον. τό τε γὰρ στρογγύλον καὶ περιφερὲς αὐτῶν παρίστησι τὸ σχῆμα τῆς γῆς, σφαιροειδοῦς οὔσης, ἢ

---

6 Sic F πάντων ὑπομονῆς PV 8 ἀπαρχῆς Os. 13 χλόην PV 14 παιδείας PV 16 λέγεται post Πλοῦτος add. V om. P 21 Oper. 299 seq.

τε ἀνωμαλία τὰς κοιλότητας καὶ τὰς ἐξοχὰς τῶν ὀρῶν. τὰ δ' ἐντὸς τοῖς δενδρώδεσι καὶ ὑπονόμοις ἔοικε, σπέρματά τε ἀναρίθμητα γεννῶσιν ὥσπερ ἡ γῆ. διὰ δὲ τὴν ἀφθονίαν τῶν σιτηρῶν ἐπαύσαντο δυσφόρητον καὶ ἀμφιδήριστον τὴν τροφὴν ἔχοντες, ὅθεν καὶ συντιθέμενοί τινα πρὸς ἀλλήλους περὶ τῶν κατὰ τὰ ἠλλοτριωμένα μέτρων, καὶ διανεμόμενοι τὰ γεννώμενα. δικαίως δὲ ἀρχηγὸν ἔλεγον νόμων καὶ θεσμῶν τὴν Δήμητρα αὐτοῖς γεγονέναι. ἐντεῦθεν καὶ θεσμοθέτιν αὐτὴν προσηγόρευσαν, οἷον νομοθέτιν οὖσαν, οὐκ ὀρθῶς τινῶν ὑπολαβόντων, εἰρῆσθαι ἀπὸ τοῦ τὸν καρπὸν ἀποτίθεσθαι καὶ θησαυρίζειν. μυστήρια δ' ἄγειν ἤρξαντο αὐτῇ, φιλοσοφοῦντες ἅμα τῇ εὑρέσει τῶν πρὸς τὸν βίον χρησίμων καὶ τῇ πανηγύρει χαίροντες, ὡς μαρτυρίῳ χρώμενοι τοῦ πεπαῦσθαι μαχομένους αὐτοὺς περὶ τῶν ἀναγκαίων. μυσιᾶν γάρ ἐστι τὸ κορεῖσθαι. πιθανὸν γὰρ ἐντεῦθεν ὠνομάσθαι τὰ μυστήρια, ὅθεν καὶ Μυσία παρά τισι λέγεται. καὶ περὶ τούτων ἅλις.

CCLXVIII. Περὶ τῆς Διδοῦς.

Διδὼ ἡ τοῦ Ἀγήνορος θυγάτηρ ἢ Βήλου βασιλέως Τυρίων, ἣ καὶ Ἔλισσα καλουμένη καὶ Ἄνα, ἀδελφὴ Πυγμαλίωνος, Συχαίῳ γενομένη γυνὴ ἀνδρὶ Φοίνικι Τύρον ᾤκει. τοῦτον δὴ τὸν ἄνδρα ὁ Πυγμαλίων σὺν αὐτῷ ἀποδημοῦντά που δολοφονεῖ ἔρωτι χρημάτων.

CCLXVIII. Eustath. Dion. 195 καὶ γάρ, ὡς εἴρηται — exit. Etym. M. p. 272, 52 seq.

3 ὥσπερ om. PV 17 ὀνομάσθαι P ὀνομᾶσθαι V 21 Verba ἀδελφὴ Πυγμαλίωνος post Διδώ, ἡ leguntur in F 22 Συγχαίῳ PV

ὁ δὲ δι' ὀνείρων σημάνας τὸ πάθος τῇ γυναικὶ κε- 113
λεύει φεύγειν· οὐκέτι γὰρ εἶναι πιστὰ τῷ Πυγμαλίωνι, ἐν δευτέρῳ χρημάτων τὰ φυσικὰ τιθεμένῳ θεσμά. ἡ δὲ προσλαβομένη τινὰς τῶν Τυρίων, συναραμένη δὲ καὶ τὰ χρήματα, ἔρχεται ἐπὶ Λιβύην. τοῦ δὲ Νομάδων καὶ Μαξίκων βασιλέως Ἰάρβαντος ἐκβάλλοντος αὐτήν, ἠξίου ἡ γυνὴ χῶρον αὐτῇ τιμῆς ἀποδόσθαι, ὅσον ἂν ῥινός, ἤγουν βύρσα, ἐπιλάβοι βοός. τυχοῦσα δὲ τοῦ ἀξιώματος διὰ τὸ δόξαι μικρὰ αἰτῆσαι, λαμβάνει βύρσαν, καὶ κατατεμοῦσα εἰς λεπτὰ καὶ τὸν λεπτοτομηθέντα ἱμάντα ἐπεκτείνασα ἔσχε τὴν κύκλῳ ἐμπεριληφθεῖσαν γῆν τῷ ἱμάντι εἰς μῆκός τε καὶ εἰς πλάτος πολὺν ὅρον τῇ πόλει τῷ τοιούτῳ σοφίσματι περιγράψασα. καὶ οὕτως ἡ Καρχηδὼν ἐκτίσθη, Φοινίκων ἀνέκαθεν οὖσα τῶν μετὰ τῆς Διδοῦς, ἥτις νῦν Λιβύων ἐστί. μητρόπολιν δ' ἔχουσιν ταύτην Λίβυες εὔορμον οὖσαν· λιμένα γὰρ ἔχει εὐκατάγωγον, ἱδρυμένη ἐπὶ Χερρονήσῳ. πολλὴ δέ ἐστι παρὰ ταῖς ἱστορίαις ἡ πόλις, καὶ πλοῦτον ἔσχε βαθὺν καὶ δύναμιν πολλήν. φασὶ δὲ καὶ ὅτι ἐρημωθεῖσα, καθ' ὃν καιρὸν καὶ ἡ Κόρινθος ἀνελήφθη πάλιν, τουτέστιν ἀνωρθώθη ὑπὸ Καίσαρος τοῦ ἐπιλεγομένου Θεοῦ, οὗ υἱὸς ὁ Σεβαστός, πέμψαντος ἐκεῖ ἐποίκους Ῥωμαίους. ἡ δὲ τῆς πόλεως ἀκρόπολις διὰ τὴν ῥηθεῖσαν ἱστορίαν τῆς βοὸς Βύρσα ἐκλήθη τὸ παλαιόν. φασὶ δὲ καὶ ὅτι ὁ ῥηθεὶς Ἰάρβας τὴν πόλιν μετὰ τὴν κτίσιν καθάρας, ἐκάλεσε τῇ Λιβύων φωνῇ καινὴν πόλιν· ὕστερον δὲ ἐκλήθη Καρχηδών. ἄλλοι δὲ περὶ αὐτῆς οὕτως ἱστοροῦσι· Καρχηδὼν ἡ πόλις ἀπὸ Καρχηδόνος τινὸς ἀνδρὸς Φοίνικος. ἐκα-

7 αὐτῇ PV   14 ἐκτίσθη et ἥτις om. F

λεῖτο δὲ καὶ καινὴ πόλις καὶ Καδμεία καὶ Κακκάβη, ὅπερ τῇ ἐγχωρίῳ διαλέκτῳ ἵππου δηλοῖ κεφαλήν. ἐξ αὐτῆς φασι Κλειτόμαχον εἶναι τὸν Ἀκαδημαϊκὸν φιλόσοφον, τὸν καὶ Ἀσδρούβαν καλούμενον, ὃς ἠκροάσατο τοῦ σοφοῦ Καρνεάδου, κη' ἐτῶν ἄνθρωπος ἐλθὼν Ἀθήναζε, ἄμοιρος, ὥς φασι, καὶ τῶν πρώτων στοιχείων· καὶ ὅμως ὀξύτητι φύσεως, καὶ ἄκρᾳ μελέτῃ εἰς πολὺ σοφίας ἐληλακώς. οἱ δὲ καὶ τοῦτο περὶ τῆς Καρχηδόνος φασίν, ὡς ἄρα οἱ περὶ τὴν Ἔλισσαν, ἤγουν οἱ μετὰ τῆς Διδοῦς ὀρύσσοντες εἰς πόλεως κτίσιν, καὶ βοὸς εὑρόντες κεφαλὴν ἀπέσχοντο τοῦ ὀρύσσειν, οἷα ὀπτευσάμενοι μόχθους καὶ δουλείαν συνεχῆ, ὃ καὶ οἱ βόες πάσχουσιν. ὀρύξαντες δὲ περί που φοίνικα πεφυτευμένον εὗρον κεφαλὴν ἵππου· καὶ συμβαλόντες σημαίνεσθαι σχολὴν αὑτοῖς, καὶ παρ' ἄλλων δόσιν τροφῆς, καθὰ καὶ τοῖς ἵπποις, ἔκτισαν ἐν τῷ τοιούτῳ τόπῳ τὴν Καρχηδόνα, καὶ ταῦτα πότιμον ὕδωρ μὴ ἔχοντι. καὶ τάχα διὰ τοῦτο καὶ Κακκάβη
114 ἐκλήθη, ὡς ἀνωτέρω ἔκκειται. ἀλλ' ἐπὶ τὴν Διδὼ ἐπανιτέον. Διδὼ τὴν τοιαύτην γυναῖκα ἐκάλεσαν οἱ πλεονεκτηθέντες ἐπιχωρίῳ φωνῇ, ὡς ἂν εἴποι τις, ἀνδροφόνον, διαβάλλοντες ἐκείνην, ὡς δῆθεν αἰτίαν ἔχουσαν τοῦ ἀνδροφονῆσαι διὰ τὸν ἐκ τοῦ ἀδελφοῦ φόνον. καὶ γάρ, ὡς εἴρηται, πρότερον Ἐλέσσαρ, ἤτοι Ἐλίσσα, ὠνομάζετο. λέγουσι δὲ καὶ οὕτω διὰ τὸ πολλὰ πλανηθῆναι ἀπὸ Φοινίκης ἀπάρασαν ἐπὶ Καρχηδόνα Διδὼ κληθῆναι· τῇ γὰρ Φοινίκων φωνῇ τὴν πλανῆτιν Διδὼ προσαγορεύουσι. πυρὰν γὰρ αὐτὴν ἀνά-

---

6 ὡς om. F 15 αὑτοῖς F αὐτοῖς PV 21 πλεονεκτηθέντες F πλεονεκτήσαντες PV

ψασαν καὶ ἑαυτὸν τῷ πυρὶ ἐμβαλοῦσαν οἱ Τύριοι κλαίοντες καὶ τὴν πυρὰν περιερχόμενοι Διδὼ ἀνεκάλουν, ὅ ἐστι πλανῆτιν.

CCLXIX. Περὶ τῶν δικαστηρίων τῶν ἐν ταῖς Ἀθήναις.

Δικαστήρια Ἀθήνησι πολλὰ ἦν· καὶ ἔν τισι μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ὡς ἐν τῷ Ἀρείῳ πάγῳ, ἔν τισι δὲ περὶ δημοτικῶν, ὡς ἐν τῷ Παλλαδίῳ, καὶ περὶ τῶν ἀκουσίων ἡ βουλὴ τῶν πεντακοσίων, εἶτ' ἐπὶ Δελφινίῳ ἐδικάζετο τοῖς ὁμολογοῦσιν ἀνῃρηκέναι μέν, λέγουσι δὲ ἐννόμως, καὶ τὸ ἐν Πρυτανείῳ. ἕκαστον δὲ τούτων εἶχεν ἕν τι τῶν στοιχείων, εἰδικὸν ὄνομα, οἷον ἦν τι τῶν δικαστηρίων λεγόμενον Α, ὁμοίως ἄλλο λεγόμενον Β, ἄλλο Γ, καὶ ἑξῆς τὸ Δ καὶ τὸ Ε ἕως τοῦ Κ. δέκα γὰρ ἦν τὰ Ἀθήνησι δικαστήρια, καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧ τινι τὸ δικαστήριον ὠνομάζετο. Ὅσοι δὲ δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος καθ' ἕκαστον δικαστήριον εἶχε δέλτον, τουτέστι πινακίδιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα τῷ πινακιδίῳ, καὶ ἐν αὐτῇ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον, οὐ μὴν ἀλλὰ καὶ τὸ πατρόθεν ὄνομα τοῦ δικαστοῦ καὶ τὸ τοῦ δήμου ἦν γεγραμμένον. ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγοράν, κἀκεῖ οἱ δέκα

CCLXIX. Schol. Ar. Plut. 277 (duo scholia commixta sunt)

---

15 βάμματι F βάματι PV

θεσμοθέται, κατὰ φυλὴν ἕκαστος, καὶ ἑνδέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ Κ· δέκα γὰρ ἦσαν φυλαί. καὶ ἔθος ἦν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν· εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἐπισημοτέρους, καὶ πάλιν ἀπὸ τῶν πέντε τὸν ἕνα, τὸν κλήρῳ λαχόντα, ἐποίουν δικάζειν. ὅστις ἂν οὖν ἐκληροῦτο κλῆρον ἔχοντα τὸ Α, ἀπήρχετο εἰς τὸ Α δικαστήριον, ὁμοίως ὅστις τὸ Β, εἰς τὸ Β, καὶ τὰ ἐφεξῆς. καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου. ὁ δὲ κῆρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ καὶ τὴν ῥάβ-
115 δον, εἶτα οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει, μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, διαφόρως ἐζημιοῦτο.

CCLXX. *Περὶ τοῦ Διομήδους.*

Διομήδης μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καταπλεύσας εἰς Ἄργος, τὴν ἑαυτοῦ πατρίδα, καὶ εὑρὼν τὴν ἑαυτοῦ γαμετὴν Αἰγιάλειαν συμφθειρομένην Κομήτῃ, τῷ υἱῷ Σθενέλου, διὰ τὸ αὐτὸν ἐν Τροίᾳ τρῶσαι τὴν Ἀφροδίτην, καὶ μέλλων ὑπὸ τῆς αὐτῆς Αἰγιαλείας ἀναιρεθῆναι, τότε μὲν εἰς τὸν τῆς Αἰγείας Ἥρας βωμὸν καταφυγὼν σώζεται. ὕστερον δὲ εἰς τὸ Δαύνιον ᾤχετο ἔθνος, οὗ ἐβασίλευε Δαῦνος, ὃς πολιορκούμενος ἐδεήθη τοῦ Διομήδους βοηθῆσαι αὐτῷ, ὑπισχνούμενος δώσειν τῆς γῆς μέρος. ὁ δὲ

CCLXX. Tzetzes Lyc. 603 *ἄλλοι δὲ ἱστοροῦσιν — ἱστοροῦσιν* Eustath. Dion. 483 *οὗτοι γὰρ — πολλοὶ* Philostrat. Her. IV, 1 seq. *περὶ δὲ τῶν ἀνθρωποφάγων — ἵπποι ἀνθρωποφάγοι* Schol. Ar. Eccles. 1071 *ἄλλοι δὲ λέγουσι* — exit. Palaeph. 4

17 *Κομήτῃ* F *Κομήτῳ* PV

βοηθήσας καὶ νίκην παρασχὼν Δαυνίοις ἔκτισε πόλιν Ἀργυρίππαν, ἤτοι Ἵππειον Ἄργος. ὕστερον δὲ Δαῦνος αἵρεσιν αὐτῷ ἐδίδου, εἰ βούλοιτο ἢ ὅλην τὴν λεῖαν λαβεῖν τοῦ πολέμου ἢ τὴν γῆν πᾶσαν. κριτὴς δὲ αὐτῶν γέγονεν Ἄλαινος, ἀδελφὸς νόθος τοῦ Διομήδους, ἐρῶν Εὐίππης τῆς θυγατρὸς τοῦ Δαύνου, ὃς ἔκρινε τὸν Δαῦνον ἔχειν τὴν γῆν, Διομήδην δὲ τὴν λεῖαν λαβεῖν τοῦ πολέμου. γνοὺς δὲ ὁ Διομήδης κατηράσατο μὴ δύνασθαι σπείρειν γῆν, τὴν δὲ σπειρομένην μὴ ἀναδιδόναι καρπόν, εἰ μή τις αὐτὴν σπείρει τῶν αὐτοῦ συμπολιτῶν. ὕστερον δὲ πρὸς Δαύνου ἀνηρέθη ὁ Διομήδης. οἱ δὲ φίλοι αὐτοῦ θρηνοῦντες αὐτὸν μετεβλήθησαν εἰς ὄρνεα, ὅμοια κύκνοις, ἃ τοὺς βαρβάρους φεύγει, φοιτᾷ δὲ παρ' Ἕλλησιν, ὥστε καὶ ἐκ τῶν χειρῶν αὐτοῦ ἁρπάζειν τροφὰς καὶ δύνειν εἰς τοὺς κόλπους αὐτῶν. οἰκεῖ δὲ ταῦτα ἐν τῇ ἀπὸ Διομήδους καλουμένῃ νήσῳ. κεῖται δὲ ἡ νῆσος περὶ τὸν Ἰόνιον κόλπον καὶ τὸν Ἀδρίαν. οἱ γὰρ Ἰάπυγες καὶ Ἄπουλοι περὶ τὸν Ἰόνιον κόλπον οἰκοῦσιν, Ἀπούλων δὲ ἔθνη κατὰ τὸν Δίωνα Πευκέτιοι, Πεδίκουλοι, Ἄπουλοι καὶ Δαύνιοι καὶ Ταραντῖνοι καὶ Κάναι. Διομήδους δὲ πεδίον ἐστὶ περὶ τὴν Ἀπουλίαν τῶν Δαυνίων. ἡ δὲ Μεσσαπία καὶ Ἰαπυγία ὕστερον Σαλεντία, εἶτα Καλαβρία ἐκλήθη, ἡ δὲ Ἀργύριππα,

---

3 *εἰ βούλοιτο* add. F 10 *σπείρει* F *σπείρῃ* PV 11 *συγγενῶν ἢ* add. F 17 *οἰκοῦσι δὲ οὗτοι οἱ ὄρνιθες ὥσπερ τινὰ πόλιν, κατὰ γὰρ τὸν ὄρθρον βρέχουσι τὸν τόπον τοῖς πτέρυξι καὶ βρέχοντες εἰς ἄγραν πορεύονται καὶ τὰ ληφθέντα θέντες ὁμοῦ διαιροῦσιν ἀλλήλοις* add. F 18 *Ἀδρίαν* F *Ἀνδρίαν* PV 21 *Πεδίκουλοι — Μεσσαπία — Σαλεντία — Ἀργύριππα* F *Ἀποῦλοι — Μεσαπύγη — Καλεντία — Ἀργυρίππου* PV

πόλις τοῦ Διομήδους, μετεκλήθη Ἀπουλοῖς Ἄρποι. ἄλλοι δὲ ἱστοροῦσιν, ὡς ἡ Ἀφροδίτη ἐν τῷ καιρῷ τοῦ Τρωϊκοῦ πολέμου ἀνέπεισε τὴν Αἰγιάλειαν μιχθῆναι Σθενέλου υἱῷ Κομήτῃ· ὑφ' ὧν καὶ ἐξωσθεὶς μετὰ τὸν νόστον ὁ Διομήδης εἰς Τριλλίστους ἢ Τηλίστους Ἴβηρας ἦλθε πλανήτης, ἀλλὰ καὶ εἰς τὴν νῆσον ταύτην. ἕτεροι δὲ δύο ἱστοροῦσι τὰς τοῦ Διομήδους νήσους, λέγοντες καὶ ὅτι τῆς περὶ τὴν θάλασσαν ταύτην δυνα-
116 *στείας τοῦ Διομήδους, καὶ αἱ Διομήδειαι νῆσοι μαρτύρια, καὶ ὁ παρ' Ἐνετοῖς αὐτῷ λευκὸς ἵππος θυόμενος· τῶν δὲ δύο τούτων νήσων τὴν μὲν οἰκεῖσθαί φασιν, ἧς καὶ μεμνῆσθαι σχεδὸν πάντες δοκοῦσι, τὴν δὲ ἔρημον εἶναι, ἐν ᾗ καὶ τὸν Διομήδην ἀφανισθῆναι λέγουσι, καὶ τοὺς ἑταίρους ἐκεῖ ἀπορνιθωθῆναι, ὡς καὶ τῷ Λυκόφρονι δοκεῖ. ἰστέον δέ, ὅτι ὁ μὲν ποιητὴς σώφρονά τε οἶδε τὴν τοῦ Διομήδους γυναῖκα τὴν Αἰγιάλειαν, καὶ οὐδὲ διωχθῆναι τὸν Διομήδην ἱστορεῖ. εἴπωμεν δὲ ἀμφότερα περὶ Διομήδους καὶ Σθενέλου· φιλίαν μὲν γάρ σφισιν εἶναι οὐ μεῖον, ἢ Ἀχιλλεῖ καὶ Πατρόκλῳ ἱστοροῦσιν. οὗτοι γὰρ καὶ ἡλικίας μὲν ταὐτὸν εἶχον, καί, ὥς τισι δοκεῖ, λέγονται τειχομαχοῦντες ἀποθανεῖν, ὁ μὲν ὑπὸ Θηβαίων, ὁ δὲ κεραυνωθείς. κειμένων δὲ ἀτάφων τῶν νεκρῶν, τὸν μὲν ὑπὲρ τῶν σωμάτων ἀγῶνα Ἀθηναῖοι ἤραντο καὶ ἔθαψαν αὐτοὺς νικῶντες, τὸν δὲ περὶ τῶν ψυχῶν οἱ παῖδες ὑπὲρ τῶν πατέρων ἐνίκησαν, ὅτε ἥβησαν. καὶ τὸ κράτος τῆς μάχης εἰς Διομήδη τε καὶ Σθένελον*

---

1 *Ἀπουλοῖς Ἄρποι* F *Ἄπουλις Ἄρπους* PV 4 *Σθενέλου υἱῷ Κομήτῃ* F *Κομήτῳ* PV 14 *ἑταίρους* F *ἑτέρους* PV 15 Alex. 599 seq. Il. V, 412 25 *τὸν δ' ὑπὲρ* PV

ἦλθεν, ὡς ἀρίστω τε καὶ ὁμοίω ἄνδρες. Ὅμηρος δὲ οὐκ ἀξιοῖ αὐτοὺς τῶν ἴσων· τὸν μὲν γὰρ λέοντί τε εἰκάζει καὶ ποταμῷ γεφύρας ἀπάγοντι καὶ ἀνθρώπων ἔργα, καὶ γὰρ οὕτως ἐμάχετο· ὁ δ' οἷον θεατὴς τοῦ Διομήδους ἕστηκε, φυγῆς τε σύμβουλος αὐτῷ γινόμενος καὶ ἄρχων φόβου. ἄλλοι δέ φασιν, μὴ ἐλάττω τοῦ Διομήδους ἔργα τὸν Σθένελον μηδὲ ἐκεῖ δρᾶσαι· καὶ φιλοτιμεῖσθαι οὕτω πρὸς ἀλλήλους, ὡς σὺν ἀθυμίᾳ ἐπανήκειν ἐκ τῆς μάχης τὸν ἀπολειφθέντα τοῦ ἑτέρου· καὶ τὸ ἔργον δὲ τὸ εἰς Αἰνείαν τε καὶ Πάνδαρον πεπρᾶχθαι αὐτοῖς ὁμοῦ· τὸν μὲν γάρ φασι τῷ Αἰνείᾳ προσπεσεῖν μεγίστῳ τοῦ Τρωϊκοῦ ὄντι. τὸν Σθένελον δὲ τῷ Πανδάρῳ προσαγωνίσασθαι καὶ κρατῆσαι αὐτοῦ. καὶ τὸν μὲν Ὅμηρον Διομήδει μόνῳ ἐξῃρηκέναι ταῦτά φασιν, ὥσπερ ἐκλαθόμενον ὧν πρὸς τὸν Ἀγαμέμνονα ὑπὲρ τοῦ Σθενέλου εἶπε. τὸ γὰρ

Ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι,
Ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν,

ἀνδρός ἐστι παραπλήσια τούτοις καὶ ἐν Ἰλίῳ πράττοντος. καὶ τοῦτο περὶ τοῦ Σθενέλου λέγουσιν, ὡς τεῖχος μὲν οὐδὲν τοῖς Ἀχαιοῖς ἐξεποιήθη ἐν Τροίᾳ, οὐδὲ ἔστιν, ᾧ ἐφράξαντο ἢ τὰς ναῦς ἢ τὴν λείαν, ἀλλὰ τειχομαχίας ᾠδαί, ταῦτα Ὁμήρῳ ἐπενοήθησαν, δι' ἃς καὶ τὸ τεῖχος αὐτῷ συνετέθη. ὁρμὴ μέντοι τειχοποιΐας ὁμολογεῖται τὸν Ἀγαμέμνονα εἰσελθεῖν, μηνίοντος Ἀχιλλέως· ᾗ πρῶτον ἀντειρηκέναι τὸν Σθένελον εἰπόντα „ἐγὼ μέντοι ἐπιτηδειότερος τείχη καθαιρεῖν ἢ ἐγείρειν“, ἀντειρηκέναι δὲ καὶ τὸν Διομήδη

---

18 Il. IV, 406 seq.

117 μήδη τῷ τείχει, φήσαντα μεγάλων ἀξιοῦσθαι τὸν Ἀχιλλέα, „εἰ συγκλείσαιμεν ἑαυτοὺς λοιπόν, ἐπειδὴ ἐκεῖνος μηνίει", Αἴας δὲ λέγεται ταυρηδὸν ὑποβλέψας τὸν βασιλέα „δείλαιε, εἰπεῖν, τί οὖν αἱ ἀσπίδες"; καὶ τὸν ἵππον δὲ τὸν κοῖλον παρῃτεῖτο ὁ Σθένελος, οὐ τειχομαχίαν τοῦτο εἶναι φάσκων, ἀλλὰ κλοπὴν τῆς μάχης. τὰ μὲν δὴ μάχιμα ὅμοιοι ἦσαν καὶ ἴσου τοῖς Τρωσὶ φόβου ἄξιοι, ἐλείπετο δὲ τοῦ Διομήδους ὁ Σθένελος σύνεσίν τε καὶ λόγου ἰσχὺν καὶ καρτερήσεις, ὁπόσαι ψυχῆς τέ εἰσι, καὶ σώματος· ὀργῆς τε γὰρ ἥττων ἦν καὶ ὑπέρφρων τοῦ ὁμίλου καὶ τραχὺς ἐπιπλήττεσθαι· καὶ τὰ εἰς τὴν δίαιταν ἁβρότερον, ἢ ἐπὶ στρατοπέδου ἐχρῆν, κατεσκεύαστο. Διομήδει δὲ τἀναντία τούτων ἐπράττετο· μετρίως τε γὰρ πρὸς τὰς ἐπιπλήξεις εἶχε καὶ ἐκολάζετο ἐξοιδοῦν τῆς ὀργῆς· ὑβρίζειν τε οὐ συνεχώρει τοῖς πλήθεσιν οὐδὲ ἀθυμεῖν, αὐτός τε αὐχμῶν φαίνεσθαι στρατιωτικὸν ἡγεῖτο, καὶ τὸ ὡς ἔτυχε καθεύδειν ἐπῄνει, σιτία τε ἦν αὐτῷ τὰ ἐπιτυχόντα, καὶ οὐδὲ οἴνῳ ἔχαιρεν, εἰ μὴ καθίκοιντο αὐτοῦ οἱ πόνοι. τὸν δὲ Ἀχιλλέα ἐπῄνει μέν, οὐ μὴν ἐξεπέπληκτό γε, οὐδὲ ἐθεράπευεν, ὥσπερ οἱ πολλοί. [περὶ δὲ τῶν ἀνθρωποφάγων τοῦ Διομήδους ἵππων τάδε λέγεται. Διομήδης πάνυ μοχθηρὰς καὶ πόρνας εἶχε θυγατέρας, αἵτινες τοὺς παριόντας ξένους ἐβιάζοντο αὐταῖς συνεῖναι, ἕως οὗ κόρον σχῶσι καὶ ἀναλωθῶσιν οἱ ἄνδρες, οὓς εὐθὺς μετὰ τὸ ἔργον ἐφόνευον· διὸ ἐμυθεύθησαν ἵπποι ἀνθρωποφάγοι. ἄλλοι δὲ λέγουσιν, ὅτι τῶν παλαιῶν ἀνθρώπων

---

7 μάχημα P corr. V 22 seq. Cf. Untersuchungen p. 166

ὄντων αὐτουργῶν καὶ τροφὴν καὶ περιουσίαν πλείστην κεκτημένων, ἅτε τὴν γῆν ἐργαζομένων, ἱπποτροφεῖν ἐπελάβετο ὁ Διομήδης, καὶ μέχρι τούτου ἵπποις ἥδετο, ἕως οὗ τὰ αὐτοῦ ἀπώλεσε, καὶ πάντα πωλῶν κατηνάλωσεν εἰς τὴν τῶν ἵππων τροφήν. οἱ δὲ φίλοι αὐτοῦ διὰ τοῦτο τοὺς αὐτοῦ ἵππους ἀνθρωποφάγους ὠνόμασαν.]

CCLXX[b]. *Διομήδους γενεαλογία.*

Οἰνεύς, Αἰτωλίας βασιλεύς, γεννᾷ ἐξ Ἀλθαίας τῆς Θεστίου,

Δϊηάνειραν, Μελέαγρον, Τυδέα, Γόργην.
οὗ καὶ οὗ
Ἀταλάντης Διομήδης, Ἄλαινος
Παρθενοπαῖος. νόθος.

CCLXXI. *Περὶ τοῦ Διονύσου.* 118

Διόνυσος ἐκ Διὸς καὶ Σεμέλης γεννηθῆναι μυθεύεται· ὁ δὲ μῦθος ἔχει οὕτω. Σεμέλη θυγάτηρ γέγονε Κάδμου τοῦ Θηβῶν βασιλέως. ταύτης ἠράσθη ὁ Ζεὺς καὶ συγγίνεται αὐτῇ, καὶ συλλαβοῦσα εἶχεν ἐξ αὐτοῦ τὸν Διόνυσον ἔγκυον. ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ, καὶ συμβουλεύεται αὐτῇ τῇ Σεμέλῃ, ὅτι

CCLXX[b]. Compilavit Eudocia Apollod. I, 7, 10 CCLXXI. Nonn. II, 25. V. Eud. p. 373 *τὸν δὲ Διόνυσον — μηρόν* Etym. M. p. 277, 35 *ἄλλοι δὲ λέγουσιν — ἠσχολεῖτο* Eustath. Il. p. 989. V. Eud. p. 87 *καὶ καθ' ἱστορίαν* seq. excerpta quaedam ex Herod. II, 147 seq. *καὶ γὰρ αὐτὸς* — exit. Eustath. Dion. 1153

6 *αὐτοῦ* utroque loco et *διὰ τοῦτο* om. F 9 *Θεστίου* F *Θέστιος* PV 20 *τῆς Σεμέλης* P corr. V

δεῖ αἰτῆσαι τὸν Δία συγγενέσθαι, ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. συνεγίνετο δὲ ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν καὶ κεραυνῶν. ἄλλως δὲ ἔλεγεν, αὐτὴν ἐξαπατᾶσθαι, καὶ μή τὸν Δία αὐτὸν εἶναι τὸν συγγενόμενον ἐκείνῃ, ἀλλ' ἄλλον τινά. ταῦτα δὲ συνεβούλευσεν ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα, ἐρχομένου τοῦ Διὸς μετὰ κεραυνῶν πρὸς αὐτήν, ὡς θνητὴ καταφλεχθήσεται καὶ μηκέτι τὴν ἀντίζηλον ἔχοι, ὃ δὴ καὶ γέγονε. τοῦ Διὸς γὰρ ἐλθόντος πρὸς τὴν Σεμέλην, ᾔτησεν ἐκείνη οὕτως καὶ αὐτῇ συγγενέσθαι, ὡς τῇ Ἥρᾳ. καὶ συγγίνεται μετὰ κεραυνῶν καὶ βροντῶν. μὴ ἐνεγκοῦσα δὲ ἡ Σεμέλη τοὺς κεραυνοὺς κεραυνοῦται καὶ ἀπόλλυται. καὶ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἔμβρυον ὄντα, ἔρραψεν ἐν τῷ αὐτοῦ μηρῷ, καὶ ὕστερον ἐν τῷ ἑβδόμῳ μηνὶ ἐλθὼν ὁ Ἑρμῆς ἀναπτύσσει τὸν μηρὸν τοῦ Διὸς καὶ γεννᾶται ὁ Διόνυσος. καὶ λαμβάνει αὐτὸν καὶ ἀποφέρει εἰς Νύσσαν τῆς Θρᾴκης, κἀκεῖ παρὰ τῶν Νυμφῶν γαλακτοτροφεῖται. τὸν δὲ Διόνυσον καὶ Διόνυξον καλοῦσι διὰ τοῦ ξ, ὅτι κέρασι γεννώμενος ἔνυξε τὸν Διὸς μηρόν. ἄλλοι δὲ λέγουσιν ὑπὸ τῶν Βασσαρῶν αὐτὸν τραφῆναι, οὕτω καλουμένων διὰ τὸ βάσιν ἐπ' ἀρᾷ ποιεῖσθαι τὸ μανιῶδες, καὶ Λυδῶν καὶ Μακέτων καὶ Μιμαλλόνων, δαιμονίων τινῶν, αἵτινες τροφοὶ εἰς ἀμπέλους ἀλληγορικῶς μεταλαμβάνονται, τὰς τρίχας κατακεχυμέναι, καὶ ἄλλα τινὰ ποιοῦσαι φίλα τῷ Διονύσῳ, κιττῷ στεφανούμεναι καὶ ἀμπέλῳ καὶ κατέχουσαι χερσίν, αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις.

---

8 *ἔχοι* ex F reposui, *ἔχειν* P *ἔχῃ* V 10 *αὐτῇ* P *αὐτῆ* V 15 *ἀναπτύσει* P corr. V 21 Sic correxi, *καλούμεναι* vitiose PV

τοῦτο δὲ πρὸς αἴνιγμα τοῦ καὶ θηριώδεις καὶ φοινικοῦς εἶναι τοὺς μεθύοντας, ἐπεὶ καὶ αὐτὸς ὁ Διόνυσος εἰς οἶνον ἀλληγορεῖται· ἀφ' οὗ καὶ τὸ διονυσιάζειν συμποσιακὴ λέξις παρὰ Πλάτωνι· οἷον πάντα τὸν βίον ἐδιονυσίαζεν, ἤγουν περὶ οἶνον ἠσχολεῖτο. καὶ καθ' ἱστορίαν δοτὴρ οἴνου ἢ ἐφευρετὴς λέγεται. ἡ Δήμητηρ γὰρ καὶ ὁ Διόνυσος, ὥς φασιν, Αἰγύπτου βασιλεῖς ὄντες, γεωργίαν καὶ φυτουργίαν ἐδίδαξαν· καὶ τοῦτο καθ' Ἡρόδοτον. καὶ γὰρ αὐτὸς περί που τὴν Αἴγυπτον τὸν μῦθον τοῦτον τελεσφορεῖ, λέγων, ὅτι ὁ Ζεὺς τὸν Διόνυσον εἰς τὸν μηρὸν ἀνερράψατο, καὶ 119 *ἤνεγκεν εἰς Νύσσαν τὴν ὑπὲρ Αἰγύπτου οὖσαν. ἄμπελος δέ, ὥς φησιν ὁ Γεωγράφος, αὐτόθι οὐ τελεσίκαρπος. ἀπορρεῖ γὰρ ὁ βότρυς πρὶν ἢ περκάσῃ διὰ τοὺς ἄδην ὄμβρους.*

CCLXXII. *Περὶ τοῦ τὸν Διόνυσον εἶναι ἀνδρόγυνον.*

Λέγουσι δὲ τὸν Διόνυσον καὶ τὰ ἀνδρῶν ποιεῖν καὶ τὰ γυναικῶν πάσχειν, διὰ τὸ εἶναι αὐτόν, ὡς ἐρρήθη, οἴνου δημιουργὸν καὶ ἔφορον καὶ αὐτῆς τῆς

CCLXXII. Nonn. II, 24 (Cosm. p. 66) *οἰκείως δὲ ἔδοξεν — ἡδέως* Cornut. 30 *ἢ ὡσανεὶ — εἰς N* Etym. M. p. 277, 51 *ἀφ' οὗ καὶ — ἀσφαλῶς ἀπετέθη* Cornut. l. c. *ἰστέον δὲ — ἐπανῆλθε* Eustath. Dion. 566 *ἐπανερχόμενον — πολύστικτον* Eustath. Dion. 700 *φέρεται — ὠρεσίλοιπον* Brunck Anal. II, p. 517 (Anthol. Palatin. IX, 524; Bergk. Poet. Lyr. p. 1316) *ἐρίβρομον — ζέων* Eustath. Dion. 566 *Σάτυρον δὲ — αὐτοῦ* Etym. M. p. 509, 6 seq. (Zonar.) *περὶ δὲ φαλλοῦ — παῖδα* Schol. Ar. Acharn. 242. V. Eud. p. 413

---

9 *αὐτὸς καὶ γὰρ* P verba transposuit V 13 Strabo XV, p. 687 14 *ἀπορρεῖ* F *ἀπορρέει* PV *πρὶν περκάσαι* F 15 *ἄρδην* PV 18 *ἐρρέθη* P corr. V

μέθης, καὶ διὰ τὸ δεδωκέναι ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι πίειν. ὅθεν μεθυσθέντες καὶ ἀλλήλοις χορεύοντες, ὁτὲ μὲν εἰς ἀνοήτους ὀρέξεις οἱ ἄνδρες τὰς γυναῖκας κινοῦσιν, ὁτὲ δὲ αἱ γυναῖκες αὐτούς· καὶ τούτου αἴτιος ὁ ποθεὶς Διόνυσος, τῆς Ἥρας αὐτῷ τὸ μεθύσκεσθαι εἰσηγησαμένης, ἵνα γένηται παράφρων. ὠργίζετο γὰρ αὐτῷ ἡ Ἥρα, ὡς υἱῷ νόθῳ τοῦ Διός. ἐζηλοτύπει γὰρ τοὺς ἐκ Διὸς καὶ ἄλλης τινὸς γενομένους ὡς γνησία γυνή· οἰκείως δ' ἔδοξε καὶ εἰρήνη κατά τι ὁ αὐτὸς Διόνυσος εἰρῆσθαι, τῶν ἡμέρων δένδρων ἐπίσκοπος ὢν καὶ δοτὴρ θεός, ἐπεὶ καὶ διὰ ταῦτα σπονδὰς ποιοῦνται. δενδροκοποῦνται γὰρ αἱ χῶραι τοῖς πολέμοις· ἐν εἰρήνῃ δὲ τὰ τῶν εὐωχιῶν θάλλει, οἷς ἀναγκαιότατον ὁ οἶνός ἐστι. τυγχάνει δὲ καὶ Διόνυσος, ἤτοι Διόνυξος ὢν ἢ Διάνυσός τις παρὰ τὸ διαίνειν ἡμᾶς ἡδέως, ἢ ὡσανεὶ Διάλυσος, τροπῇ τοῦ α εἰς ο καὶ τοῦ λ εἰς ν. ἀφ' οὗ καὶ Νύσιον αὐτὸν καὶ Λυαῖον ἐπωνόμασαν, λύοντα τὰς μερίμνας. τινὲς δέ φασιν, ἀπὸ τοῦ εἰς τὸ Νύσιον ὄρος φῦναι πρῶτον τὴν ἄμπελον παρεληλυθέναι τοῦτο τὸ ὄνομα εἰς τὴν συνήθειαν. λέγεται δὲ διὰ πυρὸς λοχευθῆναι, τὸ θερμὸν αὐτοῦ καὶ πυρωτικὸν τῶν σωμάτων παριστάντος τοῦ μύθου· οὕτω γὰρ οἶνός ἐστι, πυρὶ ἴσον μένος ἔχων, μετὰ τοὺς ποιητάς. ἐρραφθεὶς δὲ εἰς τὸν τοῦ Διὸς μηρὸν ἐκεῖ τελεσφορηθῆναι διὰ τὸ πεπαίνεσθαι καὶ τελειοῦσθαι τὸν οἶνον τοῖς μηροῖς ἐκ δευτέρου. πεπανθεὶς γὰρ πρότερον, ὅτι ἀτελής

9 ἔδοξεν PV 12 δενδροσκοποῦνται PV 18 Νύσιον hic et infra F Ἀλύσιον hic, Σίτιον postea PV 27 πεπανθεὶς — γίνεται om. Osannus, qui inseruit ex optimis codicibus haec:

ἐστι πρὸς χρῆσιν, ὕστερον δὲ πατηθεὶς τοῖς ποσὶ τέλειος γίνεται. πρώτη γὰρ ἐκείνη γέννησίς ἐστιν ἡ κατὰ πέπανσιν τῆς ὀπώρας, ἥτις γίνεται τῶν καυμάτων ἀκμαζόντων. δευτέρα δ' ἡ μετὰ τὴν πάτησιν, ἐκθλιβομένου τοῖς ποσὶν αὐτῶν. καὶ τοιοῦτόν τι ἐκ τοῦ μηροῦ συνεκδέχεσθαι δεόντως. Βρόμιός τε δὲ καὶ Βάκχος καλεῖται, διὰ τὸ τοὺς πατοῦντας αὐτὸν πρῶτον χρῆσθαι. εἶτα καὶ τοὺς ἕως μέθης μετὰ ταῦτα χρωμένους, ἀφιέναι ταῖς ἐν τοῖς πότοις παιδείαις. ἐκστάσεως δὲ σύμβολόν εἰσιν οἱ Σάτυροι, τὴν ὀνομασίαν ἐσχηκότες ἀπὸ τοῦ σεσηρέναι, καὶ οἱ Σκιρτοὶ ἀπὸ 120
τοῦ σκαίρειν, καὶ οἱ Σειληνοὶ ἀπὸ τοῦ σελαίνειν καὶ σείεσθαι ἐν τῇ ληνῷ, καὶ οἱ Σευΐδαι ἀπὸ τοῦ σεύειν, ὅ ἐστιν ὁρμᾶν. διὰ τούτων δ' ἴσως παρίσταται τὸ ὡσανεῖον μετ' ἐκλύσεως καὶ θηλύτητος παράφρων τῶν πινόντων. τούτου δ' ἕνεκα καὶ θηλύμορφος, ὥς τινες, πλάττεται, καὶ κέρατα ἔχει, ὡς τοὺς μὲν τόνους ἀποβαλλόντων τῶν μεθυόντων, βίᾳ δὲ χρωμένων καὶ δυσκάθεκτόν τι καὶ ὁρμητικὸν ἐχόντων. καὶ τὸ μὲν τῆς ἐσθῆτος ἀνθηρὸν τὴν ποικιλίαν παρίστησι τῆς ὀπώρας· ἡ δ' ἐν τοῖς πλείστοις τῶν πλασμάτων γυμνότης, τὸν παρὰ τοὺς τόπους γινόμενον ἀπαμφιασμὸν τοῦ τρόπου· καθὸ δοκεῖ καὶ „ὁ οἶνος καὶ ἀλήθεια“ εἰρῆσθαι. τάχα διὰ τοῦτο καὶ μαντεῖα ἔσθ' ὅπου τοῦ Διονύσου ἔχοντος. τὸ δὲ θορυβῶδες τῶν μεθυσκο-

---

ὡς γὰρ μὴ πεφυκότα γενναῖον ἀποτιθέμενον, ἀτελῆ δ' ὡς πρὸς τὴν χρῆσιν συγκομισθέντα τήνδε, pergens ἐπεὶ πρώτη   1 De lectionis varietate v. ad CCXV.   13 Σευΐδαι F Σενίδαι PV   21 δ' ἐν F δὲ PV   23 καὶ ἀλήθεια F ἀληθῶς PV. Cf. Diogen. VII, 128   24 ὅπου — ἔχοντος F ὅτε γινόμενα P ὅτε — γινομένη V

μένων οἰκεῖόν τι ἔδοξεν ἔχειν, καὶ ὁ τῶν ῥόπτρων ψόφος καὶ τῶν τυμπάνων, ἃ παραλαμβάνουσιν εἰς τὰ ὄργια αὐτοῦ. χρῶνται δὲ πολλοὶ καὶ αὐλοῖς παρὰ τὴν συγκομιδὴν τοῦ καρποῦ καὶ ἄλλοις τοιούτοις ὀργάνοις. ὁ δὲ θύρσος ἐμφαίνει τὸ μὴ ἀρκεῖσθαι τοῖς ἑαυτῶν ποσὶ τοὺς μεθυσκομένους, τῶν δὲ ὑποστηριούντων αὐτοὺς δεῖσθαι. τινὲς δὲ τῶν θύρσων καὶ ἐπιδορατίδας κρυπτομένας ὑπὸ τῶν φύλλων ἔχουσιν, ὡς καὶ ὀδυνηφόρου τινὸς ἔσθ' ὅτε κρυπτομένου τῇ παρὰ τὴν πολυποσίαν ἱλαρότητι, εἰς ὕβρεις ἐνίων καὶ παρακοπὰς ἐμπιπτόντων, ἀφ' οὗ δὴ καὶ μαινόλης ὁ Διόνυσος ἐκλήθη, καὶ μαινάδες αἱ περὶ αὐτὸν γυναῖκες. πλάττεται δὲ καὶ νέος καὶ πρεσβύτης διὰ τὸ πάσῃ ἡλικίᾳ πρόσφορος εἶναι, τῶν μὲν νέων λαβρότερον αὐτῷ χρωμένων, τῶν δὲ πρεσβυτέρων ἡδύτερον. οἱ δὲ Σάτυροι παρεισάγονται ταῖς Νύμφαις ἥδιον αὐταῖς ἐπιμιγνύμενοι, καὶ τὰς μὲν πειρῶντες, τὰς δὲ μετὰ παιδιᾶς βιαζόμενοι, τῷ τὴν πρὸς τὸ ὕδωρ κρᾶσιν τοῦ οἴνου συνῆφθαι χρησίμην οὖσαν. τὰς δὲ παρδάλεις ὑποζευγνύασι τῷ Διονύσῳ καὶ παρακολουθούσας εἰσάγουσιν, ἤτοι διὰ τὸ ποικίλον τῆς χροιᾶς, ὡς τὸ νεβρίδα αὐτὸς περιῆπται καὶ αἱ Βάκχαι, ἢ ὡς καὶ τὰ ἀγριώτατα τῶν ἀνθρώπων ἤθη τῆς συμμέτρου οἰνώσεως ἐξημερούσης. τὸν δὲ τράγον αὐτῷ θύουσι διὰ τὸ λυμαντικὸν δοκεῖν τῶν ἀμπέλων καὶ τῶν συκῶν εἶναι τὸ ζῷον τοῦτο, καθὸ καὶ ἐκδέροντες αὐτόν, εἰς τὸν ἀσκὸν ἐνάλλονται κατὰ τὰς Ἀττικὰς κώμας οἱ γεωργῶν νεα-

---

15 Σάτυροι addidi ex F om. PV 17 παιδείας, ut solent, PV 21 ποικίλλον PV 26 ἐκδαίροντες PV

νίσκοι· τάχα δ' ἂν χαίροι τοιούτῳ θύματι ὁ Διόνυσος, διὰ τὸ ἑαυτὸν εἶναι τὸν τράγον, ἀφ' οὗ καὶ οἱ ὄνοι ἐν ταῖς πομπαῖς αὐτοῦ θαμίζουσι, καὶ οἱ φαλλοὶ αὐτῷ ἀνατίθενται, καὶ τὰ φαλλαγώγια ἄγεται· καὶ κινητικὸν γὰρ πρὸς τὴν συνουσίαν ὁ οἶνος, διὰ τοῦτο ἐνίων κοινῇ μεθυόντων Διονύσῳ καὶ Ἀφροδίτῃ. ὁ δὲ νάρθηξ διὰ τῆς σκολιότητος τῶν κώλων ἐμφαίνει, τῷ 121 *τῇδε κἀκεῖσε περιφέρεσθαι τοὺς μεθύοντας, ἅμα δὲ καὶ ἐλαφροὺς καὶ εὐβαστάκτους αὐτοὺς εἶναι· τὸ δὲ ἔναρθρον τῆς λαλιᾶς αὐτῶν, ὡσανεὶ ἄρθρα ἔχων, παρίστησιν. ὀρείφοιτοι δ' εἰσὶ καὶ φιλέρημοι αἱ Βάκχαι διὰ τὸ μὴ ἐν ταῖς πόλεσιν, ἀλλ' ἐπὶ τῶν χωρίων γεννᾶσθαι τὸν οἶνον. Διθύραμβος ὁ Διόνυσος ἐκλήθη, πότερον διὰ τὸ δίθυρον τὸ στόμα ποιεῖν, διά τε τὸ ἀναφαίνειν καὶ ἐκφερομυθεῖν ποιεῖν τὰ ἀπόρρητα, ἢ ὡς αὐτὸς ὢν ὁ ποιῶν ἐπὶ τὰς θύρας ἀναβαίνειν τοὺς νέους, ἢ ἐκβαίνειν εἰς αὐτὰς καὶ ἐκπίπτειν καὶ διασαλεύειν τὰ κλεῖθρα. ὁ δὲ θρίαμβος ἀπὸ τοῦ θροεῖν καὶ ἰαμβίζειν τὴν κλῆσιν ἔλαχεν, ὅθεν καὶ ἐν τοῖς κατὰ τὸν πόλεμον θριάμβοις πολλοῖς ἀναπαίστοις σκώπτοντες χρῶνται· καὶ τὴν κίτταν ὡς λάλον ὄρνεον ἀφιεροῦσιν αὐτῷ, καὶ Βασσαρέα καλοῦσιν ἀπὸ τοῦ βάζειν· καὶ Εἰραφιώτην παρὰ τὸ ἐρράφθαι ἐν τῷ μηρῷ τοῦ Διὸς ἢ ἀπὸ τοῦ ἔριν φαίνειν καὶ ἀφιέναι· πατὴρ γὰρ ἔριδος οἶνος ὑπὲρ μέτρον πινόμενος. καὶ*

---

3 *ὄνοι* P *οἶνοι* V *ὁ ὄνος — θαμίζει* F 6 *θυόντων* Os. 22 *Βασσαρέα* scripsi Osannum secutus *Βασσαρραίαν* PV 23 *παρὰ τὸ — Διός* om. F, quae verba nescio utrum in Cornuti exemplari suo invenerit Eudocia an ex Etym. M. p. 302, 52 (v. Cramer, Anecd. II, p. 211) more suo adiunxerit 24 *φαίνειν καὶ* et *πατὴρ γὰρ — πινόμενος* om. F habet Eustathius l. c. *πινούμενος* PV

καθαιρετικὸς δὲ παντὸς οὑτινοσοῦν ὑπάρχων, ἔδοξε καὶ πολεμιστὴς εἶναι καὶ πρῶτος καταδεδυκέναι τὸν ἐν ταῖς πολεμικαῖς ἀγόμενον θρίαμβον· τῷ δὲ κισσῷ στέφεται διὰ τὴν πρὸς τὴν ἄμπελον ἐμφέρειαν αὐτοῦ, καὶ τὴν πρὸς τοὺς βότρυς ὁμοιότητα τῶν κορύμβων. πέφυκε δὲ καὶ σφάλλειν τὰ δένδρα, ἀνέρπων δι' αὐτῶν καὶ περιπλεκόμενος βιαιοτέροις τοῖς πρέμνοις. τὰ δὲ θυμελικὰ ἀκροάματα τὸν Διόνυσον θεραπεύει διὰ τὴν πρὸς τὰς θαλίας αὐτῶν οἰκειότητα, οἷον ᾠδῆς καὶ κιθάρας· „τὰ γάρ τ' ἀναθήματα δαιτός“. μυθολογεῖται δέ, ὅτι διασπασθεὶς ὑπὸ τῶν Τιτάνων συνετέθη πάλιν ὑπὸ τῆς Ῥέας, αἰνιττομένων τῶν παραδόντων τὸν μῦθον, ὅτι οἱ γεωργοί, θρέμματα γῆς ὄντες, συνέχεαν τοὺς βότρυς, καὶ τοῦ ἐν αὐτῷ Διονύσου τὰ μέρη ἐχώρισαν ἀπ' ἀλλήλων, ἃ δὴ πάλιν ἡ εἰς αὐτὸ σύρρευσις τοῦ γλεύκους συνήγαγε, καὶ ἓν σῶμα ἐξ αὐτῶν ἀπετέλεσε. καὶ ὁ παρὰ τῷ ποιητῇ δὲ μῦθος, ὡς φεύγων ποτὲ τὴν τοῦ Λυκούργου ἐπιβουλὴν θεὸς εἰς τὰ κατὰ τῆς θαλάττης, εἶτα ἡ Θέτις αὐτὸν διέσωσεν, ἐμφανῆ τὴν διάνοιαν ἔχει· τιθῆναι μὲν γάρ εἰσιν τοῦ Διονύσου αἱ ἄμπελοι. τούτων δὲ ὁ Λυκοῦργος τρυγητὴς ὢν ἐσκύλευσε καὶ ἀπεκόσμησεν· εἶτα ὁ οἶνος θαλάσσῃ μιγεὶς ἀσφαλῶς ἀπετέθη. χρυσοκόμης δὲ Διόνυσος λέγεται διὰ τὸ τοὺς οἰνιζομένους ἀνθρώπους τῆς κόμης ἐπιμελεῖσθαι τῆς ἑαυτῶν, καὶ ἀρὰς ἐντεῦθεν κινεῖν, ἤτοι βλάβας, καὶ ταύτας ἐμμένειν· πολλοὶ γὰρ μεθύοντες οὐ μόνον τῶν τριχῶν ἐπιμε-

---

5 κορύμβων F ὠρυμβάδων PV 10 τὰ γὰρ τ' et δαιτός ex Od. I, 152 reposui, γὰρ et τῆς δαιτός PV 13 τρέμματα P corr. V 17 Il. VI, 130 seq.

λούμενοι καὶ ξανθίζοντες φαίνονται, ἀλλὰ καὶ μυρίοις ἑαυτοὺς παραδιδόασιν ἀτοπήμασι. πρόβλαστος δέ, 122
ἐπεὶ ὅταν βλαστάνωσιν αἱ ἄμπελοι, θύουσιν αὐτῷ, ἢ ὅταν μέλλωσι κλᾶν καὶ κλαδεύειν· θρασύς, ὅτι ἀναιδεῖς οἱ οἰνωθέντες. ἰστέον δέ, ὅτι ἐννύχια τῷ Διονύσῳ ἐτελοῦντο τὰ μυστήρια πρὸς αἴνιγμα τοῦ δεῖν τοὺς πίνοντας ἐπικρύπτειν τὸν οἶνον, καὶ μὴ εἰς προὖπτον ἀσχημονεῖν κωμάζοντας, ἢ καὶ διὰ τὴν σπουδὴν τοῦ ταμιεύεσθαι τὸν οἶνον καὶ κρύπτεσθαι, ὡς εἰς παλαίωσιν, διὸ καὶ Οἰκουρὸς Διόνυσος ἐλέγετο. καὶ τάδε τὰ ἱερὰ τῷ Βάκχῳ αἱ τῶν Ἀμνιτῶν γυναῖκες ἐννύχιαι κατὰ νόμον μάλιστα πάντων τελοῦσι, στεψάμεναι κισσοῦ μελαμφύλλου κορύμβοις καὶ βοτρυώδεσι καρποῖς καὶ εὐοῖ εὐάν ἀνακράζουσαι. ταῦτα δὴ τὰ ἐπὶ Διονύσῳ ἐνθουσιαστικὰ ἐπιφωνήματα καὶ ἀναφωνήσεις ὑμνητηρίους εἰς αὐτὸν τὸν Εὔϊον Διόνυσον δι᾽ ὅλης νυκτὸς ἐξελαυνόμεναι καὶ χορεύουσαι προέπεμπον, ὥστε ἐν τούτῳ καὶ τοὺς Θρᾷκας εἴκειν αὐταῖς καὶ τοὺς Ἰνδούς, καίτοι καὶ αὐτοὺς κατόχους ὄντας τῷ Διονύσῳ καὶ πάνυ ὀργιάζοντας αὐτῷ. ὁ δὲ Γεωργάφος καὶ ἱερὸν εἶναι λέγει Διονύσου ταῖς γυναιξὶ τῶν Ἀμνιτῶν, ὅπερ κατ᾽ ἐνιαυτὸν ἀποστεγάζουσαι αὐθημερὸν πάλιν πρὸ δύσεως ἡλίου στεγάζουσιν, ἑκάστης φορτίον ἐπιφερούσης, ὅπερ ἐὰν ἐκπέσῃ, διασπῶσι μανιωδῶς την φέρουσαν. φασὶ δέ, νῆσον Ὠκεανίαν εἶναι μικράν, οὐ πάνυ πελαγίαν, ἣν οἰκοῦσιν αἱ τοιαῦται γυναῖκες Διονύσῳ κατεχόμεναι· οὐκ ἐπιβαίνει δὲ ἀνὴρ τῆς νήσου, ἀλλ᾽ αὐταὶ πλέουσι παρὰ τοὺς ἄνδρας καὶ κοινωνοῦσαι

5 *οἰνοθέντες* P corr. V   21 *Ἀμνιτῶν* FPV *Σαμνιτῶν* Strabo IV, p. 198   28 *περὶ τ. α.* F

αὐτοῖς ἐπανέρχονται. περὶ δὲ τῶν κελαινῶν Ἰνδῶν, ὧν τινων ἀνωτέρω ἐμνήσθημεν, τοῦτο λέγεται, ὅτι οὗτος ὁ Θηβαῖος Διόνυσος αὐτοὺς ὀλέσας ἀντιστάντας αὐτῷ δύο στήλας ἔστησε περὶ τὰ τῆς γῆς τέρματα, καὶ αὖθις χαίρων εἰς Θήβας ἐπανῆλθεν. ἐπανερχόμενον δὲ ἐκ τοῦ πολέμου οἱ Καμαρῖται δεξάμενοι ἐξένισαν καὶ ταῖς Λήναις, ὅ ἐστι ταῖς Βάκχαις, συνεχόρευσαν, τὰ ἐκείνων φορήματα, ζώματα δηλαδὴ καὶ νεβρῖδας, ἐπὶ στήθεσι βαλόντες, τὸ ὑμνητικὸν καὶ αὐτοὶ λόγιον τῷ Διονύσῳ ἐπιφωνούμενον, ὡς εἴρηται, εὐοῖ Βάκχε καὶ εὐὰν λέγοντες. ἰστέον δέ, ὅτι αἱ Βάκχαι, αἱ τοῦ Διονύσου ὀπαδοί, εἰς ἀμπέλους ἀλληγοροῦνται, καθάπερ καὶ αἱ προειρημέναι Βασσάραι· τροφοὶ γὰρ αὗται τοῦ εἰς οἶνον ἐκλαμβανομένου Διονύσου. αἱ δὲ Διονυσιακαὶ νεβρῖδες τὴν τῶν σταφυλῶν ἐν χρόᾳ αἰνίττονται πολυείδειαν· πολύχροοι γὰρ καὶ αἱ νεβρῖδες καὶ ποικίλαι τοῖς στίγμασιν. ἢ καὶ τὸ τῶν μεθυόντων ὑπεμφαίνουσιν ἀγενές. δειλὸν γὰρ ὁ νεβρός, τὸ τῆς φυξακινῆς ἐλάφου νεογνόν, οὗ δορὰ ἡ νεβρίς. ἢ καὶ διότι ποικίλοι τὰ εἰς νοῦν διὰ τὸ εὐμετά-
123 βολον οἱ μεθύοντες, ποικίλον δὲ καὶ ἡ νεβρὶς διὰ τὸ πολύστικτον. φέρεται δὲ καὶ ὕμνος εἰς αὐτὸν τοιόσδε·

Μέλπωμεν βασιλῆα φιλεύϊον, εἰραφιώτην,
Ἁβροκόμην, ἀγροῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτόν, βρόμιον, βακχεύτορα, βοτρυοχαίτην,
Γηθόσυνον, γονόεντα, γιγαντολέτην, γελόωντα,
Διογενῆ, δίγονον, διθυραμβογενῆ, Διόνυσον,
Εὔϊον, εὐχαίτην, εὐάμπελον, ἐγρεσίκωμον,

---

2 ἐμνήσθημεν FP ἐμνησθήμην V 5 ἐπανῆλθε PV 18 ἀγεννές PV

Ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα,
Ἤπιον, ἡδυπότην, ἡδύθροον, ἠπεροπῆα,
Θρήϊκα, θυρσοφόρον, θιασώτην, θυμολέοντα,
Ἰνδολέτην, ἱμερτόν, ἰοπλόκον, εἰραφιώτην,
Κωμαστήν, κεραόν, κισσοστέφανον, κελαδεινόν,
Λυδόν, ληναῖον, λαθικηδέα, λυσιμέριμνον,
Μύστην, μαινόλιον, μεθυδώτην, μυριόμορφον,
Νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον,
Ξυστοβόλον, ξυνόν, ξενοδώτην, ξανθοκάρηνον,
Ὀργίλον, ὀβριμόθυμον, ὀρέσκιον, οὐρεσιφοίτην,
Πουλυπότην, πλαγκτῆρα, πολυστέφανον, πολύκωμον,
Ῥηξίνοον, ῥαδινόν, ῥικνώδεα, ῥηνοφορῆα,
Σκιρτητήν, σάτυρον, σεμεληγενέτην, Σεμελῆα,
Τερπνόν, ταυρωπόν, τυρρηνολέτην, ταχύμηνιν,
Ὑπνοφόβην, ὑγρόν, ὑμενήϊον, ὑλήεντα,
Φηρομανῆ, φρικτόν, φιλομειδέα, φοιταλιώτην,
Χρυσόκερων, χαρίεντα, χαλίφρονα, χρυσεομίτρην,
Ψυχοπλάνην, ψεύστην, ψοφομηδέα, ψυχοδαϊκτήν,
Ὥριον, ὠμηστήν, ὀρεσίτροφον, ὠρεσίδουπον.

ἐρίβρομον δὲ προσέτι, καὶ ἐριβρεμέτην προσαγορεύουσιν ἢ διὰ τὰς τῶν μεθυόντων κραυγάς, διὸ καὶ Βάκχος ὡς ἀπὸ τοῦ βάζειν λέγεται, προσληφθέντος τοῦ Κ στοιχείου διὰ πλείονα τραχύτητα φωνῆς, ἢ διὰ τὸν βρόμον, ὃν ὁ γλευκάζων οἶνος ποιεῖ πνευματούμενος καὶ ζέων. Σάτυρον δέ, ὡς ἔξαρχον Σατύρων, παρὰ τὸ σάθη σάθυρος καὶ Σάτυρος. τοὺς δὲ Σατύρους

---

3 Θρήικα, θυρσοφόρον F verba transposuit PV 4 ἰραφιώτην F 12 ῥηνοχορῆα PV 18 Ψυχοπλανῆ PV 19 ὠρεσίλοιπον PV 26 σάθη, σάθηρος Etym. M. σάθη, σάθυρος PV quibuscum consentit Zonaras

λέγουσιν εἶναι ποιμένας καὶ χορευτὰς αὐτοῦ, ἄλλοι δὲ θείους τινὰς δαίμονας περὶ τὸν αὐτὸν Διόνυσον. περὶ δὲ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. φαλλὸς ξύλον ἐπίμηκες ἦν, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ κατά τι μυστήριον. Πήγασος δὲ ὁ ἐκ τῶν Ἐλευθήρων (Ἐλευ-
124 θῆραι δὲ πόλις εἰσὶ Βοιωτίας) λαβὼν Διονύσου τὰ σεμνὰ ἀγάλματα, ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀττικοὶ οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν, ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ, νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν, καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δ' ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς, οἳ δὴ ἐπανελθόντες ἔφασαν ἴασιν εἶναι μόνην ταύτην, εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν θεόν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός· ἡδονὴ γὰρ καὶ Ἀφροδίσια. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν καὶ τούτοις ἐγέραιρον τὸν θεόν. μέθη ἐξανίστησι τοιγαροῦν, καὶ ὁ Λάϊος ἐκδοὺς ἑαυτὸν μέθῃ, εἴς τε βακχεῖον πεσὼν ἐφύτευσε παῖδα. ἄλλοι δέ φασιν, ὅτι Ἀσύρης τις ἦν αἰδοῖον ἔχων αἰσχρόν, καὶ οὐχ ὁ Πήγασος, ᾧ τινι αἰδοίῳ ὁμοιοῦσι νῦν οἱ μίμοι δερμάτινον, ὃ καλοῦσι φαλλητάριον. καὶ τοῦτο εἶχον ἐν τοῖς Διονυσίοις, ὃ φοροῦντες ἐν παι-

6 δὲ ὁ om. F 8 σεμνὰ om. F 16 ὑπόμνημα — πάθους post κατεσκεύασαν collocavit F 18 Verba ἡδονὴ — Ἀφροδίσια et infra 21 μέθη ἐξανίστησι sensu carent, melius in F post αἴτιος ὁ θεός legitur ἡδονὴν γὰρ καὶ ἀφροδίσια — μέθη ἐξανίστησι

γνίοις ἑώρταζον. καὶ περὶ μὲν τοῦ Θηβαίου Διονύσου τοσαῦτα. περὶ δὲ τοῦ Ζαγρέως ταυτὶ μόν' εἰρήσθω.

CCLXXIII. Περὶ τῶν κεκομμένων καὶ διεσπασμένων τὸν Διόνυσον.

Περσεφόνη γεννᾷ τὸν Ζαγρέα Διόνυσον ἐκ τοῦ Διὸς συλλαβοῦσα αὐτόν. τοῦτον γεννηθέντα οἱ Τιτᾶνες (δαιμόνιαι δὲ τάξεις αὗται) φθονήσαντες τῷ Διονύσῳ, ὡς ἐκ Διὸς ἔχοντι τὴν γέννησιν, διασπαράττουσιν αὐτόν. ἄλλοι δὲ λέγουσιν, ὅτι καθ' ὑπόθεσιν τῆς Ἥρας διεσπάσθη ὑπὸ τῶν Τιτάνων ὁ Διόνυσος. καὶ περὶ μὲν τῶν διεσπασμένων θεῶν αὕτη ἡ [περὶ τούτων] ἱστορία. περὶ δὲ τῶν περικεκομμένων οὐδεμία τις φαίνεται ἡμῖν ἱστορία ἢ περὶ τῶν Γιγάντων. οὗτοι γὰρ πολεμῆσαι ἔθελον τοῖς θεοῖς, οἱ δὲ θεοὶ ἀντισρατευσάμενοι, ἐπολέμησαν καὶ κατέκοψαν αὐτούς, [ὕστερον δὲ] τοῦ Διὸς καὶ τὸν κεραυνὸν ἐπιπέμψαντος αὐτοῖς καὶ καταφλέξαντος αὐτούς.

CCLXXIV. Περὶ Διοσκούρων.

Διόσκουροι Κάστωρ καὶ Πολυδεύκης υἱοὶ Τυνδάρεω καὶ Λήδας, ἀδελφοὶ δὲ Ἑλένης, ἐν τῇ Λακωνικῇ τραφέντες ἐπιφάνειαν ἔσχον. οἳ ἐπὶ φιλαδελφίᾳ θρυλοῦνται, καθὰ καὶ οἱ Ἀκτορίωνες· οὔτε γὰρ περὶ ἀρχῆς, οὔτε περὶ ἄλλου τινὸς ἤρισαν. μνήμην δὲ αὐτῶν Ζεὺς θέσθαι βουλόμενος τῆς κοινότητος, Διδύ-

CCLXXIII. Nonn. I, 35 CCLXXIV. Eustath. Od. p. 1686

1 ἑόρταζον PV 3 Ζαγραῖον F 7 ὑπόθεσιν F ἐπίθεσιν PV 9 περὶ τούτων seclusi 12 ἔθελον scripsi cum F, θέλοντες PV 14 ὕστερον δὲ cum F expunxi atque in fine αὐτοὺς addidi 19 θρυλλοῦνται PV, sed in P alterum λ manu II adscriptum

125 μους ὀνομάσας, εἰς τὸ αὐτὸ ἀμφοτέρους ἔστησεν ἐν τοῖς ἄστροις· λέγονται δὲ καὶ Διόσκοροι δίχα τοῦ υ, ἐφ' ὧν τὸ ἑτερήμεροι ζώουσιν ἀντὶ τοῦ παρημέραν· ὡς μιᾷ μὲν τεθνάναι ἀμφοτέρους, τῇ ἑτέρᾳ δὲ ζῆν. ἡμισεύθη γὰρ τῷ Πολυδεύκει τὸ τῆς ἀθανασίας ἀΐδιον τῷ πρὸς ἡμέραν θανάτῳ, ἐν ᾗ συγκατακρύπτεται τῷ ἀδελφῷ. οὕτω δὲ καὶ τὸ συνεχὲς τοῦ θανάτου τῷ Κάστορι τῇ ἐφ' ἡμέραν ζωῇ, ὁπηνίκα συναναβαίνεται τῷ ἀδελφῷ. καὶ ταῦτα παρατεθέντα ἓν παρ' ἓν τὸ ἑτερήμερον αὐτοῖς ἐξήρτυσαν. αἰνίττεται δέ, φασίν, ὁ μῦθος ταῦτα, εἰς τοὺς ἐν οὐρανῷ διδύμους, οἷς οἱ αὐτοὶ λέγονται εἶναι Διόσκουροι, οἳ γενόμενοι μὲν κατὰ γῆς δοκοῦσιν οἷον τεθνάναι, ἀνατέλλοντες δὲ ζῆν λέγονται. ἕτεροι δὲ οὐ πάνυ πιθανῶς νοοῦντες τὸ ἑτερήμερον ἐπὶ τοῦ τὸν μὲν τῇδε ζῆν τῇ ἡμέρᾳ, ὡς τοῦ ἑτέρου ἐν νεκροῖς ὄντος, τῇ δὲ ἑτέρᾳ τὸν λοιπόν, ὡς θατέρου τεθνεῶτος, εἰς τὰ δύο κατ' οὐρανὸν ἡμισφαίρια τοὺς Διοσκούρους ὑπονοοῦσιν, ὧν θάτερον μὲν ὑπὲρ γῆς ἀεί ἐστι, θάτερον δὲ ὑπὸ γῆν. ὅπερ ἀνατρέπων ὁ Παραβάτης φησίν, ὡς οὐκ ἔχει λόγον εἰρῆσθαι Διοσκούρους παρ' Ὁμήρῳ τὰ δύο ἡμισφαίρια τοῦ παντός· διὰ γὰρ τὸ ἀνεπαίσθητον τῆς τοῦ φωτισμοῦ φησι παραυξήσεως ἐν ἑκάστῃ ἡμέρᾳ, οὐδὲ ἐπινοῆσαι ῥᾴδιον, πῶς ἐστιν ἑκάτερον αὐτὴν ἑτερήμερον. λέγει δὲ μᾶλλον τοῖς κύκλοις ἐφαρμόζειν τὸ ἑτερήμερον τοῖς τε ἄλλοις, καὶ τοῖς τροπικοῖς. καὶ ταῦτα μὲν κατ' ἀλληγορίαν. ἡ δὲ ἱστορία πολλὰ τοὺς Διοσκούρους σεμνύει, τὸ δὲ ἐξ ᾠοῦ γενέσθαι αὐτοὺς τῶν

---

21 Il. III, 237   22 ἀναπαίσθητον PV   28 σεμνύνει PV

νεωτέρων ἔστι πλάσμα, κείμενον καὶ παρὰ Λυκόφρονι. Ὅμηρος δὲ οὐδὲν τοιοῦτον μυθολογεῖ. Ἔριφος δὲ λόγιος ὢν καὶ αὐτὸς ἀνὴρ χήνεια ληρεῖ ᾠὰ λευκά τε καὶ μεγάλα τὴν Λήδαν τεκεῖν, ἐξ ὧν οἱ καὶ ἐν τῇ Ἰλιάδι κείμενοι Διόσκουροι.

CCLXXV. *Περὶ Δμήτορος.*

Δμήτωρ Κύπρου βασιλεὺς παρ᾽ Ὁμήρῳ. ἀλλὰ πρὸ τούτου Κινύρας, ὥσπερ κεῖται ἐν Ἰλιάδι, ἐβασίλευσε. τούτου δὲ μηκέτι ὄντος, Δμήτωρ δοκεῖ βασιλεῦσαι.

CCLXXVI. *Περὶ τοῦ δουρείου ἵππου.*

Δούρειος ἵππος, ὁ καὶ δουράτειος, ὁ ξύλινος, ὃν Ἐπειὸς κατεσκεύασε, καὶ δι᾽ οὗ τὸ Ἴλιον ἐπορθήθη. φασὶ γάρ, ὡς οἱ Ἀχαιοὶ ἐμβάντες εἰς αὐτὸν κατεπόρθησαν τὴν Τροίαν, τὸν ἀριθμὸν γν΄, τινὲς δέ, ὧν καὶ Στησίχορος, ἑκατόν, ἕτεροι δὲ δώδεκα· Μενέλαον, Διομήδην, Φιλοκτήτην, Μηριόνην, Νεοπτόλεμον, Εὐρύπυλον, Εὐρυδάμαντα, Φείδιππον, Λεοντέα, Μέγητα, 126
Ὀδυσσέα καὶ Εὔμηλον. εἰ δὲ τοῦθ᾽ οὕτως ἔχει, ποῦ ἐστιν Ἄντικλος, οὗ φθάσας ἐμνημόνευσεν ὁ ποιητής; ἰστέον δέ, ὅτι ἡ Τροία τρὶς ἐπορθήθη· πρῶτον διὰ τοὺς ἵππους τοῦ Λαομέδοντος· δεύτερον κατέδραμον ταύτην αἱ Ἀμαζόνες, ὥς πού φησιν Ὅμηρος, ὡς ἐπὶ

CCLXXV. Eustath. Od. p. 1826 CCLXXVI. Eustath. Od. p. 1698. V. Eud. p. 149 et 401 ἰστέον δὲ — ἅπαντας Tzetzes Lyc. 69 Φιλοκτήτης δὲ — ἀνεῖλε Tzetzes Lyc. 64. V. Eud. p. 329 τὸ δ᾽ ἀληθὲς — exit. Palaeph. 17

---

1 Alex. 506 seq. 2 Meineke III, p. 558 6 Od. XVII, 443 7 Il. XI, 20 14 fr. 24 B 17 Εὔμυλον P corr. V 21 ἐν τῇ γάμμα add. F

Πριάμου, „ὅτ' ἦλθον Ἀμαζόνες ἀντιάνειραι"· τρίτον δὲ δι' Ἑλένην πορθηθεῖσα τελείως ἠφανίσθη. αὐτὴν δὲ τὴν Τροίαν ἔλεγον, ὡς ἡ ἱστορία, μὴ δύνασθαι Ἕλληνας πορθῆσαι, εἰ μὴ τὰ ὀστᾶ τοῦ Πέλοπος ἐνέγκωσι καὶ τὸν υἱὸν Ἀχιλλέως Νεοπτόλεμον καὶ τὸν Φιλοκτήτην· διὸ καὶ ἤγαγον ἅπαντας. Φιλοκτήτης δὲ ἀντιστάντα αὐτῷ τὸν Ἀλέξανδρον πρὸ τοξείας, τοξεύσας αὐτόν, πρῶτον μὲν κατὰ λαιὰν χεῖρα, εἶτα τὸν δεξιὸν αὐτοῦ ὀφθαλμὸν ἐκβαλών, καὶ τρίτον τοὺς πόδας βαλὼν ἀνεῖλε. τὸ δ' ἀληθὲς περὶ τοῦ δουρείου ἵππου οὕτως ἔχει. ἵππον κατεσκεύασαν ξύλινον, πρὸς μέγεθος μετεωρότερον τῶν πυλῶν, ὅπως μὴ ἑλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχῃ τῷ μεγέθει. οἱ δὲ λοχαγοὶ ἐκάθηντο ἐν κοίλῳ χωρίῳ περὶ τὴν πόλιν, ὃ Ἀργείων λόχος ἐκαλεῖτο, καὶ μέχρι τοῦ νῦν σώζεται τοὔνομα. αὐτόμολος δὲ ἐλθὼν ὁ Σίνων εἰς Ἴλιον φράζει τοῖς Ἰλιεῦσιν εἰσαγαγεῖν τὸν ἵππον, προσθεὶς καὶ τὸ μὴ εἰσελθεῖν τοὺς Ἕλληνας, οὗ ὑπακούσαντες οἱ Τρῶες καὶ τὰς πύλας καθελόντες εἰσάγουσι τὸν ἵππον. εὐωχουμένων δὲ αὐτῶν, ἐπεισέρχονται οἱ Ἕλληνες, καὶ οὕτως ἑάλω ἡ Τροία.

CCLXXVII. *Περὶ τῆς δρυὸς τῆς Δωδωναίας καὶ τοῦ λέβητος.*

Δωδώνη πόλις Μολοσσίδος, ἐν τῇ παλαιᾷ Ἠπείρῳ κειμένη, ὡς ὁ τῶν Ἐθνικῶν καταγραφεὺς δηλοῖ, ὃς οὐδὲ ἀρέσκεται τοῖς εἰποῦσιν αὐτὴν Θεσπρωτικὴν

CCLXXVII. Steph. Byz. v. *Δωδώνη*. V. Eud. p. 108 et 200

---

1 Versum ex Il. III, 189 restitui, *τ' ἦλθον Ἀμ. ἀντ.* PV 15 *σώζεται τοὔνομα* om. F 17 *εἰσαγεῖν* PV

καὶ Θετταλικήν· καὶ μὲν ἕτεροι ἐν Ὑπερβορέῳ τῆς Θεσπρωτίας αὐτὴν τιθέασιν. ἔνθα ἦν ἱερὸν τοῦ Δωδωναίου Διός, ἐν ᾧ ἵστατο δρῦς ἱερὰ αὐτοῦ. καὶ ἐν ταύτῃ ἦν μαντεῖον, γυναικῶν οὐσῶν προφητίδων, ἐν ᾗ καὶ ὁ Ζεὺς ἐλέγετο ἐπισκιάζειν καὶ μαντείαν διδόναι τοῖς χρήζουσι μαντείας. ἡ δὲ αἰτία τῆς ἀφιερώσεώς ἐστιν αὕτη· Δία, ἤτοι τὸν ἀέρα, ζωῆς εἶναι αἴτιον. τὴν δρῦν πάλαι ποτὲ χρηματίσαι φασίν, ὅτε οἱ ἄνθρωποι δρυκάρποις ἀπετρέφοντο· διὸ καὶ φηγὸς καὶ δρῦς λέγεται, παρὰ τὸ φαγεῖν. διὰ τοίνυν ταῦτα τῷ Διῒ τὴν δρῦν ἀνιέρωσαν, τὸ ζωοτρόφον φυτὸν τῷ ζωογόνῳ. ἦν δὲ καὶ πρὸ Τροίας ἱερὰ τῷ Διΐ. εἰσίεσαν τοιγαροῦν οἱ μαντευόμενοι παρὰ τὴν δρῦν, καὶ ἐκινεῖτο ἡ δρῦς δῆθεν, καὶ λοιπὸν ἐφθέγγοντο 127 *αἱ γυναῖκες λέγουσαι, ὅτι τάδε λέγει ὁ Ζεύς. ταύτην τὴν δρῦν Σοφοκλῆς ἐν Τραχινίαις πολύγλωσσόν φησιν, ὡς πολύφωνον, οἷα καὶ πολλοῖς μαντευομένην. ἕτεροι δὲ ἀλληγοροῦντες τὴν Δωδώνην τὴν γῆν φασι, παρὰ τὸ δῶ δώσω, ὡς δότειραν καὶ ἀνησίδωρον καὶ ξείδωρον. οἱ δὲ αὐτοὶ φυσιολογικῶς ἅμα καὶ ἀνατιθετικῶς φασί· Ζεῦ ἄνα Δωδωναῖε· ἐκεῖνο δὲ διὰ τὸ ἄνα. καὶ ἄλλως· Δωδωναῖος Ζεύς, Ἰλιάδος Π΄· „Ζεῦ ἄνα Δωδωναῖε,“ ἐν χωρίῳ τῶν Ὑπερβορέων τῇ Δωδώνῃ τιμώμενε, ἐν Θεσπρωτίᾳ. Δευκαλίων γὰρ μετὰ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμὸν εἰς τὴν Ἤπειρον ἐμαντεύετο ἐν τῇ δρυΐ. πελιάδος δὲ αὐτῷ χρησμὸν δούσης, κατοικίζει τὸν τόπον, συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ. καὶ ἀπὸ τοῦ*

---

16 Trach. 1058 *Τραχηνίαις* P corr. V   22 XVI, 233

Διὸς καὶ Δωδώνης, μιᾶς τῶν Ὠκεανίδων, Δωδώνην τὴν χώραν προσηγόρευσεν, ὡς Θρασύβουλος καὶ Ἀκεστόδωρος ἱστοροῦσι. τὸ δὲ περὶ τοῦ λέβητος τοιοῦτόν ἐστιν. ἐν τῇ Δωδώνῃ ἦν καὶ τὰ περὶ τοῦ λέβητος, ὅπου ἐν ὕψει τινὶ ἵστατο ἀνδριὰς βαστάζων ῥάβδον, καὶ παρ' αὐτὸν λέβης τις ἵστατο. οἱ οὖν μαντευόμενοι ἤρχοντο παρὰ τὸν τόπον τοῦτον καὶ ηὔχοντο. ὅτε οὖν ἤθελε χρησμῳδῆσαι αὐτοῖς ὁ θεός, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ ῥάβδῳ τὸν λέβητα, εἶτα ἤχει ὁ λέβης, καὶ ἐκ τοῦ λέβητος ἦχός τις ἀπετελεῖτο ἐναρμόνιος. καὶ ἐνεφοροῦντο αἱ προφήτιδες καὶ ἔλεγον, ἃ αὐταῖς ὁ δαίμων ἐνέβαλλεν.

CCLXXVIII. Περὶ Δωρίππης.

Δωρίππη ἡ μήτηρ τῶν Οἰνοτρόπων καὶ Ἀνίου γυνή. ὠνόμασται δὲ διὰ τὸ ὑπὸ λῃστῶν αὐτὴν ληφθεῖσαν ἀπὸ Θρᾴκης, δοθῆναι Ἀνίῳ τῷ ἱερεῖ τοῦ Δηλίου Ἀπόλλωνος, ἀντὶ τοῦ ἵππου δῶρον.

Ἱστορικοί.

CCLXXIX. Περὶ Δαμάστου τοῦ χρονογράφου.

Δαμάστης Σιγειεύς, σύγχρονος Ἡροδότου, χρονογράφος. γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γενομένων, περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσα-

CCLXXVIII. Etym. M. p. 293, 36 CCLXXIX. Hesych. (Suid.)

---

8 χρησμοδῆσαι V 13 Ἀνίου γυνὴ corr. Meineke, Anal. Al. p. 17 not. 1 Οἰνείου γυνή PV. Haec verba om. F Post 16 titulus ἱστορικοί accessit ex P om. V 17 ἀπὸ Σιγείου τῆς Τρωάδος, Διωξίππου υἱός, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν add. S

μένων βιβλία δύο, ἐθνῶν κατάλογον καὶ πόλεων, περὶ ποιητῶν καὶ σοφιστῶν, καὶ ἄλλα. γέγονε δὲ Ἑλλανίκου μαθητής.

CCLXXX. *Περὶ Δαμοκρίτου.* 128

Δαμόκριτος ἱστορικός. ἔγραψε τακτικὰ ἐν δυσὶ βιβλίοις, περὶ Ἰουδαίων, Αἰθιοπικὴν ἱστορίαν καὶ ἄλλα.

CCLXXXI. *Περὶ Δημητρίου τοῦ Ἰλιέως.*

Δημήτριος Ἰλιεὺς ἱστορικός. ἔγραψε Τρωϊκὰ ἐν βιβλίοις εἴκοσι.

CCLXXXII. *Περὶ Δαμοστράτου.*

Δαμόστρατος ἱστορικός. γέγραφεν Ἁλιευτικὰ ἐν βιβλίοις εἴκοσι, καὶ περὶ τῆς ἐνύδρου μαντικῆς, καὶ ἕτερα σύμμικτα ἐχόμενα ἱστορίας.

CCLXXXIII. *Περὶ Διδύμου.*

Δίδυμος Ἀλεξανδρεύς. ἔγραψε καὶ γεωργικὰ ἐν βιβλίοις ιε´.

CCLXXXIV. *Περὶ Δίκτυος.*

Δίκτυς Κρὴς Κνώσιος, ὀπαδὸς Ἰδομενέως. οὗτος συνέθηκεν ἐφημερίδα τοῦ Τρωϊκοῦ πολέμου, παρών,

CCLXXX. Hesych. (Suid.) CCLXXXI. Hesych.? CCLXXXII—CCLXXXIV. Hesych. (Suid.)

---

2 *συχνὰ* add. S 5 *Αἰθιοπικὴν ἱστορίαν καὶ ἄλλα* om. S V. Bernhard. praef. p. XXXI 13 In multis discrepat S *Δίκτυς ἱστορικὸς ἔγραψεν ἐφημερίδα (ἔστι δὲ τὰ μεθ' Ὅμηρον καταλογάδην ἐν βιβλίοις θ´) Ἰταλικά, Τρωικοῦ διακόσμου. οὗτος ἔγραψε τὰ περὶ τῆς ἁρπαγῆς Ἑλένης καὶ περὶ Μενελάου καὶ πάσης Ἰλιακῆς ὑποθέσεως. ὅτι ἐπὶ Κλαυδίου τῆς Κρήτης ὑπὸ σεισμοῦ κατενεχθείσης καὶ πολλῶν τάφων ἀνεωχθέντων, εὑρέδη ἐν ἑνὶ τούτων τὸ σύνταγμα τῆς ἱστορίας Δίκτυος, τὸν Τρωι-*

ὥς φασιν, ἐν βιβλίοις ἐννέα, γράμμασι Φοινίκων, οἷς τότε πᾶσα ἐχρῆτο ἡ Ἑλλάς· διηγεῖται δὲ ἀκριβῶς, ὅσα Ἕλλησι καὶ βαρβάροις ἐπράχθη. καὶ τὰ μὲν παρὰ τοῦ Ὀδυσσέως ἤκουσεν, ὅσα ἐπράχθη ἐκείνου ἀπόντος, τὰ δὲ παρών, ὁρῶν καὶ ἀκούων, συνέγραψε. τούτου ἱστορία εὑρέθη ἐπὶ Κλαυδίου, οἱ δὲ ἐπὶ Νέρωνος, βασιλέως Ῥωμαίων, τῆς Κρήτης ὑπὸ σεισμοῦ κατενεχθείσης, καὶ πολλῶν μνημείων ἀνεωχθέντων. ὧν ἐν ἑνὶ εὕρητο γεγραμμένον βιβλίον γράμμασι Φοινίκων, καὶ μεθερμηνεύθη ἐν τῇ Ἀττικῇ γλώττῃ, πεμφθὲν τῷ βασιλεῖ, οὗ τῷ προστάγματι Σεπτίμιός τις Ῥωμαῖος, σοφὸς ἑκατέραν τὴν γλῶτταν, εἰς τὴν Ῥωμαϊκὴν φωνὴν μετήνεγκεν.

CCLXXXV. Περὶ Διοδώρου.

Διόδωρος Σικελιώτης ἱστορικός. ἔγραψε βιβλιοθήκην ἐπὶ Αὐγούστου Καίσαρος· ἔστι δὲ ἱστορία Ῥωμαϊκή τε καὶ ποικίλη ἐν βιβλίοις τεσσαράκοντα.

CCLXXXVI. Περὶ Διονυσίου τοῦ Μιλησίου.

Διονύσιος Μιλήσιος ἱστορικός. συνέθηκε τὰ μετὰ
129 Δαρεῖον ἐν βιβλίοις πέντε, περιήγησιν οἰκουμένης,
Περσικὰ Ἰάδι διαλέκτῳ, Τρωϊκῶν βιβλία τρία, μυθικά, κύκλον ἱστορικὸν ἐν βιβλίοις ἑπτά.

CCLXXXV et CCLXXXVI. Hesych. (Suid.)

κὸν περιέχον πόλεμον, ὅπερ λαβὼν Κλαύδιος ἐξέδωκε γράφεσθαι. Cum Eudocia conspirat Cod. Par. 2600 apud E. Miller, Périple etc. p. 311 8 ἐν addidi ex S om. PV 11 Sic correxi; Σεπτημῖνος PV Σεπτιμῖνος Par. 2600 15 καὶ ἐπάνω add. S supra, sicut mos eius est, incipiens γέγονε δὲ ἐπὶ τῶν χρόνων

CCLXXXVII. *Περὶ Διονυσίου τοῦ Ῥοδίου.*

Διονύσιος Μουσωνίου, Ῥόδιος ἢ Σάμιος, ἱστορικός. γέγραφεν ἱστορίας τοπικὰς βιβλία ἕξ, οἰκουμένης περιήγησιν, ἱστορίαν παιδευτικῆς βιβλία δέκα.

CCLXXXVIII. *Περὶ Δίωνος.*

Δίων ὁ Κάσσιος χρηματίσας, ὁ ἐπίκλην Κοκκήϊος, (οἱ δὲ Κοκκηϊανός), Νικαεύς, ἱστορικός, ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. συνέθηκε Ῥωμαϊκὴν ἱστορίαν ἐν βιβλίοις ὀγδοήκοντα (διαιροῦνται δὲ κατὰ δεκάδας) [ὥσπερ καὶ τοῦ Παταβινοῦ Λιβίου] Περσικά, Γετικά, Ἐνόδια, τὰ κατὰ Τραϊανόν, βίον Ἀρριανοῦ τοῦ φιλοσόφου.

CCLXXXIX. *Περὶ Δώριδος.*

Δῶρις ἱστορικός. ἔγραψεν ἱστορίαν Λιβυκὴν καὶ Περσικήν.

Ἰατροί.

CCXC. *Περὶ Δεξίππου.*

Δέξιππος, Κῷος ἰατρός, Ἱπποκράτου μαθητής. ἔγραψεν ἰατρικὸν βιβλίον ἕν, καὶ περὶ προγνώσεων δύο.

CCLXXXVII et CCLXXXVIII. Hesych. (Suid.) CCLXXXIX. Hesych.? CCXC. Hesych. (Suid.)

2 *ἦν δὲ καὶ ἱερεὺς τοῦ ἐκεῖσε ἱεροῦ τοῦ ἡλίου* add. S 4 *Κάσσιος* et *Κοκκήϊος* scripsi cum S, *Κάσιος* et *Κοκήϊος* PV 5 *γεγονὼς ἐπὶ τῶν χρόνων*, ut solet, S 8 Verba *ὥσπερ — Λιβίου* a lectore aliquo erudito margini adiecta fuisse videntur Post 12 titulum *Ἰατροὶ* addidi ex P, om. V 13 *ὃς μεταπεμφθεὶς ὑπὸ Ἑκατόμνου, τοῦ Καρῶν βασιλέως, ἰάσασθαι αὐτοῦ τοὺς παῖδας ἀπογνωσθέντας Μαυσωλὸν καὶ Πιξώδαρον, ἐπὶ ὑποσχέσει ἰάσατο τοῦ παῦσαι τὸν πρὸς Κᾶρας τότε αὐτῷ ἐνεστῶτα πόλεμον* add. S

CCXCI. *Περὶ Δημοκήδους.*

Δημοκήδης ἰατρὸς Κροτωνιάτης. ἔγραψεν ἰατρικὰ βιβλία δέκα.

CCXCII. *Περὶ Διοσκορίδου.*

Διοσκορίδης Ἀναξαρβεὺς ἰατρὸς βοτανικός, ὁ ἐπικληθεὶς Φακᾶς, διὰ τὸ ἐπὶ τῆς ὄψεως ἔχειν πολλοὺς φακούς. συνῆν Κλεοπάτρᾳ τῇ βασιλίσσῃ ἐπὶ Ἀντωνίου. γέγραφε βιβλία κδ΄, τὰ πάντα ἰατρικὰ περιβόητα.

CCXCIII. *Περὶ Δράκοντος.*

Δράκων, υἱϊδοὺς Ἱπποκράτους, τοῦ διασημοτάτου ἰατροῦ, ἰατρὸς καὶ αὐτός. ὃς Ῥωξάνην ἰάτρευσε συνοικοῦσαν Ἀλεξάνδρῳ, τῷ Μακεδόνων βασιλεῖ.

130 *Ῥήτορες.*

CCXCIV. *Περὶ Δαμιανοῦ τοῦ σοφιστοῦ.*

Δαμιανὸς Ἐφέσιος σοφιστής, ἀκουστὴς Ἀριστείδου καὶ Ἀδριανοῦ. οὗτος νωθρὸς ὑφ᾽ ἡλικίας δοκῶν νεάζουσαν ὁρμὴν ἐν ταῖς σπουδαῖς ἀνεκτᾶτο, διὸ καὶ δικανικοῦ μὲν σοφιστικώτερος, σοφιστικοῦ δὲ δικανικώτερος ὑπῆρχεν. τὸ δὲ τοῦ ἀνδρὸς ἐν τῇ ἀγορᾷ ἦθος οὐ πᾶν ἀσπαζομένου κέρδος οὐδὲ ἐπαινοῦντος τὸ ἐξ ἅπαντος λαμβάνειν ἦν· ἀλλ᾽ οὓς αἴσθοιτο ἀπο-

CCXCI—CCXCIII. Hesych. (Suid.) CCXIV. Philostrat. II, 23

---

1 *Κρωτωνιάτης* PV Plura dat S, qui praeterea in fine *ἰατρικὸν βιβλίον* affert 3 *Ἀναξαρβεὺς* PV *βοτανικὸς* om. S 4 *ἔχειν πολλοὺς* et *τῇ βασιλίσσῃ* om. S 7 *διασήμου* S, qui mox pergit *ἀπὸ Θεσσαλοῦ, πατὴρ δὲ Ἱπποκράτους, οὗ πάλιν γέγονε Δράκων* 8 *Ῥοξάνην ἰάτρευσεν* PV 9 *βασιλεῖ* om. S Post 9 titulum *Ῥήτορες* addidi ex P om. V

ϱοῦντας, προῖκα τούτοις τὴν ἑαυτοῦ φωνὴν διδόντος. παραπλήσιον δὲ ἦν κἀν τοῖς σοφιστικοῖς τῶν λόγων· οὓς γὰρ αἴσθοιτο ἀποροῦντας ἐξ ὑπερορίων ἐθνῶν ἥκοντας, ἠφίει τούτοις τὸν μισθὸν τῆς ἀκροάσεως, μὴ λάθοιεν δαπανώμενοι. προϊὼν δ' ἐς γῆρας μεθῆκε τὴν σπουδήν, τὸ σῶμα καταλυθεὶς μᾶλλον ἢ τὴν γνώμην, ἔτη βιοὺς ἑβδομήκοντα.

CCXCV. Περὶ Δεξίππου.

Δέξιππος Δεξίππου ὁ Ἑρέννιος, Ἀθηναῖος ῥήτωρ. γέγονεν ἐπὶ Βαλεριανοῦ καὶ Γαλιήνου καὶ Κλαυδίου δευτέρου καὶ Αὐρηλιανοῦ.

CCXCVI. Περὶ Δεινάρχου.

Δείναρχος Κορίνθιος ῥήτωρ, εἷς τῶν μετὰ Δημοσθένους ἐγκριθέντων. συνέθηκε λόγους δικανικούς, ὧν οἱ μέν εἰσι δημόσιοι, οἱ δὲ ἰδιωτικοί, ἑξήκοντα πρὸς τοῖς ἑκατόν.

CCXCVII. Περὶ Διονυσίου τοῦ Μιλησίου.

Διονύσιος ὁ Μιλήσιος σοφιστὴς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ὑφ' οὗ καὶ σατράπης ἀπεφήνατο οὐκ ἀφανῶν ἐθνῶν. οὗτος Ἰσαίου ἀκροατὴς γενόμενος ἀν-

CCXCV et CCXCVI. Hesych. (Suid.) CCXCVII. Philostrat. I, 22

2 κἂν PV 3 καὶ ante ἐθνῶν exhibent PV 8 χρηματίσας add. S 9 Βαλλεριανοῦ PV Βαλεριανοῦ S, qui in fine vitae add. τῶν βασιλέων Ῥωμαίων 12 S add. υἱὸς τίνος ἐστὶν οὐχ ἱστόρηται (quibus de verbis cf. quae argute exposuit D. Volkmann. Quaest. nov. p. XIII)· γράψας κατὰ μέν τινας λόγους τοὺς πάντας ρξ´, κατὰ δὲ τὸ ἀληθέστερον μόνους ξ´, et in fine om. ἑξήκοντα — ἑκατόν, pergens ἐτελεύτησε δὲ οὗτος ἐπιμελητὴς Πελοποννήσου καταστὰς ὑπὸ Ἀντιπάτρου, μετὰ τὸ τελευτῆσαι Ἀντίπατρον Πολυσπέρχοντος αὐτῷ ἐπιβουλεύσαντος

δρὸς κατὰ φύσιν ἑρμηνεύοντος, τουτὶ μὲν ἱκανὸς ἀπεμάξατο, καὶ πρὸς τούτῳ τὴν εὐταξίαν τῶν νοημάτων· καὶ γὰρ δὴ καὶ τοῦτο Ἰσαίου. μελιχρότατος δὲ περὶ τὰς ἐννοίας γενόμενος οὐκ ἐμέθυε περὶ τὰς ἡδονάς, ὥσπερ ἔνιοι τῶν σοφιστῶν, ἀλλ' ἐταμιεύετο λέγων πρὸς τοὺς γνωρίμους, ὅτι χρὴ τοῦ μέλιτος ἄκρῳ δακτύλῳ, ἀλλὰ μὴ κοίλῃ χειρὶ γένεσθαι, ὡς ἐν ἅπασι μὲν τοῖς εἰρημένοις δεδήλωται τῷ Διονυσίῳ, λογικοῖς τε καὶ νομικοῖς καὶ ἠθικοῖς ἀγῶσι, μάλιστα δ' ἐν τῷ περὶ Χαιρωνείᾳ θρήνῳ. διεξιὼν γὰρ τὸν Δημοσθένην, τὸν μετὰ Χαιρώνειαν [θρῆνον] προσαγαγόντα τῇ βουλῇ ἑαυτὸν ἐς τήνδε τὴν μονῳδίαν τοῦ λόγου ἐτελεύτησεν· „ὦ Χαιρώνεια, πονηρὸν χωρίον". καὶ πάλιν· „αὐτο-
131 μολήσασα πρὸς βαρβάρους Βοιωτία, στενάξατε οἱ κατὰ γῆς ἥρωες, ἐγγὺς Πλαταιῶν νενικήμεθα."

CCXCVIII. *Περὶ Δημάδου.*

Δημάδης Ἀθηναῖος ῥήτωρ. ἔγραψεν ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν τῆς Λητοῦς παίδων.

Ἔστι δὲ καὶ ἕτερος Δημάδης Λακιάδης Ἀθηναῖος ῥήτωρ.

CCXCVIII. Hesych. (Suid.)

---

3 *μελιχρώτατος* PV 10 *Χερωνείᾳ* ubique PV 11 *θρῆνον*, quod PV praebent, ex glossemate ortum videtur 16 *καὶ δημαγωγὸς πανοῦργος καὶ εὐτυχής, πρότερον ναύτης ὤν* et infra *οὗτος κατέλυσε τὰ δικαστήρια καὶ τοὺς ῥητορικοὺς ἀγῶνας, τελευτᾷ δὲ ἐπὶ Ἀντιπάτρου* add. S 20 *τοῦτον εἰσεποίησεν ὁ πρότερος Δημάδης ὁ καὶ δημαγωγὸς ἀπὸ αὐλητρίδος τεχθέντα. πατὴρ δὲ καὶ αὐτὸς Δημέου τοῦ ῥήτορος γέγονε καὶ ἀπώλετο ῥιφεὶς εἰς τὴν Ἀμφιπόλεως λίμνην ὑπὸ Κασάνδρου τοῦ Ἀντιπάτρου πατρὸς διαδόχου· . . . . μετ' Ἀντίπατρον βασιλεύσας Θήβας ἀνέστησε* add. S

CCXCIX. *Περὶ Διονυσίου τοῦ Ἁλικαρνασσέως.*

Διονύσιος Ἁλικαρνασσεὺς ἐπὶ Ἀδριανοῦ, σοφιστὴς καὶ μουσικὸς κληθείς. ἔγραψε ῥυθμικῶν ὑπομνημάτων βιβλία εἰκοσιτέσσαρα, μουσικῆς ἱστορίας βιβλία λϛʹ, μουσικῆς παιδείας ἢ διατριβῶν βιβλία κβʹ, τίνα μουσικῶς εἴρηται ἐν τῇ Πλάτωνος πολιτείᾳ.

CCC. *Περὶ Δίωνος τοῦ Προυσαίου.*

Δίων Προυσαῖος σοφιστὴς ἐπὶ Δομετιανοῦ. οὗτος φυτεύων καὶ σκάπτων καὶ ἐπαντλῶν βαλανείοις καὶ κήποις καὶ πολλὰ τοιαῦτα ὑπὲρ τροφῆς ἐργαζόμενος, οὐδὲ τοῦ σπουδάζειν ἠμέλει, ἀλλ' ἀπὸ δυοῖν βιβλίοιν ἑαυτὸν συνεῖχε· ταῦτα δὲ ἦν, ὅ τε Φαίδων τοῦ Πλάτωνος καὶ Δημοσθένους ὁ κατὰ τῆς πρεσβείας.

Ποιηταί.

CCCI. *Περὶ Δεινολόχου τοῦ κωμικοῦ.*

Δεινόλοχος Συρακούσιος ἢ Ἀκραγαντῖνος, κωμικός. ἐδίδαξε δράματα δεκατέσσαρα Δωρίδι διαλέκτῳ.

CCCII. *Περὶ Δαμοξένου.*

Δαμόξενος Ἀθηναῖος κωμικός.

CCXCIX. Hesych. (Suid.) CCC. Philostrat. I, 7 CCCI—CCCII. Hesych. (Suid.)

2 Post *κληθεὶς* add. S *διὰ τὸ πλεῖστον ἀσκηθῆναι τὰ τῆς μουσικῆς*, qua de re cf. Untersuch. p. 69 not. 2 4 S uberius rem tractat: *ἐν δὲ τούτοις αὐλητῶν καὶ κιθαρῳδῶν καὶ ποιητῶν παντοίων μέμνηται* 5 *βιβλία εʹ* add. S 10 *βιβλίων* PV 13 Pergit S *ἦν ἐπὶ τῆς ογʹ Ὀλυμπιάδος, υἱὸς Ἐπιχάρμου, ὡς δέ τινες, μαθητής* 14 *τῶν δραμάτων αὐτοῦ Σύντροφοι, ὡς Ἀθήναιος λέγει ἐν γʹ Δειπνοσοφιστῶν, καὶ Ἑαυτὸν πενθῶν, ὡς πάλιν ὁ αὐτὸς ἐν τῷ ιαʹ* add. S

CCCIII. *Περὶ Δικαιογένους.*

Δικαιογένης τραγῳδίας καὶ διθυράμβους ἔγραψεν.

132 CCCIV. *Περὶ Διογένους.*

Διογένης ὁ καὶ Οἰνόμαος, Ἀθηναῖος τραγικός. δράματα αὐτοῦ φέρεται Ἀχιλλεύς, Ἑλένη, Ἡρακλῆς, Θυέστης, Μήδεια, Οἰδίπους, Χρύσιππος, Σεμέλη.

CCCV. *Περὶ Διοκλέους.*

Διοκλῆς Ἀθηναῖος, ἢ Φλιάσιος, ἀρχαῖος κωμικός, σύγχρονος Σαννυρίωνι καὶ Φιλυλλίῳ. δράματα αὐτοῦ Θάλαττα, Μέλιττα, Ὄνειροι, Βάκχαι, Θυέστης.

CCCVI. *Περὶ Διονυσίου τοῦ Μιτυληναίου.*

Διονύσιος Μιτυληναῖος ἐποποιός. συνέθηκε τὴν Διονύσου καὶ Ἀθηνᾶς στρατείαν, Ἀργοναυτικὰ ἐν βιβλίοις ἕξ.

CCCVII. *Περὶ Διονυσίου τοῦ Βυζαντίου.*

Διονύσιος Βυζάντιος ἐποποιός. ἔγραψε περιήγησιν τοῦ ἐν τῷ Βοσπόρῳ ἀνάπλου, περὶ θρήνων (ἔστι δὲ ποίημα μεστὸν ἐπικηδείων).

CCCIII—CCCVII. Hesych. (Suid.)

---

2 ἢ S ὁ *καὶ* PV *γέγονεν ἐπὶ τῆς τῶν λ' καταλύσεως* add. S 6 *Φιλλολίῳ* PV 7 *Ὄνειροι* sumpsi ex S *Ὄνειρα* PV *Θυέστης β. τοῦτον δέ φασιν εὑρεῖν καὶ τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν, ἐν ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν ξυληφίῳ. τὸ δὲ Θάλαττα ἑταίρας ὄνομά ἐστιν, ὡς Ἀθήναιός φησιν* add. S 8 *οὗτος ἐκλήθη σκυτοβραχίων καὶ σκυτεύς* et infra *ταῦτα δέ ἐστι πεζά. μυθικὰ πρὸς Παρμένοντα* add. S, idem *Ἀργοναῦται* pro *Ἀργοναυτικά*, quod praebent PV 13 Verba Hesychii Milesii *ὑπολαμβάνω, ὅτι Διονύσιος ὁ περιηγητὴς Βυζάντιος ἦν διὰ τὸν ποταμὸν Ῥήβαν*, quamquam Suidae libri ad calcem vitae Dionysii Musonii (Eud. CCLXXXVII) exhibent, monente Küstero Bekkerus addidit

CCCVIII. *Περὶ Διονυσίου τοῦ Κορινθίου.*

Διονύσιος Κορίνθιος ἐποποιός. ἔγραψεν ὑποθήκας, Αἴτια ἐν βιβλίοις τρισί, μετεωρολογούμενα, καὶ καταλογάδην ὑπόμνηνα εἰς Ἡσίοδον, οἰκουμένης καὶ αὐτὸς περιήγησιν δι' ἐπῶν.

CCCIX. *Περὶ Διωξίππου.*

Διώξιππος Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ Ἀντιπορνοβοσκός, Φιλάργυρος, Ἱστοριογράφος, Διαδικαζόμενοι.

Γραμματικοί.

CCCX. *Περὶ Δαφίδου τοῦ γραμματικοῦ.*

Δαφίδας Τελμισσεύς γραμματικός. γέγραψε καὶ περὶ Ὁμήρου, ὅτι ἐψεύσατο· Ἀθηναῖοι γὰρ οὐκ ἐστράτευσαν ἐπὶ Ἴλιον.

CCCXI. *Περὶ Δημητρίου τοῦ Ἰξίονος.*

Δημήτριος ὁ ἐπίκλην Ἰξίων, γραμματικὸς Ἀτραμυττηνός, ἐπὶ Αὐγούστου Καίσαρος. ἔγραψε περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, καὶ ἄλλα περὶ ἀντωνυμιῶν, 133
εἰς Ὅμηρον καὶ Ἡσίοδον ἐξήγησιν.

CCCVIII. Hesych. (Suid.) CCCIX. Hesych. (Suid). CCCX—CCCXI. Hesych. (Suid.)

---

4 Hic quoque verba ab S addita *ταῦτα δὲ εὗρον καὶ ἐν Διονυσίῳ τῷ τὰ Λιθιακὰ γράψαντι· πότερος οὖν αὐτῶν οὐκ οἶδα* vix ipsi Suidae debentur. De Violarii articulo cf. D. Volkmanni Quaest. nov. p. VI. 5 *Δέξιππος* inepte PV itaque errasse me fateor Unters. p. 49 8 *Τελμισεὺς* S 10 Plura addit S 12 Haec quoque plenius in S leguntur

CCCXII. Περὶ Διδύμων τῶν γραμματικῶν.

Δίδυμοι τέσσαρες ἐγένοντο γραμματικοί, ὧν ὁ πρῶτος, Διδύμου ταριχοπούλου υἱός, Ἀριστάρχειος γραμματικὸς Ἀλεξανδρεύς, ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος, Χαλκέντερος κληθεὶς διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν. φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια πεντακόσια βιβλία.

Ὁ δεύτερος Ἀλεξανδρεὺς καὶ αὐτός, ὃς καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ. ἔγραψε πιθανά, περὶ ὀρθογραφίας καὶ ἄλλα.

Ὁ τρίτος, ὁ τοῦ Ἡρακλείδου ἐπὶ Νέρωνος, οὐ μόνον γραμματικός, ἀλλὰ καὶ ἐς τὸ ἄκρον μουσικὸς καὶ πρὸς μέλη λίαν ἐπιτήδειος.

Ὁ τέταρτος, ὁ καὶ Κλαύδιος ὀνομαζόμενος, ἔγραψε περὶ τῶν ἡμαρτημένων παρὰ τὴν ἀναλογίαν Θουκυδίδῃ, περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας, ἐπιτομὴν τῶν Ἡρακλέωνος καὶ ἄλλα.

CCCXIII. Περὶ Δικαιάρχου.

Δικαίαρχος Λακεδαιμόνιος γραμματικός, ἀκροατὴς Ἀριστάρχου.

CCCXIV. Περὶ Διογενειανοῦ τοῦ γραμματικοῦ.

Διογενειανὸς Ἡρακλείας Πόντου, γραμματικὸς

CCCXII. Quattuor vitae Hesych. (Suid.) CCCXIII et CCCXIV. Hesych. (Suid.)

---

2 Ταριχοπούλου perperam PV 4 καὶ ἕως Αὐγούστου add. S 9 πλεῖστα καὶ ἄριστα add. S 10 παρὰ Νέρωνι καὶ ἐχρηματίσατο et mox μουσικός τε ἦν λίαν καὶ πρὸς μέλη ἐπιτήδειος S 13 ὁ Κλαύδιος χρηματίσας S 16 τινά add. S 18 Ἀριστοτέλους mavult Nicolai Lit. Gr. II, p. 267 19 γεγονὼς καὶ

ἐπὶ Ἀδριανοῦ, ἢ ἐκ τῆς Ἀλβάκης Ἡρακλείας τῆς ἐν Καρίᾳ κατὰ Λυσίμαχον. βιβλία αὐτοῦ φέρονται λέξεις παντοδαπαὶ κατὰ στοιχεῖον ἐν βιβλίοις πέντε (ἐπιτομὴ τῶν Παμφίλου λέξεων βιβλίων πέντε καὶ ἐνενήκοντα καὶ τῶν Ζωπυρίωνος), ἐπιγραμμάτων ἀνθολόγιον, περὶ ποταμῶν, λιμνῶν, κρημνῶν, ὀρῶν, ἀκρωρειῶν, περὶ ποταμῶν κατὰ στοιχεῖον ἐπίτομον ἀναγραφήν, συναγωγὴν καὶ πίνακα τῶν ἐν πάσῃ τῇ γῇ πόλεων.

CCCXV. *Περὶ Διονυσίου τοῦ γραμματικοῦ.*

Διονύσιος Ἀλεξανδρεύς, ὁ Γλαύκου υἱός, γραμματικός, ἐπὶ Νέρωνος.

CCCXVI. *Περὶ Δράκοντος τοῦ γραμματικοῦ.*

Δράκων Στρατονικεὺς γραμματικός. γέγραφε τεχνικά, ὀρθογραφίαν, περὶ τῶν κατὰ συζυγίαν ὀνομάτων, περὶ ἀντωνυμιῶν, περὶ μέτρων, περὶ σατύρων, 134
περὶ τῶν Πινδάρου μελῶν, περὶ τῶν Σαπφοῦς μέτρων, περὶ τῶν Ἀλκαίου μελῶν.

Φιλόσοφοι.

CCCXVII. *Περὶ Δαμασκίου τοῦ φιλοσόφου.*

Δαμάσκιος Σύρος, Στωϊκὸς φιλόσοφος, Σιμπλι-

CCCXV et CCCXVI. Hesych. (Suid.) CCCVII. Hesych. (Suid.; eadem strictim tangit Zonaras p. 464)

αὐτὸς ἐπὶ Ἀδριανοῦ βασιλέως S. Ex uno duos fecit grammaticos S: Cf. H. Weber, Philol. Suppl. III, p. 469 not. 35, R. Nitzsche p. 45, E. Rohde in Mus. Rhenan. XXXIII, p. 180 not. 3, Untersuch. p. 66 not. 2 *κατὰ Λυσίμαχον* om. S (an *Σύμμαχον*?) 2 *λέξις παντοδαπή* S, mox *ἐνενήκοντα* corr. Hemsterh. *τετρακοσίων* SPV 9 *καὶ τὰ λοιπὰ* add. S 11 Plura de vita eius S memoriae prodidit 12 Ad verbum eadem tradit S

κίου καὶ Εὐλαλίου τῶν Φρυγῶν ὁμιλητής, ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων. γέγραπται αὐτῷ ὑπομνήματα εἰς Πλάτωνα καὶ περὶ ἀρχῶν καὶ φιλόσοφος ἱστορία καὶ ἄλλα πολλά.

CCCXVIII. Περὶ Δαμοφίλου.

Δαμόφιλος φιλόσοφος καὶ σοφιστής. γέγραφε περὶ ἀξιοκτήτων βιβλίων, πρὸς Λόλλιον Μάξιμον, περὶ βίων ἀρχαίων καὶ ἕτερα πάμπολλα.

CCCXIX. Περὶ Δημοκρίτου.

Δημόκριτος φιλόσοφος Ἀβδηρίτης, Ἡγησιστράτου υἱός, οἱ δὲ Δαμασίππου, ἐπὶ Ξέρξου τοῦ βασιλέως. οὗτος ἔτι παῖς τυγχάνων παρά τινων μάγων καὶ Χαλδαίων τά τε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν. ὕστερον δὲ ἀποδημῆσαι αὐτόν φασι Δημήτριος καὶ Ἀντισθένης καὶ εἰς Αἴγυπτον πρὸς τοὺς ἱερέας, γεωμετρίαν μαθησόμενον καὶ τὰ ἀπόκρυφα μυστήρια, καὶ πρὸς Χαλδαίους εἰς τὴν Περσίδα καὶ εἰς τὴν Ἐρυθρὰν θάλασσαν γενέσθαι, τοῖς τε Γυμνοσοφισταῖς συμμῖξαι αὐτὸν ἐν Ἰνδίᾳ, καὶ εἰς Αἰθιοπίαν ἐλθεῖν. οὐ μὴν ἀλλὰ καὶ Ἀθήναζε ἐλθεῖν ἱστοροῦσι μετὰ ταῦτα καὶ μὴ σπουδάσαι γνωσθῆναι, δόξης καταφρονῶν· καὶ

CCCXVIII. Hesych. (Suid.) CCCXIX. Diogenes Laert. IX, 7

1 Ἐλαμίτου PV ἤκμαζεν add. S 4 καὶ ἄλλα πολλὰ om. S, certe verba ab ipso Hesychio profecta sunt 5 Hic plura occurrunt apud Suidam: ὃν ἀνεθρέψατο Ἰουλιανὸς ὁ ἐπὶ Μάρκου τοῦ βαβιλέως ὕπατος, γράψας πάμπολλα, ἐξ ὧν ταῦτά μοι εὕρηται ἐπὶ ταῖς τῶν βιβλίων θήκαις, de quibus verbis cf. quae disseruit D. Volkmann Quaest. nov. p. XI, quamquam hoc loco de bibliotheca (παραθήκη vel σκευοθήκη) quam de indice scriptorum cogitare malim; infra Φιλόβιβλος ἢ περὶ ἀξιοκτήτων βιβλίον et βίον ἀρχαίων scripsit S

εἰδέναι μὲν Σωκράτην, ἀγνοεῖσθαι δὲ ὑπ' αὐτοῦ. „ἦλθον γάρ“, φησίν, „εἰς Ἀθήνας, καὶ οὔτις με ἔγνωκεν.“ ἦν δὲ ἐνιαυτῷ πρεσβύτερος Σωκράτους, ὡς Θράσυλλος ἐν τῷ ἐπιγραφομένῳ τῷ πρὸ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων ἀναγράφει, ὃς καὶ αὐτὸν ζηλωτὴν γεγονέναι τῶν Πυθαγορικῶν φησιν. ἀλλὰ καὶ αὐτοῦ τοῦ Πυθαγόρου μεμνῆσθαι, θαυμάζοντα αὐτὸν ἐν τῷ ὁμωνύμῳ συγγράμματι, πάντα δὲ δοκεῖν παρὰ τούτου λαβεῖν, καὶ αὐτοῦ δ' ἂν ἀκηκοέναι, εἰ μὴ τὰ τῶν χρόνων ἐμάχετο. ἀκοῦσαι δέ φασιν αὐτὸν ὕστερον καὶ Λευκίππου καὶ Ἀναξαγόρου, ἔτεσιν αὐτοῦ νεώτερον τεσσαράκοντα. δῆλος δέ ἐστι τοῖς εἰδόσι κἀκ τῶν συγγραμμάτων αὐτοῦ, οἷος ἦν ὁ Ἀβδηρίτης, ὅντινα καὶ πένταθλόν τινες ὠνόμασαν· καὶ ἦν, ὡς ἀληθῶς, ἐν φιλοσοφίᾳ πένταθλος. τὰ γὰρ φυσικὰ καὶ τὰ ἠθικά, ἀλλὰ καὶ τὰ μαθηματικὰ καὶ τοὺς ἐγκυ- 135
κλίους λόγους καὶ περὶ τεχνῶν πᾶσαν εἶχεν ἐμπειρίαν. συντετάχθαι δέ φασι τὸν μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις, αὐτὸν ἐκεῖνον παρεισάγοντες μάρτυρα. φέρεται αὐτοῦ συγγράμματα πλεῖστα παντοδαπά. καὶ γὰρ καὶ ἠθικὰ καὶ φυσικὰ καὶ ἀσύντακτα καὶ μαθηματικὰ πολλά, καὶ μάλιστα περὶ διαφορᾶς γνώμης ἢ περὶ ψαύσεως κύκλου καὶ σφαίρας, καὶ περὶ οὐρανογραφίης καὶ πολογραφίης καὶ τοῦ μεγάλου ἐνιαυτοῦ θαυμάσιά τινα καὶ μουσικὰ καὶ τεχνικὰ καὶ τὸ περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων, περὶ τῶν ἐν Μερόῃ ἱερῶν γραμμάτων, ὡς παρὰ Θρασύλλῳ ἔνεστιν ἰδεῖν. φησὶ

---

3 Müller III, p. 504   4 τὰ πρὸ τῆς PV

δὲ Ἀθηνόδωρος ἐν ὀγδόῳ περιπάτων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτόν, κομισθῆναι γάλα, καὶ θεασάμενον τὸ γάλα εἰπεῖν „καὶ αἰγὸς πρωτοτόκου καὶ μελαίνης", ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω „χαῖρε κόρη", τῇ δ' ἐχομένῃ „χαῖρε γύναι", καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. τελευτῆσαι δὲ αὐτόν φασι τοιῶσδε. ἤδη ὑπέργηρων ὄντα, πρὸς τῷ καταστρέφειν εἶναι· τὴν οὖν ἀδελφὴν λυπεῖσθαι, ὅτι ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτῇ οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι. τούτους δὴ ταῖς ῥισὶ προσφέρων, διεκράτησεν ἑαυτὸν τὴν ἑορτήν· ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι (τρεῖς δὲ ἦσαν), ἀλυπότατα τὸν βίον προήκατο, ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιούς.

CCCXX. *Περὶ Διδύμου τοῦ φιλοσόφου.*

Δίδυμος Ἀτήϊος, φιλόσοφος Ἀκαδημαϊκός. ἔγραψε λύσεις πιθανῶν καὶ σοφισμάτων ἐν δυσὶ βιβλίοις καὶ ἄλλα πολλά.

CCCXXI. *Περὶ Δικαιάρχου τοῦ φιλοσόφου.*

Δικαίαρχος Φειδίου, φιλόσοφος καὶ ῥήτωρ, καὶ γεωμέτρης, ἐκ Μεσήνης τῆς Σικελίας, Ἀριστοτέλους

CCCXX et CCCXXI. Hesych. (Suid.)

---

1 ὀγδόῃ F 6 οὗτω P οὕτως V 8 φασιν PV 11 Sic F, Θεσμοφόρων PV 12 αὐτῇ PV αὐτὴ F 15 αὐτὸν PV 18 ἢ Ἄττιος add. S

γέγονεν ἀκουστής. ἔγραψε καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν, Ἑλλάδος βίον ἐν τρισὶ βιβλίοις καὶ Σπαρτιατῶν πολιτείαν.

CCCXXII. Περὶ Δημητρίου τοῦ Φαληρέως. 136

Δημήτριος Φανοστράτου Φαληρεύς, μαθητὴς Θεοφράστου. οὗτος πλήθει βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς καθ' αὑτὸν περιπατητικούς, εὐπαίδευτος ὢν καὶ πολύπειρος παρ' ὁντιναοῦν. ὧν ἐστι τὰ μὲν ἱστορικά, τὰ δὲ πολιτικά, τὰ δὲ περὶ ποιητῶν, τὰ δὲ ῥητορικά, δημηγορειῶν τε καὶ πρεσβειῶν. δηχθεὶς δὲ ὑπ' ἀσπίδος, ὑπνώττων τὴν χεῖρα τὸν βίον κατέστρεψεν.

CCCXXIII. Περὶ Διοδώρου τοῦ Οὐαλερίου.

Διόδωρος, ὁ Οὐαλέριος ἐπικληθείς, φιλόσοφος, μαθητὴς Τηλεκλέους, υἱὸς Πωλίωνος τοῦ φιλοσόφου Ἀλεξανδρέως, τοῦ γράψαντος τὴν Ἀττικὴν λέξιν ἐπὶ Ἀδριανοῦ.

CCCXXIV. Περὶ Διοδώρου τοῦ καὶ Κρόνου.

Διόδωρος Ἀμεινίου Ἰασεύς, ὁ καὶ Κρόνος ἐπονομασθείς, διαλεκτικός. οὗτος παρὰ Πτολεμαίῳ τῷ Σω-

CCCXXII. Diogenes Laert. V, 5 CCCXXIII. Hesych. (Suid.) CCCXXIV. Diogenes Laert. II, 10 (Pseudo-Hesych. p. 16)

---

3 His S talia adiungit: *καὶ νόμος ἐτέθη ἐν Λακεδαίμονι, καθ' ἕκαστον ἔτος ἀναγινώσκεσθαι τὸν λόγον εἰς τὸ τῶν ἐφόρων ἀρχεῖον, τοὺς δὲ τὴν ἡβητικὴν ἔχοντας ἡλικίαν ἀκροᾶσθαι. καὶ τοῦτο ἐκράτησε μέχρι πολλοῦ* 7 *εὐπαίδητος* V *εὐπαίδευτος* P 13 Hic *Ἀλεξανδρεύς* add. infra *Ἀλεξανδρέως* om. S *Πολίωνος* PV 15 *γεγονὼς ἐπὶ τοῦ Καίσαρος Ἀδριανοῦ* S

τῆρι διατρίβων, λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Στίλπωνος τοῦ φιλοσόφου. καὶ παραχρῆμα μὴ δυνάμενος διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα ἐπετιμήθη, καὶ δὴ Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει. ἐξελθὼν δὴ τοῦ συμποσίου καὶ λόγον γράψας περὶ τοῦ προβλήματος, ἀθυμίᾳ τὸν βίον κατέστρεψε.

CCCXXV. *Περὶ Διονυσίου υἱοῦ τοῦ τυράννου.*

Διονύσιος υἱὸς τοῦ Σικελίας τυράννου, καὶ αὐτὸς τύραννος καὶ φιλόσοφος. γέγραφεν ἐπιστολὰς καὶ περὶ τῶν ποιημάτων Ἐπιχάρμου.

CCCXXVI. *Περὶ Διονυσίου τοῦ Μεταθεμένου.*

Διονύσιος ὁ Μεταθέμενος υἱὸς μὲν Θεοφάντου, πόλεως δὲ Ἡρακλείας. οὗτος ἤκουσε πρῶτον μὲν Ἡρακλείδου τοῦ Πολίτου, ἔπειτα Ἀλεξίνου καὶ Μενεδήμου, τελευταῖον δὲ Ζήνωνος. καὶ καταρχὰς μὲν φιλογράμματος ὢν παντοδαποῖς ἐπεχείρει ποιήμασιν, ἔπειτα δὲ καὶ Ἄρατον ἀπεδέχετο, ζηλῶν αὐτόν. ἀποστὰς δὲ τοῦ Ζήνωνος, πρὸς τοὺς Κυρηναϊκοὺς ἀπετράπη, καὶ εἴς τε τὰ χαμαιτυπεῖα ὑπεισῄει καὶ τ' ἄλλ' ἀπαρακαλύπτως ἡδυπάθει. βιοὺς δὲ πρὸς τὰ ὀγδοήκοντα ἔτη ἀσιτίᾳ κατέστρεψε. βιβλία δὲ αὐτοῦ φέρεται τάδε· περὶ ἀπαθείας δύο, περὶ ἀσκήσεως δύο, περὶ ἡδονῆς
137 *τέσσαρα, περὶ πλούτου καὶ χάριτος καὶ τιμωρίας, περὶ ἀνθρώπων χρήσεως, περὶ εὐτυχίας, περὶ ἀρχαίων βα-*

CCCXXV. Hesych. (Suid.) CCCXXVI. Diogenes Laert. VII, 4

---

6 Sic F *μετέθηκεν* PV 8 *καὶ* addidi Suidam secutus, om. PV 17 *τ' ἄλλα παρακαλύπτων* PV 19 *ἔτη* recepi ex F

σιλέων, περὶ τῶν ἐπαινουμένων, περὶ βαρβαρικῶν ἐθνῶν.

CCCXXVII. *Περὶ Δίωνος.*

Δίων Ἱππαρίνου Συρακούσιος, φιλόσοφος Πλατωνικός. ἔγραψεν ἐπιστολὰς πρὸς Πλάτωνα καὶ ἄλλους τινάς, [ἀλλὰ] καὶ διαλόγους πολλοὺς κατὰ μίμησιν Πλάτωνος.

CCCXXVIII. *Περὶ Διαγόρου.*

Διαγόρας μετὰ τὴν ἅλωσιν Μήλου ἐν Ἀθήναις ᾤκει. τὰ δὲ μυστήρια ηὐτέλιξεν, ὡς πολλοὺς οὖν ἐκτρέπειν τελετῆς. τοῦτο ἐκήρυξαν Ἀθηναῖοι κατ' αὐτοῦ, καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθιος ἐν τῷ περὶ μυστηρίων, καὶ ἄλλοι. οὕτω μὲν ἐκήρυξαν, τὸν μὲν ἀποκτείναντα αὐτὸν τάλαντον λαμβάνειν, τὸν δὲ ἀγαγόντα δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο, κοινοποιῶν αὐτὰ καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων, καθάπερ Κράτερος ἱστορεῖ. ἐκκεκήρυκται δὲ μάλιστα ὑπὸ τὴν ἅλωσιν τῆς Μήλου· οὐδὲν γὰρ κωλύει πρότερον. Μένανδρος δὲ ἐν τῷ περὶ μυστηρίων προφέρεται τῆς χαλκῆς στήλης ἀντίγραφον, ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐτὸν καὶ τοὺς ἐκδιδόντας Πελλανεῖς, ἐν ᾗ γέγραπται καὶ ταῦτα· „ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον,

CCCXXVII. Hesych. (Suid.) CCCXXVIII. Schol. Ar. Aves 1072 (Idem scholion usque ad *ἀποτρέπων* compilavit Suid.)

4 His plura adiungit S *ἔγραψε* PV 6 *καὶ — Πλατωνος* om. S. Cf. Bernhardy praef. p. XXXI, *ἀλλὰ* quod his praecedit, ex *ἄλλα* nimirum ortum, quod lector adscripserat 10 *Μελάνθιος* scripsi cum Müllero IV, p. 444 *Μελάνθης* PV 16 Müller II, p. 621 18 an *Μελάνθιος*? Cf. Müller IV, p. 447

ἐὰν δέ τις ἀγάγῃ, λαβεῖν δύο“. ἔστι δὲ καὶ ἕτερος Διαγόρας ἄθεος, ποιητὴς μελῶν, ὃς καὶ καινὰ δαιμόνια εἰσηγεῖτο. καὶ ὁ μὲν Ἀρίσταρχος λέγει, Ἀριστοφάνην αὐτοῦ μνημονεύειν, ὡς ἐν εἰρωνείᾳ κειμένου καὶ χλευαζομένου.

CCCXXIX. *Περὶ Διογένους τοῦ φυσικοῦ.*

Διογένεις γεγόνασι πέντε· πρῶτος αὐτὸς οὗτος, περὶ οὗ ὁ λόγος, Ἀπολλοθέμιδος Ἀπολλωνιάτης, ἀνὴρ φυσικὸς καὶ ἄγαν ἐλλόγιμος· δεύτερος Σικυώνιος, ὁ γράψας τὰ περὶ Πελοπόννησον· τρίτος ὁ Κυνικός, περὶ οὗ μετ᾽ ὀλίγον λέξομεν· τέταρτος Στωϊκός, γένος Σελευκεύς, καλούμενος δὲ Βαβυλώνιος διὰ τὴν γειτονίαν· πέμπτος Ταρσεύς, γεγραφὼς περὶ ποιητικῶν ζητημάτων, ἃ λύειν ἐπιχειρεῖ. ὁ δὴ Ἀπολλωνιάτης ἤκουσε μὲν Ἀναξιμένους· ἦν δὲ ἐν τοῖς χρόνοις κατὰ Ἀναξαγόραν. τοῦτόν φησιν ὁ Φαληρεὺς Δημήτριος
138 *ἐν τῇ Σωκράτους ἀπολογίᾳ διὰ μέγαν φθόνον μικροῦ κινδυνεῦσαι Ἀθήνησιν. ἐδόκει δὲ αὐτῷ τάδε· στοιχεῖον εἶναι τὸν ἀέρα, κόσμους ἀπείρους, καὶ κενὸν ἄπειρον, τόν τε ἀέρα πυκνούμενον καὶ ἀραιούμενον γεννητικὸν εἶναι τῶν κόσμων, οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι οὐδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι, τὴν γῆν στρογγύλην ἐρηρεισμένην ἐν τῷ μέσῳ τὴν σύστασιν εἰληφυῖαν κατὰ τὴν ἐκ τοῦ θερμοῦ περιφορὰν καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ.*

CCCXXIX. Diogenes Laert. VI, 2 exit. *ὁ δὴ Ἀπολλωνιάτης* — exit. Diogenes Laert. IX, 9

---

3 Aves 1072 10 *αὐτὸς οὗτος* F, quae verba Eudociae cum Cynicum infra tractare in animo esset, mutanda fuerunt 19 *ἀρεούμενον* P corr. V 22 *ἠρηρεισμένην* PV

CCCXXX. *Περὶ Δίωνος τοῦ Προυσαέως.*

Δίων ὁ Προυσαεὺς φιλόσοφος καὶ σοφιστής, ὃν Χρυσόστομον ἐκάλεσαν, [ὁ] Πασικράτους υἱὸς ἦν, ἐπὶ Τραϊανοῦ. ἔγραψεν εἰ φθαρτὸς ὁ κόσμος, ἐγκώμιον Ἡρακλέους καὶ Πλάτωνος, ὑπὲρ Ὁμήρου πρὸς Πλάτωνα λόγους τέσσαρας, περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν λόγους ὀκτὼ καὶ ἄλλα.

CCCXXXI. *Περὶ Δομνίνου τοῦ φιλοσόφου.*

Δομνῖνος φιλόσοφος Σύρος, ἀπό τε Λαοδικείας καὶ Λαρίσσης πόλεως Συρίας, μαθητὴς Συριανοῦ, καὶ Πρόκλου συμφοιτητής, ὥς φησι Δαμάσκιος. ἔγραψε κατὰ τῶν τοῦ Πλάτωνος δοξασμάτων.

CCCXXXII. *Περὶ Διογένους τοῦ κυνικοῦ.*

Διογένης ὁ κυνικός, Ἱκεσίου τραπεζίτου υἱὸς ἦν, Σινωπεύς. κυνικὸς δὲ ἤκουσεν ἀπὸ μεταφορᾶς τῶν χερσαίων κυνῶν· ὥσπερ γὰρ οἱ κύνες ἔχουσί τι φύσει φυλακτικὸν καὶ διακριτικόν (διακρίνουσι γὰρ τοὺς οἰκείους τῶν ξένων καὶ φυλάττουσι τοὺς οἰκείους), οὕτω καὶ οὗτος ἐμιμεῖτο τὸ διακριτικὸν καὶ φυλακτι-

CCCXXX et CCCXXXI. Hesych. (Suid.) CCCXXXII. Hesych. (Suid.) *κυνικὸς δὲ — ἤλεγχεν* Nonn. I, 25 (Cosm. p. 241) *ἀκουστὴς δὲ — διασαφεῖ* Diogenes Laert. VI, 2 *ὃν ἐν τῷ χειμῶνι ὤκει — θάλψιν* Nonn. I, 26 *τοῦ δὲ Ἀλεξάνδρου — γενέσθαι* Diogenes Laert. l. c. *ἀλλ' οὐ παρόμοιον — φρενῶν πληθύς* Nonn. I, 26 *οὗτος δὲ* — exit. Diogenes l. c.

3 Hic quoque plura dat S 4 *καὶ Πλάτωνος* addidi ex S om. PV 6 *καὶ ἄλλα* om. S 12 Hoc loco S Damascium compilavit, Eud. Hesychium, qui et ipse Damascium excerpserat 14 *φυλακτικὸν* F *ὑλακτικὸν* PV. Mirum quod Billius in latina versione reddit: 'latrandi discernendique facultate', unde eius quoque exemplar *ὑλακτικὸν* habuisse patet

κόν, καὶ ἐφύλαττε μὲν τὰ τῆς φιλοσοφίας δόγματα, διέκρινε δὲ τοὺς ἐπιτηδείους καὶ ἀνεπιτηδείους πρὸς φιλοσοφίαν. οὗτος οὖν ὁ Κυνικὸς τοιοῦτος ὢν ἦν εἰκότως εὐπαρισίαστος· ἤλεγχε γὰρ καὶ δυνάστας καὶ ἐλλογίμους καὶ πάντα ἄνθρωπον δῆθεν διὰ τὸ καλόν· ἐλέγχων δὲ οὖν ἀστειότερον καὶ γελοιοδέστερον πολὺ ἤλεγχεν. ἀκουστὴς δὲ ἦν Ἀντισθένους, καὶ διακούσας αὐτοῦ ὥρμησεν ἐπὶ τὸν εὐτελῆ βίον, μὴ θεασάμενος τὰ διατρέχοντα. Θεόφραστος δὲ ἐν τῷ Μεγαρικῷ φησι μήτε κοίτην αὐτὸν ἐπιζητοῦντα, μήτε σκότος εὐλαβούμενον, ἢ ποθοῦντά τι τῶν δοκούντων ἀπολαυστῶν. πόρον ἐξεῦρε τῆς περιστάσεως, τρίβωνα διπλώσας πρῶτος κατά τινας, διὰ τὸ ἀνάγκην ἔχειν καὶ ἐνεύδειν αὐτῷ, πήραν τε ἐκομίσατο, ἔνθα αὐτῷ τὰ σιτία ἦν, καὶ παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα, ἀριστῶν
139 *τε καὶ καθεύδων καὶ διαλεγόμενος. βακτηρίᾳ δὲ ἐπηρείσατο ἀσθενήσας· ἔπειτα μέντοι καὶ διὰ παντὸς ἔφερεν, οὐ μὴν ἐν ἄστει, ἀλλὰ καθ' ὁδὸν αὐτῇ τε καὶ τῇ πήρᾳ, ὥς φησι Πολύευκτος ὁ ῥήτωρ. ἐπιστείλας δέ τινι οἰκίδιον αὐτῷ προνοήσασθαι, καὶ βραδύνοντος τὸν ἐν τῷ Μητρῴῳ πίθον ἔσχεν οἰκίαν (ὡς καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς διασαφεῖ). ὃν ἐν τῷ χειμῶνι ᾤκει· καὶ ἑσπέρας μὲν εἰσῄει ἐν αὐτῷ διὰ τὸ κρύος, ἡμέρας δὲ ἐξῄει διὰ τὸν ἥλιον. διό ποτέ ἡλιουμένῳ αὐτῷ ἐπέστη Ἀλέξανδρος ὁ Μακεδών, ἀποσκοτῶν αὐτὸν τοῦ μὴ θερμαίνεσθαι, καὶ λέγων „εἰπέ, Διόγενες, τί βούλει σοι χαρίσομαι;“ ὁ δὲ εἶπε „οὗπερ μὴ δυνάμενος*

---

4 *ἤλεγχε* PV 9 seq. Sequentia verba magnopere mutilata esse Diogenis loco docetur 12 Haec sic interpunxi, *πόρον — περιστάσεως,* PV 19 *πήρᾳ* F *πείρᾳ* PV 20 *αὐτῷ* FP *αὑτῷ* V

παρασχεῖν, ἔασόν με μετασχεῖν“. ὁ δὲ „καὶ τί ὅπερ οὐ δύναμαι“; ὁ δὲ ἀποκριθεὶς „τὴν τοῦ ἡλίου θάλψιν“. τοῦ δὲ Ἀλεξάνδρου εἰπόντος· „ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεύς,“ „κἀγώ, φησί, Διογένης ὁ κύων“. ἐρωτηθεὶς δέ, τί ποιῶν κύων καλεῖται, ἔφη· „τοὺς μὲν τῶν ἐμῶν ἀκούοντας σαίνων, τοὺς δὲ μὴ ἀκούοντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων“. τότε φασὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς, εἴπερ Ἀλέξανδρος μὴ γεγόνει, ἐθελῆσαι ἂν Διογένης γενέσθαι. ἀλλ' οὐ παρόμοιον τὸ τοῦ Πτολεμαίου πρὸς Σωτάδην. Σωτάδης γὰρ ὁ Ἀλεξανδρεὺς φιλόσοφος ἵστατο ἐν τόπῳ τινὶ [ἐν] ἡλίῳ θερμαινόμενος καὶ φθειριζόμενος. τοῦτον ἄνωθεν ἔκ τινος ἀπόπτου θεασάμενος ὁ Πτολεμαῖος κατῆλθεν, ἵνα αὐτὸν λάβοι πρὸς τὰ βασίλεια. ὁ δὲ Σωτάδης ἰδὼν αὐτὸν εἰσῆλθεν εἰς κλάσμα πίθου κειμένου καὶ ἀπεκρύβη τὸν Πτολεμαῖον. ὕστερον δὲ ὡς ἀτυχῆ τοῦτον διέβαλλον. τινὲς δὲ λέγουσιν, ὅτι αὐτὸς ὁ Πτολεμαῖος καὶ τὸ ἰαμβεῖον τοῦτο ἀπεφθέγξατο·

Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον,

αἰνιττόμενος, ὅτι ὁ πίθος ἐκεῖνος μεστός ἐστι φρενῶν, διὰ τὸ τὸν Σωτάδην ἐντὸς αὐτοῦ εἶναι. ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησεν ἡ τῶν φρενῶν πληθύς. ἀλλ' ἐπὶ τὸν Διογένην ἐπανιτέον. οὗτος καὶ πρὸς Ἀθηναίων ἐς τὰ μάλιστα ἠγαπᾶτο. μειρακίου γοῦν τὸν πίθον αὐτοῦ συντρίψαντος, τῷ μὲν πληγὰς ἔδοσαν, ἐκείνῳ δὲ ἄλλον παρέσχον. φησὶ δὲ Διονύσιος ὁ Στωϊκός, ὡς μετὰ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον,

---

7 *τότε — γενέσθαι* om. F praebuit Diog. VII, 32 8 *φασὶν* sed *ν* deletum P *φασὶν* V 14 *λάβοι* rectius P *λάβῃ* PV 19 Menand. Monost. 240 27 *Χερώνειαν* P corr. V

καὶ ἐρωτηθείς, τίς εἴη, „κατάσκοπος,“ ἔφη „τῆς σῆς
ἀπληστίας“, ὅθεν θαυμασθεὶς ἀφείθη. λέγεται δέ, ὅτι
καὶ γυμνοῖς ποσὶ χιόνα ἐπάτει, καὶ χειμῶνος ἀνδριάν-
τας κεχιονωμένους περιελάμβανε, καὶ ὠμὰ δὲ κρέα
ἐπεχείρησε φαγεῖν, πανταχόθεν ἑαυτὸν συνασκῶν.
δεινός τε ἦν κατασοβαρεύσασθαι τῶν ἄλλων, καὶ τὴν
μὲν Εὐκλείδου σχολὴν ἔλεγε χολήν, τὴν δὲ Πλάτω-
140 νος διατριβὴν κατατριβήν. καί ποτε Πλάτωνα ἐν
δείπνῳ πολυτελεῖ κατανοήσας ἁψάμενον ἐλαῶν „τί, φη-
σίν, ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τού-
των χάριν νῦν παρακειμένων οὐκ ἀπολαύεις;“ καὶ ὃς
„ἀλλά, νὴ τοὺς θεούς, φησί, Διόγενες, κἀκεῖ τὰ πολλὰ
πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγενόμην“. ὁ δέ, „τί οὖν
ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ οὐκ
ἔφερεν ἐλάας;“ τοῦ δὲ εἰπόντος αὐτὸν κύνα, „ναί, ἔφη·
ἐγὼ γὰρ ἐπανῆλθον ἐπὶ τοὺς πεπρακότας“. καὶ ἄλ-
λοτε ἰσχάδας ἐσθίων ἀπήντετο αὐτῷ, φησί τε, „ἔξεστί
σοι μετασχεῖν“, τοῦ δὲ λαβόντος καὶ φαγόντος, ἔφη,
„μετασχεῖν εἶπον, οὐ καταφαγεῖν“. πατῶν αὐτοῦ ποτε
στρώματα κεκληκότος φίλους παρὰ Διονυσίου ἔφη·
„πατῶ τὴν Πλάτωνος κενοσπουδίαν“, πρὸς ὃν Πλά-
των· „ὅσον, ὦ Διόγενες, τοῦ τύφου διαφαίνεις, δοκῶν
μὴ τετυφῶσθαι“. οἱ δέ φασι τὸν Διογένην εἰπεῖν,
„πατῶ τὸν Πλάτωνος τύφον“, τὸν δὲ φάναι· „ἑτέρῳ
δὲ τύφῳ, Διόγενες“. Σωτίων δ' ἐν τῷ τετάρτῳ φησὶ
τοῦτο πρὸς αὐτὸν εἰπεῖν τὸν Πλάτωνα τὸν κύνα.
Διογένης οἶνόν ποτε ᾔτησεν αὐτόν, τότε δὲ καὶ ἰσχά-
δας· ὁ δὲ κεράμιον ὅλον ἔπεμψεν αὐτῷ. καὶ ὅς, „σύ,
φησίν, ἐὰν ἐρωτηθῇς, δύο καὶ δύο πόσα ἐστίν, εἴκοσιν

29 εἴκοσι PV

ἀποκρινῇ; οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ. ἔσκωψε δὴ ὡς ἀπεραντολόγον. θεασάμενος δὲ πάλιν αὐτὸν ὁ Πλάτων λάχανα πλύνοντα, προσελθὼν ἡσυχῇ εἶπεν αὐτῷ· „εἰ Διονύσιον ἐθεράπευες, οὐκ ἂν λάχανα ἔπλυνες“. ὁ δὲ ἀποκριθεὶς ὁμοίως ἡσυχῇ· „καὶ σὺ εἰ λάχανα ἔπλυνες, οὐκ ἂν Διονύσιον ἐθεράπευες“. ὀνειδιζόμενός ποτε, ὅτι ἐν ἀγορᾷ ἔφαγεν, „ἐν ἀγορᾷ γάρ, ἔφη, καὶ ἐπείνησα“. καὶ ἄλλοτε ἀριστῶντι πάλιν αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον κύον· ὁ δέ, „ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε“. ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη· „εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις“. πλέων δὲ πάλιν εἰς Αἴγιναν καὶ πειραταῖς ἁλούς, ὧν ἦρξε Σκίρπαλος, εἰς Κρήτην ἐπαχθεὶς ἐπιπράσκετο· ἐρωτηθεὶς δέ, τί οἶδε ποιεῖν, ἀπεκρίνατο „ἀνδρῶν ἄρχειν“, καὶ πρὸς τὸν κήρυκα, „κήρυσσε, ἔφη, εἴ τις ἐθέλοι δεσπότην αὐτῷ πρίασθαι“. θεασάμενος υἱὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, „πρόσεχε, ἔφη, μὴ τὸν πατέρα πλήξῃς“. προσαιτῶν τινα, καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν, ἔφη· „εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί, εἰ δὲ μηδενί, ἀπ᾽ ἐμοῦ ἄρξαι“. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, „ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός· καὶ γὰρ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις“. κατέλαβέ ποτε Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ 141
ἀριστῶντα, τοῦ δὲ ὑποχωροῦντος, „τοσούτῳ, ἔφη, μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ“. ξένων δέ ποτε θεάσασθαι

---

2 ἔσκοψε P corr. V

θελόντων Δημοσθένην, τὸν μέσον ἐκτείνας δάκτυλον, „οὗτος ὑμῖν, ἔφη, ἐστὶν ὁ Ἀθηναίων δημαγωγός". ἐρωτηθείς, εἰ κακὸς ὁ θάνατος, „πῶς, εἶπε, κακός, οὗ παρόντος οὐκ αἰσθανόμεθα"; πρὸς τὸν εἰπόντα, ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν, „τί οὖν, ἔφη, ζῇς, εἰ τοῦ καλῶς ζῆν μὴ μέλει σοι"; τὴν παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. τὸν ἀμαθῆ πλούσιον πρόβατον ἔλεγε χρυσόμαλλον. θεασάμενός ποτε μειράκιον λίθους βάλλον ἐπὶ σταυρόν, „εὖ γε, εἶπε, τεύξῃ γὰρ τοῦ σκοποῦ". ἰδών ποτε γυναῖκας ἐπ' ἐλαίας ἀπηγχονισμένας, „εἴθε ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν". ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, „οὐκ αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνου κολεοῦ μολιβδίνην ἕλκων μάχαιραν"; πρὸς Ἀλέξανδρον ἐπιστάντα καὶ εἰπόντα, οὐ φοβῇ με; „τί γάρ, εἶπε, εἶ ἀγαθὸν ἢ κακόν"; τοῦ δὲ εἰπόντος „ἀγαθόν", „τίς οὖν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται"; ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη· „ἦν ποτε χρόνος ἐκεῖνος, ὅτ' ἤμην ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ οὐδέποτε". πρὸς τὸν εἰπόντα κακὸν εἶναι τὸ ζῆν, „οὐ τὸ ζῆν, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν". τὴν φιλαργυρίαν ἔλεγε μητρόπολιν πάντων τῶν κακῶν. εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι. ἐρωτηθείς, ποῖον οἶνον ἡδέως πίνει, ἔφη, „τὸν ἀλλότριον". πρὸς τοὺς εἰπόντας, „γέρων εἶ καὶ λοιπὸν ἄνες", „τί δέ, ἔφη, εἰ δόλιχον ἔδραμον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ

μὴ μᾶλλον ἐπιτεῖναι;“ ἀναφέρεται δὲ καὶ ἄλλα εἰς αὐ-
τόν, ἃ μακρὸν ἂν εἴη καταλέγειν πλεῖστα ὄντα, καὶ
γὰρ εὐστοχώτατος ἐγένετο ἐν ταῖς τῶν λόγων ἀπαν-
τήσεσι· τοιαύτη τις προσῆν ἴυγξ Διογένους τοῖς λό-
γοις. ἐρωτώμενος δὲ πολλάκις ὑπὸ τῶν αὐτοῦ μαθη-
τῶν, τί αὐτῷ περιγίνεται ἐκ φιλοσοφίας, ἔλεγεν· „καὶ
εἰ μηδὲν ἄλλο, τὸ πρὸς πᾶσαν τύχην παρεσκευάσθαι“.
διήκουσαν γὰρ αὐτοῦ καὶ ἄλλοι πλείους ἄνδρες πολι-
τικοὶ καὶ Φωκίων ὁ ἐπίκλην Χρηστὸς καὶ Στίλπων ὁ
Μεγαρεύς. φέρεται δ' αὐτοῦ συγγράμματα τάδε· Δη-
μος Ἀθηναίων, Πολιτεία, Τέχνη ἠθική, περὶ ἀρετῆς,
περὶ ἀγαθοῦ, περὶ πλούτου, τραγῳδίαι ἑπτά, περὶ
θανάτου, περὶ πτωχείας, διάλογοι πολλοὶ καὶ ἄλλα
τινά. λέγεται δὲ πρὸς τὰ ἐνενήκοντα ἔτη βιοὺς τελευ- 142
τῆσαι. φασὶ δέ, τελευτῶντα αὐτὸν ἐντείλασθαι ἄτα-
φον ῥῖψαι, ὡς πᾶν θηρίον αὐτοῦ μετάσχοι, ἢ εἴς γε
βόθρον συνῶσαι καὶ ὀλίγην κόνιν ἐπαμῆσαι. οἱ δέ,
πυνθανεμένων τῶν παρεστώτων, πῶς αὐτὸν θάψειεν,
ἔφη, „ἐπὶ πρόσωπον“, τοῦ δ' ἐρομένου διὰ τί, „ὅτι μετ'
ὀλίγον, εἶπε, τὰ κάτω μέλλει ἀναστρέφεσθαι“ τοῦτο
δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ τα-

---

13 πτωχίας P corr. V   Πτωχὸν F, qui hanc potius operum tabulam tradidit: διάλογοι Κεφαλίων, Ἰχθύας, Κολοιός, Πόρδαλος, Δῆμος Ἀθηναίων, Πολιτεία, Τέχνη ἠθική, περὶ πλούτου, Ἐρωτικός, Θεόδωρος, Ὑψίας, Ἀρίσταρχος, περὶ θανάτου, Ἐπιστολαί, τραγῳδίαι ἑπτά, Ἑλένη, Θυέστης, Ἡρακλῆς, Ἀχιλλεύς, Μήδεια, Χρύσιππος, Οἰδίπους. — Σωτίων δ' ἐν τῷ ἑβδόμῳ ταῦτα μόνα φησὶ Διογένους εἶναι· περὶ ἀρετῆς, περὶ ἀγαθοῦ, Ερωτικόν, Πτωχόν, Γολμαῖον, Πόρδαλον, Κάσανδρον, Κεφαλίωνα, Φιλίσκον, Ἀρίσταρχον, Σίσυφον, Γανυμήδην, Χρείας, Ἐπιστολάς. — De septem illis tragoediis, quibus Suidas ex Athen. XIV, p. 636 octavam Σεμέλη adiungit, cf. Wachsmuth. Symbol. Bonn. p. 148   17 ἐπαμῦσαι P corr. V

πεινῶν ὑψηλοὺς γίνεσθαι. Δημήτριος δὲ ἐν τοῖς Ὁμωνύμοις φησὶ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι, ἐπιστῆσαί τε αὐτῷ τοὺς πολίτας κίονα χαλκοῦν καὶ ἐπ' αὐτῷ λίθου Παρίου κύνα καὶ ἐπιγράψαι οὕτω·

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου, ἀλλὰ σὸν οὔτι
Κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ.
Μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας
Θνητοῖς καὶ ζωῆς οἶμον ἐλαφροτάταν.

CCCXXXIII. *Περὶ Εἰρεσιώνης.*

Εἰρεσιώνη, ὡς λέγει Παυσανίας, θαλλὸς ἐλαίας ἐστεμμένος ἐρίῳ, προσκρεμαμένους ἔχων διαφόρους ἐκ γῆς καρπούς. τοῦτον ἐκφέρει παῖς ἀμφιθαλὴς καὶ τίθησι πρὸ θυρῶν τοῦ Ἀπόλλωνος ἱεροῦ ἐν τοῖς Πυανεψίοις· Πυανεψίοις γὰρ καὶ Θαργηλίοις Ἡλίῳ καὶ ὥραις ἑώρταζον οἱ Ἀθηναῖοι. λέγεται γάρ, φησί, Θησέα, ὅτε εἰς Κρήτην ἔπλει, προσχόντα Δήλῳ διὰ χειμῶνα εὔξασθαι Ἀπόλλωνι καταστέψαι κλάδοις ἐλαίας, εἰ τὸν Μινώταυρον κτείνας σωθῇ καὶ θυσιάσειν. ὁ γοῦν ἱκετηρίαν ταύτην καταστέψας, ἑψῆσαι λέγεται χύτρας ἀθάρας καὶ ἔτνους καὶ βωμὸν ἱδρύσα-

CCCXXXIII. Schol. Ar. Plut. 1054 (Suidas; eadem paucis mutatis Schol. Ar. Equ. 725 tradidit, ex quo Pausanias sua desumpsit; ex Pausaniae lexico, quod Eudociae praesto erat, etiam Eustathius Il. p. 1389 hausit, quocum usque ad *ᾠδὴν* verbo tenus E. conspirat; Eudociam compilavit Phavorin.) *ἄλλοι δέ φασιν — ἀπαρχάς* Schol. Ar. Equ. 729 *ὅτε δὴ* — exit. Schol. Ar. Equ. 725. V. Eud. p. 20.

---

6 seq. Anth. Pal. XVI, 334 15 Verba *Πυανεψίοις — Ἀθηναῖοι* ab Eustath. omissa Schol. Ar. Plut. obtulit

σθαι. διὸ καὶ Πυανέψια λέγεσθαι, οἷον κυαμέψια, διὰ τὸ πυάμους πρότερον τοὺς κυάμους καλεῖσθαι. ἦγον δὲ ἔσθ' ὅτε ταῦτα καὶ ἐπὶ ἀποτροπῇ λιμοῦ· ᾖδον δὲ παῖδες οὕτως·

Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους,
καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀποψήσασθαι,
καὶ κύλικ' εὔζωρον ὅπως μεθύουσα καθεύδῃς.

μετὰ δὲ τὴν ἑορτὴν ταύτην ἔξω ἀγρῶν παρὰ τὰς θύρας ἐτίθεντο οἱ Ἀθηναῖοι. Κράτης δέ φησιν, 143 *ἀφορίας ποτὲ κατασχούσης Ἀθήνας, θαλλὸν [φησὶ] καταστέψαντας ἐρίοις, ἱκετηρίαν ἀναθεῖναι Ἀπόλλωνι. ἄλλως δὲ λέγεται καὶ ὅτι στέμμα λευκὸν καὶ φοινικοῦν ἀπήρτητο τοῦ θαλλοῦ, καὶ ὅτι προὐτίθετο ἱκεσία τῷ Ἀπόλλωνι, καθ' ἣν ἡμέραν οἱ περὶ Θησέα σωθῆναι δοκοῦσι, καὶ ὅτι καταχύσματα καὶ κύλικα οἴνου κεκραμένην καταχέοντες αὐτοῖς, ἐπέλεγον τὴν ῥηθεῖσαν ᾠδήν. ἄλλοι δέ φασιν, ὅτι, λοιμοῦ τὴν πᾶσαν κατασχόντος οἰκουμένην, χρωμένων τίνα ἂν τρόπον παύσαιτο τὸ δεινόν, τὴν λύσιν ταύτην ὁ Πύθιος ἐμαντεύσατο, εἰ πρὸς εἰρεσίαν ὑπὲρ ἁπάντων Ἀθηναῖοι θύσωσι. θυσάντων οὖν τῶν Ἀθηναίων, τὸ δεινὸν ἐπαύσατο· καὶ οὕτως ὥσπερ Χαριστήριον οἱ πανταχό-*

---

1 *κυαμέψια* F *κυανεψία* PV 6 Sic S *καὶ μέλιτος κοτύλην* PV Eustath. *ἀποψήσασθαι* F *ἐπικρήσασθαι* PV Eustath. 7 Sic S *καὶ κύλικα εὔζωρον ἵνα* PV Eustath. *ὡς ἂν* Schol. *καθεύδῃς* S *καθεύδῃ* PV Eustath. Postremos versus Bergkius Poet. Lyr. p. 1317 sic edidit: *καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι | καὶ κύλικ' εὐζώρου, ὡς ἂν μεθύουσα καθεύδῃς.* 8 *ἔξω ἀγρῶν* S Eustath. *πρὸ τῶν οἰκημάτων* PV 10 *θαλλοὺς* Eustath., alterum *φησι*, quod PV praebent, removi. Ceterum cf. Müller IV, p. 369 11 *καταστέψαντας* P *καταστέψαντες* V 12 *ἀλλαχοῦ* Eustath., nescio an rectius 13 *ἀπήρτητο* P *ἀπήρτετο* V

θεν τοῖς Ἀθηναίοις ἐξέπεμπον τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτε δὴ καὶ Ἄβαρίν φασι τὸν Ὑπερβόρειον, περὶ οὗ εἰρήκαμεν, ἐλθόντα θεωρὸν εἰς τὴν Ἑλλάδα Ἀπόλλωνι θητεῦσαι, καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς τοὺς νῦν προσαγορευομένους Ἀβάριδας.

[CCCXXXIV. *Περὶ τοῦ ἐς Κυνόσαργες λεγομένου.*

Εἰς Κυνόσαργες εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. ἦν δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος. καὶ γὰρ Ἡρακλεῖ θυόντων κύνα λευκὸν ἢ ταχὺν ἀετὸν ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία λέγεται, αὐτοῦ καταθεῖναι· καὶ ἐπερωτήσαντας τοὺς θεοὺς λαβεῖν χρησμόν, ἱερὸν Ἡρακλέους ἱδρῦσαι τῷ τόπῳ, ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν ἴσα θεοῖς ἐτιμήθη.]

CCCXXXV. *Περὶ Ἑκάβης.*

Ἑκάβη θυγάτηρ ἦν Κισσέως, οἱ δὲ Δύμαντος. ἤκουσε δὲ οὕτω διὰ τὸ ἕκαθεν βεβηκέναι πρὸς τὸν ἄνδρα. ὁ γὰρ πατὴρ Δύμας Φρὺξ εἰς Ἴλιον Πριάμῳ ταύτην ἐξέδοτο, ὅθεν καὶ Πρίαμος Φρυξὶ συμμα-

CCCXXXIV. Nonn. I, 60 (Cosm. p. 143; Suid. v. *ἐς Κυν.*, *εἰς Κυν.*, *Κυνοσ.*). V. Eud. p. 264 CCCXXXV. Initium ex Eustath. Il. p. 1109 fluxisse videtur *ἤκουσε* seq. Etym. M. p. 319, 35 (v. Cramer. Anecd. Oxon. II, p. 436) *Εὐριπίδης* — exit. Tzetzes Lyc. 315

---

3 Cf. XIX 5 *Ἀβάριδας* F *βάριν* P *Βάριδας* V 11 *μυρία* F corr. V 14 Haec omnia ex Suidae more inepte sub litera *E* (propter *ἐς*) exstant, itaque rectius sub litera *K* tractata sunt (Cf. Eud. p. 264) 16 *ἡ ἕκαθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα* F

χεῖ. Εὐριπίδης δὲ μυθικῶς φησιν, ὅτι κύων ἐγένετο. τὸ δ' ἀληθὲς οὕτως ἔχει· μετὰ τὴν τελευτὴν τῆς Πολυξένης ὕβριζε καὶ κατηρᾶτο τοὺς Ἕλληνας, οἱ δὲ ὀργισθέντες ὡς κύνα αὐτὴν λίθοις ἀνεῖλον.

CCCXXXVI. Περὶ τῆς Ἑκάτης.

Τὴν Ἑκάτην θεὸν ὠνόμαζον Ἕλληνες, καὶ οἱ μὲν αὐτὴν λέγουσιν εἶναι τὴν Ἄρτεμιν, οἱ δὲ τὴν Σελήνην, ἄλλοι δὲ εἰδικήν τινα θεόν, ἐν φάσμασιν 144 ἐκτόποις φαινομένην τοῖς ἐπικαλουμένοις αὐτήν. μάλιστα δὲ φαίνεται τοῖς καταρωμένοις. τὰ δὲ φαντάσματα αὐτῆς δρακοντοκέφαλοι φαίνονται ἄνθρωποι καὶ ὑπερμήκεις καὶ ὑπερμεγέθεις. ἔνιοι δὲ καὶ αὐτὴν κυνοκέφαλον πλάττουσιν, ὥστε ἐκ μόνης τῆς θέας καταπλῆξαι καὶ δειματῶσαι τοὺς ὁρῶντας. καὶ Ἑκάτης ἄγαλμα τὰς κύνας φασὶ διὰ τὸ ἐκφέρεσθαι Ἑκάτῃ κύνας. ταύτην ἐν ταῖς τριόδοις ἐτίμων τὸ παλαιὸν διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἀρτέμιδα καὶ Ἑκάτην καλεῖσθαι. κατὰ δὲ νουμηνίαν οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας, ὡς θυσίαν τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις, οἱ δὲ πένητες ἤρχοντο πεινῶντες καὶ ἤσθιον αὐτὰ καὶ ἔλεγον, ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. Ἀριστοφάνης ἐν Πλούτῳ· „ἀπὸ ταύτης ἔστι μαθεῖν, εἴτε τὸ πλουτεῖν, εἴτε τὸ πεινῆν ἐστι βέλτιον“. φησὶ γὰρ

CCCXXXVI. Clarke, Catal. Bodlei. p. 45 (cod. Mon. 490, fol. 463) Ἀριστοφάνης — πένητας Schol. Ar. Pluti 594 (Suid.) εἴρηται — μετέχει Etym. M. p. 319, 40 καὶ Ἑκάτης νῆσος — exit. Harpocrat. (Suid.; Phavorin.)

---

1 Εὐρυπίδης PV, cf. Hecub. 1265 2 τῆς om. F 13 ὀρῶτας P corr. V 22 πεινῆν F πηνεῖν P πεινᾶν V Cf. Ar. Plut. 594 παρὰ τῆς Ἑκ. ἔξεστιν τοῦτο πυθέσθαι, εἴτε idem ἐστι om.

αὕτη, τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν, τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν, πρὶν καὶ καταθεῖναι. ἔθος γὰρ ἦν, ὡς εἶπον, ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, καὶ λαμβάνειν ἐξ αὐτῶν τοὺς πένητας. εἴρηται δὲ Ἑκάτη, οἱονεὶ ἑκάστη τις οὖσα, ἢ ἡ εἰς ἕκαστα παραλαμβανομένη πανταχοῦ βοηθοῦσα, ἢ ὅτι ἑκάστου θεοῦ τιμῶν μετέχει. καὶ Ἑκάτης νῆσος. Λυκοῦργος κατὰ Μενεσαίχμου. πρὸ τῆς Δήλου κεῖταί τι νησύδριον, ὅπερ ὑπ' ἐνίων καλεῖται Ψαμίτη, ὡς Φανόδημος ἐν α' Δηλιακῶν. Ψαμίτην δὲ κεκλῆσθαί φησιν ὁ Σῆμος ἐν τῇ πρώτῃ διὰ τὸ τοῖς ψαμίτοις τιμᾶσθαι τὴν θεόν. ψάμμητα δέ ἐστι ψαιστῶν τις ἰδέα.

CCCXXXVII. *Περὶ τῶν Ἑκατογχείρων.*

Ἑκατόγχειρες δύο τινὲς ἦσαν κατὰ τὸν μῦθον, Κόττος καὶ Βριάρεως, ὁ καὶ Αἰγαίων καὶ Γύγης· τριωνύμως γὰρ ἐλέγετο. οὗτοι ἔχοντες ἑκατὸν χεῖρας μετὰ τῶν θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας. ἡ δὲ ἱστορία λόφον τινὰ οἶδεν Αἰγαίωνος περὶ τὴν Ἀσίαν, ἐξ οὗ πηγαί τινες ἑκατὸν ἀναπηδῶσαι, ἤτοι πολλαί. ἢ αὐτὸ τοῦτο ἑκατὸν καὶ τὰ ἐκεῖ πεδία λυπαίνουσαι τὴν τοῦ ἑκατόγχειρος μυθολογίαν παρήγαγον. φησὶ γὰρ

CCCXXXVII. Nonn. II, 11 *φησὶ γὰρ* — exit. Eustath. Il. p. 123

---

3 *καὶ* om. F 11 *Ψαμίτη* S *Ψαμμητίχη* Harp. *Ψαμμητύχη* PV an Phanodicus? V. Müller I, p. 370. *ἐν α'* addidi ex F 12 *Σημὸς* PV 13 *ψαμίτοις* S *Ψαμμήτοις* PV *ψάμιτον* S *ψάμμητα* Harp. *Ψάμμης* PV In titulo post 14 *ἑκατονταχείρων* P corr. V

ἡ τοῦ Ἀρριανοῦ ἱστορία, ὅτι Βριάρεως, Γῆς καὶ Οὐρανοῦ παῖς, θαλαττοκρατήσας ὁρμητηρίῳ ἐχρήσατο Εὐβοίᾳ τῇ νήσῳ, κἀκεῖθεν ὁρμώμενος κατεστρέψατο τὰς Κυκλάδας· ὃς καὶ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. οὗτος δὲ καὶ αἰτίαν παρασχεῖν λέγεται τῷ Αἰγαίῳ πελάγει εἰς ἐπωνυμίαν· σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὸν Ῥυνδακὸν ποταμόν, οὐ πόρρω 145 θαλάσσης, λόφον τινά, καὶ τοῦτον ἐπικαλεῖσθαι Αἰγαίωνος· καὶ ἀπὸ τοῦ λόφου τούτου πίδακας ἐκδιδόναι ἑκατὸν καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω. ἰστέον δέ, ὅτι ὥσπερ ἑκατογκέφαλον τὸν Τυφῶνα ὁ μῦθος, οὕτω καὶ Αἰγαίωνα ἑκατόγχειρον ἔπλασε. καὶ ἔστι καθ' ἱστορίαν ἐκεῖνο μὲν περινοίας ἀρχικῆς σύμβολον καὶ τοῦ πολλὰ δοκεῖν τὸν Τυφῶνα φρονεῖν. τοῦτο δὲ τοῦ πολλὰ πράττειν αἴνιγμά ἐστιν· ὅθεν καὶ ὁ πολυμήχανος Ἀρχιμήδης μιᾷ προσβολῇ πολλὰ βέλη ἀφιεὶς Ἑκατόγχειρ πρὸς τῶν βαλλομένων ἐκλήθη.

CCCXXXVIII. *Περὶ Ἐλάρης.*

Ἐλάρη ἡ μήτηρ τοῦ Τιτυοῦ, ὃν τεκοῦσα ἐκ Διὸς καὶ ἀδυνατοῦσα γεννῆσαι διὰ τὸ μέγεθος τοῦ παιδὸς ἀπώλετο. Φερεκύδης δέ φησιν, ὅτι Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς ὤθησεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν, δεδιὼς τὴν τῆς Ἥρας ζηλοτυπίαν· καὶ ἀνεδόθη τῆς γῆς Τιτυός, διὸ καὶ γηγενὴς καλεῖται. ἄλλοι δὲ μυθεύονται, Τιτυὸν μετὰ τὴν τελευτὴν τῆς

CCCXXXVIII. Schol. Apoll. I, 761

---

1 Müller III, p. 594 5 οὗτος F οὕτω PV 16 προσβολῇ F περιβολῇ PV 20 fr. 33 Sturz, mox κατὰ γῆν F 24 τὴν addidi ex P om. V

αὐτοῦ μητρὸς παρὰ τῆς γῆς ἀνατετράφθαι· καθὰ καὶ Ὅμηρος ἱστορεῖ,

Καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυδέος υἱόν.

δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι καὶ ἄπιστος, ὅτι ἐκ δευτέρου ἡ γῆ ἐγέννησε τὸν Τιτυόν. ἀλλ' ἐροῦμεν, ὅτι οἱ ποιηταὶ τοὺς τερατώδεις κατὰ τὸ σῶμα Γῆς εἶναί φασιν· οὕτω γὰρ καὶ Καλλίμαχος τὰ δεινὰ τῶν θηρίων Γῆς εἶναι ἔφη. ὅτι δὲ μέγας ὁ Τιτυός, καὶ Ὅμηρός φησιν·

Ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα.

φαμὲν οὖν, ὅτι, ὅτε πρὸς Ἐλάρης ἐτέχθη, ἐδόκει αὐτῆς εἶναι διὰ τὸ βραχὺ τοῦ σώματος· ὡς δὲ αὐξηθεὶς τερατώδης ἐγένετο, εἶπον καὶ τεχθῆναι αὐτὸν καὶ τετράφθαι πρὸς τῆς Γῆς.

CCCXXXIX. Περὶ Ἐλεγειίδος τῆς καὶ Πειροῦς.

Ἐλεγειΐς ἡ θυγάτηρ Νηλέως, τοῦ ἡγησαμένου εἰς Ἰκαρίαν τῆς Ἰώνων ἀποικίας, ἧς τὸ κύριον ὄνομα Πειρώ φασιν εἶναι. εἴρηται δὲ παρὰ τὸ ἀκολασταίνειν· διὸ οὐδεὶς αὐτὴν Ἀθηναίων ἠβουλήθη γῆμαι.

CCCXL. Περὶ Εἰδοθέας.

Εἰδοθέα, ἣν καὶ Ἰωνικῶς οἴδαμεν Εἰδοθέειαν καλουμένην, θυγάτηρ Πρωτέως ἦν.

CCCXXXIX. Etym. M. p. 327, 11 CCCXL. Eustath. Dion. 259

3 Od. XI, 576 7 fr. 376 τὰ δεινὰ γὰρ τῶν θηρίων γῆς ἔκγονα tentavit Schneider Callim. II, p. 571 10 Il. XI, 577 13 ἔπλασαν E

CCCXLI. *Διὰ τί Ἑλλωτὶς ἡ Ἀθηνᾶ εἴρηται.* 146

Ἑλλωτὶς Ἀθηνᾶ, οὕτω καλουμένη, ἐτιμᾶτο ἐν Κορίνθῳ· καὶ ἑορτὴ Ἑλλώτια. εἴρηται δὲ Ἑλλωτὶς ἡ θεός, ὅτι Βελλεροφόντης τὸν Πήγασον ἵππον ἑλὼν καθ' ὑποθήκην καὶ συμμαχίαν τῆς Ἀθηνᾶς ἐχαλίνωσε, καὶ ἀπὸ τοῦ ἑλεῖν τὸν ἵππον Ἑλλωτίαν προσηγόρευσεν αὐτήν.

CCCXLII. *Περὶ Ἕλλης καὶ Φρίξου.*

Ἀθάμας υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, ποιεῖ ἐκ Νεφέλης δύο παῖδας Φρίξον καὶ Ἕλλην. τελευτησάσης δὲ αὐτῆς, γαμεῖ δευτέραν γυναῖκα τὴν Ἰνώ. αὕτη δέ, ὡς μητρυιά, ἐπεβούλευε τοῖς παισὶ τοῖς ἐκ τῆς προτέρας γυναικός· καὶ φρύττουσα τὰ σπέρματα παρεῖχε τοῖς γεωργοῖς πρὸς σπόρον· οἱ δὲ ἔσπειρον μὲν ἐν τῇ γῇ. ἡ δὲ γῆ λαβοῦσα οὐκ ἔφερε τοὺς καρποὺς τοὺς ἐτησίους διὰ τὸ πεφρύχθαι τὸν σπόρον. Ἀθάμας οὖν, ὡς βασιλεύς, συναγαγὼν τοὺς μάντεις ἠρώτα αὐτούς, μαθεῖν βουλόμενος τὴν αἰτίαν τῆς ἀφορίας. ἡ δὲ Ἰνὼ πέμπει πρὸς αὐτοὺς δῶρα ἐπαγγελλομένη δώσειν, εἰ φήσειαν πρὸς Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα, τὰ ἐκ τῆς προτέρας γυναικὸς αὐτῷ γεγονότα, Φρίξος καὶ Ἕλλη, οὐκ ἂν ἐκφύσειεν ἡ γῆ τοὺς καρπούς. πεισθέντες δὲ οἱ μάντεις λέγουσι ταῦτα ὑποστρέψαντες τῷ Ἀθάμαντι. μελλόντων δὲ τῶν παί-

CCCXLI. Etym. M. p. 332, 43 CCCXLII. Argum. Apoll. Arg. V. Eud. p. 235 et 419. *ἔνθα αὐτὸς — τελευτᾷ* Tzetzes Lyc. 22 *ἀλλὰ ταῦτα* — exit. Palaeph. 31

2 *Ἑλλώτια* Hesych. Alex. *Ἑλλωτία* Etym. M. PV 8 *Φρίξον* omnibus locis P *Φρύξον* V 11 *φρίττουσα* et 14 *πεφρίχθαι* P corr. V 22 *τῶν* addidi ex P om. V

δων τῆς Νεφέλης, Ἕλλης καὶ Φρίξου, φονεύεσθαι, κριὸς ἀπήγγειλεν αὐτοῖς τὸν ἐπηρτημένον κίνδυνον, εἶτα ἐπὶ τῶν νώτων λαβὼν εἴσεισιν εἰς θάλασσαν καὶ νηχόμενος ἔφερεν αὐτούς. ἐλθὼν δὲ εἰς τὸ Τρωϊκὸν πέλαγος ἀποβάλλει τὴν Ἕλλην (ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντος ὠνομάσθη), τὸν δὲ Φρίξον ἐπὶ τὴν Σκυθίαν διακομίζει. ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριὸν καὶ θύει Φυξίῳ Διΐ, ὅτι ἐξέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς. γαμεῖ δὲ Χαλκιόπην, τὴν θυγατέρα Αἰήτου τοῦ Κόλχων βασιλέως, καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἄργον, Κυτίσσωραν, Μέλανα καὶ Φρόντιν· καὶ οὕτως ἐκεῖ τελευτᾷ. ἀλλὰ ταῦτα μέν ἐστι δύσπιστα καὶ μυθώδη, τὸ ὡς πλοῖον τὸν κριὸν διανήχεσθαι, καὶ ταῦτα βαστάζοντα δύο ἀνθρώπους. καὶ ποῦ τὰ σιτία καὶ ποτὰ καὶ αὐτοῦ καὶ ἐκείνων; οὐ γὰρ δή που ἄσιτοι τοσοῦτον χρόνον διέμειναν. εἶτα Φρίξος τὸν τὴν σωτηρίαν αὐτῷ φράσαντα κριὸν καὶ διασώσαντα σφάξας καὶ τὸ δέρμα ἀποδείρας ἔδωκεν ἕδνον Αἰήτῃ. ὁ δὲ ἔδωκε τῇ ἑαυτοῦ θυγατρί· ὁ γὰρ Αἰήτης τῶν Κόλχων, ὡς εἴρηται, τότε ἐβασίλευεν.
147 ὅρα δέ, τότε πῶς καὶ τὰ δέρματα σπάνια ἦν, ὡς τὸν βασιλέα ἕδνον ἰδίας θυγατρὸς τὸ κώδιον λαβεῖν, οὕτω τοῦ μηδενὸς ἀξίαν τὴν ἑαυτοῦ θυγατέρα ἐνόμιζεν. ἤδη δέ τινες, ἵνα τὸν γέλων ἐκφύγωσι, χρυσοῦν φασιν εἶναι τὸ δέρμα τουτί. καὶ εἰ χρυσοῦν τὸ δέρμα ἦν, οὐκ ἐχρῆν τὸν βασιλέα λαβεῖν παρὰ ἀνδρὸς ξένου.

---

11 *Κυτίσσωραν* F *Κτίσωραν* PV 13 *καὶ μυθώδη* om. F 19 *Αἰήτῃ τῆς θυγατρὸς αὐτοῦ* Fischer *Αἰήτῃ ἕνεκεν τῆς αὐτοῦ θυγατρὸς* melius Westermann. 23 *ἐνόμιζε* PV 25 *καὶ* addidi ex F om. PV

ἀλλ᾽ οὐδ᾽ ὁ Φρίξος οὕτως ἀχάριστος ἦν, ὥστε τὸν εὐεργέτην ἀνελεῖν, οὐδέ, εἰ σμαράγδιον ἦν τὸ κώδιον, ἐπέπλευσεν ἡ Ἀργὼ δι᾽ αὐτό. καὶ γὰρ λέγεται, ὅτι Ἰάσων ἐπὶ τὸ κώδιον τοῦτο τὴν Ἀργὼ ἔστειλε, καὶ τοὺς τῶν Ἑλλήνων ἀρίστους αὐτὸ κομισομένους. ἀλλὰ περιττὸν τὸ τὰ γελοῖα ἀνασκευάζειν· καὶ γὰρ γελοιωδέστερόν πως φαίνεται. ἡ δὲ ἀληθεστέρα ἱστορία οὕτως ἔχει. Ἀθάμας, ὁ Αἰόλου τοῦ Ἕλληνος, ἐβασίλευε τῆς Φθίας· ἦν δὲ αὐτῷ ἀνὴρ ἐπίτροπος τῶν χρημάτων, ὃν μάλιστα πιστὸν ἡγεῖτο, ὀνόματι Κριός, ὃς αἰσθόμενος τὸν Ἀθάμαντα ἀποκτεῖναι ἐθέλοντα τὸν Φρίξον, δηλοῖ τοῦτο τῷ Φρίξῳ. ὁ δὲ Φρίξος κατεσκεύασε ναῦν καὶ ἐνέθετο ἐν αὐτῇ χρήματα πάμπολλα, ἐν ᾗ νηῒ καὶ ἡ μήτηρ Πέλοπος· ὄνομα δὲ αὐτῇ Ἠώς. καὶ αὕτη ἐκ τῶν αὐτῆς χρημάτων εἰκόνα ποιησαμένη χρυσῆν ἐνέθετο. σὺν τοῖς χρήμασι γοῦν καὶ Φρίξον καὶ Ἕλλην ὁ Κριὸς ἐν ταύτῃ ἐνθεὶς ᾤχετο ἀπιών. ἡ μὲν οὖν Ἕλλη κατὰ τὸν πλοῦν ἀσθενήσασα ἀπέθανεν, ἐξ ἧς καὶ Ἑλλήσποντος ἐκλήθη. αὐτοὶ δὲ ἀφικόμενοι εἰς τὸν Φάσιν κατοικοῦσιν αὐτοῦ. καὶ γαμεῖ Φρίξος τὴν τοῦ τῶν Κόλχων βασιλέως θυγατέρα Αἰήτου, δοὺς ἕδνα τούτῳ τὴν χρυσῆν εἰκόνα τῆς Ἠοῦς, ἀλλ᾽ οὐχὶ δέρμα Κριοῦ.

CCCXLVIII. *Περὶ τῆς Ἐμπούσης.*

Ἔμπουσα, φάντασμα δαιμονιῶδες, ὑπὸ Ἑκάτης

CCCXLIII. Schol. Ar. Ran. 294 (Suid.), in quo postrema verba *λέγεται* seq. desiderantur

---

1 *ἀλλ᾽ οὐδ᾽ — δι᾽ αὐτὸ* in F post *ἀρίστους τῶν Ἑλλήνων* leguntur   8 *Αἰόλου* F *Στόλου* PV   9 *Φθίας* F *Φρυγίας* PV   20 *εἰς τὸν Φάσιν* F *εἰς τὸν Φάρον* PV

ἐπιπεμπόμενον καὶ φαινόμενον τοῖς δυστυχοῦσιν, ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. καὶ οἱ μέν φασιν αὐτὴν μονόποδα εἶναι, καὶ ἐτυμολογοῦσιν οἱονεὶ ἑνίποδα, διὰ τὸ ἑνὶ ποδὶ κεχρῆσθαι, οἱ δέ, ὅτι ἐξηλλάττετο τὴν μορφήν. δοκεῖ καὶ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. ἔνιοι δὲ αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀριστοφάνης ἐν Ταγηνισταῖς· „χθονίας Ἑκάτης σπείρας ὄφεων ἐλελιξομένης“. εἶτα ἐπιφέρει· „τί καλεῖς Ἑκάτην τὴν Ἔμπουσαν“; καί· „καὶ σκέλος χαλκοῦν ἔχει“; ἔνιοι δὲ ὄνου σκέλος λέγουσι, διὸ παρά τισι καλεῖσθαι ὀνόκωλον. τὸ δὲ ὅλον, φησὶ Κράτης, ἔοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. λέγεται δέ, ὅτι ἡ ἴασπις ἀλεξίκακός ἐστι καὶ ἀποτροπιαστικὴ φασμάτων, ὧν ἕν ἐστι καὶ ἡ Ἔμπουσα.

148 CCCXLIV. *Περὶ Ἐνδυμίωνος.*

Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης παῖδα λέγει, παρὰ Διὸς εἰληφότα δῶρον αὐτόν, ταμίαν εἶναι θανάτου, ὅτε μέλλοι ὀλέσθαι. τούτου δὲ τὴν Σελήνην ἐρασθῆναι μυθεύονται. Σαπφὼ γὰρ καὶ Νίκανδρος ἱστορεῖ περὶ τοῦ τῆς Σελήνης ἔρωτος ἐν δευτέρῳ Εὐρωπείας. λέγεται κατέρχεσθαι εἰς τὸ Λάτμιον ἄντρον τὴν Σελήνην πρὸς Ἐνδυμίωνα. Ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί

CCCXLIV. Schol. Apoll. IV, 58

8 Restitui textum fragm. XIV—XV. Cf. Meineke fr. com. II, 2, p. 1153 *χθονίας Ἑκάτης πείρα σοφῶν ἐξελιζομένη* et *τί καλεῖς τὴν Ἔμπουσαν* PV 9 Reposui textum Ar. Ran. 294 *καὶ σκέλος χαλκοῦν ἔχει* PV 15 fr. 204 G *Καλίκης* PV 16 *ἳν αὐτῷ* et *θέλοι* F 18 fr. 134 B 20 *Εὐρωπείας* scripsi e coni. Keil. *Εὐρώπης* PV 21 Kinkel I, p. 237, qui Eudociae locum neglexit; Müller IV, p. 405

φησι τῆς Ἥρας· διόπερ Διὸς χαλεπήναντος, αἰτήσασθαι διὰ παντὸς καθεύδειν. καὶ οὕτω Θεόπομπος ὁ ἐποποιός. ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις τὸν Ἐνδυμίωνα λέγεται ἀνενεχθῆναι ὑπὸ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας εἰδώλῳ παραλογισθῆναι [τὸν ἔρωτα] νεφέλης καὶ ἐκβληθέντα κατελθεῖν εἰς Ἅιδου. ὁ δὲ Ἴβυκος ἐν πρώτῳ Ἤλιδος αὐτὸν βασιλεῦσαί φησι. τινὲς δὲ διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναί φασιν αὐτὸν καὶ αἰτήσασθαι παρὰ Διός, ἀεὶ καθεύδειν. φασὶ δὲ αὐτὸν οἱ μὲν Σπαρτιάτην, οἱ δὲ Ἠλεῖον, ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τῷ Ἐνδυμίωνος ὕπνῳ μῦθον· φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον νύκτωρ πρὸς τῇ Σελήνῃ κυνηγεῖν διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομάς, τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς τινας οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. ἄλλοι δὲ ἀλληγοροῦσι τὸν μῦθον λέγοντες, ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ, παρασχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν Σελήνην ἔν τε φωτισμοῖς καὶ κινήσεσι· διὸ καὶ νύκτωρ σχολάζοντα τούτοις ὕπνῳ μὴ χρῆσθαι, κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. τινὲς δὲ τῷ ὄντι φίλυπνόν τινα γεγονέναι αὐτόν φασιν, ἀφ' οὗ καὶ παροιμία „Ἐνδυμίωνος ὕπνος“ ἐπὶ τῶν πολὺ κοιμωμένων ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. καὶ Θεόκριτος μέμνηται·

2 Miro modo in PV verba καὶ Θεόπομπος ἐν ταῖς Μεγάλαις Ἠοίας mendis scatent, legendum enim καὶ vel καὶ οὕτω Θεόπομπος ὁ ἐποποιός ἐν δὲ ταῖς Μεγ. — λέγεται. Cf. Düntzer, Epic. fr. II, p. 98 5 Verba τὸν ἔρωτα in PV nescio unde illapsa claudicant 6 Ἴβικος PV fr. 43 B 12 πρὸς τῇ Σελήνῃ F πρὸς τὴν Σελήνην PV 15 τινας F τινα PV 23 Zenob. III, 76

Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων.

CCCXLV. *Διὰ τί Ἐνόρχης ὁ Διόνυσος.*

Ἐνόρχης ὁ Διόνυσος. φασὶ γὰρ δύο ἀδελφοὺς συμμιγέντας, Θυέστην καὶ Δαΐταν, ἐξ ὠοῦ τεκεῖν παῖδα Ἐνόρχην καλούμενον, ὃς ναὸν ἱδρυσάμενος Διονύσῳ ἀπὸ τοῦ ἰδίου αὐτοῦ ὀνόματος τοῦτον ἐκάλεσεν. ἢ Ἐνόρχης λέγεται, ὅτι μετ' ὀρχήσεως αὐτοῦ τὰ μυστήρια ἐτελεῖτο, ἢ ὅτι ἐν ὄρχοις καὶ φηγοῖς διῆγεν. οἱ δὲ αἰσχράν τινα ἱστορίαν φασί. Διόνυσον γὰρ λέγουσι ψηλαφᾶν τὴν μητέρα μετὰ τὸ κεραυνωθῆναι αὐτήν.
149 *Πολύσυμνος δέ τις νεανίας ἔφη δεῖξαι τὴν πρὸς ταύτην ὁδόν, εἰ συγγένοιτο αὐτῷ· ὁ δὲ ὑπέσχετο τοῦτο ποιῆσαι, εἰ πρῶτον εὑρήσει τὴν μητέρα. καὶ δὴ βουλαῖς Πολυσύμνου κατελθὼν εἰς τὸν Ἅιδην ἐκ τῆς Λέρνης πηγῆς ἀνάγει αὐτήν. τελευτήσαντος δὲ Πολυσύμνου, Διόνυσος θέλων πληρῶσαι τὴν ὑπόσχεσιν σύκινα αἰδοῖα προσῆψεν ἑαυτῷ καὶ φαλλοὺς δερματίνους ἐλάφων, ὅθεν καὶ Ἐνόρχης, ὥς φασι, λέγεται.*

CCCXLVI. *Περὶ Ἐνυοῦς.*

Ἐνυὼ δαιμόνιόν τι πλάττεται μάχιμον, ἀπὸ τοῦ ἔνω τὸ φονεύω, ὡς ὁ Ἡρακλέων φησίν, ἢ ἡ ἐνιοῦσα

CCCXLV. Tzetzes Lyc. 212 *οἱ δὲ αἰσχράν τινα* — exit. Nonn. I, 37 (Cosm. p. 261; cod. Mon. 490 fol. 460). V. Eud. p. 412 seq. CCCXLVI. Cornut. 21 (Nonnulla affert Etym. M. p. 337, 37)

---

2 Theocr. III, 49, quocum *ἐμὶν* servavi, quamquam in scholio *ἔην* legitur 4 Nomen fratris vitiosum esse videtur; *Δαιτᾶν* nonnulli Tzetzae libri praebent, alii *Διαιτᾶ*, quorum neutrum placet 20 De grammatico Her. silet F

θυμὸν καὶ ἀλκὴν τοῖς μαχομένοις, ἢ κατ' εὐφημισμὸν ἀπὸ τοῦ ἥκιστα ἐνηὴς καὶ ἐπιεικὴς εἶναι. οὕτω καὶ ὁ Ἄρης τὴν ὀνομασίαν ἔσχεν ἀπὸ τοῦ αἴρειν καὶ ἀναιρεῖν, ἢ ἀπὸ τοῦ ἄρη, ἥ ἐστι βλάβη, ἢ πάλιν κατὰ ἐναντίωσιν, ὡσανεὶ ἐκμειλισσομένων αὐτὸν τῶν προσαγορευόντων, ἀπὸ τοῦ ἄρσαι, ὅ ἐστιν ἁρμόσαι· ἡ γὰρ δραστικὴ δύναμις προσαρμόζει τὰ πράγματα, τοιούτου τάχα τινὸς ἐχομένης καὶ τῆς Ἁρμονίας, ἣν ἐμύθευσαν ἐξ αὐτοῦ γενέσθαι. τὴν δὲ Ἐνυὼ οἱ μὲν τροφόν, οἱ δὲ μητέρα, οἱ δὲ θυγατέρα αὐτοῦ παρέδωκαν.

CCCXLVII. *Περὶ Ἐπειοῦ.*

Ἐπειός, ὁ Πανοπέως υἱός, τὸν δούρειον ἵππον κατεσκεύασε, δι' οὗ τὸ Ἴλιον ἐπορθήθη. φασὶ γάρ, ὡς νγ' Ἀχαιοὶ ἐμβάντες εἰς αὐτὸν ἐκάθηντο. ἑλκυσθέντος δὲ τοῦ ἵππου παρὰ τῶν Τρώων εἴσω τοῦ τείχους, νυκτὸς ἐξελθόντες καὶ φρυκτὸν δείξαντες τοῖς λοιποῖς Ἕλλησιν οὖσιν ἐν Τενέδῳ, κἀκείνοις ἐλθοῦσι, κατεπόρθησαν τὸ Ἴλιον. ἄλλοι δέ φασιν οὕτως, ὅπερ καὶ ἀληθέστερον, ὅτι ὁ Ἐπειὸς ἵππον κατεσκεύασε ξύλινον, πρὸς μέγεθος μετεωρότερον τῶν πυλῶν, ὅπως μὴ ἑλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχῃ τῷ μεγέθει. οἱ δὲ λοχαγοὶ ἐκάθηντο ἐν κοίλῳ χωρίῳ περὶ τὴν πόλιν, ὃ Ἀργείων λόχος ἐκαλεῖτο. αὐτόμολος δὲ ἐλθὼν ὁ Σίνων εἰς Ἴλιον φράζει τοῖς Ἰλιεῦσιν εἰσαγαγεῖν τὸν

CCCXLVII. Tzetzes Lyc. 930. V. Eud. p. 125 *ἄλλοι δέ φασιν* — exit. Palaeph. 17

---

2 *ἐνιὴς* PV 4 *ἀπὸ τοῦ ἄρη* F. Cf. Eud. p. 12 9 *Ἐννυὼ* semper P corr. V 14 *νγ'* ex F restitui *γν'* PV

ἵππον, προσθεὶς καὶ τὸ μὴ εἰσελθεῖν τοὺς Ἕλληνας, οὗ ὑπακούσαντες καὶ τὰς πύλας καθελόντες τὸν ἵππον εἰσάγουσιν. αὐτῶν δὲ εὐωχουμένων, οἱ Ἕλληνες ἐπεισέρχονται, καὶ οὕτος ἑάλω ἡ Τροία.

150 CCCXLVIII. Περὶ Ἐπικράτους.

Ἐπικράτης οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγός, ὁ καὶ σακεσφόρος ἐπικαλούμενος, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας. ἕτερος δέ ἐστιν Ἐπικράτης, οὗ μέμνηται Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως λέγων, ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἑξακοσίων οὐσίαν. ἄλλος δέ ἐστι πάλιν Ἐπικράτης [ὁ] τοῦ Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ. οὗτος μέντοι ἐπώνυμον ἦρχε Κυρηβίων, ὡς ὁ Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου.

CCCXLIX. Περὶ Ἐπιμενίδου.

Ἐπιμενίδης Κρὴς Κνώσσιος, κατὰ δέ τινας Φαίστιος. ἡ δὲ Φαιστὸς λέγεται μὲν ὅτι πάλαι ποτὲ ἠπειρῶτις ἦν, διέχουσα θαλάσσης σταδίους εἴκοσι, Γόρτυνος δὲ ἑξήκοντα. κατεσκάφη δὲ ὑπὸ Γορτυνίων· μεγάλη δὲ αὕτη ἡ τῶν Γορτυνίων πόλις κατὰ τὸν

CCCXLVIII. Harpocrat. s. v. (Suid.) CCCXLIX. Diogenes Laert. I, 10 V. Eud. p. 166 (ἡ δὲ Φαιστὸς — Κνωσσός Eustath. Dion. 498. V. Eud. p. 263). Eadem vita legitur in cod. Par. 2600, ex quo edidit Miller, Périple p. 311 seq.

r προσθεὶς P πρόσθεις V 6 σακεσφόρος coni. Kuesterus ἔφορος plerique libri Εὔφορος PV 9 λέγων — ἐφήβων om. S Cf. fr. 25 Müller 12 ὁ cum FS eieci ὡς δηλοῦται — ἀπολογίᾳ om. S 13 πρεσβείας recepi ex F παραπρεσβείας PV

Γεωγράφον εἰπόντα· πόλεις Κρήτης μέγισται Γόρτυνα, Κυδωνία καὶ Κνωσσός. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι Γορτύνη δευτερεύει μετὰ Κνωσσὸν κατὰ δύναμιν, καὶ ὅτι συμπράττουσαί ποτε ἀλλήλαις, πάντας εἶχον ὑπηκόους τοὺς ἐκεῖ. ἦν τοίνυν ὁ Ἐπιμενίδης ἀνὴρ σοφός τε καὶ ἐποποιός, ὅς ποτε παρὰ τοῦ πατρὸς πεμφθεὶς εἰς τὸν ἀγρὸν ἐπὶ πρόβατον καὶ τῆς ὁδοῦ ἁμαρτὼν ὑπ' ἄντρῳ τηνικαῦτα κατεκοιμήθη ἔτη ἑπτὰ πρὸς τοῖς πεντήκοντα· ὅθεν καὶ παροιμία ἐλείφθη „ὑπὲρ τὸν Ἐπιμενίδην κοιμᾶσθαι.“ διαναστὰς δὲ μετὰ ταῦτα, ἐζήτει τὸ πρόβατον, ὡς δὲ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρόν. καὶ μετασκευασμένα πάντα εὑρὼν [καὶ] παρ' ἄλλῳ τὸν ἀγρόν, διαπορῶν ἦλθεν εἰς τὸ ἄστυ. καὶ μόλις τὸν ἑαυτοῦ νεώτερον ἀδελφὸν εὑρών, τότε ἤδη γέροντα, παρ' ἐκείνου τὸ πᾶν ἔμαθε. γνωσθεὶς δὲ παρὰ τοῖς Κρησὶ καὶ πᾶσι σχεδὸν τοῖς Ἕλλησι θεοφιλέστατος εἶναι ὑπελήφθη· ὅθεν καὶ Ἀθηναίοις τότε λοιμῷ κατεχομένοις ἔχρησεν ἡ Πυθία καθῆραι τὴν πόλιν. οἱ δὲ πέμψαντες ναῦν καὶ Νικίαν τὸν Νικηράτου εἰς Κρήτην μετεκαλέσαντο τὸν Ἐπιμενίδην. καὶ ὃς ἐλθὼν καθάρας τε τὴν πόλιν ἔπαυσε τὸν λοιμόν, καὶ τῶν σεμνῶν θεῶν ἱερόν, καθάπερ καὶ ἐν Κρήτῃ, ἱδρύσατο. οἱ δὲ Ἀθηναῖοι εὐγνωμονοῦντες τάλαντα ἐψηφίσαντο αὐτῷ δοῦναι καὶ ναῦν εἰς Κρήτην ἀπάξουσαν. ὁ δὲ τὸ μὲν τάλαντον οὐκ ἐδέξατο, φιλίαν δὲ καὶ συμμαχίαν Ἀθηναίων καὶ Κνωσσίων

---

1 Strabo X, p. 476 3 *δευτερεύει* P *δευτερεῖ* V 9 *ὅθεν — κοιμᾶσθαι* om. F. De proverbio nostro v. Gregor. Cypr. II, 23 13 *διαπορούμενος* F 17 *Ἕλλησε θεοφιλέστατος* F *ἕλλησι φιλέστατος* P *Ἕλλησι θεωφιλέστατος* V 22 Verba *καθάπερ — ἱδρύσατο* om. F Paris. 2600; forte interpolatori debentur. Cf. Unters. p. 91

151 ἐποιήσατο. καὶ ἐπανελθὼν μετ' οὐ πολὺ τὸν βίον κατέστρεψεν, ἔτη βιοὺς ρνζ'. οἱ δὲ περὶ τ' ἔτη ζῆσαι αὐτόν φασιν. συγγράμματα δὲ αὐτοῦ φέρεται τάδε· Κουρήτων καὶ Κορυβάντων γένεσις, Θεογονία εἰς ἔπη πεντακισχίλια, Ἀργοῦς ναυπηγία καὶ Ἰάσονος ἀπόπλους εἰς Κόλχους ἔπη ἑξακισχίλια. ἐποίησε δὲ καὶ καθαρμοὺς δι' ἐπῶν, καὶ τὸ καταλογάδην περὶ θυσιῶν συνέγραψε καὶ τῆς Κρητικῆς πολιτείας, καὶ περὶ Μίνω καὶ Ῥαδαμάνθυος ἔπη τετρακισχίλια καὶ ἄλλα τινά.

CCCL. *Περὶ τοῦ Ἐρεχθέως.*

Ἐρεχθεὺς υἱὸς Ἡφαίστου μυθεύεται παρὰ τὸ διασχίσαι αὐτὸν τὴν γῆν καὶ γεννηθῆναι ἀπὸ τοῦ σπέρματος Ἡφαίστου, ἡνίκα ἔκρυψεν αὐτὸν ἡ Ἀθηνᾶ ἐν τῇ γῇ· ἢ παρὰ τὸ ἐρέχθω, τὸ κινῶ. ἡ δὲ μυθοποιΐα ἐστὶν αὕτη. ὁ Ζεὺς βουλόμενος ἀποκυῆσαι ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ τὴν Ἀθηνᾶν, ἵνα κυηθείη, λόγους προσφέρει τῷ Ἡφαίστῳ περὶ τούτου. ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως εἵλετο σχίσαι τὴν κεφαλὴν τοῦ Διός, εἰ μὴ τὴν γεννωμένην διαπαρθενεύσει· καὶ ὑπέσχετο ὁ Ζεύς. λαβὼν δὲ ὁ Ἥφαιστος τὸν βουπλῆγα τέμνει τὴν κεφαλὴν τοῦ Διός, καὶ ἐξέρχεται ἡ Ἀθηνᾶ. αὐτὴν δὲ ἐπεδίωκεν ὁ Ἥφαιστος, ἵνα αὐτῇ συγγένηται. καὶ ἐπιδιώκων ἀπεσπέρμηνεν εἰς τὸν μηρὸν τῆς

CCCL. Etym. M. p. 371, 34. V. Eud. p. 159. Eadem tradidit Schol. Gregor. Naz. in Clarkii Catal. Bodlei. p. 45

---

5 Ἰάσονος et 7 καταλογάδην correxi, Ἰάσωνος et κατ' ἐκλογάδην PV 19 διαπαρθενεύσει F ἀποπαρθενεύσει PV ὑπέσχετο correxi, ἠνέσχετο FPV 23 ἀπεσπέρμηνεν Etym. ἀπεσπέρμαινεν Schol. ἀπεσπέρμανεν PV

Ἀθηνᾶς. ἡ δὲ Ἀθηνᾶ λαβοῦσα ἔριον ἀπεμάξατο τὸ σπέρμα καὶ ἔρριψεν ἐν τῇ γῇ. καὶ ἐκ τῆς γῆς ἐγένετο καὶ τοῦ ἐρίου ἄνθρωπος δρακοντόπους, ὃς καλεῖται Ἐρεχθεὺς καὶ Ἐριχθόνιος· ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς τοὔνομα λαβών.

CCCLI. *Περὶ τῶν Ἐριννύων.*

Ἐριννύες μυθικῶς δαίμονές εἰσι καταχθόνιοι, τιμωρητικαί, ὧν τὰ ὀνόματα Μέγαιρα, Τισιφόνη καὶ Ἀληκτώ, αἵτινες κατὰ μὲν Ἡσίοδον καὶ τοὺς λοιποὺς ποιητὰς ἐκ τῶν σταγόνων τοῦ αἵματος τῶν αἰδοίων τοῦ Κρόνου ἐγένοντο, κατὰ δὲ Αἴσχυλον μόνον Ἐριννύες „Νυκτὸς αἰανῆς τέκνα“ [ταύτας φησὶ γενέσθαι], ἐρευνήτριαι τῶν ἁμαρτανόντων οὖσαι, ὡσπερεὶ μεγαίροντος τούτοις τοῦ θεοῦ καὶ τιννυμένου, ἤγουν τιμωρουμένου τοὺς γινομένους ὑπ' αὐτῶν φόνους καὶ ἀλήκτως καὶ ἀπαύστως τοῦτο ποιοῦντος. σεμναὶ δ' αὗται αἱ θεαὶ καὶ Εὐμενίδες λέγονται κατὰ τὸ τὴν εἰς τοὺς ἀνθρώπους εὐμένειαν τῆς φύσεως διατάττεσθαι καὶ τὸ τὴν πονηρίαν κολάζεσθαι. φρικώδεις δὲ τὰς ὄψεις ἔχουσαί εἰσι καὶ πυρὶ καὶ μάστιξι τοὺς ἀσεβεῖς διώκουσαι καὶ ὄφεως πλοκάμους ἔχουσαι, τῷ τοιαύτην φαντασίαν τοῖς κακοῖς ποιεῖν, ὡς ἂν ἀπο- 152
τίνωσι ποινὰς ἀντὶ τῶν πλημμελημάτων. ἐν Ἅιδῃ

CCCLI. Tzetzes Lyc. 406. *ἐρευνήτριαι — τοῖς ἀξίοις* Cornut. 10 *ἀλληγορικῶς — ἐπέρχεσθαι* Tzetzes Lyc. l. c. *αἱ Ἐριννύες — ἁμαρτανόντων* Hesych. s. v. *λέγονται δὲ καὶ στυγεραί* — exit. Eustath. Il. p. 763

---

1 *ἀπεμάξατο* Schol. *ἐξέμαξε* PV 8 Theog. 190 11 Eum. 416. Verba inepta removi 12 *ἐρευνήτριαι* F *ἐρευνητῆρες* PV 21 *κακῶς* P corr. V 22 *πλημμελημάτων* F *πλημμελημένων* PV

οἰκεῖν λέγονται διὰ τὸ ἐν ἀσαφεῖ κεῖσθαι τὰς τούτων αἰτίας, καὶ ἀπροόρατον ὑφίστασθαι τὴν φοίτησιν αὐτῶν τοῖς ἀξίοις. ἄλλως. ἀλληγορικῶς Ἐριννύες αἱ τιμωρητικαὶ δυνάμεις παρὰ τὸ ἐν τῇ ἔρᾳ καὶ τῇ γῇ ναίειν, ἢ παρὰ τὸ τὰς ἀρὰς ἀνύειν· Τισιφόνη παρὰ τὸ τίειν τοὺς φονεῖς, Μέγαιρα παρὰ τὸ μεγαίρειν καὶ τὸ φθονεῖν τοῖς κακοῖς, Ἀληκτὼ παρὰ τὸ μὴ λήγειν τιμωρεῖν τοὺς τοιούτους. Κρόνου δὲ καὶ Νυκτὸς παῖδες διὰ τὸ ἀφανῶς καὶ ἀοράτως τὰς ἐνεργητικὰς ταύτας δυνάμεις ἐπέρχεσθαι, αἵτινες ἐν ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήγοντο. καὶ ἄλλως αἱ Ἐριννύες καμπεσίγονοι λέγονται ἀπὸ τοῦ κάμπτειν τὰ γόνατα τῶν ἁμαρτανόντων. λέγονται δὲ καὶ στυγεραὶ ἤγουν φρικταὶ καί, ὡς εἰπεῖν, κρυεραὶ καὶ ῥιγεδαναί, παρὰ τὴν Στύγα, τὴν ἐν Ἅιδου πηγήν· δαιμόνια γὰρ τιμωρητικὰ αἱ Ἐριννῦς, μάλιστα μὲν ἐκδικοῦσαι τὰ εἰς γονεῖς ἁμαρτήματα, δοκοῦσαι δὲ καὶ τοῖς λοιποῖς ἐπεξιέναι ἀδικήμασιν, ὡς αἱ ποιήσεις δηλοῦσιν. ἔτι δὲ πτερωταὶ πλάττονται διὰ τὸ κατ' ἀλληγορίαν πάνυ τάχυ τῆς θεόθεν δίκης καὶ ἄφυκτον. εἰσὶ δὲ ἀγριώπαται κατὰ δημίους καὶ μέλαναι διὰ τὸ ἀφανῶς ἐπιέναι τοῖς κακοῖς, καὶ τανύποδες διὰ τὸ οἷον μακροσκελὲς καὶ οὕτω πλατὺ τῆς διαβάσεως καὶ ταχὺ καὶ εὐκίνητον. τὸ δ' αὐτῶν ὄνομα παρὰ τὸ ἐρι ἐπιτακὸν καὶ τὸ ἀνύειν, ὡς ἄγαν ἀνυστικαῖς ἢ σπουδαίαις· ἀνύειν γὰρ καὶ τὸ σπεύδειν παρ' Ἀττικοῖς. ἢ ὡς ἀρὰς

2 φοίτησιν PV τίσιν F 5 τίειν F τιννύειν PV 9 ἐνεργητικὰς PV ἐκδικητικὰς F 14 φρυκταὶ P corr. V 15 δὲ F 20 καὶ addidi ex F om. PV 22 ταναύποδες F 24 ἐκκίνητον perperam F

ἀνύουσαι, ἢ ὡς οἷον Ἐλινύες ἀντιφραστικῶς αἱ μάλιστα γοργαί, καὶ ὅσαι ἄλλαι τούτων ἐτυμολογίαι, ζητητέον παρὰ τοῖς παλαιοῖς, ἐν οἷς ἀεὶ παρθένοι λογοποιοῦνται διὰ τὸ μὴ ληπταὶ εἶναι προσώποις καὶ ἀεὶ ὁρῶσαι πάντα τὰ ἐν βροτοῖς πάθη καὶ ὡς εἰπεῖν ἄλαστοι, διὸ καὶ μνήμονες αὐταί· ὅθεν καὶ Ζεὺς ἀλάστωρ καὶ ὁ φθονερὸς δαίμων ἀλάστωρ ἐπενοήθη λέγεσθαι. αἱ δὲ αὐταὶ καὶ σεμναὶ καὶ δειναὶ καὶ δεινῶπες καὶ ἔκφοβοι, ἔτι δὲ καὶ ποίνιμοι, διὰ τὸ κατ' αὐτὰς φοβερόν. λέγονται καὶ Εὐμενίδες κατ' ἀντίφρασιν καὶ χαλκόποδες διὰ τὸ ἀκάματον, ἔτι δὲ καὶ τὸ βαρὺ τῆς ἐπεμβάσεως, καὶ μετάδρομοι κακῶν ἔργων, ἔτι δὲ καὶ λωβητῆρες ὑστεροφθόροι, ὡς μετὰ τὸ πραχθῆναί τι κακόν ἐπάγουσαι λώβην αὐταί, καὶ ἄφυκτοι κύνες διὰ τὸ οἷον ἰχνηλατεῖν, εἶτα καὶ δάκνειν τοὺς κακούργους, καὶ ἄοινοι δὲ διὰ τὸ νηφάλιον καὶ ἀνύστακτον ἐπὶ τοῖς ἁμαρτάνουσι καὶ μάλιστα τοῖς φονεῦσι. διὸ καὶ μίαν τούτων Τισιφόνην ἐκάλεσαν, ἐπεὶ δίκας αὐτῇ τίνουσιν οἱ φονεῖς.

CCCLII. Περὶ τῆς Ἑλένης. 153

Ἑλένη ἔργῳ μὲν Διὸς καὶ Λήδας, τῆς Πλευρωνίας Θεστίου παιδός, θυγάτηρ μυθεύεται γενέσθαι, λόγῳ δὲ Τυνδάρεω τοῦ ἐκ Λακεδαίμονος. ὁμοίως Κάστωρ καὶ Πολυδεύκης. ταύτην, ὥς φησι Δοῦρις ὁ Σάμιος, πέντε ἔγημαν ἄνδρες. καὶ πρῶτος Θησεὺς

CCCLII. Tzetzes Lyc. 143 εἴρηται — κάλλει Etym. M. p. 328, 2

1 ἀνύουσαι emendavi, ἀνίουσαι PV 7 καὶ φθόνος καὶ δαίμων F 16 ἄοινοι scripsi cum F ἄυπνοι PV 18 φονεύουσι F 24 Müller II, p. 470

ἑπταετῆ ἁρπάσας, ἀφαιρεθεὶς αὐτὴν ἐν τῷ ἡττηθῆναι ὑπὸ Πολυδεύκους καὶ Κάστορος τῶν αὐτῆς ἀδελφῶν, ἐν Ἀφίδναις πολυχνίῳ τῶν Ἀθηνῶν, καὶ γεννήσασαν Ἰφιγένειαν καὶ θετὴν παῖδα τὴν Κλυταιμήστραν ποιεῖται. δεύτερος Ἑλένης νύμφιος ὁ Μενέλαος, νομίμως ἐκ κλήρου ταύτην λαχών. τρίτος Ἀλέξανδρος, ἁρπάσας αὐτήν. τέταρτος μετὰ θάνατον Ἀλεξάνδρου Δηΐφοβος, ὁ αὐτοῦ ἀδελφός, ἀριστεύσας κατὰ πόλεμον καὶ ταύτην ὡς ἀριστεῖον λαβών, ἢ βίᾳ κατ' Εὐριπίδην. πέμπτος Ἀχιλλεὺς πρὸ Δηϊφόβου ὀνείρῳ ταύτῃ μιγείς, ὡς ληροῦσι. Λυκόφρων δὲ καὶ αὐτὸς πεντάλεκτρον θυάδα, ἤτοι Βάκχον αὐτὴν καλεῖ. εἴρηται δὲ Ἑλένη παρὰ τὸ πολλοὺς ἑλεῖν τῷ κάλλει.

CCCLIII. *Περὶ τοῦ Ἑρμοῦ.*

Ὁ Ἑρμῆς Μαίας υἱὸς λέγεται διά τε τὸ ἐν ζώοις θρεπτικὸν καὶ ἐπιμελές, ὁποῖά τις καὶ ἡ ἐν ἀνθρώποις Μαῖα. καὶ ἀλληγορικῶς δὲ διὰ τὸ τοῦ Ἑρμοῦ

CCCLIII. Cornut. 16 *ὠνόμασται δὲ — ἐπενθέσει τοῦ* Eustath. Il. p. 182 *οἱ δ' αὐτὸν — τὸ σὸν μένος* Cornut. l. c. *ἡ δὲ ἀλληγορία Ἑρμῆν — φύσεως* Eustath. Il. p. 182 *ἡ τοίνυν τοῦ Ἑρμοῦ — σκῆπτρον* Eustath. Od. p. 1657 *καὶ Κυλλήνιος — ἀϋπνίας* Eustath. Od. p. 1951 *λέγεται δὲ ὁ Ἑρμῆς — τῷ Ἑρμῇ* Eustath. Od. p. 1809 *λέγεται δὲ* — exit. Eustath. Od. p. 1397

---

3 *πολύχνιον* P corr. V 8 *διίφοβος* P corr. V 10 Troad. 959 11 Alex. 142 13 Eadem manu in margine scripta sunt haec: *Θησεὺς καὶ Πειρίθοος φιλίαν ποιησάμενοι ἁρπάσαι συνέθεντο τὴν Διὸς θυγατέρα Ἑλένην. ἁρπάσαντες οὖν αὐτὴν παρέθεντο ἐν Ἀφίδναις τῆς Ἀττικῆς Αἴθρᾳ τῇ Πιθέως μὲν θυγατρί, μητρὶ δὲ Θησέως. Κάστωρ δὲ καὶ Πολοδεύκης οἱ τῆς Ἑλένης ἀδελφοὶ πορθήσαντες τὴν Ἀττικὴν Αἴθραν λαμβάνουσιν αἰχμάλωτον. ἁρπαγείσης δὲ πάλιν ὑπ' Ἀλεξάνδρου τῆς Ἑλένης συναπῆρεν αὐτῇ Αἴθρα ἐπὶ Τροίαν*

λόγου ζητητικὸν καὶ ἐρευνητικόν. τοῦτον ἡγεμόνα παραδιδόασι τῶν Χαρίτων, ἐμφαίνοντες ὅτι εὐλόγως δεῖ χαρίζεσθαι καὶ μὴ εἰκῇ, ἀλλὰ τοῖς ἀξίοις. ὁ γὰρ ἀχαριστηθεὶς ὀκνηρότερος γίνεται πρὸς τὸν εὐεργέτην. τυγχάνει δὲ Ἑρμῆς ὁ λόγος, ὅν, ὥς φασιν, ἀπέστειλαν πρὸς ἡμᾶς οἱ θεοί, μόνον τὸν ἄνθρωπον ἀπὸ τῶν ἐπὶ γῆς ὄντων λογικὸν ζῷον ποιήσαντες, ὃ παρὰ τἆλλα ἐξοχώτατον εἶχον αὐτοί. ὠνόμασται δὲ ἀπὸ τοῦ εἴρω τὸ ἀγγέλλω, ἐξ οὗ Ἐρέας ὄνομα, ὡς ὁ Αἰνέας καὶ πλεονασμῷ τοῦ μ Ἑρμέας, ἐξ οὗ Ἑρμῆς· πλεονάζειν γάρ φασι πολλαχοῦ τὸ μ, ὥσπερ καὶ ἐν τῷ μοχλός, ἀπὸ τοῦ ὀχλῶ, καὶ ἀπὸ τοῦ εἴρω εἶραξ καὶ μεῖραξ, καὶ ἐκ τοῦ ἀχύρου ἀχυρμιά, καὶ ἐκ τοῦ τέκω τέκμωρ, τὸ τέλος· οὕτως Ἐρέας Ἑρμέας, ἐξ οὗ Ἑρμῆς καὶ Ἑρμείας, ἐπενθέσει τοῦ ι. ἔχει δὲ ὁ Ἑρμῆς ἀπὸ κράσεως τὸ περισπᾶσθαι, ὡς δηλοῖ καὶ Ἡρωδιανός. οἱ δὲ αὐτὸν ἐτυμολογοῦσιν ἀπὸ τοῦ ἐρεῖν καὶ μήσασθαι, ὅ ἐστι λέγειν, ἢ ἀπὸ τοῦ ἔρυμα ἡμῖν εἶναι καὶ οἷον ὀχύρωμα. ἔνθεν δὲ πρῶτον μὲν διάκτορος κέκληται, ἤτοι ἀπὸ τοῦ διάτορος εἶναι καὶ τρανός, ἢ ἀπὸ τοῦ διάγειν τὰ νοήματα ἡμῶν εἰς τὰς 154
τῶν πλησίον ψυχάς, καθὸ καὶ τὰς γλώσσας αὐτῷ καθιεροῦσιν. εἶτα ἐριούνιος ὀνομάζεται ἀπὸ τοῦ μεγαλωφελής τις εἶναι καὶ καθ' ὑπερβολὴν ὀνεῖν τοὺς χρωμένους αὐτῷ, καὶ σῶκος, ὡσανεὶ σωτὴρ τῶν οἴκων ὑπάρχων, ἤ, ὥς τινες, ἰσχυρός. καὶ τὸ ἀκάκητα λέγεσθαι, τοιούτου τινὸς σημεῖόν ἐστιν· οὐ γὰρ πρὸς

4 *ὀκνορότερος* P corr. V   9 *Αἰνέας* recte P *Αἰνείας* V
15 Verba *ἔχει* — *Ἡρωδιανός* sumpta sunt ex Eustath. Od. p. 1951   19 *ἔνθεν δὲ* F *ἐνθένδε* PV   21 *διάγειν* F *διαλέγειν* PV   26 *ἀκάκητα* F *ἀκώκητον* P *ἀκάκητον* V

τὸ κακοῦν καὶ βλάπτειν, ἀλλὰ πρὸς τὸ σώζειν μᾶλλον γέγονεν ὁ λόγος, ὅθεν καὶ τὴν ὑγείαν αὐτῷ συνῴκισαν. ἀργειφόντης δέ ἐστιν, οἱονεὶ ἀργεφάντης, ἀπὸ τοῦ ἀργῶς πάντα φαίνειν καὶ σαφηνίζειν· τὸ γὰρ λευκὸν ἀργεννὸν ἐκάλουν οἱ παλαιοί. ἢ ἀπὸ τῆς κατὰ τὴν φωνὴν ταχύτητος· καὶ γὰρ τὸ ταχὺ ἀργὸν λέγεται κατὰ ἀντίφρασιν. χρυσόρραπις δέ, ὅτι πολύτιμός ἐστι [καὶ ὁ ἐξ αὐτοῦ ῥαπισμός]· πολλοῦ γὰρ ἀξία ἐστὶν ἡ εὔκαιρος νουθεσία καὶ ἐπιστροφὴ τῶν αὐτῇ προσεχόντων. παραδέδοται δὲ καὶ κῆρυξ θεῶν καὶ διαγγέλλειν αὐτὸν ἔφασαν τὰ παρ' ἐκείνων τοῖς ἀνθρώποις· κῆρυξ μέν, ἐπεὶ διὰ φωνῆς γεγωνοῦ παριστᾷ τὰ κατὰ τὸν λόγον σημαινόμενα ταῖς ἀκοαῖς· ἄγγελος δέ, ἐπεὶ τὸ βούλημα τῶν θεῶν γινώσκεται ἐκ τῶν ἐνδεδομένων ἡμῖν κατὰ τὸν λόγον ἐνεργειῶν. πέδιλα δὲ φέρει πτερωτὰ καὶ δι' ἀέρος φέρεται συμφώνως τῷ Ὁμήρῳ, καθάπερ εἴρηται τὰ ἔπη πτερόεντα· καὶ γὰρ τὴν Ἶριν ποδήνεμον διὰ τοῦτο καὶ ἀελλόποδα καλοῦσιν ἄγγελον, ἀπὸ τοῦ ὀνόματος παρεισάγοντες. ψυχοπομπὸν δὲ τὸν Ἑρμῆν ἐμυθεύσαντο εἶναι συμβάλλοντες, ὅπερ ἴδιον αὐτοῦ ἐστι, τὸ ψυχαγωγεῖν. διὰ τοῦτο καὶ ῥάβδον αὐτῷ ἐγχειρίζουσι,

— τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,

τὰ τῆς διανοίας δηλονότι,

— τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.

καὶ παρορμᾶν γὰρ τοὺς παρειμένους ῥᾳδίως καὶ καταστέλλειν τοὺς παρωρμηκότας δυνατός ἐστιν. ἐντεῦθεν

---

5 ἀργὸν Osann. 6 τὴν φωνὴν F τοῦ φοιτῶ PV 8 Haec verba in F omissa merito removi 12 γεγωνοῦ F γεγονυίας P γεγωνυίας V 16 Od. V, 45 23 Od. V, 47—48

ἤδη τοὺς ὀνείρους ἐπιπέμπειν ἔδοξε καὶ μάντις εἶναι διὰ τοῦ τοιούτου τρόπου, τρέπων ὡς βούλεται τὰς φαντασίας· θεῶν τ' ἄγγελοι ὄνειροι. οἱ δ' ἀποπληροῦντες περὶ τὴν εἰρημένην ῥάβδον, τὸ τοῦ κηρυκίου σχῆμα, δράκοντες σύμβολόν εἰσι τοῦ καὶ τοὺς θηριώδεις ὑπ' αὐτοῦ κηλεῖσθαι δέοντος τὰς ἐν αὐτοῖς διαφορὰς καὶ συνδέοντος αὐτοὺς ἅμματι δυσλύτῳ. διὰ τοῦτο γὰρ καὶ εἰρηνοποιὸν δοκεῖ τὸ κηρύκιον εἶναι. φέρουσι δ' ἄλλως οἱ μετιόντες τὴν εἰρήνην καὶ θαλλοὺς ἀνὰ χεῖρας, πρὸς ὑπόμνησιν τοῦ γεωργεῖσθαι θέλειν τὴν χώραν καὶ φειδώ τινα εἶναι τῶν ἡμέρων καὶ καρποφόρων φυτῶν. ἐκ δὲ Μαίας ἔφασαν γεγενῆσθαι Διῒ τὸν Ἑρμῆν, ἀποδηλοῦντες πάλιν διὰ τούτου, θεωρίας καὶ ζητήσεως εἶναι γέννημα τὸν λόγον. 155
καὶ γὰρ αἱ [μαῖαι] μαιούμεναι τὰς γυναῖκας ἐντεῦθεν εἴρηνται μαῖαι, τῷ ὡσανεὶ ἐξερευνήσει προάγειν εἰς φῶς τὰ βρέφη. πλάττεται δὲ καὶ ἄχειρ καὶ ἄπους καὶ τετράγωνος τῷ σχήματι ὁ Ἑρμῆς· τετράγωνος μὲν τῷ τὸ ἑδραῖόν τε καὶ ἀσφαλὲς ἔχειν, ὥστε καὶ τὰς πτώσεις αὐτοῦ βάσιν εἶναι· ἄχειρ δὲ καὶ ἄπους, ἐπεὶ οὔτε ποδῶν οὔτε χειρῶν δεῖται πρὸς τὸ ἀνύειν τὸ προκείμενον αὐτῷ. οἱ δ' ἀρχαῖοι τοὺς μὲν πρεσβυτέρους καὶ γενειῶντας Ἑρμᾶς ὀρθὰ ἐποίουν τὰ αἰδοῖα ἔχοντας, τοὺς δὲ νεωτέρους καὶ ἀγενείους παρειμένα, παριστάντες, ὅτι ἐν τοῖς προβεβηκόσι ταῖς ἡλικίαις

---

5 *ἐστι* PV 6 *καλεῖσθαι δέοντας* (*λύοντος* F) et infra *συνδέοντας* P corr. V 7 *αὐτὰς* PV 9 *θαλοὺς* PV 14 *τὸν λόγον* rectius F *τὸ ζῶον* PV 15 *μαῖαι* ut glossema seclusi 16 *προσάγειν* P corr. V 20 *αὐτῶν* PV 22 *προκείμενον* P et F *προσκείμενον* V 23 *γενειῶντας Ἑρμᾶς* F *γεννῶντας τὸν Ἑρμῆν* PV 24 *παρειμένα, παριστάντες* F *ἀνειμένους παριστῶντες* PV

γόνιμος ὁ λόγος καὶ τέλειός ἐστιν, ὃς δὴ καὶ τυχὼν τῷ ὄντι ἐστὶ τυγχάνων, ὧν ἂν πρόθηται, ἐν δὲ τοῖς ἀώροις ἄγονος καὶ ἀτελής. ἵδρυται δὲ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐνόδιος λέγεται καὶ ἡγεμόνιος, ὡς αὐτῷ εἰς πᾶσαν πρᾶξιν ἡγεμόνι χρῆσθαι, καὶ αὐτοῦ ὄντος τοῦ ἐν ταῖς βουλαῖς εἰς τὴν δέουσαν ἡμᾶς ἀνάγοντος. τάχα δὲ καὶ ἐπ' ἐρημίας, ἐπειδὴ κἀκεῖ τῆς παρασκευῆς αὐτοῦ καὶ τῆς θεραπείας δεῖ. διὰ δὲ τὸ κοινὸν αὐτὸν εἶναι καὶ τὸν αὐτὸν ἔν τε ἀνθρώποις πᾶσι καὶ πᾶσι τοῖς θεοῖς, ὁπόταν τις εὕρῃ τι προάγων ἐν ὁδῷ, σύνηθες ἐπιφθέγγεσθαι κοινὸν εἶναι τὸν Ἑρμῆν. ὃς δὴ συνίστωρ ἐστὶ τῆς εὑρέσεως ἐνόδιος ὤν, ἐμφαίνοντες, ὅτι κοινὸν ἀξιοῦσιν εἶναι καὶ τὸ εὑρημένον, ἐντεῦθεν καὶ τῶν εὑρημάτων Ἑρμαίων λεγομένων. προσσωρεύουσι δὲ τοὺς λίθους τοῖς Ἑρμαῖς, ἑκάστου τῶν παριόντων ἕνα τινὰ αὐτοῖς προστιθέντος, ὡς χρήσιμόν τι καὶ κοινωνικὸν τὸ παρ' αὐτοῦ ἑκάστου ποιοῦντος, διὰ τοῦ καθαίρειν τὴν ὁδόν, εἴτε μαρτυροποιούμενος τὸν Ἑρμῆν, εἴτε ὡς ἐπισημαινόμενος τὴν εἰς αὐτὸν τιμήν, εἰ μηδὲν ἄλλο ἔχειν προσενεγκεῖν αὐτῷ, εἴτε ἐκδηλότερον τοῖς παριοῦσι τὸ ἀφίδρυμα ποιῶν, εἴτε πρὸς σύμβολον τοῦ ἐκ μικρῶν μερῶν συνεστάναι τὸν προφορικὸν λόγον. λέγεται δὲ καὶ Ἀγοραῖος πρῶτος, εἰκότως· ἐπίσκοπος γὰρ τῶν ἀγοραζόντων τι ἢ πιπρασκόντων, ὡς μετὰ

2 πρόθηται F πρόσθηται PV 9 καὶ τὸν αὐτὸν add. F om. PV 10 πᾶσι om. Osann. 11 τὸν Ἑρμῆν F τῷ Ἑρμῇ PV 13 τὸ εὑρημένον F τῶν εὑρημένων PV 15 προσωρεύουσι PV ἑκάστου — προστιθέντος — ἑκάστου ποιοῦντος ex optimis libris restituit Osann. ἕκαστος — προστιθείς — ἕκαστος ποιῶν PV

λόγου πάντα ποιεῖν δέοντως. ἐντεῦθεν καὶ τῶν ἐμπορίων ἐπιστάτης ἔδοξεν εἶναι καὶ ἐμπολαῖος καὶ κερδῷος ἐπωνομάσθη. τῆς δὲ λύρας εὑρετής ἐστιν, οἷον τῆς συμφωνίας καὶ ὁμολογίας, καθ' ἣν οἱ ζῶντες εὐδαιμονοῦσιν, ἡρμοσμένην ἔχειν τὴν διάθεσιν ἐπιβάλλοντος. παραστῆσαι δ' αὐτοῦ τὴν δύναμιν καὶ διὰ τῶν ἀπεμφαινόντων θέλοντες κλέπτην αὐτὸν παρέδωκαν καὶ δολίου βωμὸν Ἑρμοῦ ἱδρύσαντο. λανθάνει γὰρ ὑφαιρούμενος τὸν προδιδόμενον τοῖς ἀνθρώποις καὶ κλέπτων ἔσθ' ὅτε τῇ πιθανότητι τὴν ἀλήθειαν, ὅθεν τινὰς καὶ ἐπικλόποις λόγοις χρῆσθαι λέγουσι. καὶ γὰρ τὸ σοφίζεσθαι τῶν εἰδότων λόγῳ χρῆσθαι ἴδιόν ἐστι. νόμιος δὲ λέγεται, τῷ ἐπ' ἀνορ- 156
θώσει νόμος εἶναι προστακτικὸς ὧν τῶν ἐν κοινωνίᾳ ποιητέων. διὰ γοῦν ὁμωνυμίαν μετήχθη καὶ ἐπὶ τὴν τῶν νόμων ἐπιμέλειαν. σέβονται δὲ αὐτὸν καὶ ἐν ταῖς παλαίστραις μετὰ τοῦ Ἡρακλέους, ὡς τῇ ἰσχύει μετὰ λογισμοῦ χρῆσθαι δέοντος. τῷ γὰρ πεποιθότι μόνῃ τῇ τοῦ σώματος δυνάμει, τοῦ δὲ λόγου, ὃς καὶ τέχνας εἰς τὸν βίον ἤγαγεν, ἀμελοῦντι, πάνυ τις οἰκείως ἐπείποι·

Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος.

ἄλλως. ὁ Ἑρμῆς λέγεται νόμιος καὶ αὐξητικὸς τῶν θρεμμάτων. ὃ δὴ καὶ ὁ Ἀπόλλων ἥλιος ἔχει καὶ αἱ ἀλληγορούμεναι Νύμφαι, αἳ γῆθεν ἀναδίδουσι τροφὰς

---

1 δεόντως PV 4 ὁμολογίας F ὁμονοίας PV 5 ἔχειν — ἐπιβάλλοντος F ἔχει — ἐπιβάλλων PV 6 αὐτοῦ F αὐτῷ PV 7 διὰ τῶν F τὴν τῶν PV 8 βωμὸν addidi ex F om. PV 13 ἐπανορθώσει PV 14 προστακτικὸς ὧν F προστακτικὸς τὴν P προστακτικὸς V ἐν F ὡς PV 15 ὁμόνοιαν PV 16 νόμων rectius Osann. λόγων vulg. 17 ὡς F ἐν PV 18 τῷ γὰρ πεποιθότι — ἀμελοῦντι F τῶν γὰρ πεποιθότων — ἀμελούντων PV 21 Il. VI, 407

τοῖς ζώοις, ὡς ἐπιστατοῦσαι κρήναις καὶ ἄλσεσι καὶ ἱεροῖς ποταμοῖς. ἡ δ' ἀλληγορία Ἑρμῆν τὸν λόγον νοεῖ καὶ ἐκ τοῦ ἑρμηνεύειν αὐτὸν ἐτυμολογεῖ, ὡς ἑρμηνεύοντα τὰ τῆς ψυχῆς βουλεύματα καὶ ἐξαγγέλλοντα· ὅθεν καὶ διάκτορον αὐτὸν καλεῖ, οἷα τορῶς, ὅ ἐστι σαφῶς, αὐτὰ προάγοντα. τὸν δὲ αὐτὸν ἀργειφόντην ἐπονομάζει, ὡς ἀργὸν φόνου· εἰρηνικὸς γὰρ ὁ λόγος. ὁ δὲ μῦθος ἀργειφόντην τὸν φονέα τοῦ Ἄργου καλεῖ, ὃν φύσεως τέρας ἡ ἱστορία παραδίδωσιν, ὀφθαλμοὺς αὐτῷ ἀνοίξασα διὰ παντὸς τοῦ σώματος, οὓς ἄλλοτε ἄλλους ἀνοίγων καὶ τοῖς μὲν μύων, τοῖς δὲ βλέπων, ἄϋπνος ἦν διὰ βίου, ἄστροις μέν τισιν ἀνατέλλουσιν, ἐπανοίγων τοὺς μύοντας ὀφθαλμοὺς συνανατέλλοντας, ὥσπερ καὶ αὐτοῦ, ἑτέροις δὲ αὖ πάλιν τῶν ἀστέρων δυομένοις ἐγκαταμύων τοὺς βλέποντας ὀφθαλμοὺς καὶ ὥσπερ συγκαταδύων τὸν ἐν αὐτοῖς ὀπτικὸν ἥλιον, ὃ καὶ Εὐριπίδης δηλοῖ, ἐν οἷς φησιν Ἄργου ὄμματα, „τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖς τι ὄμματα βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα". καὶ οὕτω μὲν ὁ μῦθος πολυωπὸν πλάττει τὸν Ἄργον. ἡ δὲ ἱστορία τὸν Ἄργον τοῦτον, ὃς καὶ πανόπτης ἐπεκαλεῖτο, πολυπράγμονα τὰ εἰς ὄψιν εἶναι βούλεται καὶ ὀριγνώμενον πᾶσι παρεῖναι πράγμασι καὶ ἀεί ποτε καὶ ὡς οἷόν τε συνεχῶς πάντα ὁρᾶν καὶ μηδέν τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ διαλανθάνειν αὐτόν. ἴσως δὲ καὶ ἀγχίνους ὁ ἄνθρωπος ἦν καὶ τὰ μὲν ὁρῶν, τὰ δὲ προορῶν, ὁποῖον

---

6 ὡς προείρηται add. F καὶ post αὐτὸν add. F 7 εἰρηνικὸν F 19 Lectionem restitui ex Eurip. Phoeniss. 1116 seq. σὺν ἄρθρων ἐπιτολαῖσι βλέποντα PV

ὁ ποιητὴς λέγει τὸν βλέποντα τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν. τυχὸν δὲ καὶ ὀξὺς ἦν τὴν θέαν, ἀλλὰ καὶ ἐγρηγορὼς τὰ πολλὰ καὶ ὀλίγῳ ὕπνῳ ἑαυτὸν ἐπιτρέπων. διὸ ὁ μῦθος πολλοὺς ὀφθαλμοὺς αὐτῷ ἐφιλοτιμήσατο. εἰκὸς δὲ καὶ εὐθυόνειρον εἶναι τὸν ἄνθρωπον· καὶ ἐδόκει καὶ κατὰ τοῦτο ἄϋπνος εἶναι, ὡς καὶ ἐν τῷ ὑπνοῦν ἐοικὼς καθορᾶν διὰ τὴν ἀληθῆ τῶν φαντασιῶν ἔκβασιν. ὥσπερ δὲ τὸν Ἄργον ὁ μῦθος αἰνιγματωδῶς ἐσέμνυνεν, οὕτω καὶ ἄλλον τινὰ 157
πολλὰ πράττοντα ταῖς χερσὶν ἑκατόγχειρα ἔπλασε, καί τινι ἀκαμάτῳ ὄντι τὴν πορείαν ἀπὸ χαλκοῦ τὸ σκέλος ἐσφυρηλάτησε, καὶ ἀκουστικὸν δέ τινα ὄντα ὄνου φέρειν εἶπε, τερατολογῶν πολυτρόπως τὰς φιλοτιμίας τῆς φύσεως. ἄλλως. ῥάβδον χρυσείην δίδωσιν Ὅμηρος τῷ Ἑρμῇ, ᾗ τῶν μὲν ὄμματα θέλγει, τοὺς δὲ ὑπνώοντας ἐγείρει. καὶ λέγει, ὡς ταύτῃ κινήσας ἦγε τὰς ψυχάς, ὡς εἶναι καὶ ταύτην ἐνέργειαν τῆς Ἑρμαϊκῆς ῥάβδου. γίνεται δὲ ῥάβδος παρὰ τὸ ῥᾳδίως ποιεῖν βαδίζειν. ἡ τοίνυν τοῦ Ἑρμοῦ ἐπὶ τοῖς ἐγρηγορόσιν ἢ καθεύδουσιν λαμβάνεται, ἡ δὲ τῆς Ἀθηνᾶς εἰς Ὀδυσσέα ποτὲ μὲν νέον ποιεῖ, ποτὲ δὲ γέροντα, τῆς Κίρκης δὲ κατὰ τῶν πινόντων κυκεῶνα, οὕτω δὴ καὶ τὸ τοῦ Ποσειδῶνος σκηπάνιον, ἤτοι σκῆπτρον. φασὶ δέ, ὅτι Ἑρμῆς πρῶτος Ἀπόλλωνι σκευωρίαν μουσικὴν ἐξ ὀστράκου χελώνης ἐμηχανήσατο εἰς λύσιν μήνιδος τῆς ἐπὶ κλοπῇ τῶν ἐκείνου βοῶν. διὸ καὶ χέλυς ἡ αὐτὴ καὶ λύρα· τοῦτο μὲν ὡς οἷον λύτρα τις, |ἐκεῖνο δὲ ὡς ἀπὸ τῆς χελώνης, ἀφ' ἧς ἡ χέλυς. λέγεται δὲ

2 ὡς προγέγραπται add. F 10 χερσὶ PV 15 ὑπνόωντας P corr. V 26 Sic correxi, τῶν ἐκείνου PV

τρικέφαλος, ὥσπερ διδάσκων τὰς ὁδοὺς καὶ ἔχων ὑπογραφήν, ποῖ μὲν αὕτη φέρει ἡ ὁδός, ποῖ δὲ αὕτη· ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἦν δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν Πατροκλείδης. καὶ Κυλλήνιος δὲ προσαγορεύεται μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἐστὶν Ἀρκαδίας ὀνομασθὲν ἀπὸ Κυλλήνης ἡρωΐδος τινός. περιᾴδεται δὲ διαφερόντως, ἐν τοῖς περὶ τὸ τοιοῦτον ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν κἀκεῖθεν ἔχειν τὸ λεχθὲν ἐπίθετον. κατὰ μέντοι ἀλληγορίαν Κυλλήνιος τοῦ ὕπνου δοτήρ, ὁ τὰς ἡνίας τῶν κύλων ἢ κυλάδων ἔχων, ὃ δηλοῖ τὰ ὑπὸ τοὺς ὀφθαλμούς, ὅθεν καὶ κυλοιδιᾶν τὸ τὰ κύλα τῶν ὀφθαλμῶν οἰδεῖν, ἐκ μακροϋπνίας τυχὸν ἢ ἀϋπνίας. λέγεται δέ, ὅτι Ἑρμῆς πρῶτος, οἷα κῆρυξ καὶ διάκτορος, καθήρας τὰς ὁδούς, εἴπου λίθους εὗρεν, ἐπετίθει ἔξω ὁδοῦ, ὅθεν τοὺς τοιοῦτόν τι ποιοῦντας καὶ τὰς ὁδοὺς τῷ Ἑρμῇ, ὡς διακτόρῳ, ἐκκαθαίροντας εἰς τιμὴν Ἑρμοῦ τοὺς τῶν τοιούτων λίθων σωροὺς Ἕρμαια ἢ ἑρμαίους λόφους καλεῖν φασι. καὶ Ἑρμοῦ τοῦ εἰς λόγον ἀλληγορουμένου σύμβολον εἶναι τὸ τοιοῦτον ἔργον. ὡς γὰρ σωρὸς λίθων ἐκ μικρῶν εἰς μέγαν ὀγκοῦται κολωνόν, οὕτω καὶ Ἑρμῆς ἀποτάδην διεξοδικῶς ἐκ βραχυτάτων στοιχείων τε καὶ συλλαβῶν καὶ λέξεων σεσωρευμένος εἰς πολὺ κορυφοῦται. ἄλλοι δὲ εἶπον, Ἑρμῇ ἀνελόντι τὸν Ἄργον, ἐξ οὗ καὶ Ἀργειφόντης ἐκλήθη, ἀνάγκην γενέσθαι δίκας τοῦ φόνου ἀποτιννύειν. ἐπεὶ δὲ Διῒ πεισθεὶς ἐπλημμέλησε τὸ

10 ὁ rectius F ὃς PV 12 παρ' Ἀττικοῖς add. F 14 ὅτι scripsi, ὁ PV 15 καθήρας addidi ex F om. PV 18 Ἕρμαια F Ἕρμεα PV 21 μεγάλον PV

κακὸν καὶ ὤκνουν αὐτὸν τίσασθαι, προσέρριψαν τὰς 158 *ψήφους, ὁ καθ' ἕνα τῶν κρειττόνων ἠρέμα τῷ Ἑρμῇ βάλλοντες, οἷον ἐκεῖνον λίθοις· καὶ οὕτω τὴν τοῦ φόνου ποινὴν ἀφωσιώσαντο. καὶ οἱ τῶν ψήφων ἐκείνων λίθοι ἀναβάντες τῇ σωρείᾳ εἰς λόφον εἰς τιμὴν ὕστερον ἔπεσον τῷ Ἑρμῇ. λέγεται δὲ καὶ κύβων εἶναι προστάτης ὁ Ἑρμῆς, ὥσπερ καὶ ὁ Πάν.*

CCCLIV. *Περὶ τοῦ Ἔρωτος.*

Ἔρως κατὰ μὲν Ἀπολλώνιον Ἀφροδίτης πλάττεται υἱός, κατὰ δὲ Σαπφὼ Γῆς καὶ Οὐρανοῦ, κατὰ δὲ Σιμωνίδην Ἀφροδίτης καὶ Ἄρεως, κατὰ δὲ Ὀρφέα Χρόνου. Ἴβυκος δὲ καὶ Ἡσίοδος ἐκ Χάους λέγουσι τὸν Ἔρωτα γεννηθῆναι. ὃν καὶ τυφλὸν οἱ παλαιοὶ παραδιδόασιν, ὥσπερ καὶ τὸν Πλοῦτον. ὁ γὰρ ἐρῶν τυφλός ἐστιν, ὅτε ἐρᾷ γυναικὸς δυσειδοῦς, ἥτις δοκεῖ αὐτῷ καλλίστη εἶναι, ὅπερ ἐστὶ τυφλότης, ὥστε ὁ Ἔρως τυφλός, ἤγουν τυφλοποιός· ποιεῖ γὰρ τοὺς ἐρῶντας τὰ μὴ καλὰ καλὰ ἡγεῖσθαι. ὁ δὲ Πλοῦτος τυφλός ἐστι· καὶ γὰρ τοὺς καλοὺς καὶ κοσμίους παρέρχεται καὶ δίδωσιν ἑαυτὸν τοῖς κακίστοις καὶ βδελυροῖς. ἔστι δὲ ὁ Ἔρως θερμὸς καὶ δυσκάθεκτος πόθος, ὃς οὐδὲν παράδοξον, εἰ τῇ Ἀφροδίτῃ τοιαύτῃ οὔσῃ συντιμᾶται καὶ συμπαραγίνεται, τῶν πλείστων υἱὸν αὐτῆς παραδεδωκότων. πλάττεται δὲ παῖς ὁ Ἔρως διὰ τὸ ἀτελῆ τὴν

CCCLIV. Schol. Apoll. III, 26 *ἔστι δὲ ὁ Ἔρως* — exit. Cornut. 25

---

8 Arg. III, 26 9 fr. 132 B 10 fr. 22 Herm. *Χρόνου* scripsi cum F *Κρόνου* PV 11 fr. 31 B et Theog. 120. *Ἴβυκος* *** *ὁ δὲ Ἡσίοδος* ed. Keil. *Ἴβυκος δὲ καὶ Ἡσ.* FPV

γνώμην καὶ εὐεξαπάτητον ἔχειν τους ἐρῶντας· πτερωτὸς δέ, ὅτι κουφόνους ποιεῖ, ἢ ὅτι ὡς ὄρνις προσίπταται ταῖς διανοίαις ἀθρόως· τοξότης δέ, ἐπεὶ πληγῇ τινι ὅμοιον ἀπὸ τῆς προσόψεως οἱ ἁλισκόμενοι αὐτῷ πάσχουσιν, οὔτε πλησιάσαντες οὐτάμενοι τῶν καλῶν, ἀλλὰ μακρόθεν αὐτοὺς ἰδόντες. ἀναδίδοται δὲ λαμπὰς αὐτῷ, πυροῦν δοκοῦντι τὰς ψυχάς. καλεῖται δὲ καὶ Ἵμερος, ἤτοι παρὰ τὸ ἵεσθαι καὶ φέρεσθαι ἐπὶ τὴν ἀπόλαυσιν τῶν ὡραίων ὠνομασμένος ἢ κατὰ μίμησιν τῆς περὶ τὴν διάνοιαν ἐκστάσεως, ὡς ἀναμεμωρῆσθαι περὶ ταύτην. Πόθος δὲ ἀπὸ τῆς τῶν φιλημάτων μιμήσεως, ὅθεν ἔσχε τὴν κλῆσιν καὶ ὁ πάπας, ἢ ἀπὸ τοῦ πολλὰ πυνθάνεσθαι περὶ τῶν ἐρωμένων τοὺς ἐρῶντας καὶ αὐτῶν ἐκείνων, πόθεν ἔρχονται καὶ ποῦ ἦσαν. ἔνιοι δὲ καὶ τὸν ὅλον κόσμον νομίζουσιν Ἔρωτα εἶναι, καλόν τε καὶ ἐπαφρόδιτον καὶ νεαρὸν ὄντα καὶ πρεσβύτατον ἅμα πάντων καὶ πολλῷ κεχρημένον πυρὶ καὶ ταχεῖαν, ὥσπερ ἀπὸ τῆς τοξείας ἢ διὰ πτερῶν τὴν κίνησιν ποιούμενον.

159 CCCLV. *Περὶ Ἐριχθονίου.*

Ἐριχθόνιος Ἡφαίστου υἱὸς λέγεται καὶ Ἀθηνᾶς τῆς Βρονταίου θυγατρός, τῆς καὶ Βελονίκης καλουμένης· πολλαὶ γὰρ Ἀθῆναι καὶ Ἀφροδῖται καὶ οἱ μία, οὐδὲ μυθική, ὡς καὶ τὰ λοιπὰ τῶν ὀνομάτων.

CCCLV. Tzetzes Lyc. 111. V. Eud. p. 151

2 κουφόνους F καὶ φόνους PV 4 προσόψεως F προστάξεως PV 9 ὠνομασμένος F ὠνομασμένων PV 10 ἐκστάσεως F ἐκτάσεως PV ἀναμεμωρῆσθαι F ἀναμεμωρεῖσθαι PV 21 Βελονίκης F Βελενίκης PV

ταύτῃ τοίνυν τῇ βασιλίδι Ἥφαιστος γάμῳ μιγείς γεννᾷ τὸν Ἐριχθόνιον, ὃς ἐβασίλευεν Ἀττικῆς. ὡς δέ τισιν ἱστορεῖται, γηγενής· ἐκ τῆς Γῆς γάρ, ὥς φασιν, ἀνεδόθη, ὅθεν τοὺς Ἀθηναίους πάντας γηγενεῖς φάσκουσιν ἀπὸ τούτου. Ἀθηνᾶν γὰρ ληροῦσιν ἐλθοῦσαν πρὸς Ἥφαιστον ἕνεκεν ὅπλων κατασκευῆς ἐρασθεὶς Ἥφαιστος ἐδίωκε. καταλαβὼν δέ, ὡς ἀντέπιπτεν αὐτῷ Ἀθηνᾶ, περὶ τοὺς μηροὺς ἐπεσπέρμηνεν. ἡ δὲ μυσαχθεῖσα, ἐρίῳ εἰς γῆν τὸν γόνον ἀπέρριψεν. ἀνεδόθη δὲ ὁ Ἐριχθόνιος, ὁ καὶ Ἐρεχθεὺς λεγόμενος, κληθεὶς ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονός. ἄλλοι δὲ τοῦτο γενέσθαι φασίν, ὅτε ὁ Ζεὺς τὴν Ἀθηνᾶν ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ ἐνεργείᾳ τοῦ Ἡφαίστου ἀπεκύησε, καθὼς καὶ προείρηται.

CCCLVI. *Περὶ τῶν Ἑσπερίδων.*

Ἑσπερίδες θυγατέρες λέγονται Φόρκου καὶ Κητοῦς. ταύταις δὲ ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἣν ἐφύλασσε δράκων, ἐφ᾽ ἃ μῆλα καὶ Ἡρακλῆς ἐστρατεύσατο. Ἑσπερίδες δὲ ἐπωνομάσθησαν διὰ τὸ ἑσπέρας ἐπιφαίνεσθαι ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ κατοικεῖν. ἀπὸ τούτων καὶ ἡ νῆσος, ἣν κατῴκει Γηρυονεύς, Ἑσπερία εἴρηται, ἔχουσα κύνα Ὀρθόν, ἀδελφὸν Κερβέρου, ὃν Ἡρακλῆς ἀπέκτεινεν. οἱ δὲ Ἄτλαντος λέγουσιν εἶναι τὸν κύνα. ἡ δὲ ἀλληγορία τὰς Ἑσπερίδας ἑσπερινὰς ὥρας λαμβάνει, μῆλα δὲ χρυσᾶ τὰ ἄστρα, Ἡρακλέα

CCCLVI. Schol. Apoll. IV, 1399 Palaeph. 19. V. Eud. p. 216 et 434 Ἑσπερίδες — κύνα Schol. Apoll. l. c. ἡ δὲ ἀλληγορία — μῆλα Schol. Hes. Theog. 215 ἡ δὲ ἱστορία — exit. Palaeph. l. c.

14 Cf. CCCL.

δὲ τὸν ἥλιον. παρερχομένου γὰρ τοῦ ἡλίου, τὰ ἄστρα οὐκ ἔτι φαίνονται, ὅ ἐστι τὸ τρυγῆσαι τὸν Ἡρακλέα τὰ μῆλα. ἡ δὲ ἱστορία οὕτως ἔχει, ἥπερ καὶ πλέον ἔχεται τῆς ἀληθείας. Ἕσπερος ἦν ἀνὴρ Μιλήσιος, ὃς ᾤκει ἐν τῇ Καρίᾳ καὶ εἶχε θυγατέρας δύο, αἳ ἐκαλοῦντο Ἑσπερίδες. τούτῳ δὲ ἦσαν ὄϊς καλαὶ καὶ εὔκαρποι, οἷαι καὶ νῦν αἱ ἐν Μιλήτῳ. ἐπὶ τούτῳ δὴ ὀνομάζονται χρυσαῖ· κάλλιστον γὰρ ὁ χρυσός· ἦσαν δὲ ἐκεῖναι κάλλισται. μῆλα δὲ καλεῖται τὰ πρόβατα. ἅπερ ὁ Ἡρακλῆς ἰδὼν βοσκόμενα περὶ τὴν θάλατταν, περιελάσας ἐνέθετο εἰς τὴν ναῦν καὶ τὸν ποιμένα αὐτῶν ὀνόματι Δράκοντα εἰσήγαγεν εἰς οἶκον, οὐκέτι ζῶντος τοῦ Ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ. ἔλεγον
160 οὖν οἱ ἄνθρωποι· ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ Ἡρακλῆς ἤγαγεν ἐξ Ἑσπερίδων, τὸν φύλακα ἀποκτείνας δράκοντα. καὶ ἔνθεν ὁ μῦθος προσανεπλάσθη.

CCCLVII. *Περὶ Εὐήνου.*

Εὔηνος γαμβροκτόνος ἱστορεῖται, ὥσπερ ὁ Οἰνόμαος. εἰς ἁρματηλασίαν γὰρ τοὺς μνηστῆρας τῆς θυγατρὸς προκαλούμενος καὶ τῷ διεκφυγόντι αὐτὸν διώκοντα, εἰς ἀριστεῖον διδοὺς αὐτὴν καὶ τοὺς λειπομένους, ὅ ἐστιν ἡττωμένους, καρατομῶν καὶ τὰς κεφαλὰς τῆς οἰκίας ἀπαιωρῶν εἰς ἐκφόβησιν δεινὰ ἐποίει. ἐπεὶ δὲ ὁ Ἴδας ὑπερήλασεν αὐτόν, ἁρπάσας τὴν Μάρ-

CCCLVII. Ex parte Apollod. I, 7, 8 Eudocia compilavit. Cf. Plutarch. Parall. 40. V. Eud. p. 237 et 285

---

1 *τὰ ἄστρα οὐκ ἔτι φαίνονται* scripsi secutus Schoemann., op. II, p. 402 *τὰ ἄστρα ἐμφαίνονται* FPV 6 *εὔκαρποι* F *ἔγκαρποι* PV 10 *παρὰ τῇ θαλάττῃ* F

πησσαν, καὶ ἐκεῖνος ἐπιδιώξας οὐ κατέλαβε, κατασφάττει μὲν τοὺς ἵππους, ἑαυτὸν δὲ ῥίπτει εἰς τὸν πρὶν μὲν Λυκόρμαν ποταμόν, ἀπ' ἐκείνου δὲ Εὔηνον. λέγεται δὲ ὁ Ἴδας εἶναι Λυγκέως ἀδελφὸς καὶ ἄριστος γεγονέναι τοξότης. ὅς γε καὶ τῷ Ἀπόλλωνι κατὰ μῦθον ἀντικατέστη, ἁρπάζοντι κατὰ ἔρωτα τὴν Μάρπησσαν οὐκ ἐθέλουσαν, ὡς καὶ ὁ Λυκόφρων ἱστορεῖ. καὶ φαίνεται μὲν ἀμυθήτου κάλλους αἴνιγμα εἶναι ὁ τοῦ Ἀπόλλωνος ἡλίου εἰς τὴν ἡρωΐδα ταύτην ἔρως, ὡς ἀξιοθέατον καὶ οἷον ἡλιώδη τὸ εἶδος καὶ διὰ τοῦτο τῷ ἡλίῳ πρέπουσαν. περιᾴδεται δὲ, ὅμως ἄλλως τὸ φίλανδρον τῆς Μαρπήσσας, ἣν ὁ μῦθος λέγει πολλά τε κλαῦσαι, ὅτε ὑπὸ Ἀπόλλωνος ἡρπάγη, καὶ αἵρεσιν σχοῦσαν προελέσθαι Ἀπόλλωνος τὸν αὑτῇ συγγηράσαντα θνητὸν Ἴδαν.

CCCLVIII. *Περὶ Εὐμαίου δούλου Ὀδυσσέως.*

Εὔμαιος, ὁ Ὀδυσσέως δοῦλος, ἀπὸ τῆς πρὸς τὸν δεσπότην εὐμενείας, ὡς καὶ Φιλοίτιος ἀπὸ τῆς πρὸς αὐτὸν φιλίας. ὃς ἐς τοσοῦτον ἠξιώθη λόγου τοῖς παλαιοῖς, ὥστε καὶ μητέρα αὐτοῦ ἐξευρίσκουσι. Δημόκριτος μὲν Πενίαν, Εὐφορίων δὲ Πανθείαν, Φιλόξενος δὲ Δανάην.

CCCLIX. *Περὶ Εὐρυβάτου.*

Εὐρύβατης πονηρὸς ἦν ἀνὴρ κατὰ τὴν παροιμίαν,

CCCLVIII. Eustath. Od. p. 1784 CCCLIX. Eustath. Il. p. 110

7 Alex. 561. Ceterum cf. Müller fragm. hist. IV, p. 401 20 Euph. fr. 142 Meinek. 21 ὁ *Σιδώνιος* add. F 22 De proverbio, ad quod alludit Eudocia cf. Diogen. IV, 76 et quae ibi convasavit Schneidevinus

ὃν οἱ πλείους Εὐρύβατον λέγουσιν· ἀφ' οὗ εὐρυβα-
τεύεσθαι τὸ πονηρεύεσθαι. Ἡρόδοτος δὲ ἱστορεῖ,
σταρτηγὸν Εὐρυβάτην Ἀργεῖον πένταθλον ἐπασκή-
σαντα καὶ μονομαχεῖν ἄριστον. ὁ δ' αὐτὸς καὶ Ταλ-
θυβίου ἱερὸν ἱδρύσασθαί φησιν ἐν Σπάρτῃ καὶ ὅτι
ἀπόγονοι ἐκεῖσε Ταλθυβιάδαι καλούμενοι. Ταλθύβιος
161 γὰρ καὶ Εὐρυβάτης κήρυκές εἰσι παρὰ τῷ ποιητῇ. οἱ
δὲ κήρυκες ἄσυλοι ἐς τὸ παντελὲς ἦσαν, οἷα θεῖον
γένος νομιζόμενοι. ἐδόκουν γὰρ κατάγεσθαι ἀπὸ
Κήρυκος, υἱοῦ Ἑρμοῦ, ὃς ἐκ Πανδρόσου ἐγεννήθη
αὐτῷ, θυγατρὸς Κέκροπος. διὸ καὶ ἐν Ὀδυσσείᾳ στέλ-
λων Ὀδυσσεὺς κατασκόπους εἰς ἀλλοδαπὰς χώρας καὶ
κήρυκα ἐδίδου ἕπεσθαι διὰ τὸ ἄσυλον. καὶ ἦσαν μέσοι
θείου γένους καὶ ἀνθρωπίνου, καὶ οὐκ ἦν θεμιτὸν
κακοῦσθαι αὐτούς.

CCCLX. Περὶ Ἐριφύλης.

[Ἐριφύλη θυγάτηρ ὑπῆρχε Ταλαοῦ ἀδελφοῦ Ἀδράστου, ἣν γήμας Ἀμφιάραος ὁ μάντις, υἱὸς Ὀϊκλέος, καὶ διενεχθείς ποτε πρὸς Ἄδραστον, εἶτα διαλυθεὶς συνέθετο ὑπὲρ ὧν ἂν εἰς τὸ μέλλον διαφέρωνται αὐτοὶ κρίνειν αἱρετῶς τὴν Ἐριφύλην αὐτοῖς· καὶ αὐτοὺς στοιχεῖν τοῖς κριθεῖσι. τῆς οὖν ἐπὶ Θήβας στρατείας προκειμένης, Ἀμφιάραος μὲν ἐκώλυεν, εἰδὼς τὸ ἐσόμενον, Ἄδραστος δὲ ἤθελε μάχην. Ἐριφύλη δὲ δώροις προληφθεῖσα (τὰ δὲ ἦν ὅρμος χρύσεος, δοθεὶς αὐτῇ παρὰ Πολυνείκους ἢ Ἀδράστου) καὶ αἱρεθεῖσα

CCCLX. Eustath. Od. p. 1689. V. Eud. p. 22

2 IX, 74 6 Ταλθοβιάδαι P corr. V Verba Ταλθύβιος — ποιητῇ om. F

εἰς κρίσιν ἔκρινε δεῖν εἶναι στρατεύσασθαι τοὺς Ἀργείους. καὶ ὁ Ἀμφιάραος πολλὰ τὴν γυναῖκα μεμψάμενος, ἐξώρμησεν ὅμως καὶ αὐτὸς εἰς πόλεμον. τῷ δέ γε υἱῷ Ἀλκμαίωνι, ὃν Πίνδαρος Ἀλκμᾶνα καλεῖ, ἐπέταξεν ὁπότ' ἂν ἡβήσῃ, μὴ πρότερον μετὰ τῶν Ἐπιγόνων εἰς Θήβας ἐλθεῖν, πριν ἢ κτεῖναι τὴν μητέρα. ὃ καὶ ποιήσας ὁ Ἀλκμαίων ἐτιμωρήθη μὲν παρὰ Ἐριννύων, ὥσπερ καὶ Ὀρέστης, ἀπελύθη δὲ αὖθις, οἷα τιμωρήσας πατρί. διὸ στυγερὰν τὴν Ἐριφύλην οἱ ποιηταὶ καλοῦσιν, ἣ χρυσὸν ἔλαβεν ἀντὶ τοῦ ἀνδρός, ὡς οἷον ἀπεμπολήσασα ἐκεῖνον ὅρμου χρυσοῦ.]

CCCLXI. *Περὶ Εὐρυπύλου.*

Εὐρύπυλος υἱὸς Τηλέφου καὶ Ἀστυόχης τῆς Πριάμου ἀδελφῆς, ὃν κάλλιστον ὁ ποιητὴς ἱστορεῖ μετὰ τὸν Αἰθίοπα Μέμνονα περὶ τῶν Τρωϊκῶν ἐπικούρων λαλῶν. οὗτος διὰ τὴν τῆς μητρὸς δωροδοκίαν τοῖς Τρωσὶ συνεμάχησεν. ἡ δὲ ὑπόθεσίς ἐστιν αὕτη. Γανυμήδης υἱὸς ἦν Τρωός, ᾧ χρυσῆν τινα ἄμπελον Ζεὺς ἐχαρίσατο ἀντὶ Γανυμήδους. Πρίαμος δὲ ἐκ διαδοχῆς ἐλθοῦσαν εἰς αὐτὸν ὑπέσχετο Ἀστυόχῃ, τῇ ἑαυτοῦ μὲν ἀδελφῇ, Εὐρυπύλου δὲ μητρί, εἰ πέμψει ἐπὶ συμμαχίᾳ τὸν υἱόν, φάμενον, ἐπὶ τῇ μητρὶ κεῖσθαι τὴν εἰς πόλεμον ἐξέλευσιν αὐτοῦ.

CCCLXI. Eustath. Od. p. 1697. V. Eud. p. 95

---

11 Haec omnia cum et literarum ordinem pervertant (*Εὐρύβατος, Εὐρύπυλος*) et iisdem fere verbis iam alio loco Eudociae exposita sint, hic uncis secludere melius duxi 13 Od. XI, 522 20 *Εὐρυπήλου* P corr. V

162 CCCLXII. *Περὶ Εὐρύτου.*

Εὔρυτος, ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίᾳ βασιλεύς, προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένῳ, ἢ, ὥς τινες, τοὺς παῖδας· παρὰ γὰρ Ἀπόλλωνος εἰλήφει τὴν τοξικήν. Ἡρακλέους δὲ διαγωνισαμένου, ἀγανακτήσας ὁ Εὔρυτος, οὐκ ἀπεδίδου τὴν κόρην. ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, τὴν δὲ Ἰόλην αἰχμάλωτον ἤγαγεν, οὐδὲ τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ Ἴφιτον τὸν Εὐρύτου, εἰς Τίρυνθα παραγενόμενον ἐπὶ ζήτησιν ἵππων, ξενίσας ἀπέκτεινε. φεύγων δὲ τὸ τοῦ φόνου μῖσος παρεγένετο πρὸς Νηλέα, καθάρσεως τευξόμενος. τῶν δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι, ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς ἐπεξενώθη Δηϊφόβῳ, τῷ τῶν Ἀρκάδων βασιλεῖ, καὶ οὕτως ἐκαθάρθη τοῦ φόνου. καὶ ὕστερον ἐπιστρατεύσας Νηλεῖ οὐ μόνον τὴν Πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν Νηλεῖ συμμαχοῦσαν ἔτρωσεν, αὐτὸν δὲ Νηλέα τοῖς παισὶν ἅμα κτείνει, δίχα τοῦ νεωτάτου Νέστορος· οὗτος γὰρ ἐν Γερήνοις ἀνετρέφετο, διόπερ ἐσώθη. ὅθεν αὐτὸν Γερήνιον ὁ ποιητὴς προσαγορεύει.

CCCLXII. Apollod. II, 6, 1 et II, 7, 3 compilavit, seu potius Schol. Il. V, 392 et XI, 682

---

8 *καί*, quod V vocabulo *οὐδὲ* praemisit, de loco sustuli, abest etiam P 11 *μύσος* F 19 *νεωτάτου* F *νεωτέρου* PV 21 *καί* quod in PV vocabulum *Γερηνιον* subsequebatur, eieci *προσηγόρευσεν* F

CCCLXIII. *Περὶ Εὐρώπης τῆς Ἀγήνορος.*

Εὐρώπη Ἀγήνορος ἦν θυγάτηρ τοῦ Φοίνικος, ἥν, φασίν, ὁ Ζεὺς ἁρπάσας ταῦρος γεγονὼς ἐπ' αὐτοῦ ὀχουμένην διὰ τῆς θαλάττης ἐκ Τύρου εἰς Κρήτην ἤγαγεν. ἐξ ἧς ἔσχε παῖδας Μίνω, Αἰακόν, Ῥαδάμανθυν καὶ Σαρπηδόνα. Μίνως δὲ καὶ Ῥαδάμανθυς δικαιότατοι γεγονότες, ὁμοίως καὶ Αἰακός, καὶ νόμους θέντες, κριταὶ τῶν ἐν Ἅδου ψυχῶν παρὰ τῶν ποιητῶν ἐπλάσθησαν. ἰστέον δέ, ὅτι ἄλλος ἐστὶν οὗτος ὁ Σαρπηδὼν παρὰ τὸν Λύκιον. Σαρπηδὼν μὲν γὰρ οὗτος ὁ τῆς ῥηθείσης Εὐρώπης ἀδελφός ἐστι Μίνωος καὶ Αἰακοῦ κατὰ τὸν Ἀρριανόν, καὶ κατ' Εὐριπίδην ἐν Ῥήσῳ, ὁ δὲ ἐκ Λυκίας Σαρπηδών, ὁ Ὁμηρικός, οὐκ ἂν εἴη τούτῳ σύγχρονος. ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἐκ ταύτης τῆς Εὐρώπης καὶ ἡ χώρα ἡ Εὐρώπη ἐκλήθη. ἡ δὲ ἀληθὴς ἱστορία περὶ τῆς Εὐρώπης ἔχει οὕτως. Ταῦρος ὁ τῆς Κρήτης βασιλεὺς ἐπολέμει τῇ Τυρρηνίᾳ χώρᾳ. ναυμαχίᾳ δὲ τὴν Τῦρον ἑλών, ἄλλας τε κόρας ἐληΐσατο καὶ δὴ καὶ τὴν τοῦ βασιλέως Ἀγήνορος θυγατέρα Εὐρώπην. τούτου τοίνυν συμβεβηκότος, μῦθος προσανεπλάσθη, ὅτι ταῦρος Εὐρώπην, τὴν τοῦ βασιλέως, ἐπ' αὐτοῦ ὀχουμένην ἔχων ᾤχετο.

CCCLXIV. *Περὶ Ἐχέτου.* 107

Ἔχετος βασιλεὺς ἦν Ἠπείρου τῆς οὕτως ἰδίως

CCCLXIII. Eustath. Dion. 270. V. Eud. p. 194 *ἡ δ' ἀληθὴς* — exit. Palaeph. 16 CCCLXIV. Eustath. Od. p. 1838

2 *αὐτοῦ* P *αὑτοῦ* V *ὁ Ζεὺς — ἐπλάσθησαν* om. F addita sunt ex Apollod. III, 1, 1 seq. 11 Müller III, p. 598 12 Rhes. 29 21 *αὑτοῦ* V 22 *οὕτω* PV

καλουμένης, ἀντιπέραν κειμένης Ἰθάκης, υἱὸς Εὐχήνορος καὶ Φλογέας, ὠμὸς καὶ ἀπάνθρωπος, ὃς καὶ τὴν θυγατέρα Μετώπην ἢ καὶ Ἄμφισσαν ὑπό τινος Αἰχμοδίκου φθαρεῖσαν πηρώσας ἠνάγκασεν ἀλήθειν κριθὰς σιδηρᾶς ποιηθείσας κελεύσει αὐτοῦ, εἰπὼν τηνικαῦτα τὰς ὄψεις ἀπολήψασθαι, ὅτε τὰς τοιαύτας κριθὰς εἰς ἄλφιτα λεπτυνεῖ. καὶ τὴν μὲν θυγατέρα οὕτω μετῆλθε, τὸν δὲ Αἰχμόδικον ὡς ἐπὶ ἑστίασιν καλέσας ἠκρωτηρίασεν, ἀποκόψας καὶ τὰ αἰδοῖα. τέλος μέντοι ὑπερμανεὶς καὶ τῶν ἰδίων ἐμφορηθεὶς σαρκῶν ἀπέσβη, φασίν, ὃ καὶ Λύσανδρος ἔπαθεν ἐν τοῖς ὕστερον, ὁ ἀποτόμως καταχορδεύσας ἑαυτόν.

Ἱστορικοί.

CCCLXV. *Περὶ Ἑκαταίου τοῦ ἱστορικοῦ.*

Ἑκαταῖος Ἡγησάνδρου, Μιλήσιος, γέγονε κατὰ τοὺς Δαρείου χρόνους τοῦ μετὰ Καμβύσην βασιλεύσαντος, ἱστορικός. ὑφ᾽ οὗ καὶ ὁ Ἁλικαρνασσεὺς Ἡρόδοτος ὠφέληται, νεώτερος ὤν. ἀκουστὴς δ᾽ ἐγένετο Πρωταγόρου ὁ Ἑκαταῖος. πρῶτος δὲ ἱστορίαν πεζῶς ἐξήνεγκε, συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀκουσιλάου νοθεύεται.

CCCLXV. Hesych. (Suid.)

---

2 *Φλογέας* F *Φλεγέας* PV Post 12 titulum *ἱστορικοὶ* ex P addidi, om. V 15 *ὅτε καὶ Διονύσιος ἦν ὁ Μιλήσιος, ἐπὶ τῆς ξε´ ὀλυμπιάδος* add. S *ἱστοριογράφος* S 16 *ὠφέληται τούτου* perperam S 18 *Ἀγεσιλάου* PV *Ἀγησιλάου* S *Ἀκουσίλαος* legendum esse monuerunt Vossius, Kuesterus, Sturzius, quod recepit Bekkerus. Hecataei vitam Porphyrium Hesychio Milesio ministrasse persuasit E. Rohde in Mus. Rhen. XXXIII, p. 171 not.

CCCLXVI. Περὶ Ἑλλανίκου τοῦ Μιλησίου.

Ἑλλάνικος Μιλήσιος, ἱστορικός. ἔγραψε περίοδον γῆς καὶ ἱστορίας.

CCCLXVII. Περὶ Ἑλλανίκου τοῦ Μιτυληναίου.

Ἑλλάνικος Μιτυληναῖος, ἱστορικός, υἱὸς Ἀνδρομένους, διέτριψε παρὰ Ἀμύντᾳ σὺν Ἡροδότῳ κατὰ τοὺς χρόνους Εὐριπίδου καὶ Σοφοκλέους· συνεγράψατο πλεῖστα πεζῶς τε καὶ ἐπικῶς.

CCCLXVIII. Περὶ Εὐαγόρου.

Εὐαγόρας Λίνδιος, ἱστορικός. ἔγραψε βίον Τιμαγένους καὶ ἑτέρων λογίων ἀνδρῶν, ζητήσεις κατὰ στοιχεῖον, τέχνην ῥητορικὴν ἐν βιβλίοις πέντε, τῶν παρὰ Θουκυδίδῃ ζητουμένων κατὰ λέξιν, ἱστορίαν περὶ τῆς Αἰγυπτίων βασιλείας.

CCCLXIX. Περὶ Ἐφίππου. 164

Ἔφιππος, υἱὸς Δημοφίλου, οἱ δὲ Ἀντιόχου, Κυμαῖος, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος, ἱστορικός, ὃς ἔσχεν υἱὸν Δημόφιλον τὸν ἱστορικόν. ἔγραψεν ἀπὸ τῆς Ἰλίου πορθήσεως καὶ τῶν Τρωϊκῶν μέχρι

CCCLXVI—CCCLXIX. Hesych. (Suid.)

1 Ἑκαταῖος corrigendum esse monuit Sturz 3 Plura invenies apud S 6 ποιητικῶς S neutrum recte se habere suspicatus est Bernhardy 8 ἀνδρῶν om. S ζητήσεις κατὰ στοιχεῖον Θουκυδίδου S, quas ab opere mox memorato non differre coniecit Gaisford, om. Bekkerus Verba ἔγραψε — πέντε uncis circumsepsit Bernhardy, cum in ABV omissa sint 10 ἱστορίαν περιέχουσαν τὰς Αἰγ. S, sed Eudociae lectio praeferenda videtur 14 ἦν δὲ ἐπὶ τῆς ἐνενηκοστῆς τρίτης Ὀλυμπιάδος, ὡς καὶ πρὸ τῆς Φιλίππου βασιλείας εἶναι τοῦ Μακεδόνος add. S

τῶν αὑτοῦ χρόνων βιβλία τριάκοντα, περὶ ἀγαθῶν καὶ κακῶν βιβλία κδ΄, περὶ παραδόξων τῶν ἑκασταχοῦ βιβλία πεντεκαίδεκα, περὶ εὑρημάτων ὧν ἕκαστος εὗρε βιβλία δύο.

CCCLXX. *Περὶ Εὐσταθίου.*

Εὐστάθιος Ἐπιφανεύς. συνήθροισε χρονικὴν ἐπιτομὴν ὡραιοτάτην τῶν ἀπὸ Αἰνείου τοῦ Τρωὸς μέχρι Ἀναστασίου βασιλέως ἐν τόμοις εἴκοσι καὶ ἄλλα τινὰ χρονικὰ συνεγράψατο.

CCCLXXI. *Περὶ Ἐφόρου.*

Ἔφορος Κυμαῖος, ἱστορικὸς ὁ νεώτερος. ἔγραψε τὰς Γαλιηνοῦ ἱστορίας ἐν βιβλίοις κζ΄, Κορινθιακά, περὶ τῶν Ἀλευάδων καὶ ἄλλα.

Ῥήτορες.

CCCLXXII. *Περὶ Ἑρμαγόρου.*

Ἑρμαγόρας Τήμνου τῆς Αἰολίδος, ὁ ἐπικληθεὶς Καρίων. ἔγραψε μελέτας ῥητορικὰς ἐν βιβλίοις ἕξ, περὶ ἐξεργασίας, περὶ πρέποντος, περὶ κώλων καὶ περιόδων, περὶ φράσεως, περὶ σχημάτων ῥητορικῶν καὶ ἄλλα πολλά.

CCCLXX—CCCLXXII. Hesych. (Suid.)

---

1 *αὐτοῦ* P corr. V 2 *περὶ* om. S 4 *καὶ λοιπὰ* add. S 6 *ὡραιοτάτην* om. S *τοῦ Τρωὸς* om. S 7 *ἐν τόμοις ϑ* S *β* legendum esse suspicatus est Kuesterus 8 *καὶ ἄλλα τινὰ* brevius S 11 *Γαλιηνοῦ* S *Γαλήνου* PV 13 *ῥήτωρ* add. S *τέχνας* S 15 *περὶ κώλων καὶ περιόδων* om. S 16 *ῥητορικῶν, καὶ ἄλλα πολλά* om. S, qui pergit *ἐπαίδευσε δὲ οὗτος μετὰ Καικιλίου ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Αὐγούστου καὶ τελευτᾷ πόρρω τῆς ἡλικίας*

CCCLXXIII. *Περὶ Εὐοδιανοῦ τοῦ ῥήτορος.*

Εὐοδιανὸς ὁ ῥήτωρ, Σμυρναῖος τὸ γένος, ἀκουστὴς Ἀριστοκλέους ἐγένετο, οἱ δὲ καὶ Πολέμωνος. ἔγραψε πανηγυρικὰ πλεῖστα ἐν Ῥώμῃ, ὅπου γε καὶ τοῦ υἱοῦ αὐτῷ τελευτήσαντος, οὐδὲν θῆλυ οὐδὲ ἀγεννὲς ἀνεφθέγξατο, ἀλλ' „ὦ τέκνον" τρὶς ἀνακαλέσας ἔθαψεν. ἀποθνήσκοντι δὲ αὐτῷ μετὰ ταῦτα παρῆσαν μὲν οἱ ἐπιτήδειοι πάντες. βουλὴν δὲ αὐτῶν ποιουμένων ὑπὲρ τοῦ σώματος, εἴτε χρὴ καταθάπτειν ἐν Ῥώμῃ, εἴτε ταριχεύσαντες πορθμεύειν εἰς τὴν Σμύρναν, ἀναβοήσας ὁ Εὐοδιανὸς „οὐ καταλείπω τὸν υἱόν," ἔφη, „μόνον". ᾧδε μὲν δὴ σοφῶς ἐπέσκηψε τῷ υἱῷ συνταφῆναι.

CCCLXXIV. *Περὶ Ἐπιφανίου τοῦ σοφιστοῦ.* 165

Ἐπιφάνιος Οὐλπιανοῦ Πετραῖος, σοφιστής. ἔγραψε περὶ κοινωνίας καὶ διαφορᾶς τῶν στάσεων, προγυμνάσματα, μελέτας, δημάρχους, πολεμαρχικόν, λόγους ἐπιδεικτικοὺς καί τινα σύμμικτα θεωρήματα.

CCCLXXV. *Περὶ Ἑλικωνίου τοῦ Βυζαντίου.*

Ἑλικώνιος σοφιστὴς Βυζάντιος. ἔγραψε χρονικὴν ἐπιτομὴν ἀπὸ τοῦ Ἀδὰμ μέχρι Θεοδοσίου τοῦ μεγάλου ἐν βιβλίοις δέκα.

CCCLXXIII. *Εὐοδιανὸς — Ῥώμῃ* Hesych. ? *ὅπου γε* — exit. Philostrat. Vit. II, 16 CCCLXXIV et CCCLXXV. Hesych. (Suid.)

---

5 *ἀγεννὲς* F *ἀγενὲς* PV

CCCLXXVI. *Περὶ τοῦ Ἑρμογένους.*

Ἑρμογένης Ταρσεύς, ὁ ἐπίκλην Ξυστήρ, σοφιστής, [ἐπιχολώτατος καὶ θερμότατος], πεντεκαίδεκα ἔτη γεγονώς, ἐφ' οὕτω μέγα προὔβη τῆς τῶν σοφιστῶν δόξης, ὡς καὶ διακούειν αὐτοῦ Μάρκῳ βασιλεῖ καὶ Μουσωνίῳ τῷ φιλοσόφῳ παρασχεῖν ἔρωτα. βαδίσαντος γοῦν ἐπὶ τὴν ἀκρόασιν αὐτοῦ τοῦ Μάρκου, ἥσθη μὲν διαλεγομένου, ἐθαύμαξε δὲ σχεδιάζοντος, δωρεὰς δὲ λαμπρὰς ἔδωκε. διαλεγόμενος δὲ „ἰδού σοι, ἔφη, βασιλεῦ, ῥήτωρ παιδαγωγοῦ δεόμενος, ῥήτωρ ἡλικίαν περιμένων“. καὶ πολλὰ ἕτερα διελέχθη. συνεγράψατο τέχνην ῥητορικήν, περὶ στάσεων βιβλίον ἕν, περὶ ἰδεῶν βιβλία δύο, περὶ Κοίλης Συρίας δύο. ἀφῃρέθη δὲ τὴν ἕξιν νέος πάνυ καί, ὡς θρυλλοῦται, ἐτῶν ὢν κδ', ὑπ' οὐδεμιᾶς φανερᾶς νόσου, ὅθεν ἀστεϊσμοῦ λόγον παρέδωκε τοῖς βασκάνοις. ἔφασαν γὰρ τοὺς λόγους ἀτεχνῶς καθ' Ὅμηρον πτερόεντας εἶναι· ἀποβεβληκέναι γὰρ αὐτοὺς τὸν Ἑρμογένην, καθάπερ πτερά. καὶ Ἀντίοχος ὁ σοφιστὴς ἀποσκώπτων ποτὲ εἰς αὐτὸν „οὗτος, ἔφη, Ἑρμογένης, ὁ ἐν παισὶ μὲν γέρων, ἐν δὲ γέρουσι παῖς.“ ἐτελεύτα μὲν οὖν ἐν

CCCLXXVI. Hesych. (Suid.) *πεντεκαίδεκα — διελέχθη* Philostrat. Vit. II, 7 *συνεγράψετο — δύο* Hesych. (Suid.) *ἀφῃρέθη* — exit. Philostrat. l. c.

---

2 Verba *ἐπιχολώτατος καὶ θερμότατος* miro modo ad Philagri mores spectant, cuius vitam Philostrat. II, 8 tractavit 5 Verba *καὶ Μουσωνίῳ τῷ φιλοσόφῳ* apud Philostratum non leguntur; nimirum ex Hesychio deprompsit Eudocia 8 *ἔδωκεν* PV 12 *λόγου* add. S 20 *γέρουσι* etiam S exhibet *γηράσκουσιν* F

βαθεῖ γήρᾳ, εἷς δὲ τῶν πολλῶν νομιζόμενος· κατεφρονήθη γὰρ ἀπολιπούσης αὐτὸν τῆς τέχνης.

CCCLXXVII. *Περὶ Εὐδήμου.*

Εὔδημος ῥήτωρ. ἔγραψε διάφορα καὶ κατὰ στοιχεῖον περὶ λέξεων, αἷς κέχρηνται ῥήτορές τε καὶ τῶν συγγραφέων οἱ λογιώτατοι· πάνυ δὲ ὠφέλιμον τὸ λεξικὸν τοῦτο.

CCCLXXVIII. *Περὶ Εὐστεφίου.* 166

*Εὐστέφιος Ἀφροδισιεὺς σοφιστὴς *** ἐπιφανίων τῶν ἐν Ἀδρόττοις τῶν εὐκτηρίων, ὃ κεῖται ἐν Λυδίᾳ. ἔγραψε λόγους πανηγυρικοὺς καὶ μελέτας.*

CCCLXXIX. *Περὶ Εὐσεβίου τοῦ Ἀραβίου.*

Εὐσέβιος Ἀράβιος, σοφιστής, ὃς ἀντεσοφίστευσεν Οὐλπιανῷ.

CCCLXXX. *Περὶ Εὐστοχίου τοῦ σοφιστοῦ.*

Εὐστόχιος Καππαδόκης σοφιστής. ἔγραψε τὰ κατὰ Κώνσταντα τὸν βασιλέα, καὶ ἀρχαιολογίαν Καππαδοκίας καὶ λοιπῶν ἐθνῶν.

CCCLXXVII—CCCLXXX. Hesych. (Suid.)

---

2 In fine articuli Suidas habet haec: *λέγεται δὲ τοῦτο ὑπό τινῶν, ὅτι τελευτήσαντος αὐτοῦ ἀνετμήθη καὶ εὑρέθη ἡ καρδία αὐτοῦ τετριχωμένη καὶ τῷ μεγέθει πολὺ τῆς ἀνθρωπείας φύσεως ὑπερβάλλουσα. καὶ ταῦτα μὲν τὰ περὶ αὐτοῦ ᾀδόμενα,* quae quidem verba Bernhardy et Bekkerus iniuria Philostrato tribuerunt 5 *τὸ λεξικὸν τοῦτο* om. S 7 Locum mendis inquinatum sanare tentabat Berkelius scripto *σοφιστὴς ἐπιφανῶν τῶν ἐν Ἀδρόττοις οἰκητόρων*; iure autem refutatus est a Bernhardyo, qui Eustephium laudationem *ἐπιφανειῶν τῶν ἐν Ἀδρόττοις* edidisse putabat. Itaque quin post *σοφιστὴς* nonnulla verba exciderint nullus dubito. De re ipsa cf. Marin. Vit. Procl. c. 32 init. 8 *τῷ εὐκτηρίῳ* S *τῶν εὐκτηρίων* PV 9 *λόγους πανηγυρικοὺς καὶ* om. S 10 *ἀντισοφίστευσεν* PV

Ποιηταί.

CCCLXXXI. *Περὶ Ἐπιγένους τοῦ κωμικοῦ.*

Ἐπιγένης κωμικός. φέρεται αὐτοῦ δράματα Ἡρωΐνη καὶ Μνημάτιον καὶ Βακχεία. [ἔστι δὲ τῶν ἀρχαιοτάτων].

CCCLXXXII. *Περὶ Ἐπιμενίδου.*

Ἐπιμενίδης Φαίστου καὶ Βλάστας, Κρὴς ἀπὸ Κνωσσοῦ, ἐποποιός. ἔγραψε πολλὰ ἐπικῶς, μυστήρια καὶ αἰνιγματώδη καὶ καθαρτικὰ καὶ ἄλλα, περὶ οὗ εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν.

CCCLXXXIII. *Περὶ Ἐπικράτους.*

Ἐπικράτης κωμικός. τῶν δραμάτων αὐτοῦ Ἔμπορος καὶ Ἀντιλαΐς.

CCCLXXXIV. *Περὶ Ἐπινίκου.*

Ἐπίνικος κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ ἐστιν Ὑποβαλλόμεναι.

CCCLXXXV. *Περὶ Ἐπιχάρμου.*

Ἐπίχαρμος Τιτύρου Συρακούσιος ἢ ἐκ πόλεως Κράστου τῶν Σικανῶν, ὃς εὗρε τὴν κωμῳδίαν ἐν Συρακούσαις ἅμα Φόρμῳ. ἐδίδαξε δὲ δράματα νβʹ.

CCCLXXI—CCCLXXV. Hesych. (Suid.)

3 Verba inepta *ἐστὶ — ἀρχαιοτάτων* seclusi, om. S, qui in fine articuli addit *ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς* 4 Plura dabit S *Βλάστας* S *Βλαίστης* PV 6 *καθαρμούς* S 7 Cf. CCCXLIX. 10 *ἀρχαῖος* om. et antea *καὶ αὐτὸς* add. S 11 *ὡς Ἀθήναιος* hic quoque add. S 12 Multo uberius vitam descripsit S 13 *Σικανῶν* S *Κανῶν* inepte PV. Eiusdem Epicharmi vitam tractavit Eud. p. 193. Cf. Nietzsche in Mus. Rhen. XXXII, p. 195

CCCLXXXVI. Περὶ Ἐρίφου. 167

Ἔριφος κωμικός. τῶν δραμάτων αὐτοῦ Αἴολος, Πελταστής, Μελίβοια.

CCCLXXXVII. Περὶ Ἑρμίππου.

Ἕρμιππος, κωμικὸς Ἀθηναῖος, τῆς ἀρχαίας καὶ αὐτὸς κωμῳδίας, ἑτερόφθαλμος, ἀδελφὸς Μυρτίλου τοῦ κωμικοῦ. φέρεται αὐτοῦ δράματα τεσσαράκοντα.

CCCLXXXVIII. Περὶ Εὐθυκλέους.

Εὐθυκλῆς. τῶν δραμάτων αὐτοῦ Ἄσωτοι ἢ Ἐπιστολή. ἔστι δὲ καὶ οὗτος τῆς ἀρχαίας κωμῳδίας.

CCCLXXXIX. Περὶ Εὐμόλπου.

Εὔμολπος Ἐλευσίνιος, ἤτοι Ἀθηναῖος [ἐποποιός], υἱὸς Μουσαίου τοῦ ποιητοῦ, ὡς δέ τινες, μαθητὴς Ὀρφέως, ἐποποιὸς τῶν πρὸ Ὁμήρου. γέγονε δὲ καὶ Πυθιονίκης· πρὸς λύραν γὰρ ἐπεδείκνυντο οἱ ποιηταί. οὗτος ἔγραψε τελετὰς Δήμητρος καὶ τὴν τῶν μυστηρίων παράδοσιν τὴν ταῖς θυγατράσιν αὐτοῦ γενομένην. ἔγραψε καὶ χειροσκοπικὰ ἐν δυσὶ βιβλίοις.

CCCXC. Περὶ Εὐόδου.

Εὔοδος Ῥόδιος, ἐποποιός, γεγονὼς ἐπὶ Νέρωνος, ὁ θαυμαζόμενος εἰς Ῥωμαϊκὴν ποίησιν. τούτου τὰ βιβλία οὐ φαίνεται.

CCCLXXXVI—CCCXC. Hesych. (Suid.)

---

2 ὥς φησιν Ἀθήναιος ἐν τῷ ιδ' τῶν Δειπνοσοφιστῶν add. S 3 καὶ αὐτὸς om. S 7 ἔστι — κωμῳδίας om. S, qui vitae finem dedit ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς 8 ἐποποιός non ferri potest, om. S 12 καὶ τὴν εἰς Κελεὸν ἄφιξιν add. S 14 ἔπη τὰ πάντα τρισχίλια add. S βιβλίον ἓν S

CCCXCI. *Περὶ Εὐπόλιδος.*

Εὔπολις Σωσιπόλιδος Ἀθηναῖος, κωμικός. οὗτος ιζ' ἐτῶν γεγονὼς ἤρξατο ἐπιδείκνυσθαι· καὶ ἐδίδαξε δράματα ιζ', ἐνίκησε δὲ ζ'. καὶ ἀπέθανε ναυαγήσας κατὰ τὸν Ἑλλήσποντον ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ· καὶ ἐκ τούτου ἐκωλύθη στρατεύεσθαι ποιητήν. τὰ δὲ δράματα αὐτοῦ Αἶγες, Ἀστράτευτοι ἢ Ἀνδρόγυνοι καὶ ἄλλα.

CCCXCII. *Περὶ Εὐφορίωνος.*

Εὐφορίων υἱὸς Αἰσχύλου τοῦ τραγικοῦ, καὶ αὐτὸς τραγικός.

CCCXCIII. *Περὶ Εὐφορίωνος τοῦ Χαλκιδέως.*

Εὐφορίων Χαλκιδεὺς ἀπὸ Εὐβοίας. φέρεται αὐτοῦ συγγράμματα ἐπικά· Ἡσίοδος, Μοψοπία, Ἀττικὴ χιλιάς, πέμπτη χιλιάς, περὶ χρησμῶν.

168 CCCXCIV. *Περὶ Εὔφρονος τοῦ κωμικοῦ.*

Εὔφρων κωμικὸς Ἀθηναῖος. τῶν δραμάτων αὐτοῦ Αἰσχρά, Μοῦσαι, Συνέφηβοι, Θεωροί.

Γραμματικοί.

CCCXCV. *Περὶ Ἐπαφροδίτου τοῦ Χαιρωνέως.*

Ἐπαφρόδιτος Χαιρωνεύς, γραμματικός, θρεπτὸς

CCCXCI—CCCXCV. Hesych. (Suid.)

---

1 *Σωσιπόλιδος* S *Σωσίπολις* PV 6 *Ἀστράτευτοι* S *Ἀστράτευτος* PV 8 Hanc vitam addidi ex P om. V *ὃς καὶ τοῖς Αἰσχύλου τοῦ πατρός, οἷς μήπω ἦν ἐπιδειξάμενος, τετράκις ἐνίκησεν. ἔγραψε δὲ καὶ οἰκεῖα* add. S 10 Plura ex Hesychio deprompsit Suidas 11 De erroribus huius enarrationis cf. Meinek. Anal. Al. p. 13 seq. 14 *ὡς Ἀθήναιος γράφει ἐν τοῖς Δειπνοσοφισταῖς* add. S Titulum *Γραμματικοί* addidi ex P om. V

Ἀρχιβίου τοῦ Ἀλεξανδρέως γραμματικοῦ, ἐπὶ Νέρωνος. ἔγραψε περὶ γραμματικῆς κάλλιστα καὶ εἰς Ὅμηρον καὶ Πίνδαρον ἐξήγησιν.

CCCXCVI. *Περὶ Ἑλλαδίου τοῦ γραμματικοῦ.*

Ἑλλάδιος Ἀλεξανδρεύς, γεγονὼς κατὰ Θεοδόσιον τὸν μικρόν. ἔγραψε περὶ χρήσεως παντοίας λέξεως κατὰ στοιχεῖον, ἔκφρασιν φιλοτιμίας, Διόνυσον ἢ μοῦσαν, ἔκφρασιν τοῦ λουτροῦ Κωνσταντίνου, ἔπαινον Θεοδοσίου τοῦ βασιλέως.

CCCXCVII. *Περὶ Ἑρμολάου.*

Ἑρμόλαος γραμματικὸς Κωνσταντινοπολίτης. ἔγραψε τὴν ἐπιτομὴν τῶν Ἐθνικῶν Στεφάνου γραμματικοῦ, προσφωνηθεῖσαν Ἰουστινιανῷ τῷ βασιλεῖ.

CCCXCVIII. *Περὶ Εὐγενίου.*

Εὐγένιος Τροφίμου Αὐγουστοπόλεως τῆς ἐν Φρυγίᾳ, γραμματικός. οὗτος ἐδίδαξεν ἐν Κωνσταντίνου πόλει, ἐπ' Ἀναστασίου πρεσβύτης ὤν. ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδου, ἀπὸ δραμάτων ιε', περὶ τοῦ τί τὸ παιωνικὸν παλιμβάκχειον, περὶ τῶν τεμενικῶν, ὅπως προφέρον-

CCCXCVI—CCCXCVIII. Hesych. (Suid.)

---

1 *Ἀρχιβίου τοῦ Ἀλεξανδρέως* scripsi ex probabili Bernhardyi coniectura, quae merito arrisit etiam Wachsmuth. Symbol. Bonn. p. 141; *Ἀρχίου τοῦ Ἀλεξάνδρου* PV 2 *ἔγραψε — ἐξήγησιν* om. S, qui neglegentius scripsit *συγγράμματα δὲ κατέλιπεν ἱκανά*, plura de Ep. vita exponens. Cf. Bernh. p. XXXI. 5 *τὸν βασιλέα τὸν νέον* S *λέξεως παντοίας χρῆσιν* S 7 *τῶν λουτρῶν* S *Κωνσταντίνου* S *Κωνσταντιανῶν* PV 9 *Κωνσταντινοπόλεως* S 13 Sic ex S corr. V *Κωνσταντίνῃ* P 17 *παλιμβάκχιον* PV

ται, οἷον Διονύσιον, Ἀσκληπιεῖον, παμμιγῆ λέξιν κατὰ στοιχεῖον (ἔχει δὲ καὶ τὰ παράδοξα περὶ τόνον ἢ πνεῦμα ἢ γραφὴν ἢ μῦθον ἢ παροιμίαν ἑπόμενα αὐτῇ), περὶ τῶν εἰς ια ληγόντων ὀνομάτων, οἷον ἔνδεια ἢ ἐνδία, καὶ πότε διφορεῖται, καὶ ἄλλα τινὰ τρίμετρα ἰαμβικά.

CCCXCIX. *Περὶ Εὐδαίμονος τοῦ Πηλουσιώτου.*

Εὐδαίμων Πηλουσιώτης, γραμματικός, σύγχρονος Λιβανίου τοῦ σοφιστοῦ, πρὸς ὃν καὶ διαφόρως γράφει. οὗτος ἔγραψε ποιήματα διάφορα, τέχνην γραμματικήν, ὀνοματικὴν ὀρθογραφίαν.

169 CCCC. *Περὶ Εἰρηναίου.*

Εἰρηναῖος γραμματικὸς Ἀλεξανδρεύς, μαθητὴς Ἡλιοδώρου τοῦ μετρικοῦ γραμματικοῦ. ἔγραψε περὶ τῆς Ἀθηναίων προπομπίας, περὶ τῆς Ἀλεξανδρέων διαλέκτου, ὅτι ἔστιν ἐκ τῆς Ἀτθίδος, βιβλία ἑπτά, Ἀττικῶν ὀνομάτων βιβλία τρία, Ἀττικῆς συνηθείας τῆς ἐν λέξει καὶ προσῳδίᾳ κατὰ στοιχεῖον βιβλία τρία, κανόνας Ἑλληνισμοῦ βιβλίον ἕν, καὶ περὶ Ἀττικισμοῦ ἕν, καὶ ἄλλα πολλά.

CCCCI. *Περὶ Ἑκαταίου.*

Ἑκαταῖος Ἀβδηρίτης, φιλόσοφος, ὃς ἐπεκλήθη καὶ κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρα-

CCCXCIX—CCCCI. Hesych. (Suid.)

1 Sic S *Διονύσειον, Ἀσκληπίειον* PV 2 *ἢ* post *παραδ.* add. S 4 *αὐτοῖς* flagitavit Bernhardy 8 *φαίνεται γράφων* S 11 *ὁ καὶ Πακᾶτος κληθεὶς τῇ Ῥωμαίων διαλέκτῳ* add. S. Cf. Suid. v. *Πακᾶτος* 20 *κριτικὸς* S *Κρητικὸς* PV

σκευήν. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. φέρεται αὐτοῦ βιβλία περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου.

Φιλόσοφοι.

CCCCII. Περὶ Ἐμπεδοκλέους.

Ἐμπεδοκλῆς Μέτωνος ἦν υἱὸς τοῦ Ἐμπεδοκλέους κατὰ Τίμαιον καὶ Ἱππόβοτον, τὸ γένος Ἀκραγαντῖνος, φυσικὸς φιλόσοφος καὶ ἐποποιός. ὁμοίως καὶ Ἡρακλείδης καὶ Ἕρμιππος τὰ αὐτὰ τούτοις φασί. κατὰ δὲ Σάτυρον Ἐξαινέτου, ὃς ἐν τοῖς Βίοις οὕτω φησίν· Ἐμπεδοκλῆς υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον· ἐπί τε πρώτης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος τὸν μὲν ἵππῳ κέλητι νενικηκέναι, τὸν δὲ υἱὸν αὐτοῦ πάλῃ. κατὰ δὲ Πάλιν Τηλαύγην τὸν Πυθαγόρου παῖδα πρὸς Φιλόλαον ἐπιστέλλοντα, Ἀρχινόμου φαίνεται εἶναι υἱός. γέγονε δὲ ἀκουστὴς Πυθαγόρου, καὶ καταγνωσθεὶς ἐπὶ λογοκλοπείᾳ, καθὰ καὶ ὁ Πλάτων, τῶν λόγων ἐκωλύθη μετέχειν. διὸ καὶ εἰς τὰ ποιητικὰ ἐτράπη, γράψας δι' ἐπῶν περὶ φύσεως τῶν ὄντων βιβλία τρία, ἰατρικὰ βιβλία ἕξ. Νεάνθης δέ φησιν, ὅτι μέχρι Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων, ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίευσεν αὐτά, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἐποποιῷ. ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ

CCCCII. Diogenes Laert. VIII, 2 καὶ γὰρ ὁ θεὸς — κενοδοξίας et οὕτω δὲ οἱ περὶ Τροφώνιον — exit. Nonn. I, 1 (Cf. Cosm. p. 183; Clarke, Catal. Bodlei. p. 51)

---

2 βιβλία αὐτοῦ ταῦτα S Titulum Φιλόσοφοι addidi ex P, om. V 4 Müller I, p. 215 6 Müller III, p. 42 7 Müller III, p. 162 17 Müller III, p. 6

ζηλωτὴν αὐτὸν γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεώς φησι λόγον ἐξενεγκεῖν, ὕστερον δὲ τοῖς Πυθαγορικοῖς ἐντυχεῖν. Σάτυρος δὲ ἐν τοῖς Βίοις φησίν, ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος. καὶ Γοργίαν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν
170 ῥητορικῇ, καὶ τέχνην ἀπολελοιπότα· ὅν φησι παριέναι τῷ Ἐμπεδοκλεῖ γοητεύοντι, ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτο·

Φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν, καὶ γήραος ἄλκαρ
Πεύσῃ, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα.
Παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵ τ' ἐπὶ γαῖαν
Ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν.
Καὶ πάλιν, ἤν κ' ἐθέλῃσθα, παλίντιτα πνεύματ' ἐπάξεις,
Θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ, καίριον αὐχμὸν
Ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
Ῥεύματα δενδρεόθρεπτα, τὰ δ' ἐν θέρει ἀήσαντα·
Ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

Ἀριστοτέλης δ' ἐν τῷ Σοφιστῇ φησι, πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν. ἐν δὲ τῷ περὶ ποιητῶν φησιν, ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, μεταφορικός τε ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος· καὶ διότι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα, τήν τε τοῦ Ξέρξου διάβασιν, καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ' ὕστερον κατέκαυσεν ἡ αὐτοῦ ἀδελφὴ ἢ θυγάτηρ, ὥς φησιν Ἱερώνυμος, τὸ

14 καὶ πάλιν, ἤν F verba καὶ πάλιν Diogeni Laertio, non Empedocli tribuerunt PV 24 ἐπιτάγμασι PV 27 ἢ θυγάτηρ addidi ex F om. PV. Cf. Müller II, p. 450 not. 1

μὲν προοίμιον ἄκουσα, τὰ δὲ Περσικὰ βουληθεῖσα, διὰ τὸ ἀτελείωτα εἶναι. καθόλου δέ φησι καὶ τραγῳδίας αὐτὸν γράψαι καὶ πολιτικά. φασὶ δὲ τὸν Ἐμπεδοκλέα πεῖσαι τοὺς Ἀκραγαντίνους παύσασθαι μὲν τῶν στάσεων, ἰσότητα δὲ πολιτικὴν ἀσκεῖν, ἔτι τε πολλὰς τῶν πολιτίδων ἀπροίκους ὑπαρχούσας αὐτὸν προικίσαι διὰ τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τε ἀναλαβεῖν αὐτὸν καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν πρώτῳ τῶν ἀπομνημονευμάτων ἔτι τε ἐμβάδας χαλκᾶς καὶ στέμμα Δελφικόν. κόμη τε ἦν αὐτῷ βαθεῖα καὶ παῖδες ἀκόλουθοι. καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. τοιοῦτος δὴ προήει, τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παράσημον. ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενον ἐφ' ἁμάξης ὡς εἰς Μεσσήνην πεσεῖν καὶ τὸν μηρὸν κλάσαι, καὶ ἐκ τούτου, ὥς τινές φασι, νοσήσαντα τελευτῆσαι ἐτῶν θ' καὶ ρ'. Ἱππόβοτος δέ φησιν, ἐξαναστάντα αὐτὸν ὡδευκέναι ὡς ἐπὶ τὴν Αἴτνην, εἶτα παραγενόμενον ἐπὶ τοὺς κρατῆρας τοῦ πυρὸς ἐναλέσθαι καὶ ἀφανισθῆναι, βουλόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι, ὅτι ἐγεγόνει θεός, ὕστερον δὲ γνωσθῆναι, ἀναρριπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. πρὸς τοῦτο Παυσανίας ὁ ἰατρὸς ἀντεῖπε 171
γράψας καὶ ἄλλοι τινές. ἀλλὰ τἀληθὲς οὕτως ἔχει, ὡς ὁ Ἱππόβοτος. καὶ γὰρ ὁ θεὸς τῶν πάντων βουληθεὶς δημοσιεῦσαι αὐτοῦ τὴν τῆς κενοδόξου ἀπωλείας κατάκλησιν, ὅτι ὑπὸ τοῦ πυρὸς ἀπώλετο, τὸ σάνδαλον

1 *ἤκουσα* P corr. V 7 *προικίσαι* F *πηίσαι* PV 28 *σάνδαλον* F *σανδάλιον* PV

αὐτοῦ σῷον ἐκ τοῦ πυρὸς ἐποίησεν ἀναδοθῆναι πρὸς ἔλεγχον τῶν ματαιοφρονεῖν ἐθελόντων. καὶ οὕτως ἐγνώσθη πᾶσιν, ὅτι θεὸς μὲν οὐ γέγονε. κατεκάη δὲ εἰς τέλος ἀξίως διὰ τῆς οἰκείας κενοδοξίας. τὸ δὲ παραίτιον τῆς εἰς τὸ πῦρ ἐκείνου καταπτώσεως οὕτω φασὶ γενέσθαι. τοῖς Σελινουντίοις ἐμπεσόντος λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ περικειμένου ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυναῖκας δυστοκεῖν, ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα καὶ δύο τινὰς ποταμοὺς τῶν σύνεγγυς ἐπαγαγεῖν ἰδίαις δαπάναις καὶ καταμίξαντα γλυκᾶναι τὰ ῥεύματα. οὕτω δὴ λήξαντος τοῦ λοιμοῦ καὶ τῶν Σελινουντίων εὐωχουμένων ποτὲ παρὰ τῷ ποταμῷ, ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα. τοὺς δ' ἐξαναστάντας προσκυνεῖν καὶ προσεύχεσθαι καθαπερεὶ θεῷ· ταύτην οὖν θέλοντα διαβεβαιῶσαι τὴν διάληψιν εἰς τὸ πῦρ ἐναλέσθαι. οὕτω δὲ καὶ οἱ περὶ Τροφώνιον καὶ Ἀρισταῖον καὶ Ἐμπεδότιμον, οἱ ἐκ τῆς Λεβαδείας πόλεως Βοιωτίας μάντεις, βουλόμενοι καὶ αὐτοὶ κενοδοξῆσαι καὶ δεῖξαι, ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ἔν τισιν ὑποβρυχίοις σπηλαίοις ἔβαλον, ἐπὶ τὸ τεθνάναι καὶ μὴ εὑρεθῆναι αὐτῶν τὰ λείψανα. οὗτοι δὲ οὕτω τεθνήκασιν· ἐγνώσθησαν δέ, ὅτι ἐκεῖσε ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι περὶ τὸν τόπον. ἔστι δὲ καὶ παροιμία ἡ λέγουσα „εἰς Τροφωνίου μεμάντευσαι·“ λέγεται δὲ ἐπὶ τῶν ὠχριώντων καὶ μηδέποτε γελώντων· πᾶς γὰρ ὁ καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο ἀγέλαστος ἀνῄει καὶ ὠχριῶν διηνεκῶς. ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων, ὅτι ὠχριάσαντες

17 Ἀρισταῖον F Ἀρίστιον PV 20 ἔν τισιν ὑποβρυχίοις recepi ex F ὑποβρυχίους PV 24 Zenob. III, 61

καὶ μηδέποτε ἐν τῷ ὑποβρυχίῳ γελάσαντες ἀπέθανον. ἠξιώθησαν δέ, ὡς ληροῦσιν ὁ Τροφώνιος καὶ Ἀγαμήδης ὁ ἀδελφὸς αὐτοῦ, μαντεύεσθαι διὰ τὸ κτίσαι αὐτοὺς ἀπὸ οἰκείων χρημάτων τὸ ἐν Δελφοῖς ἱερὸν τοῦ Ἀπόλλωνος.

CCCCIII. *Περὶ Ἐμπεδοτίμου.*

Ἐμπεδότιμος φιλόσοφος. οὗτος ἔγραψε περὶ φυσικῆς ἀκροάσεως. περὶ οὗ λέγει ὁ παραβάτης ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις· „ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν λαβὼν ὁ Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξεν ἱεροφαντὴς Ἰάμβλιχος“.

CCCCIV. *Περὶ Ἐπικτήτου.* 172

Ἐπίκτητος φιλόσοφος ἐκ τῆς Ἱεραπόλεως τῆς Φρυγίας, δοῦλος δὲ λέγεται γεγονέναι Ἐπαφροδίτου. ἔγραψε πολλὰ ἠθικῆς φιλοσοφίας ἀνάμεστα. οὗτος ἐδέθη ὑπὸ τυράννου Μακεδόνος τὸ σκέλος. ὕστερον δὲ βουληθεὶς λῦσαι αὐτὸν ὁ τύραννος ἤρετο αὐτὸν οὕτως· θέλεις, ὦ Ἐπίκτητε, λύσω σε; ὁ δὲ ἀπεκρίνατο· τί γὰρ δέδεμαι; ὡς τῆς ψυχῆς αὐτοῦ δῆθεν μὴ δεδε-

CCCCIII. Hesych. (Suid.) CCCCIV. Hesych. (Suid.) *οὗτος ἐδέθη* — exit. Nonn. I, 14 (Cosm. p. 206; Clarke l. c. p. 53)

---

6 *φιλόσοφος* om. S 7 Quae sequuntur ex Suidae lexico v. *Ἰουλιανός* lector aliquis adscripsit. De re ipsa cf. Rohde in Mus. Rhen. XXXII, p. 331 not. 1, qui haec verba ad orbem lacteum spectare cognovit, et Hertlein. p. 609 11 Sic scripsi cum S *ἔδοξε καὶ ἱεροφάντωρ* PV 14 *ἔγραψε — ἀνάμεστα* om. S *ἠθικῆς* scripsi cum R. Nitzschio, *ἠθικὰ* PV 15 *ὑπὸ τυράννου* Nonnus *ὑπὸ Λακεδαίμονος* Cosmas *ὑπὸ τυράννου Λακεδαίμονος* cod. Bodlei., a Macedone vertit Billius

μένης. λέγεται γὰρ μὴ τὸ σῶμα εἶναι ὁ ἄνθρωπος, ἀλλ' ἡ ψυχή.

CCCCV. Περὶ Ἐρατοσθένους.

Ἐρατοσθένης Ἀγλαοῦ, φιλόσοφος. οὗτος ἤκουσεν Ἀρίστωνος τοῦ Χίου καὶ Λυσανίου τοῦ Κυρηναίου γραμματικοῦ καὶ Καλλιμάχου τοῦ ποιητοῦ. ἔγραψε φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας· ἀστρονομίαν ἢ καταστερισμούς, περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, περὶ ἀλυπίας, διαλόγους πλείστους καὶ ἄλλα τινά.

CCCCVI. Περὶ Ἐπικούρου.

Ἐπίκουρος, φιλόσοφος Ἀθηναῖος, γέγονεν υἱὸς Χερεκράτου. οὗτος, ὥς φησιν Ἀπολλόδωρος, κατὰ τὸ τρίτον ἔτος τῆς ἐννάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐγεννήθη ἐπὶ Σωσιγένους ἄρχοντος, ἔτεσιν ὕστερον τῆς Πλάτωνος τελευτῆς ἑπτά. κληρουχησάντων δὲ Ἀθηναίων τὴν Σάμον, ἐκεῖ ἐτράφη. ὀκτωκαιδεκαέτης δὲ ἦλθεν εἰς Ἀθήνας, ὅπου γε καὶ γραμματοδιδάσκαλος ἐγένετο· ἔπειτα καταγνοὺς τῶν γραμματιστῶν τε καὶ σοφιστῶν, περιτυχὼν τοῖς Δημοκρίτου βιβλίοις, ἐπειδὴ μὴ ἐδυνήθησαν ἑρμηνεῦσαι αὐτῷ τὰ περὶ τοῦ παρ' Ἡσιόδου χάους, ἐπὶ φιλοσοφίαν ἦλθε, καὶ μέχρι μέν τινος κατ' ἐπιμιξίαν τοῖς ἄλλοις φιλοσόφοις ἐφι-

CCCCV. Hesych. (Suid.) CCCCVI. Diogenes Laert. X, 1 οὗτος — ὁ θεός Nonn. I, 27 (Cosm. p. 259). Posthac ex Diogene descriptae sunt duae epistolae ab Epicuro ad Pythoclem et Herodotum missae, quas neglegentissime conscriptas mendisque obscuratas cum nihil utilitatis praebeant hic omittendas putavi. γέγονε δὲ — exit. Diogenes Laert. l. c.

---

1 λέγεται Cosmas ἔλεγε PV 3 ἤκουσε PV 7 καταστηριγμούς P καταστηρισμούς V 8 πολλούς S γραμματικὰ συχνά S 10 Müller I, p. 448 18 ἔπειτα addidi ex P om. V

λοσόφει. ἔπειτα ἰδίᾳ πως τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἵρεσιν συνέστησε καὶ ἀκουστὰς οὐκ ὀλίγους ἤθροισε, καὶ τούτους διὰ μνήμης ἔχειν τὰ αὑτοῦ συγγράμματα ἐγύμναξε. σαφὴς δὲ ἦν οὕτως, ὡς καὶ μηδὲν ἄλλο ἢ σαφήνειαν ἀπαιτεῖν· κέχρηται γὰρ λέξει κυρίᾳ κατὰ τῶν πραγμάτων, εἰληφὼς τοῦτο ἐκ τοῦ Πλατωνικοῦ Παμφίλου. διήκουσε δὲ αὐτοῦ ἐν Σάμῳ· οὐ μὴν ἀλλὰ καὶ Ξενοκράτους, Πραξιφάνους τε καὶ Λυσιφάνους, Ξενοκράτους μὲν ἐν Ἀκαδημίᾳ, Ἀριστοτέλους δ' ἐν Χαλκίδι διατρίβοντος. οὗτος τέλος παντὸς ἀγαθοῦ ἐτίθετο τὴν ἡδονήν, καὶ οἱ μὲν νέοι ἐξηγηταὶ τῶν φιλοσόφων λέγουσι τέλος αὐτὸν τίθεσθαι τὴν ἡδονήν, οὐ τὴν ἀκάθαρτον, ἀλλὰ τὴν φυσικωτάτην κατάστασιν. 173
ἀλλ' ὅμως οἱ πλείους αὐτὸν ἀποσκορακίζουσιν, ὡς μὴ λέγοντα πρόνοιαν καὶ ὅτι τέλος τίθεται τὴν ἡδονήν, καὶ οὐ τὸ ἀγαθὸν καὶ πρώτιστον καὶ μόνον· τοῦτο δέ ἐστιν ὁ θεός. προσθήσομεν δὲ δύο τῶν αὐτοῦ ἐπιστολῶν, ὥστε πάντας τὰς κυρίας αὐτοῦ δόξας καταμαθεῖν, ἐν αἷς πᾶσαν τὴν ἑαυτοῦ φιλοσοφίαν ἀπέτεμεν. ἔστι δὲ αὐτῶν ἡ πρώτη πρὸς Πυθοκλέα, ἐν ῇ περὶ μετεώρων διαλαμβάνει.

— — —

Καὶ αὗται μὲν αἱ αὐτοῦ ἐπιστολαί. περὶ δὲ τῶν 192
βιωτικῶν αὐτοῦ, τουτέστι τί χρὴ ἡμᾶς ἐκφεύγειν, τί δ' αἱρεῖσθαι, οὐδέν τι λέξομεν πῇ μὲν διὰ τὸ ἄθεον καὶ βλάσφημον αὐτοῦ, πῇ δὲ καὶ διὰ τὴν ἄκαιρον περιττολογίαν. γέγονε δὲ πολυγραφότατος ὁ Ἐπίκου-

3 αὑτοῦ P αὐτοῦ V 7 Müller IV, p. 466 11 νέοι ex Cosmae commentariis addidi 19 ἑαυτοῦ P αὐτοῦ V ἐπέτεμε PV 26 πολυγραφώτατος P corr. V

ρος, πάντας ὑπερβαλλόμενος πλήθει βιβλίων· καὶ γὰρ ὑπὲρ τοὺς τετρακοσίους τόμους λέγεται γεγραφέναι. ἔσχε δὲ καὶ μαθητὰς πολλοὺς καὶ σφόδρα ἐλλογίμους καὶ μάλιστα * * Ἀθηναῖον καὶ Τιμοκράτην καὶ Μητρόδωρον Λαμψακηνόν, ὃς οὐκ ἀπέστη ἀπ' αὐτοῦ, ἀφ'
193 οὗ τὸν ἄνδρα ἔγνω ἕως τῆς αὐτοῦ τελευτῆς. κατέστρεψε δὲ τὸν βίον ἔτη βιώσας δύο πρὸς τοῖς ἑβδομήκοντα. καὶ τὴν σχολὴν αὐτοῦ διεδέξατο Ἕρμαρχος ὁ Μιτυληναῖος.

CCCCVII. Περὶ Ἑρμαγόρου.

Ἑρμαγόρας Ἀμφιπολίτης, φιλόσοφος, μαθητὴς Περσαίου. φέρονται αὐτοῦ διάλογοι Μισοκύων ἢ περὶ ἀτυχημάτων, περὶ σοφιστείας πρὸς τοὺς Ἀκαδημαϊκούς, ἔκχυτον (ἔστι δὲ ὠοσκοπία).

CCCCVIII. Περὶ Ἐπιχάρμου.

Ἐπίχαρμος Κῷος, φιλόσοφος. οὗτος ἤκουσε Πυθαγόρου. φέρεται αὐτοῦ συγγράμματα φυσικά, γνωμολογικὰ καὶ πολλὰ ἰατρικά. βιοὺς δὲ ἔτη ἐνενήκοντα τὸν βίον κατέστρεψεν.

CCCCIX. Περὶ Ἐπαμινώνδου.

Ἐπαμινώνδας τὸ γένος ἦν Θηβαῖος, φιλόσοφος καὶ στρατηγὸς μέγιστος, στρατηγήσας ἐν τῷ Λευκτρικῷ πολέμῳ, μαθητὴς γενόμενος Φιλολάου τοῦ Πυθαγο-

CCCCVII. Hesych. (Suid.) CCCCVIII. Diogenes Laert. VIII, 3. Cf. Eud. p. 166. CCCCIX. Nonn. I, 19

4 Diogenis lectionem reposui, μάλιστα Μητρόδωρον τὸν Ἀθηναῖον καὶ Τιμοκράτην καὶ Σάνδην τὸν Λαμψακηνόν PV Ἕρμαρχος F Ἕρμαχος PV

ρείου. οὗτος πολεμῶν ἐνεγκρατεύετο πάνυ καὶ ἀπὸ βρωμάτων καὶ ἀφροδισίων καὶ πάσης ἡδυπαθείας. διὸ καὶ μέγιστα κατὰ Λακεδαιμονίων ἔστησε τρόπαια. συγκρίνεται δὲ τούτῳ Σκηπίων ὁ Ῥωμαίων στρατηγὸς ὅμοιος κατὰ τὴν δίαιταν καὶ τὸ ἦθος. ἠρίστευσε δὲ καὶ αὐτὸς ἐν τῷ πρὸς Καρχηδόνα πολέμῳ. ὃς ἐκ τῆς νίκης τοῦ ἔθνους τὴν ἐπωνυμίαν ἔλαβε καὶ ἐκλήθη Σκηπίων Ἀφρικανός· καὶ γὰρ οἱ Καρχηδόνιοι Ἀφρικανοί.

CCCCX. Περὶ Ἑρμίου.

Ἑρμίας φιλόσοφος Ἀταρνεύς (χώρα Μυσίας τῆς πρὸς τῷ Ἑλλησπόντῳ), ἀσκηθεὶς παιδείαν παρ' Ἀριστοτέλους. ἔγραψε θαυμασίως περὶ ψυχῆς, ὅτι ἀθάνατος.

CCCCXI. Περὶ Εὐδόξου.

Εὔδοξος Αἰσχίνου Κνίδιος, φιλόσοφος, ἀκουστὴς Πλάτωνος καὶ ἡλικιώτης, ὥς φησι Σωτίων, ὡς δὲ Καλλίμαχος ἐν τοῖς πίναξι, Ἀρχύτα καὶ Φιλιστίωνος. ἔγραψε περὶ θεῶν καὶ κόσμου καὶ τῶν μετεωρολογουμένων. ἔσχε δὲ καὶ πρὸς ἰατρικὴν θαυμασίως καὶ πρὸς γεωμετρίαν καὶ ἀστρονομίαν ὑπερφυῶς. ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου καὶ ὀκταετηρίδα, ἔτι δὲ δι' ἐπῶν ἀστρονομίαν. ἐγένοντο δὲ αὐτῷ καὶ θυ- 194

CCCCX. Diogenes Laert. V, 1 CCCCXI. Diogenes Laert. VIII, 8 *ἔγραψε* — exit. Hesych. (Suid.)

---

8 *Ἀφροί* F 16 Schneider Callim. II, p. 318 10 *Ἑρμείας* PV 17 *ἔγραψε — μετεωρολογουμένων* om. S 19 brevius S *καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς* reliquis omissis 21 *αὐτῷ* P *αὑτῷ* V

γατέρες τρεῖς, Ἀκτίς, Φιλτίς, Δελφίς, τῷ πατρὶ σχεδὸν παρόμοιοι.

CCCCXII. Περὶ Ζαμόλξιδος.

Ζάμολξις Γετικὸς γόης. οὗτος τὰ τοῦ Πυθαγόρου ἦν μεμυημένος καὶ πρὸς αὐτὸν ἀπηκριβωμένος, εἶτα πρὸς τὸ οἰκεῖον ἔθνος, τοὺς Γέτας, ἐπανελθὼν καὶ τοῖς Αἰγυπτίοις πολλὰ προειπών, ἐθαυμάσθη καὶ πιθανὸς ἦν νομοθετῶν. ὃν καὶ θανόντα τοῖς θεοῖς ἐναριθμοῦσι καὶ ὡς θεὸν ἤδη σέβονται. τοῦτον Ἡρόδοτος λέγει Πυθαγόρου δοῦλον γενέσθαι, εἶτα ἐλευθερωθέντα καὶ πλεύσαντα ἀπελθεῖν, καὶ σωφρονεστέραν μαθόντα δίαιταν καὶ Ἑλληνικήν, τοὺς πρώτους τῶν ἀστῶν συνάγειν καὶ εὐωχεῖν, λέγοντα, ὡς οὔτε αὐτός, οὔτε οἱ συμπόται τεθνήξοιντο. ὁ δὲ Ἰουλιανὸς ἔν τινι τῶν αὑτοῦ λόγων γράφει, ὅτι τὸ τῶν Γετῶν ἔθνος τῶν πώποτε μαχιμώτατον, διά τε τὴν ἀνδρείαν καὶ διὰ τὸν Ζάμολξιν, ὃν τιμῶσιν· οὐ γὰρ ἀποθνήσκειν, ἀλλὰ μετοικίζεσθαι νομίζοντες ἑτοιμότερον θνήσκουσιν, ἢ τὰς ἀποδημίας ὑπομένουσιν. ἔστι δὲ καὶ νόμος Γετικός, ἐπισφάζεσθαι τὴν γυναῖκα τῷ ἀνδρὶ θανόντι καὶ κιθαρίζειν, ὅταν ἐπικηρυκεύωνται. Ἡρόδοτος δὲ καὶ τοξεύειν φησὶν αὐτοὺς ἄνω πρὸς τὴν βροντὴν καὶ τὴν ἀστραπήν, ἀπειλοῦντας τῷ θεῷ.

CCCCXII. Cosm. p. 181 ὁ δὲ Ἰουλιανὸς — exit. Eustath. Dion. 307.

---

2 τῷ πατρὶ — παρόμοιοι om. S 13 Ἰουλιανὸς P Ἰουλανὸς V Iulian. Caesar. c. 22, p. 70 laudavit Harles 16 τιμοῦσιν PV 20 IV, 94

CCCCXIII. *Περὶ Ζευξίππης.*

Ζευξίππη κατὰ μὲν Ἀλκμᾶνα ἡ μήτηρ τοῦ Πριάμου ἐκαλεῖτο, κατὰ δὲ Ἑλλάνικον Στρυμώ. Σκάμων δὲ ἐν τῷ περὶ Λέσβου φησὶ Θόωσαν τὴν Τεύκρου, [οὐδὲ Πριάμου], ὥς φησι Πορφύριος.

CCCCXIV. *Περὶ τοῦ Διός.*

Ζεὺς οὐ μόνον ὁ καθ' ἱστορίαν Κρητικὸς βασιλεύς, οὐδὲ μόνον ὁ κατὰ μῦθον πατὴρ ἀνδρῶν τε θεῶν τε, ἀλλὰ καὶ ὁ κατὰ ἀναγωγὴν ἀὴρ καὶ αἰθὴρ καὶ ἡ ψυχὴ τοῦ παντός. καὶ καθ' ἱστορίαν μὲν λέγεται, ὅτι Ζεὺς βασιλεὺς ἦν Κρήτης, νομοθέτης Κρητῶν καὶ ἄλλων Ἑλλήνων. οὗτος ἁρπάσας Εὐρώπην ἐκ Φοινίκης, τὴν θυγατέρα Ἀγήνορος, εἰς Κρήτην ἤγα- 195
γεν, ἐξ ἧς ἔσχε παῖδας τέσσαρας, Μίνω, Ῥαδάμανθυν, Αἰακὸν καὶ Σαρπηδόνα. κατὰ δὲ μῦθον ἐκ Κρόνου λέγουσι γεννηθῆναι αὐτὸν οἱ θεολόγοι τῶν Ἑλλήνων, καὶ γεννηθέντα περισωθῆναι τοιῷσδε. ὁ Κρόνος τῇ Ῥέᾳ γενόμενος σύνοικος, ἅπερ ἔτικτεν αὐτὴ παιδία, αὐτὸς λαμβάνων κατέπινε. καὶ οὕτως ἐπὶ πολλῶν

CCCCXIII. Schol. Ven. Il. III, 250 CCCCXIV. Compilavit Apollod. III, 1, 1 (Eustath. Dion. 270) *κατὰ δὲ μῦθον — παιδίον* Nonn. Sanct. Lum. 1 *ὁ οὖν Ζεὺς — μίμησιν αὐτοῦ* Nonn. I, 89 *ὅτι καὶ αὐτὸς — Κρόνος* Nonn. l. l. 4 *οὗτος — ἐτίμησαν* Miller, Périple p. 311. Cf. Eud. p. 259. *περὶ δὲ — ἐλθών* Eustath. Il. p. 128 *λέγεται — αὐτοῦ* Eustath. Il. p. 763 *ἐνίοτε — μῦθοι* Eustath. Il. p. 147

---

2 *Στρυμώ* scripsi cum F *Τρυμὼ* PV. Cf. Müller I, p. 64; Bergk. Poet. Lyr. p. 863 *Σκάμων* F *Στάμος* PV. Cf. Müller IV, p. 491 3 *Θόωσαν τὴν Τεύκρου* scripsi cum F *Θόασαν τὸν Τεῦκρον* PV 4 Haec verba lector aliquis ineptus addidit; ferri possint si corrigas *μητέρα Πριάμου*

τούτου γενομένου, ἄτεκνος ἔμενεν ἡ Ῥέα. ὅτε οὖν ἐγέννησε τὸν Δία, ἡ Ῥέα φοβουμένη, μήπως καὶ τὸ βρέφος τοῦτο καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανίσασα δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν. τὸν δὲ Δία παρέθετο ἐν τῇ Κρήτῃ, καὶ παρέστησε τῷ βρέφει τούτῳ τοὺς Κορύβαντας καὶ τοὺς Κουρῆτας, ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν, καὶ γενέσθαι τινὰ ἦχον, τὸν δυνάμενον ὑποβλέπειν καὶ παρακρούειν τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ μαθὼν ὁ Κρόνος, ποῦ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. διὸ καὶ πατὴρ μισότεκνος λέγεται ὁ Κρόνος, παιδίον δὲ κλαυθμυρίζον ὁ Ζεὺς παρὰ τοῖς ποιηταῖς. οἱ δὲ Κουρῆτες λέγονται, οἱ μετὰ τῶν Κορυβάντων ταχθέντες, παρὰ τῆς Ῥέας ὀρχεῖσθαι. δαίμονες δὲ οὗτοι οἱ Κορύβαντες. καὶ ἐνόπλιον δὲ ὄρχησιν καλοῦσι τὴν Πυρρίχιον. κτύπον γάρ τινα ἐν ταῖς ἀσπίσιν ἐποίουν οὗτοι, πρὸς τὸ ὑπερηχεῖσθαι τὸν κλαυθμὸν τοῦ παιδίου. ὁ οὖν Ζεὺς αὐξηθεὶς καὶ μαθών, ὅτι τοιοῦτός ἐστιν ὁ Κρόνος τεκνοφάγος, ἐπανίσταται αὐτῷ καὶ ἀποσπᾷ ἀπ' αὐτοῦ τὴν βασιλείαν, καὶ ποιεῖ ἐκπεσεῖν τῆς ἀρχῆς τὸν Κρόνον τὸν ἴδιον πατέρα κατὰ μίμησιν αὐτοῦ, ὅτι καὶ αὐτὸς ὁ Κρόνος ἐπανέστη τῷ ἰδίῳ πατρὶ Οὐρανῷ. μὴ βουλόμενος γὰρ γενέσθαι τῷ πατρὶ ἕτερον παῖδα, λαβὼν δρέπανον ἐξέτεμε τὰ αἰδοῖα αὐτοῦ καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλατταν. ἀφροῦ δὲ γενομένου, ὡς ληροῦσιν, ἐγεννήθη ἡ Ἀφροδίτη, ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη ἐκ τοῦ

---

5 παρέθετο coni. A. C. Meineke, ὑπερέθετο FPV 7 αὐτῶν P corr. V 12 κλαυθμιρίζον P corr. V 18 αὐξηνθεὶς P corr. V

ἀφροῦ. καὶ οὕτως ἔλαβε τὴν βασιλείαν ὁ Κρόνος. οὗτος τοίνυν ἐξορισθεὶς ὑπὸ τοῦ Διός, εἰς Ἰταλίαν ἀφικνεῖτο καὶ Λατίνων βασιλεὺς ἐγένετο, νόμους θεὶς αὐτοῖς καὶ γεωργίαν διδάξας, ὃν καὶ ὡς θεὸν ἀποθανόντα ἐτίμησαν, ὡς ἡ δημώδης ἱστορία. καὶ αὐτὸν γὰρ τὸν Δία, τύραννον ὄντα Κρητῶν, θέλοντες οἱ ὑπήκοοι θεραπεύειν, ἐμυθολόγουν ὡς ἐκ Κρόνου θεοῦ καὶ Ῥέας ἔχει τὴν γένεσιν, καίπερ οἴδασιν ἄνθρωπον εἶναι.

Περὶ δὲ τοῦ διὰ δίαιταν λιπαρὰν τρέχειν τὸν Δία λέγεται, ὅτι ὁ Ζεὺς ἀπῆλθεν ἐν τῇ Αἰθιοπίᾳ ἐπὶ ἄριστον, ὃ οἱ Αἰθίοπες ποιήσαντες ἐκάλεσαν αὐτὸν καὶ τοὺς ἄλλους θεοὺς σὺν αὐτῷ. τὸ δὲ ἄριστον τῶν Αἰθιόπων καὶ ἡ αἰτία αὕτη ἐστίν, θυσία ἡ γενο- 196
μένη τῷ Διΐ. τὰ δὲ ἔπη εἰσὶ ταῦτα·

Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο.

Καὶ ἄλλως. τινὲς ἱστορικῶς βουλόμενοι θεραπεύειν τοῦτο λέγουσιν, ὅτι ἐν Διοσπόλει μέγιστόν ἐστι Διὸς ἱερόν, ἀφ' οὗ λαβόντες Αἰθίοπες Διὸς ξόανον καὶ ἄλλων δαιμόνων σὺν αὐτῷ, κατά τινα καιρὸν τεταγμένον περινοστοῦσι τὰ κατα τὴν Λιβύην καὶ πανηγυρίζουσι παντελῶς ἐπὶ δώδεκα ἡμέρας, ἐπεὶ καὶ τοσοῦτοι παρ' αὐτοῖς οἱ θεοί. τοῦτο γοῦν, φασίν, εἰδὼς Ὅμηρος, οἷα καὶ τοιούτων ἐθῶν ἔμπειρος, ὃν καὶ Αἰγύπτιον γενεαλογοῦσί τινες, πλάττει ἐνταῦθα δωδεκαήμερον ἀποδημίαν Διὸς ἐξ ἱστορικῆς ἀφορμῆς, εἰς τὸ πλάσμα ἐλθών.

---

5 δημόδης P corr. V 8 εἴδασιν PV 16 Il. I, 423 seq. 23 πολυτελῶς F 27 καὶ νῦν add. F

Λέγεται δὲ καὶ Ζεὺς καταχθόνιος ὁ Ἅιδης, ὡς ἐὰν εἴποι τις ἀὴρ ὑπόγειος. εἰ δὲ κατὰ παλαιὰν ἱστορίαν περί τινα Καρικὸν ποταμὸν Ζηνὸς Ποσειδῶνος ἦν ἱερόν, ἰδοὺ τὸ Ζεύς, ἤτοι τὸ Ζήν, κοινὸν ὄνομα Διὸς καὶ Ποσειδῶνος καὶ Ἅιδου τῶν ἀδελφῶν. ἄλλως δὲ Ζεὺς καταχθόνιος, ἤγουν ὑποχθόνιος, ὁ τοῦ μύθου Πλούτων, Περσεφόνη δὲ ἄκοιτις αὐτοῦ.

Ἐνίοτε δὲ ὁ Ζεὺς ἁπλῶς λέγεται πατὴρ διὰ τὸ τοῦ ἀέρος ζωογόνον, ἐνίοτε δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε, ἤτοι κηδεμὼν οὐ μόνον στοιχείων καὶ ἄστρων καὶ ὅλως τῶν θειοτέρων, ἀλλὰ καὶ ἀνδρῶν, τουτέστιν ἀνθρώπων, ὡς ἀπὸ μέρους. ἀπὸ δὲ τῶν ἀνθρώπων τοῦ τιμιωτάτου γένους, καὶ εἰς τὰ ἄλλα διαβαίνει τὸ νόημα. ὁ δὲ μῦθος πατέρα θεῶν καὶ ἀνδρῶν ἄλλως τὸν Δία φησί, λέγων, ὅτι κατὰ τοὺς Ὁμηρικοὺς μύθους τῶν ἄλλων δαιμόνων οἱ μὲν μόνων θνητῶν πατέρες λέγονται, ὡς Ποσειδῶν Κύκλωπος καὶ Ὤτου καὶ Ἐφιάλτου, Ἀφροδίτη Αἰνείου, Θέτις Ἀχιλλέως, καὶ ἄλλοι ἄλλων· οἱ δὲ μόνων ἀθανάτων, ὡς Κρόνος Διός, Ἥρας, Ἅιδου, Ποσειδῶνος. Ζεὺς δὲ μόνος καὶ ἀθανάτων πατήρ, οἷον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεος· καὶ θνητῶν δέ, οἷον Σαρπηδόνος, Αἰακοῦ, Μίνωος, Ἡρακλέους ἐκ τῆς Ἀλκμήνης, Περσέως ἐκ τῆς Δανάης, Κάστορος καὶ Πολυδεύκους ἐκ τῆς Λήδας, Ἰασίονος ἐκ τῆς Ἡμέρας, Ἰασίονος καὶ Δαρδάνου ἐκ τῆς Ἠλέκτρας, Βιθυνοῦ ἐκ Θρᾴκης τῆς Τιτανίδος καὶ ἄλλων πλείστων, ὡς οἱ μῦθοι.

4 ἤτοι Ζῆν F 10 ἀστέρων F 17 In margine P verba apposita sunt Διὸς υἱοί 22 Σαρπηδῶνος PV 23 ἐκ τῆς Ἀλκμήνης et infra ἐκ τῆς Δανάης — μῦθοι om. F Posituras omnes turbavit V

CCCCIV^{b}. *Περὶ τοῦ Διὸς πάντα γινομένου διὰ τὰς γυναῖκας.*

Λέγεται δὲ περὶ τοῦ Διός, ὅτι ἀετὸς μὲν γενόμενος διὰ μαγγανείας τινὸς ἥρπασε τὸν Γανυμήδην, 197 *ἐρασθεὶς αὐτοῦ πρὸς παιδεραστίαν (Φρὺξ δὲ ὁ Γανυμήδης). ὁ δὲ μῦθος ἔχει, ὅτι ἥρπασεν ὁ Ζεὺς τὸν Γανυμήδην, ἵνα ποιήσῃ αὐτὸν οἰνοχόον, ὅταν ἀριστοποιῇ τοῖς θεοῖς. καὶ πάλιν γοητείᾳ τινὶ γέγονε χρυσὸς καὶ Δανάῃ συνεγένετο. πάλιν ταῦρος καὶ τὴν Εὐρώπην ἥρπασε. κύκνος δὲ γενόμενος Λήδαν ἐπόρνευσε. σάτυρος δὲ γενόμενος τὴν Ἀντιόπην ἔφθειρε. καὶ ἄλλα μυρία κακὰ ἔπραξε, πάντα γινόμενος διὰ φιληδονίαν καὶ λαγνείαν ὁ παρ' Ἕλλησιν ἐξοχώτατος θεός.*

CCCCXIV^{c}. *Περὶ τοῦ νεφεληγερέτου Διος πρὸς τὴν Ἥραν.*

Ἔστι μῦθος διαπλασθεὶς διὰ τοιαύτην αἰτίαν. ὁ Ζεὺς μᾶλλον χαρίζεται τοῖς Τρωσὶ καὶ ἐποίει ἡττᾶσθαι τοὺς Ἕλληνας διὰ τὴν ἱκετείαν τῆς Θέτιδος ἕνεκεν τοῦ Ἀχιλλέως, ἵνα ζητήσωσι τὸν Ἀχιλλέα οἱ Ἕλληνες ἡττώμενοι. ἡ δὲ Ἥρα ἐφρόντιζε τῶν Ἑλλήνων. φροντίζουσα δὲ βουλεύεται ἀπατῆσαι τὸν Δία πρὸς μῖξιν αὐτῆς. καὶ μετὰ τοῦτο ὕπνον αὐτῷ προσποιεῖ ἐκ-

CCCCXIV^{b}. Nonn. II, 29 (v. Cosm. p. 68 seq. et 260 seq.; Clarke p. 45) CCCCXIV^{c}. Nonn. I, 81. Cf. DCCCCXXVII.

In titulo *Διός* add. V om. P 9 *ἐπόρνευσεν* PV 10 *μυρίκα* P corr. V 18 *βουλεύεται* F *βούλεται* PV

βακχεύουσα πρὸς αὐτόν, ἵνα, καθεύδοντος τοῦ Διός, ἀβοήθητοι οἱ Τρῶες γενόμενοι ἡττηθῶσιν ὑπὸ τῶν Ἑλλήνων. ταῦτα βουλευσαμένη λαμβάνει τὰ πορνικὰ καλλωπίσματα ἐκ τοῦ κεστοῦ τῆς Ἀφροδίτης (ὁ δὲ κεστὸς μυθεύεται, ὅτι καμψεῖόν τί ἐστιν, ἐν ᾧ πάντα τὰ πρὸς κάλλος καὶ εὐμορφίαν καὶ χάριτας καὶ λαμπρότητας προσώπου ἐναπόκειται εἴδη ἀπατηλά), εἶτα κοσμησαμένη ἄνεισι πρὸς τὸν Δία καὶ κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου πρὸς ἡδονὴν καὶ λαγνείαν. ἐκ γῆς δὲ περιέβαλεν αὐτὴν καὶ τὰς τῶν μύρων εὐωδίας· καὶ γὰρ ἡ γῆ, φησὶν ὁ μῦθος, ἐβλάστησε βοτάνας, οἷον κρόκον, ῥόδα, λῶτον, ἴα, κρίνα, κασίαν, κινάμωμον, στάκτην καὶ τὰ λοιπὰ ἀρώματα ἔργα τοιαύτης πράξεως.

CCCCXIV[d]. *Περὶ τοῦ ἐμπεσόντος φόβου τῷ Διΐ.*

Τοῦ Ἀχιλλέως κατὰ κράτος ἀριστεύοντος, φόβος ἔλαβε τὸν Δία, μήπως παρὰ τὸ εἱμαρμένον ὁ Ἀχιλλεὺς πορθήσῃ τὸ Ἴλιον. τοῦτο φοβούμενος ἐπιτρέπει τοῖς θεοῖς, τὸν βουλόμενον ᾧ βούλεται ἀπελθεῖν καὶ βοηθῆσαι, ἵνα οἱ μὲν τοῖς Τρωσίν, οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι. τούτων ἐπιτραπέντων, ὁ μὲν Ζεὺς κατὰ τὸν μῦθον ἐβρόντησεν ἐκ τοῦ οὐρανοῦ, ὁ δὲ Ποσειδῶν σείει τὴν θάλασσαν, ὁ δὲ Ἅιδης, σεισθέντων τῆς

CCCCXIV[d]. Nonn. I, 83

---

1 *πρὸς μῖξιν αὐτὸν καὶ ὕπνον ἐκβακχεύουσα* brevius F 2 *ἀπὸ* F, quod iure mutavit Westermann. Script. Poet. p. 372 5 *καμψίον τι* PV 7 *λαμπρότητα* F *εἴδη ἀπατηλά* om. F 8 *παρὰ τὸν Δία* P *πρὸς τ. Δ.* V 11 *ἑαυτῇ τῆς — εὐωδίας* F 14 *οἷον λῶτον, κρόκκον, ὑάκινθον, ῥόδα καὶ τὰ λοιπὰ ἀρώματα, ἔργα μυρεψῶν καὶ μόσχον* F

θαλάσσης καὶ τοῦ οὐρανοῦ, ἐφοβήθη, μήπως, σεισθείσης τῆς γῆς, ἀνάρρηξις γένηται τῶν καταχθονίων καὶ δημοσιευθῇ τὰ κατ' αὐτόν.

CCCCXIV[e]. *Περὶ τῆς συννεύσεως τῶν ὀφρύων* 198
καὶ συγκινήσεως τῶν τριχῶν τοῦ Διός.

Ὅμηρος εἰσφέρει τὸν Δία μετὰ τὴν τῆς Θέτιδος ἱκετείαν περὶ τοῦ Ἀχιλλέως ὑποσχόμενον, κεκινηκότα αὐτὸν τὰς ὀφρῦς ἐπὶ τῇ ὑποσχέσει, σείσαντα δὲ τὰς τρίχας ἐπὶ κατανεύσει τῆς κεφαλῆς καὶ συγκινήσαντα ὅλον τὸν οὐρανόν, τῶν τριχῶν αὐτοῦ κινηθεισῶν. ἀμβροσίας δὲ τὰς τρίχας εἶπεν ὁ ποιητής, οἷον ἃς οὐδεὶς βροτὸς δύναται ἔχειν.

CCCCXIV[f]. *Περὶ τοῦ ἐν Κρήτῃ τάφου τοῦ Διός.*

Ὁ Ζεὺς λέγεται ἐν Κρήτῃ, ὡς εἴρηται, καὶ τραφῆναι καὶ ἀποθανεῖν, καὶ εἶναι αὐτοῦ τὸν τάφον, ἐν ᾧ ἐπιγέγραπται, κεῖσθαι ἐκεῖσε τὸν Δία. καὶ εἶναι ἔλεγχον τοῦτο κατὰ τῶν λεγόντων τὸν Δία μὴ ταφῆναι ἐν Κρήτῃ. καὶ γὰρ αὐτὸς παραδοὺς τὴν τῆς δύσεως ἀρχὴν τῷ ἰδίῳ υἱεῖ Ἑρμῇ τελευτᾷ, ζήσας εἴκοσι καὶ ἑκατὸν ἔτη. καὶ τελευτῶν ἐκέλευσεν ἀποτεθῆναι τὸ ἑαυτοῦ σῶμα ἐν Κρήτῃ τῇ νήσῳ, ἐν ᾧ ἐπιγέγραπται· ἐνθάδε κεῖται θανὼν Πῖκος ὁ Ζεύς. μέμνηνται τοῦ τάφου τούτου πλεῖστοι ἐν τοῖς ἰδίοις συγγράμμασιν.

CCCCXIV[e]. Nonn. I, 84 CCCCXIV[f]. Nonn. II, 30

2 *ἀναρρηξία* PV 4 Il. I, 528 5 *ἱκεσίαν* F *ὑποσχόμενος* P corr. V 6 *μὲν* F *αὐτὸν* inepte PV 14 *λεγόντων τὸν Δία θεόν* F *πῆκος* PV 19 *ὧδε μέγας κεῖται Ζᾶν, ὃν Δία κικλήσκουσιν* Anthol. Pal. VII, 746. Ceterum verba *καὶ γὰρ αὐτὸς — συγγράμμασιν* om. F. Eudocia haec ex Ioannis Antiocheni historiis sumpsisse videtur. Cf. Müller IV, p. 542

ἐλέγχονται δὲ προσέτι, ὅτι καὶ ἄνθρωπος ἦν καὶ τέθνηκε καὶ κεῖται ἐν Κρήτῃ.

CCCCXIV[g]. *Ποσαχῶς ὁ Ζεὺς ἤτοι περὶ τῶν ἐπωνυμιῶν αὐτοῦ.*

Μετὰ δὲ ταῦτα ἄλλως ὁ Ζεὺς πατὴρ λέγεται θεῶν καὶ ἀνθρώπων εἶναι διὰ τὸ τὴν τοῦ κόσμου φύσιν αἰτίαν γεγονέναι τῆς τούτων ὑποστάσεως, ὡς οἱ πατέρες γεννῶσι τὰ τέκνα.

Νεφεληγερέτης δὲ καὶ ἐρίγδουπος ἐπωνόμασται τῷ ὑπὲρ ἡμᾶς νέφη καὶ βροντὰς συνίστασθαι καὶ τοὺς κεραυνοὺς ἐκεῖθεν καὶ τὰς καταιγίδας ἐνσκήπτειν, ἄλλως ἤδη τῷ τὸν οὐρανὸν λελογχότι θεῷ παντὸς τοῦ ὑπὲρ γῆν τόπου ἀπονεμομένου. διὰ μὲν τὰς αἰγίδας, ὡς δὴ ἀπὸ τοῦ ἀΐσσειν, τοῦ ὁρμᾶν, τὸ ὄνομα Αἰγίοχος ἐκλήθη. δι' ἄλλας δὲ ὁμοειδεῖς καὶ εὐεπιγνώστους αἰτίας ὑέτιος καὶ ἐπικάρπιος καὶ καταιβάτης καὶ ἀστεροπαῖος καὶ ἱκέσιος καὶ κεραύνιος καὶ προπάτωρ καὶ παννύχιος καὶ λατεάριος καὶ Κάσσιος καὶ πολυοῦχος καὶ φίλιος καὶ ἐφέστιος καὶ ἐρισμάραγος, ἤτοι ἀὴρ πολύηχος καὶ ὅρκιος καὶ Καπετώλιος καὶ

CCCCXIV[g]. Cornut. 9 *καὶ ὑψίζυγος — εὐθέστερος* Eustath. Il. p. 665 *καὶ ὁμολώϊος — Θήβαις* Phot. lex. (Suid.; Apostol. XIV, 40; Arsen. p. 381) *καὶ Σινώπης — παράγουσιν* Eustath. Dion. 254 *καὶ ἑρκεῖος — στέγη* Etym. M. p. 375, 23 *καὶ μείλιχος — βωμοί* Cornut. 11 *καὶ ὁμομαστιγίας — ἤκουσε* Schol. Ar. Ran. 768 *καὶ Δωδωναῖος — ἱστοροῦσι* Schol. Il. XVI, 233. Cf. CCLXIII. *Δωδωναῖος — διὰ τὸ ἄνα* Eustath. Il. p. 1074 *καὶ περὶ — πτηνῶν* Cornut. 9 *στέφεται — λέγουσιν* Cornut. 2 *ἀκολούθως* — exit. Tzetzes Proleg. Hes. p. 56 Gaisf.

---

4 *τὸ* addidi ex F om. PV 9 *κατασκήπτειν* F 11 Sic cum F scripsi, *πάντας — τόπους — ἀπονεμομένῳ* PV 13 *ὁμοιοειδεῖς* PV 14 *καταβάτης* PV 15 *καὶ ἱκέσιος —*

ἀστεροπητὴς καὶ ἑταιρεῖος καὶ ὁμόγνιος. καὶ ἄλλως δὲ πολλαχῶς, κατὰ διαφόρους ἐπινοίας. καὶ σωτῆρα καὶ πολιέα καὶ ὁμόγνιον καὶ ξένιον καὶ κτήσιον καὶ βουλαῖον καὶ τροπαιοῦχον καὶ ἐλευθέριον αὐτὸν προσαγορεύουσιν, ἀπεριλήπτων ὅσων ὀνομασιῶν αὐτῷ τούτων οὐσῶν, ἐπεὶ διατέτακεν εἰς πᾶσαν δύναμιν καὶ σχέσιν καὶ πάντων αἴτιος καὶ ἐπόπτης ἐστίν. οὕτω δὲ ἐρρέθη καὶ τῆς Δίκης πατὴρ εἶναι· ὁ γὰρ παρ- 199
αγαγὼν εἰς τὰ πράγματα τὴν κοινωνίαν τῶν ἀνθρώπων καὶ παραγγείλας αὐτοῖς μὴ ἀδικεῖν ἀλλήλους οὗτός ἐστι. καὶ τῶν Χαρίτων· ἐνταῦθα γάρ εἰσιν αἱ τοῦ χαρίζεσθαι καὶ εὐεργετεῖν ἀρχαί. καὶ τῶν Ὡρῶν, τῶν κατὰ τοῦ περιέχοντος ποιουσῶν μεταβολὰς σωτηρίους καὶ τῶν γινομένων ἐπὶ τῆς γῆς ἄλλων καὶ ὠνομασμένων ἀπὸ τῆς φύσεως, οὗτός ἐστι παροχεύς. λέγεται δὲ ὑπό τινων καὶ ἀλάστωρ καὶ παλαμναῖος τῷ τοὺς ἀλάστορας καὶ παλαμναίους κολάζειν· τῶν μὲν ὠνομασμένων ἀπὸ τοῦ τὰ τοιαῦτα ἁμαρτάνειν, ἐφ' οἷς ἐστιν ἀλαστῆσαι καὶ στενάξαι, τῶν δὲ ἀπὸ τοῦ ταῖς παλάμαις μιάσματος ἀνέκπλυτα ἀποτελεῖν.

Καὶ ὑψίζυγος ὁ ἀφ' ὕψους τὰ κάτω κυβερνῶν καὶ ἀπὸ ζυγῶν κυβερνητικῶν, ἢ ὃ ἄνωθεν ταλαντεύων, οἷον τὰ κατὰ ἀνθρώπους. διὸ λέγει Ὅμηρος, ὅτι ὕπερθεν, ἤγουν ἐκ θεοῦ, νίκης πείρατα ἔχονται. καὶ γίνεται τούτου ἀφορμὴ τοῦ γραφῆναι τὸν Δία μεταχειριζόμενον τάλαντα, ὡς ἐν ζυγοστατήματι. τοῦτο δὲ

ὁμόγνιος om. F 3 πολιέα F πολυέα PV 4 βουλαῖον F βουλιαῖον PV 12 χαρίζεσθαι F δανείζεσθαι PV Ὡρῶν, τῶν F ὁρώντων PV 20 Sic F, τὰς παλάμας μιάσματος ἀνεκπλύτους PV 23 Il. VII, 101 seq.

νοεῖν οὐ πάνυ φιλοῦσιν οἱ παλαιοί, ζυγὸν εἰδότες ἅρματος καὶ ἁμάξης, ὅθεν καὶ ζυγόδεσμον Ὅμηρός φησιν ἱμάντα. τὸν ζυγόν φασι τῶν ζώων ζευγνῦντα, εἰδότες δὲ καὶ ζυγὰ καὶ καθέδρας ἐρεσσόντων, ὅθεν, φασίν, ὑψίζυγος, ὁ ὕψι καθέδραν ἔχων. καὶ ὅμως οἱ μεθ' Ὅμηρον οἴδασι ζυγὸν καὶ ἐπὶ σταθμοῦ. καὶ αὐτοὶ παρὰ τὸ δύο ἄγειν ἐτυμολογικῶς τὰς ἑκατέρωθεν δηλαδὴ πλάστιγγας· ἀφ' οὗ καὶ παροιμία τὸ „ζυγοῦ πρὸς δίκην εὐθέστερος“.

Καὶ ὁμολώϊος δὲ προσηγορεύθη ἐν Θήβαις καὶ ἐν ἄλλαις πόλεσι Βοιωτικαῖς καὶ ἐν Θεσσαλίᾳ ἀπὸ Ὁμολωΐας προφήτιδος τῆς Ἐνυέως, ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστόδημος ἐν δευτέρῳ τῶν Θηβαϊκῶν. Ἴστρος δὲ ἐν τῇ δωδεκάτῃ τῆς συναγωγῆς διὰ τὸ παρ' Αἰολεῦσι τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν ὅμολον λέγεσθαι. ἔστι δὲ καὶ Δημήτηρ Ὁμολωΐα ἐν Θήβαις.

Καὶ Σινωπίτης ἢ ἀπὸ Σινωπίου ὄρους Μέμφιδος ἢ ἀπὸ Σινώπης τῆς Ποντικῆς. φέρεται γὰρ τοιοῦτος λόγος, ὅτι βασιλεῖ τῆς Ἀλεξανδρείας Πτολεμαίῳ τῷ Λάγου δαίμων τις ἐπιφανεὶς ἐκέλευσε πέμψαντα ναῦν κομίσαι αὐτόν, μὴ προσδηλώσας καὶ τόπον, ὅθεν αὐτὸν ἀνακομίσεται. ὁ δὲ πέμπει φέρεσθαι τηνάλλως τὴν ναῦν, ὅπῃ τύχῃ. καὶ ὡς προσέβαλεν ἡ ναῦς τῇ Φωκίδι, λαβόντες χρησμὸν οἱ ἐμπλέοντες ἀπελθεῖν εἰς Σινώπην καὶ ἐνέγκαι τὸ προσταχθέν, ἤνεγκαν ἐκεῖθεν

2 Il. XXV, 270 10 *καὶ ἐν ἄλλαις — Θεσσαλίᾳ* ex P addidi, om. V 13 Müller III, p. 309 14 Müller I, p. 419 16 *Δημήτηρ Ὁμολωΐα* F *Ὁμολώϊα* omisso *Δημήτηρ* PV 20 *τοιοῦτος* om. F

τὸ τοῦ Σαράπιδος Διὸς ἄγαλμα. κἀντεῦθεν Σινωπίτης Ζεύς, ἤτοι Σάραπις, οὗ φασι τὸ ἄγαλμα τοῖς ὁρῶσιν ἄδηλον εἶναι, οἵας φύσεως ἦν. οἱ δὲ ἀπὸ Σίνωπος ποταμοῦ τὸν Σινωπίτην τοῦτον Δία παράγουσιν.

Καὶ Ἑρκεῖος, ᾧ βωμὸς ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. μετῆν δὲ 200 τῆς πολιτείας, οἷς ἦν Ζεὺς Ἑρκεῖος. ἑρκίον δὲ τὸ περίφραγμα τῆς αὐλῆς, ἢ ἡ τοῦ δώματος στέγη. Σοφοκλῆς Αἴαντι, „πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκείου στέγης μάστιγι πρῶτον νῶτα φοινιχθεὶς φανῇ". καὶ μείλιχος, εὐμείλικτος ὢν τοῖς ἐξ ἀδικίας μετατιθεμένοις· οὐδὲ γὰρ ἀδιαλλάκτως ἔχει πρὸς αὐτούς· διὰ τοῦτο καὶ ἱκεσίου Διός εἰσι βωμοί.

Καὶ πατρῷος, ὥσπερ καὶ ὁ Ἀπόλλων, ἐν Ἀθήναις τιμώμενοι· ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς οἱ πλείους, μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν, οἵ τινες ταύτῃ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν· Ἀπόλλων δέ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς ἐγένετο ὁ Ἴων, ὡς πρόγονον οὖν αὐτὸν ἐτίμα καὶ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο· ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον.

Οἱ δέ· οὕτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων διὰ τὸ πρώτους ὑποδέξασθαι τὼ θεὼ εἰς τὴν χώραν καὶ θυσίας συντελέσαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας, μόνους ἀλλήλων.

---

7 ἑρκίον F ἑρκεῖον PV 9 κίον' ἑρκείου Soph. Ai. 108 κίονα PV 10 Sic ex Aiac. v. 110 restitui, μάστιγι πρῶτα φοινιχθεὶς θάνῃ PV 11 εὐμείληκτος P corr. V

Καὶ ἐπάκριος ὁ ἐπὶ τῶν ἄκρων τῶν ὀρῶν ἱδρυμένος· ἐπὶ γὰρ τῶν ὀρῶν τοὺς βωμοὺς αὐτῷ ἵδρυον, ὡς ἐπιπολύ. καὶ ὁμομαστιγίας καὶ δούλιος, ἐπεὶ δούλων ἐστὶν ἔφορος· οἱ δὲ δοῦλοι μάστιξιν ὑπόκεινται καὶ πληγαῖς· διὰ τοῦτο ὁμομαστιγίας ἤκουσε.

Καὶ Δωδωναῖος, ὥσπερ Ἰλιάδος Π΄·

Ζεῦ ἄνα Δωδωναῖε, — —

ἐν χωρίῳ τῶν Ὑπερβορέων τῇ Δωδώνῃ τιμώμενε, ἐν Θεσπρωτίᾳ. λέγεται γάρ, ὅτι Δευκαλίων μετὰ τὸν ἐπ᾽ αὐτοῦ γενόμενον κατακλυσμὸν εἰς τὴν Ἤπειρον ἐμαντεύετο ἐν τῇ δρυΐ. πελειάδος δὲ αὐτῷ χρησμὸν δούσης, κατοικίζει τὸν τόπον, συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ. καὶ ἀπὸ τοῦ Διὸς καὶ Δωδώνης, μιᾶς τῶν Ὠκεανίδων, Δωδώνην τὴν χώραν προσηγόρευσεν, ὡς Θρασύβουλος καὶ Ἀκεστόδωρος ἱστοροῦσι.

Καὶ ἄλλως. Δωδωναῖος Ζεύς, ὁ περὶ Δωδώνην ἐξέχουσαν ἔχων τιμήν, καὶ κατὰ ποιητικὴν ἑρμηνείαν Δωδώνης μεδέων, ἣ Ἑλλοπία κατά τοὺς παλαιοὺς ἐκαλεῖτο πρότερον. τὴν δὲ Δωδώνην καὶ δυσχείμερον λέγει ὁ ποιητής, εἰδὼς τοιαύτην οὖσαν, περὶ ἣν Πελασγοὶ τὸ ᾀδόμενον ἵδρυσαν ἱερὸν κατὰ τοὺς παλαιούς.
201 ὅθεν καὶ Πελασγικὸς ὁ αὐτός. [ἰστέον δέ, ὅτι Δωδῶναι κατά τινας ἡ μὲν Θεσσαλίας, ἡ δὲ Μολοσσίας, ἧς καὶ μεμνῆσθαί φασι τὸν ποιητὴν διὰ τὸ καὶ δυσχείμερον αὐτὴν ἱστορεῖσθαι· καὶ τὸ τοῦ Διὸς δὲ ἱερὸν ἐκεῖσε εἶναι, τὸ κατὰ τὴν μαντικὴν φηγόν, ἣν

---

6 Il. XVI, 233   20 Il. II, 750; Ἀχιλλεύς pro ὁ ποιητής, et infra τὸν Ἀχιλλέα F   23 Post vocabulum αὐτὸς nonnulla addidit F

Σοφοκλῆς πολύγλωσσον ἐν Τραχηνίαις φησίν, ὡς πολύφωνον, οἷα καὶ πολλοῖς μαντευομένην. ἕτεροι δὲ ἀλληγοροῦντες τὴν Δωδώνην τὴν γῆν φασι, παρὰ τὸ δῶ δώσω, ὡς δότειραν καὶ ἀνησίδωραν καὶ ζείδωρον. οἱ δὲ αὐτοὶ φυσιολογικῶς ἅμα καὶ ἀναθετικῶς φασι „Ζεῦ ἄνα Δωδωναῖε," τουτέστιν, αἰθέριε καὶ περίγειε, τοῦτο μὲν διὰ τὸ Δωδωναῖε, ἐκεῖνο δὲ διὰ τὸ ἄνα.]

Καὶ περὶ μὲν τῶν αὐτοῦ προσηγοριῶν ἀρκούντως ἔχει. περὶ δὲ τῶν παρεισαγομένων αὐτῷ ἀπεικονισμάτων ταῦτα ῥητέον. παρεισάγουσι τὸν Δία τελείου ἀνδρὸς ἡλικίαν ἔχοντα, ἐπεὶ οὔτε τὸ παρηκμακὸς οὔτε τὸ ἐλλιπὲς ἐμφαίνει, κατηρτυκότι δὲ οἰκεῖον, διὰ τοῦτο καὶ τέλεια αὐτῷ θύουσι. τὸ δὲ σκῆπτρον τῆς δυναστείας αὐτοῦ σύμβολόν ἐστι. πολλαχοῦ δὲ καὶ νίκην κρατῶν πλάττεται. περίεστι γὰρ πάντων καὶ οὐδὲν ἡττᾶν αὐτοῦ δύναται. ἱερὸς δὲ ὄρνις αὐτοῦ ὁ ἀετὸς λέγεται εἶναι διὰ τὸ ὀξύτατον τοῦτον εἶναι τῶν ἄλλων πτηνῶν. στέφεται δὲ ἐλαίᾳ διὰ τὸ ἀειθαλὲς καὶ λιπαρὸν καὶ πολύχρηστον, ἢ διὰ τὴν ἐμφέρειαν τῆς πρὸς τὸν οὐρανὸν γλαυκότητος.

Λέγεται δὲ ὑπό τινων καὶ ἀλληγορικώτερόν πως περὶ αὐτοῦ τοιουτοτρόπως. ὥσπερ οἱ ἄνθρωποι ἀπὸ ψυχῆς διοικούμεθα, οὕτω καὶ ὁ κόσμος ψυχὴν ἔχει τὴν συνέχουσαν αὐτόν, καὶ αὕτη καλεῖται Ζεύς, πότερον διὰ τὸ σώζουσα καὶ αἰτία οὖσα τοῖς ζῶσι τοῦ

---

7 Verba *ἰστέον δὲ — ἄνα* seclusi, quae aptiore loco Eud. p. 126 leguntur, hic cum mire langueant, ex Eustathio adscripta videntur 12 *κατηρτυκότι δὲ οἰκεῖον* F *τὸ δὲ κατηρτηκὸς οἰκεῖον* P *τὸ δὲ κατηρτυκὸς οἰκεῖον* V 13 *καὶ τελείων αὐτῷ θυομένων* Osann.

ζῆν, διὰ τοῦτο βασιλεύειν ὁ Ζεὺς λέγεται τῶν ὅλων, ἢ ὡς ἂν καὶ ἐν ἡμῖν ἡ ψυχὴ καὶ ἡ φύσις ἡμῶν βασιλεύειν ῥηθείη. Δία δ' αὐτὸν καλοῦμεν, ὅτι δι' αὐτὸν γίνεται καὶ σώζεται τὰ πάντα. παρά τισι δὲ καὶ Δεὺς λέγεται, τάχα ἀπὸ τοῦ δεύειν τὴν γῆν, ἢ μεταδιδόναι τοῖς ζῶσι ζωτικῆς ἰκμάδος. καὶ ἡ γενικὴ πτῶσις ἀπ' αὐτῆς ἐστι Διός, παρακειμένη πως τῇ Δεύς. οἰκεῖν δὲ ἐν τῷ οὐρανῷ λέγεται, ἐπεὶ ἐκεῖ τὸ κυριώτατον μέρος τῆς τοῦ κόσμου ψυχῆς· καὶ γὰρ αἱ ἡμέτεραι ψυχαὶ πῦρ εἰσιν, ὡς οἱ πάλαι λέγουσιν.

Ἀκολούθως δὲ τούτοις λέγεται, καὶ ὅτι „πάντ' ἐφορᾷ Διὸς ὀφθαλμὸς καὶ πάντ' ἐπακούει". πῶς γὰρ οἷόν τέ ἐστι διὰ πάντων διοικοῦσαν δύναμιν λανθάνειν τι τῶν ἐν τῷ κόσμῳ γινομένων; λαμβάνεται δὲ ὁ Ζεὺς ἀλληγορικῶς καὶ ἀντὶ τοῦ νοός, ὃς καὶ τὰς Μούσας, ἤτοι τὰς γνώσεις, γεννᾷ, καὶ ἀντὶ τοῦ νοὸς
202 *τοῦ κατὰ ἄνθρωπον καθωμίληται τοῖς πολλοῖς· καὶ στοιχειακῶς, ἀντὶ παντὸς οὐρανίου σώματος καὶ τῶν αὐτοῦ μερῶν· καὶ ἀντὶ τοῦ ἀέρος καὶ τοῦ νεφελώδους καταστήματος καὶ ὀμβρίου ἡλίου· πρὸς τούτοις δὲ καὶ ἀντὶ τῶν ἀστέρων καὶ πλανήτων· οὐ μὴν ἀλλὰ καὶ ἀντὶ τῆς εἱμαρμένης κατὰ τοὺς Στωϊκούς. καὶ περὶ μὲν τούτων ἅλις. λέξομεν δὲ καὶ περὶ τοῦ γάμου Διός τε καὶ Ἥρας.*

CCCCXIV[h]. *Περὶ τοῦ γάμου τοῦ Διὸς καὶ τῆς Ἥρας.*

Τὸν Δία μυθολογοῦσιν ἐπιβουλεύειν τῇ Ἥρα μι-

CCCCXIV[h]. Schol. Theocrit. XV, 64

12 Haec manca esse patet, quoniam de Sole Il. III, 277

γῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενος δὲ ἀφανὴς γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ᾽ αὐτῆς τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα καὶ καθέζεται εἰς ὄρος, ὃ πρῶτον μὲν Θρόναξ ἐκαλεῖτο, ὕστερον δὲ Κόκκυξ. τὸν δὲ Δία χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ, τὴν δὲ Ἥραν πορευομένην ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι ἐπ᾽ αὐτό, ὅπου καὶ ἱερὸν μετέπειτα αὐτῆς ἵδρυτο τελείας Ἥρας ἐπονομασθέν. τὸν δὲ κόκκυγα ῥιγῶντα καὶ πεφρικότα διὰ τὸν χειμῶνα, καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ, τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. τῆς δὲ τὴν μῖξιν παραιτουμένης διὰ τὴν μητέρα αὐτῶν Ῥέαν, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. καὶ παρ᾽ Ἀργείοις δὲ οἱ μέγιστοι τῶν Ἑλλήνων ἐτίμων τὴν θεόν· τὸ δὲ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ, τῇ χειρὶ εἶχε σκῆπτρον καὶ ἐπ᾽ αὐτῷ τῷ σκήπτρῳ κόκκυξ.

CCCCXV. Περὶ Ζήθου καὶ Ἀμφίονος.

Ζῆθος καὶ Ἀμφίων μυθεύονται, ὅτι κιθάρᾳ τὰς Θήβας ἐτείχισαν· καθαριζόντων γὰρ αὐτῶν οἱ λίθοι αὐτομάτως ἐπὶ τὸ τεῖχος ἀνέβαινον. ἡ δὲ ἱστορία ἔχει οὕτως. Ζῆθος καὶ Ἀμφίων, Θηβαῖοι τὸ γένος, ἄριστοι

CCCCXV. Palaephat. 42

---

legitur: ἠέλιός θ᾽, ὃς πάντ᾽ ἐφορᾷς καὶ πάντ᾽ ἐπακούεις. Alludit Eudocia ad Hes. Oper. 267 πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας 2 ἀφανεὶς P corr. V 5 νῦν F 8 Ἥρας τελείας F Τελέας Ἥρας PV 9 ἐπωνοσμασθὲν PV om. F 21 Sic correxi, καθαρίζοντες γὰρ αὐτοί PV

κιθαρῳδοὶ ἐγένοντο καὶ ἀπεδείκνυντο μισθῷ (ἀργύριον δὲ οὐκ εἶχον τότε οἱ ἄνθρωποι). ἐκέλευον οὖν οἱ περὶ τὸν Ἀμφίονα, καὶ εἴ τις βούλοιτο ἀκοῦσαι αὐτῶν, ἐρχόμενος εἰργάζετο ἐπὶ τὸ τεῖχος· οὐ μέντοι οἱ λίθοι ἀκροώμενοι ἵσταντο. εὐλόγως οὖν ὁ μῦθος προσανεπλάσθη, ὅτι λύρᾳ τὸ τεῖχος ἐκτίσθη.

CCCCXVI. Περὶ Ζήτου καὶ Καλαΐδος.

Ζήτης καὶ Κάλαϊς υἱοὶ Βορέου ἐξ Ὠρειθυίας τῆς Ἐρεχθέως πτερωτοὶ πλάττονται, ἔσχον δὲ καὶ ἀδελφὴν Κλεοπάτραν, ἥντινα Φινεὺς ἔγημε, μετὰ ταῦτα Ἰδαίαν τὴν Δαρδάνου. ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς προ-
203 γόνους, λέγω δὲ τοὺς ἀπὸ Κλεοπάτρας υἱοὺς * * * ἐπειρᾶτο τυφλῶσαι αὐτούς· οἱ δέ, ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτούς, διαβαλλούσης τῆς μητρυιᾶς πρὸς αὐτόν.

CCCCXVII. Περὶ Ζωπύρου τοῦ Βαβυλωνίου.

Δαρεῖος ὁ Περσῶν βασιλεὺς ἐπολιόρκει τὴν Βαβυλῶνα ἐπὶ χρόνον πολύν. καὶ δυσπορθήτου οὔσης αὐτῆς καὶ ἀσχάλλοντος ἐπὶ πολὺν καιρόν, Ζώπυρός τις ἀνδρεῖος τὴν ψυχήν, ὡς ἔδειξε τὸ πρᾶγμα, καὶ οὐκ ἄδοξος παρὰ τῷ Δαρείῳ, μηχανᾶται τοιόνδε. κόψας ἑαυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ μάστιξιν ἑαυτὸν καταξάνας, δῆθεν αὐτομολεῖ πρὸς τοὺς Βαβυλωνίους, ὡς δεινὰ πεπονθὼς παρὰ τοῦ Δαρείου. εἶτα ἀπελθὼν

CCCCXVI. Schol. Apoll. I, 211 CCCCXVII. Nonn. II, 8

5 οἱ ἄνθρωποι ἔλεγον F 7 Ὠριθυίας PV 11 Signum lacunae iure posuit Keil. 19 Pro Κῦρος, quod PV pluribus locis praebent, Δαρεῖος cum F revocavi 21 καταξάνας rectius F verbum simplex legitur in PV

προσποιεῖται εὐνοεῖν τοῖς Βαβυλωνίοις, στρατηγήσας ὑπὲρ Βαβυλωνίων καὶ ἀνελὼν πολλοὺς τοῦ Δαρείου. συνθεὶς δὲ σύνθημα μετὰ τοῦ Δαρείου ἡμέραν ὡρισμένην, ἐν ᾗ δεῖ αὐτὸν προσβάλλειν ἐν τῇ Βαβυλῶνι, ἐν ταύτῃ πείθει τοὺς Βαβυλωνίους λαβεῖν τὰς κλεῖς τῶν πυλῶν, εἶτα λαβὼν ἤνοιξε καὶ εἰσήγαγε τοὺς Πέρσας· καὶ οὕτως ἐχειρώθη ἡ Βαβυλών.

Ῥήτορες.

CCCCXVIII. *Περὶ Ζηνοβίου τοῦ σοφιστοῦ.*

Ζηνόβιος σοφιστής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ. ἔγραψεν ἐπιτομὴν τῶν παροιμιῶν Διδύμου καὶ Ταρραίου ἐν βιβλίοις τρισί, μετάφρασιν Ἑλληνιστὶ τῶν ἱστοριῶν Σαλουστίου τοῦ Ῥωμαϊκοῦ ἱστορικοῦ καὶ τῶν καλουμένων αὐτοῦ Βελῶν, γενεθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα καὶ ἄλλα.

CCCCXIX. *Περὶ Ζωίλου.*

Ζωίλος Ἀμφιπολίτης (πόλις Μακεδονίας), ὃς ἐπεκλήθη Ὁμηρομάστιξ, ὅτι ἐπέσκωπτεν Ὅμηρον, ῥήτωρ ἦν καὶ φιλόσοφος. ἔγραψέ τινα γραμματικά, κατὰ τῆς Ὁμήρου ποιήσεως λόγους ἐννέα, ἱστορίαν ἕως τῆς Φιλίππου τελευτῆς βιβλία δέκα, περὶ Ἀμφιπόλεως

CCCCXVIII et CCCCXXIX. Hesych. (Suid.)

---

4 *προσβάλλειν* F *προσβαλεῖν* PV   9 *Καίσαρος* add. S   11 *Σαλλουστίου* PV   12 *αὐτοῦ* ex S recepi *αὐτῷ* PV   14 *Ἀμφίπολις, ἥτις πρότερον ἐκαλεῖτο Ἐννέα ὁδοί* add. S   16 *ἔγραψε μέντοι τινὰ καὶ* S   17 *ἀπὸ θεογονίας* post *ἱστορίαν* add. S

βιβλία τρία καὶ κατὰ Ἰσοκράτους τοῦ ῥήτορος καὶ ἄλλα πλεῖστα.

CCCCXX. *Περὶ Ζωσίμου τοῦ σοφιστοῦ.*

Ζώσιμος Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιστὴς κατὰ τοὺς χρόνους Ἀναστασίου. ἔγραψε λέξιν ῥητορικὴν κατὰ στοιχεῖον καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν.

204 *Γραμματικοί.*

CCCCXXI. *Περὶ Ζηνοδότου τοῦ γραμματικοῦ.*

Ζηνόδοτος Ἀλεξανδρεὺς γραμματικός, ὁ ἐν ἄστει κληθείς. πρὸς τὰ ὑπ' Ἀριστάρχου ἀθετούμενα τοῦ ποιητοῦ ἔγραψε, πρὸς Πλάτωνα περὶ θεῶν, περὶ τῆς Ὁμηρικῆς συνηθείας, λύσεις Ὁμηρικῶν ἀπορημάτων, εἰς τὴν Ἡσιόδου Θεογονίαν καὶ ἄλλα πολλά.

CCCCXXII. *Περὶ Ζηνοδότου τοῦ Ἐφεσίου.*

Ζηνόδοτος ἕτερος, γραμματικὸς καὶ ἐποποιός, Ἐφέσιος, μαθητὴς Φιλητοῦ, ἐπὶ Πτολεμαίου γεγονώς. ἔγραψε περὶ αὐθυποτάκτων καὶ ἀνυποτάκτων.

CCCCXX—CCCCXXII. Hesych. (Suid.)

---

1 Haec Eudocia melius servasse videtur, quam Suidas, qui, omisso librorum numero *περὶ Ἀμφιπόλεως*, in historiis *βιβλία γ* pro *βιβλία δέκα* enumerat, quod certe male intellecta positura ad sequens potius scriptum spectat, videlicet *βιβλία γ περὶ Ἀμφ.* 2 *καὶ ἄλλα πλεῖστα* ad Bernhardyi exemplum ex Suida haud recte expunxit Bekkerus, rectius quae his adiunguntur *ἐν οἷς καὶ ψόγος Ὁμήρου* 4 *τοῦ βασιλέως* add. S 10 *ἀπορημάτων* S *ἀπορρημάτων* PV 12 Brevius vitam tradidit Zonaras lex. p. 956, Suidae articulum excerpens 13 *τοῦ πρώτου* addidit S, de quo cf. E. Rohde in Mus. Rhen. XXXIII, p. 173 14 *ἔγραψε — ἀνυποτάκτων* om. S, qui in fine articuli haec habet: *ὃς καὶ πρῶτος τῶν Ὁμήρου διορθωτὴς ἐγένετο, καὶ τῶν*

CCCCXXIII. *Περὶ Ζωναίου.*

Ζωναῖος ἔγραψεν ἐρωτικὰς ἐπιστολὰς καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιστολαὶ ἀγροικικαὶ καὶ ἄλλα γραμματικά τε καὶ ῥητορικά.

Φιλόσοφοι.

CCCCXXIV. *Περὶ Ζήνωνος τοῦ Ἐλεάτου φιλοσόφου.*

Ζήνων Τελευταγόρου, Ἐλεάτης, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους. οὗτος πλέων καὶ χειμῶνος συμβάντος καὶ ναυαγίου γενομένου, εὐχαρίστως φέρων τὴν ἐσομένην αὐτῷ πενίαν, πρὸς τὴν Τύχην ἐφθέγξατο· εὖ γε, ὦ Τύχη, χάριτάς σοι ὁμολογῶ, ὅτι τὴν ἐμὴν οὐσίαν ἄχρι τοῦ τριβωνίου περιέστησας· ὡς δηλονότι τινῶν τῶν ἐκ τῆς οὐσίας αὐτοῦ ἐμπεφορτισμένων τῇ νηΐ. καθελεῖν δὲ θελήσας Νέαρχον (οἱ δὲ Διομέδοντα τὸν Ἐλέας τύραννον), ἑάλω. καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ, τὴν γλῶτταν αὐτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ, καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος. τοῦτόν φασιν εὑρετὴν εἶναι διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς, καθὰ καὶ Ἀριστοτέλης ἐν

CCCCXXIII. Hesych. (Suid.) CCCCXIV. Hesych. (Suid.) *οὗτος πλέων — τῇ νηΐ* Nonn. I, 29 *καθελεῖν* — exit. Hesych. (Suid.)

ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προὔστη, καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσεν 3 *καὶ ἄλλα — ῥητορικά* om. S, cuius verba in exitu haec sunt *ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος* Post 4 titulum *Φιλόσοφοι* addidi ex P om. V 15 *ἀπετεμὼν* P corr. V

τῷ Σοφιστῇ. ἔγραψεν ἔριδας, ἐξήγησιν τῶν Ἐμπεδοκλέους πρὸς τοὺς φιλοσόφους περὶ φύσεως.

CCCCXXV. *Περὶ Ζήνωνος τοῦ Σιδωνίου.*

Ζήνων Μουσαίου, Σιδώνιος, φιλόσοφος Στωϊκός, μαθητὴς Διοδώρου τοῦ καλουμένου Κρόνου, διδάσκαλος Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἀπολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

CCCCXXVI. *Περὶ Ζήνωνος τοῦ Ταρσέως.*

Ζήνων Διοσκορίδου, Ταρσεύς, ὡς δέ τινες, Σιδώνιος φιλόσοφος, μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου Στωϊκοῦ.

205 CCCCXXVII. *Περὶ Ζήνωνος τοῦ Μνασέου.*

Ζήνων Μνασέου, Κιτιεύς (πόλις Κύπρου), φιλόσοφος, ὃς ἦρξε τῆς Στωϊκῆς αἱρέσεως. ἐπεκλήθη δὲ καὶ αὐτὸς Στωϊκός.

CCCCXXVIII. *Περὶ Ζήνωνος τοῦ Κιτιέως.*

Ζήνων ἕτερος Κιτιεύς, εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. ἔγραψε περὶ στάσεως, περὶ σχημάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην, περὶ ἐπιχειρημάτων.

CCCCXXV—CCCCXXVIII. Hesych. (Suid.)

---

1 *καθὰ — Σοφιστῇ* om. S, quamquam inveniuntur apud Diogenem Laert. IX, 5, quem Hesych. adhibuit. Ceterum de Zenonis vita cf. etiam Schol. Platon. Alcibiad. (Herm. VI, p. 279) 4 *κληθέντος* S, mox *διδάσκαλος δὲ καὶ αὐτὸς* S, quae quidem verba corrupta esse perspexit D. Volkmann. Quaest. nov. p. IV, not. 1, *διδασκάλου καὶ αὐτοῦ* emendandum ratus 8 *καὶ διάδοχος* add. S 12 *διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι* et plura add. S. Pro *καὶ αὐτὸς* legendum esse *καὶ πρῶτος* monuit D. Volkmann. Quaest. nov. p. VI, not. 2 14 *στάσεων* S

CCCCXXIX. Περὶ Ζωροάστρου.

Ζωροάστρης, Περσόμηδος, σοφὸς ἐν τῇ ἀστρονομίᾳ. ἔγραψε περὶ φύσεως βιβλία τέσσαρα, περὶ λίθων τιμίων ἕν, ἀστεροσκοπικὰ ἀποτελεσματικὰ βιβλία ε΄.

CCCCXXX. Περὶ Ζωρομάσδρου.

Ζωρομάσδρης Χαλδαῖος, σοφός. ἔγραψε φυσικὰ καὶ μαθηματικά.

CCCCXXXI. Περὶ Ζωσίμου τοῦ φιλοσόφου.

Ζώσιμος Ἀλεξανδρεύς, φιλόσοφος. ἔγραψε χημευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφήν (ἔστι δὲ κατὰ στοιχεῖον ἐν βιβλίοις κη΄, ἐπιγράφεται δὲ ὑπό τινων χειρόκμητα) καὶ Πλάτωνος βίος.

CCCCXXXII. Περὶ Ἥβης.

Ἥβη θυγάτηρ Ἥρας καὶ Διός, ἣν ὁ Ἡρακλῆς μετὰ θάνατον εἰς οὐρανὸν ἀνελθὼν ἔγημεν, ὥς ληροῦσι. ταύτην πάλιν μῦθος θεοῖς φησι παρθένον οὖσαν οἰνοχοεῖν. ἀλληγορικῶς δὲ ἡ Ἥβη Διὸς καὶ Ἥρας λέγεται διὰ τὸ ἀκάματον καὶ ἀεὶ νεάζον τῶν στοιχείων, 206
εἰς ἅπερ ἀλληγορεῖται Ἥρα καὶ Ζεύς.

CCCCXXIX.—CCCCXXI. Hesych. (Suid.) CCCCXXII. Eustath. Od. p. 1702 et 1703

---

1 Περσόμηδος ex S reposui Περσομήδης PV ἐν τῇ ἀστρονομίᾳ om. S, quorum loco leguntur haec: ὃς καὶ πρῶτος ἦρξε τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωικῶν ἔτεσι φ΄ 6 χημευτικὰ S χυμευτικὰ PV 8 ἐπιγράφεται S ὑπογράφεται PV 11 ληροῦσιν PV

CCCCXXXIII. *Περὶ Ἠετίωνος.*

Ἠετίων ὁ πατὴρ Ἀνδρομάχης, βασιλεὺς Θήβης, Κίλικες δὲ οἱ περὶ τὴν Θήβην ἐλέγοντο, ὧν ἦρχεν Ἠετίων, οὕτως ἀπὸ τοῦ ἀετοῦ ὀνομαζόμενος.

CCCCXXXIV. *Περὶ τοῦ Ἡλίου καὶ τῶν αὐτοῦ παίδων.*

Ὁ Ἥλιος μυθεύεται εἶναι υἱὸς τῆς Θείας, ἥτις καὶ Λητὼ λέγεται, ὥσπερ καὶ ἡ Σελήνη. τοῦ δὲ Ἡλίου γεγένηνται παῖδες οὗτοι· Κέκαρφος, Τεναγής, Τριόπης, Ἀκτίς, Μακρεὺς καὶ Φαέθων ὁ νεώτατος καὶ αἱ καλούμεναι Ἡλιάδες καὶ ἄλλοι, ὡς ἐν τῇ παρούσῃ καταγραφῇ. τὸν δὲ Φαέθοντα ἐκπεσόντα τοῦ πατρῴου ἡλιακοῦ ἅρματος μυθεύονται καὶ τῷ Ἠριδανῷ ποταμῷ ἐμπεσόντα, ὅπου γε καὶ αἱ αὐτοῦ ἀδελφαὶ Ἡλιάδες νυκτὸς ἐκώκυσαν, καὶ τῶν ὀφθαλμῶν ἀπέσταξαν δάκρυον ἠλέκτρου, εἶτα αἴγειροι γενόμεναι ἀποστάζουσι τὸ τοιοῦτο δάκρυον.

Ἰστέον δέ, ὅτι ἤλεκτρος οὐ τὸ ἐκ χρυσοῦ καὶ ἀργύρου κρᾶμα ἦν, ἀλλά τις λίθος χρυσοειδής, ἐξ οὗ καὶ λαβαὶ γίνονται μαχαίραις. ἔστι δὲ ἀχύρων ἐφελκυστική, ὡς ἡ μαγνῆτις σιδήρου. τινὲς δὲ τῶν παλαιῶν λέγουσιν, ὅτι οὐ λίθος ἐστὶν ὁ τοιοῦτος ἤλεκτρος, ἀλλὰ δένδρου δάκρυον, πεπηγὸς εἰς σῶμα λιθοειδές.

CCCCXXXIII. Eustath. Il. p. 119 *οὕτως — ὀνομαζόμενος* Etym. M. p. 420, 51 CCCCXXXIV. Schol. Pind. Ol. VII, 135 *τὸν δὲ Φαέθοντα — λιθοειδές* Eustath. Dion. 288 *λέγεται — ἔχων* Etym. M. p. 426, 46 *Κρόνος μὲν* — exit. Schol. Arat. 10 (II, p. 402 Buhle)

6 Vocabulum *παῖδες*, quod in PV *Ἡλίου* sequebatur, expunxi

*Λέγεται δὲ Ἥλιος οἱονεὶ δήλιός τις ὢν καὶ φανερὸς καὶ ἀφαιρέσει ἥλιος, ἢ ἅλιός τις ὤν, ὡς ἐξ ἁλός, ἤγουν θαλάσσης, τὴν γένεσιν ἔχων. ἔστι δὲ ὀξυκίνητος ὁ ἥλιος ὑπὲρ τοὺς λοιποὺς τῶν ἀπλανῶν ἀστέρων, οὐ μὲν ὑπὲρ τὸν οὐρανόν· ὁ γὰρ οὐρανὸς εἰς νυχθήμερον διάστημα περιστρέφεται, τοῦτο ὁ ἥλιος περιδινεῖται ἐνιαυτῷ. τοσοῦτον ὁ ἥλιος τοῦ οὐρανοῦ μὲν βραδύτερος, Κρόνου δὲ καὶ τῶν λοιπῶν ἀστέρων ταχύτερος· Κρόνος μὲν γὰρ τριάκοντα ἔτεσι περιοδεύει τὴν τοῦ οὐρανοῦ, ἣν ἔφην, νυκθημερίαν περιστροφήν, Ζεὺς δὲ ἔτεσι ιβ', Ἄρης * * * ἥλιος, ὡς ἔφην, ἐνιαυτῷ, Ἀφροδίτη μησὶ ιδ', Ἑρμῆς ἐνιαυτῷ ἢ μᾶλλον μησὶν η', ἡ δὲ σελήνη ἑνὶ μόνῳ μηνί.*

CCCCXXXV. *Περὶ Ἥρας.*

Ἡ Ἥρα, εἰς βασιλείαν, ἀνδρείαν καὶ αἰθέρα μεταλαμβάνεται, ὅθεν καὶ ἡραία ζωὴ ἡ βασιλική. διὸ ἀδελφὴ καὶ γυνὴ τοῦ Διὸς παραδέδοται. συνῆπται γὰρ εὐθὺς αὐτῷ καὶ κεκόλληται, αἰρομένη ἀπὸ τῆς γῆς, 207 *ἐκείνου αὐτῆς ἐπιβεβηκότος. καὶ γεγόνασιν ἐπὶ τῆς αὐτῆς νεύσεως· ῥυεῖσα γὰρ εἰς λεπτότητα ἡ οὐσία τό τε πῦρ καὶ τὸν ἀέρα ὑφίστησιν, ἐφ' ᾧ καὶ Ῥέαν τὴν μητέρα αὐτῶν ἐμυθεύσαντο εἶναι, πατέρα δὲ τὸν Κρόνον, ἤτοι διὰ τὸ ἐν τεταγμένοις μέτροις χρόνου γενέ-*

CCCCXXXV. Cornut. 3 *δότειραν* — exit.?

---

11 Post *Ἄρης* nonnulla excidisse veri simile est 13 In P adiungitur *Ἡλίου καὶ Σελήνης γενεαλογία*, in qua multa leguntur pluries iam repetita, unde melius haec in codicis thesauris oblivionem capere Villoisonus censuerit. Atque equidem exemplum prioris editoris secutus sum 15 Verba *ὅθεν καὶ ἡραία — βασιλικὴ* ex scholio Hes. Oper. 2 (p. 36 Gaisf.) via non inusitata huc traducta sunt

σθαι ταῦτα, ἢ διὰ τὸ κατὰ σύγκρασιν καὶ βρασμὸν τῆς ὕλης, τὴν εἰς τὰ στοιχεῖα διάκρισιν ἀποτελεῖσθαι, ἢ ὅπερ πιθανώτερον, διὰ τὸ τηνικαῦτα ὑφίστασθαι τὸν ἀέρα, ἡνίκ᾽ ἂν ἐκ πυρὸς ἐκινεῖτο ἡ φύσις, ἐπὶ τὸ κραίνειν καὶ ἀποτελεῖν τὰ ὄντα. δότειραν δὲ εἴδους καὶ πινυτότητος τὴν Ἥραν ὁ μῦθος οἶδεν, εἰ καὶ ἄλλως κοινότερον Ἀθηνᾶ τοῖς πινυτοῖς ἐπιστατεῖ, Ἄρτεμιν δὲ μεγέθους τοῦ κατὰ γυναῖκας· Ἀθηνᾶν δὲ ταῖς γυναικείαις ἐφιστᾶσι τέχναις, Ἀφροδίτην δὲ γάμοις, εἰ καὶ ἑτέρως Ἥρα γάμων ἐπιστατεῖν λέγεται. μυθικῶς δὲ Ἥρα καὶ Ἅιδης βάλλονται· ἡ μὲν ἐν Πύλῳ συμμαχοῦσα τῷ Νηλεῖ κατὰ τοῦ Ἡρακλέους, ὅτε καὶ τὴν Πύλον ἐκεῖνος ἐπόρθησε φυγαδεύοντος, ἢ καὶ ἄλλως τρεφομένου παιδὸς ἐν Γερήνοις τοῦ Νέστορος· ὁ δὲ Ἅιδης κάτω ὑπὸ γῆν, ὅτε παραχωρηθεὶς ὁ ῥηθεὶς Ἡρακλῆς ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι, εἰ οἷός τέ ἐστι, τὸν Κέρβερον, αὐτὸς τῇ μὲν λεοντῇ ἀντὶ ἀσπίδος χρησάμενος, τοῖς δὲ βέλεσι λιθίνας ἐναρμόσας ἀκίδας, ὁποῖαι πολλαχοῦ ἱστοροῦνται, τὸν κύνα κατηγωνίσατο· μετὰ δὲ τὴν νίκην ἐναντιούμενον τὸν Ἅιδην κατετόξευσε καὶ οὕτω τὸν Κέρβερον ἀνήγαγεν.

CCCCXXXV[b]. *Περὶ τῆς Ἥρας ἐν τῷ αἰθέρι καὶ ταῖς νεφέλαις κρεμαμένης σιδηροδέτου.*

Ἡ Ἥρα, ὡς πολλάκις ἴσμεν, ἐξηλοτύπει τὸν Ἡρακλέα. ἐν τῷ γοῦν ὑποστρέφειν αὐτὸν ἐκ τῆς Τροίας,

CCCCXXXV[b]. Nonn. I, 82

1 *σύγκρασιν* scripsi cum F *σύγκρισιν* PV *βρασμὸν* F *κρασμὸν* PV 24 Sic ex F restitui, *τοῦτον αὐτὸν μετὰ τὸ ὑποστρέφειν* PV

ὅταν μετὰ Τελαμῶνος ἐπόρθησεν αὐτήν, ἐλυμήνατο. διαγόντων γὰρ αὐτῶν, διετάραξεν ἡ Ἥρα τὴν θάλασσαν καὶ ἐχείμασεν αὐτὴν καὶ τοὺς ἀνέμους διήγειρεν. καὶ οὕτω τὸ τοῦ Ἡρακλέους σκάφος τῇ βίᾳ καὶ τῷ κλύδωνι ἐχειμάζετο. μαγγανείᾳ δέ τινι χρησαμένη, προσελθεῖν ἐποίησε τὸν Ὕπνον τῷ Διῒ καὶ ἀφύπνωσεν αὐτόν, ἵνα μὴ ἐγρηγορὼς βοηθήσῃ τῷ Ἡρακλεῖ χειμαζομένῳ. μαθὼν δὲ μετὰ τὸν ὕπνον ὁ Ζεὺς τὸ κατασκεύασμα τῆς Ἥρας, τιμωρεῖται αὐτὴν οὕτως. δύο ἄκμονας δήσας αὐτῆς περὶ τοὺς πόδας, περὶ δὲ τὰς χεῖρας πέδας ἀδιαλύτους, ἐκρέμασεν αὐτὴν ἐκ τοῦ οὐρανοῦ τιμωρῶν αὐτήν. οὕτω μυθικῶς χαριέστερόν πως ληροῦσιν, ὥσπερ καὶ περὶ τοῦ γάμου αὐτῶν προείρηται ἐν τῷ τοῦ Διός.

CCCCXXXV^c. *Περὶ τοῦ τῆς Ἥρας ἐν τῷ Ἄργει ἱδρύματος.* 208

Τὴν Ἥραν πολιοῦχον οἱ Ἀργεῖοι αὐτοῖς ἡγοῦντο καὶ διὰ τοῦτο καὶ πανήγυριν αὐτῇ τεταγμένην ἦγον. ὁ δὲ τῆς ἑορτῆς τρόπος ἅμαξα βοῶν τὸ χρῶμα λευκῶν· ἀπὸ δὲ τῆς ἁμάξης ἔδει τὴν ἱέρειαν εἶναι· οὕτω δὲ ἔχειν ἄχρι τοῦ ναοῦ. τὸ δὲ ἱερὸν ἔξω τοῦ ἄστεος, ὅπου καὶ τὸ αὐτῆς εἴδωλον ἵδρυτο, ὃ καὶ ψαλίδα χαλκῆν ἀνεβάσταξεν· ἀπὸ μεταφορᾶς τῆς κειρούσης ψαλίδος τὰς τρίχας καὶ καθαρὸν ἀποδεικνυούσης τὸ

CCCCXXXV^c. Palaeph. 51

---

7 ἐγρηγορῶν PV 10 ἄκμωνας PV 11 ἀλύπους PV
16 ἄγουσιν F 19 ἔχειν P ἤχειν V 20 ὅπου — ἡ Ἥρα

σῶμα· ἐπεὶ ὁ ἀὴρ καθαίρει, εἰς ὃν ἀλληγορεῖται ἡ Ἥρα. ἧκεν οὖν ποτε ὁ χρόνος φέρων τὴν ἑορτήν. ὁ δὲ νόμος ἀπὸ τῶν βοῶν οὐκ ὄντων ἐχώλευεν, ἀλλ' ἡ ἱέρεια τὴν ἀπορίαν ἐσοφίσατο, μήτηρ οὖσα νεανίσκων δυοῖν Βίτωνος καὶ Κλεόβιος, ἀντὶ βοῶν τῷ σχήματι γενομένων. ἐπεὶ τοίνυν τὸ παρὰ τῶν βοῶν παρὰ τῶν παίδων ἐγένετο, στᾶσα κατὰ τὸ ἄγαλμα μισθὸν ἀπήτει τοῦ πόνου· καὶ ἔδωκε, φασίν, ἡ θεός. ὕπνος ἦν ὁ αὐτὸς καὶ τοῦ βίου πέρας γενόμενος. ταῦτα παρὰ τῶν Ἀργείων ἐθρυλλεῖτο.

CCCCXXXVI. *Περὶ τοῦ Ἡρακλέους.*

Ἡρακλῆς υἱὸς ἔργῳ μὲν Διός, λόγῳ δὲ Ἀμφιτρύωνος ἐκ τῆς Ἀλκμήνης κατὰ τοὺς μύθους· καὶ γὰρ ὁ Ζεὺς ὁμοιωθεὶς τῷ Ἀμφιτρύωνι συνεγένετο τῇ Ἀλκμήνῃ, καὶ ἐγεννήθη ὁ Ἡρακλῆς. ὃς καὶ τοὺς μεγάλους ἐκείνους ἄθλους διήνυσε, περὶ ὧν λέξομεν. ἀπ' αὐτοῦ δὲ πολλοὶ γεγόνασιν, ὧν πρῶτος καὶ ἔνδοξος ὁ Ὕλλος, ἐξ οὗ καὶ οἱ τῶν Λακεδαιμονίων βασιλεῖς Ἡρακλεῖδαι λέγονται. καὶ γὰρ οὐ μόνον Δηϊάνει-

CCCCXXXVI. Nonn. laud. fun. 5 (cod. Mon. 490) *πρῶτον* — *Ἄργει* Schol. Hes. Theog. 327 *δεύτερον* — *Ἡρακλῆς* Nonn. I, 49. Cf. DCCCCXXXV. *Ἡσίοδος* — *Γιγάντων* Schol. Nic. Ther. 11 *παραγενόμενος* — *ἀπέκτεινεν* Argum. Soph. Trach. (Eadem fere omnia apud Apollod. II, 7, 5 leguntur) sed *διεξιὼν* — *πάντας Ἡρακλῆς* Nonn. I, 41. Cf. CCXXVI. *ὕστερον* — exit. Tzetzes Lyc. 50

---

om. F, itaque aliunde E. huc transtulisse suspicor 5 *δύο Βίτωνος καὶ Κλεόβου* om. F *δυοῖν* et *Κλεόβιος* correxi 8 *ἔδωκε* P *ἔδωκεν* V 10 *ταῦτα* — *ἐθρυλλεῖτο* om. F 17 *Ὕλος* PV

ραν καὶ Μεγάραν, ὡς οἱ μῦθοι, ἔγημεν, ἀλλὰ καὶ Ὀμφάλην καὶ ἑτέρας. μετὰ θάνατον δὲ εἰς οὐρανὸν ἀνελθὼν τὴν Διὸς καὶ Ἥρας θυγατέρα Ἥβην ἔγημεν, ἣν ὁ μῦθος θεοῖς φησιν παρθένον οὖσαν οἰνοχοεῖν.

Πρῶτον τοιγαροῦν ὁ Ἡρακλῆς ἆθλον κατωρθώσατο φονεύσας τὸν ἐν Νεμέᾳ λέοντα, ὡς νεμόμενον καὶ ἀφανίζοντα τοὺς ἐν Ἄργει τόπους· Νεμέα δὲ ὄρος ἐν Ἄργει.

Δεύτερον ἀνελὼν τὴν πεντηκοντακέφαλον Ὕδραν. περὶ δὲ τῆς Ὕδρας μυθεύεται, ὅτι θηρίον ἦν περὶ τὴν Λέρνην, ἔχον πεντήκοντα κεφαλάς, τὰς δὲ κεφαλὰς εἶναι ὄφεων. ὃ θηρίον ἐλθὼν ὁ Ἡρακλῆς ἀπέκτεινε. τεμνομένης δὲ μιᾶς κεφαλῆς, δύο ἀντ' αὐτῆς παρεφύοντο, ὡς γίνεσθαι ἐπὶ τὸ διπλάσιον ἑκατὸν κεφαλάς. Ἰόλαος δὲ ὁ Ἰφικλέους, ἀδελφιδοῦς ὢν τῷ Ἡρακλεῖ, γνοὺς τοῦτο ἐμηχανήσατο καὶ πῦρ ἔφερε καὶ τὴν τεμνομένην κεφαλὴν ἐνεπίμπρα. καὶ οὕτως 209
ἴσχυσεν ἀνελεῖν τὴν Ὕδραν ὁ Ἡρακλῆς. Ἡσίοδος δὲ λέγει, ταύτην γεννηθῆναι ἐκ τοῦ αἵματος τῶν Γιγάντων. παραγενόμενος δὲ εἰς Καλυδῶνα τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο· καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῷον ἀπεικασθέντα ταύρῳ περιέκλασε τὸ ἕτερον τῶν κεράτων· καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δέ,

---

5 κατορθώσατο PV 15 Ὕλας perperam F, cuius nomen etiam Eud. p. 408 legitur, Hyllus latine vertit Billius 19 αἵματος corr. Lobeck. Aglaoph. p. 567 στόματος PV. Ceterum Hesiodum talia nusquam narravisse monuit Scholiasta Nicandr. l. c.

ὡς Φερεκύδης φησί, δύναμιν εἶχε τοιαύτην, ὥστε ποτὸν ἢ βρωτὸν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄπονον. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς, καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν πατὴρ Τληπολέμου γίνεται. γενομένων δὲ τούτων, εὐωχούμενος παρὰ Οἰνεῖ, κονδύλῳ παίσας, ἀπέκτεινεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα, κατὰ χειρῶν διδόντα. συγγενὴς δὲ οὗτος Οἰνέως. καὶ ὁ μὲν πατὴρ τοῦ παιδός, ἀκουσίου γενομένου τοῦ συμβεβηκότος, συνεγνωμόνει. Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε· καὶ δὴ ἔγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηϊάνειραν εἰς ποταμὸν Εὔηνον ἦλθεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διέβη. Δηϊάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπέτρεψε Νέσσῳ κομίζειν· ὁ δὲ πορθμεύων αὐτὴν ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν. ὁ δὲ μέλλων τελευτᾶν (ἄφυκτα γὰρ τὰ βέλη τοῦ Ἡρακλέους, ὡς κεχρισμένα τῷ ἰῷ τῆς Ὕδρας) προσκαλεσάμενος Δηϊάνειραν εἶπεν· „ἐγὼ μὲν διὰ σὲ τελευτῶ, τοῦτο δέ σοι χαρίζομαι φιλίας ἐπισπᾶσθαι δυνόμενον“. τὸ δὲ ἦν ἀγγεῖον πλῆρες αἵματος ἐκ τοῦ αὐτοῦ τρώματος. ἀπατήσας τοίνυν αὐτὴν δέδωκε

1 fr. 49 Sturz 2 ἄφθονον al., ἄφθονόν τε καὶ ἄπονον Sturz 14 Νέσος PV 15 Lectionem Apollodori revocavi, μισθὸν λέγων PV 18 Sic F, ἐπέτρεψεν ἔσω inepte PV διακομίζειν F 21 ἄφυκτα — Ὕδρας om. F eadem leguntur in lex. Phavorin.

λέγων· „εἴπερ Ἡρακλέα νοήσῃς ἑτέρας πόθῳ κατασχεθέντα, ἐπίχρισον τοῦτο τοῖς ἱματίοις αὐτοῦ καὶ πρὸς σὲ πάλιν ἀντιστρέψει τὸν πόθον“. ἡ δὲ λαβοῦσα ἐφύλαττε παρ' ἑαυτῇ. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν καὶ τροφῆς ἀπορῶν σὺν τῷ παιδὶ αὐτοῦ Ὕλλῳ, ὅνπερ ἐπ' ὤμων ἐβάσταξεν, ἀροτριῶντα, λεγόμενον Θειοδάμαντα, εὗρεν καὶ ᾐτήσατο αὐτόν δοῦναι αὐτῷ ἄρτον. ὁ δὲ οὐκ ἔδωκεν, ἀλλὰ καὶ ὕβρισε τὸν Ἡρακλέα. εἶτα ὁ Ἡρακλῆς ἕνα τῶν ἀροτριώντων βοῶν λαβὼν ἔσφαξε καὶ ἐθοινήθη καὶ ὁ υἱὸς αὐτοῦ καὶ αὐτός. καὶ ἐκλήθη διὰ τὴν αἰτίαν ταύτην Βουθοίνας, ἐπειδὴ ὅλον ἐθοινήθη τὸν βοῦν. ἔνθεν αὐτῷ γέγονεν 210 ὁ πρὸς τοὺς Δρύοπας πόλεμος. τοῦ γὰρ Θειοδάμαντος ἀνελθόντος εἰς τὴν πόλιν καὶ εἰπόντος ὡς „πολέμιος ἦλθεν εἰς τὴν χώραν ἡμῶν“, λέγων περὶ τοῦ Ἡρακλέους, ἐξῆλθον κατ' αὐτοῦ· καὶ νενίκηκε πάντας ὁ Ἡρακλῆς. αὖθις ἐκεῖθεν Αἰγιμίῳ βασιλεῖ συνεμάχησε Δωριέων. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦντος· ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δ' Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ ἄλλων καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν.

---

4 Haec omnia Eudocia uberius exposuit; *προσκαλεσάμενος Δηιάνειραν εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τόν τε γόνον, ὃν ἀφῆκε κατὰ τῆς γῆς, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμῖξαι. ἡ δὲ ποιήσασα τοῦτο ἐφύλαττε παρ' ἑαυτῇ* Apollod. *προσκαλεσάμενος Δηιάνειραν εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι πρὸς Ἡρακλέα φιλίαν ἔχειν, τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας δέδωκεν· ἡ δὲ λαβοῦσα ἐφύλαττε παρ' ἑαυτῇ* Argum. 6 *Ὕλλῳ* P *Ὕλῳ* V 12 In margine legitur *βουθοίνας πόθεν ὁ Ἡρακλῆς* 22 *καὶ ἄλλων* F

ἀπέκτεινε δὲ καὶ Λαογόραν μετὰ τῶν παίδων, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει, Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνα εἰς μονομαχίαν προὐκαλεῖτο αὐτὸν Κύκνος ὁ Ἄρεος καὶ Πελοπίας· συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρμένιον ἧκεν, Ἀμύντωρ ὁ βασιλεὺς οὐκ εἴασε μεθ' ὅπλων αὐτὸν παριέναι. κωλυόμενος δὲ παρελθεῖν καὶ τοῦτον ἀπέκτεινεν.

Ὕστερον δὲ καὶ Οἰχαλίαν πορθήσαντος καὶ τὴν Εὐρύτου θυγατέρα Ἰόλην καλὴν οὖσαν ἄγοντος, ὡς ἤκουσεν ἡ Δηϊάνειρα, τὸν Ἡρακλέα αὐτῆς κρατεῖσθαι τῷ ἔρωτι, ἐπιχρίσασα τῷ αἵματι τοῦ Κενταύρου, ὅπερ λαβοῦσα ἐτήρει, τὰ Ἡρακλέους ἱμάτια μετὰ θεράποντος Λίχα ταῦτα ἀπέσταλκε. περὶ δὲ τὸ Κήναιον, Εὐβοίας ὂν ἀκρωτήριον, θύων ὁ Ἡρακλῆς Διῒ χαριστήρια στολίζεται τὸν πεφαρμαγμένον τοῦτον χιτῶνα· ὑφ' οὗ δραστηρίῳ καὶ πυρώδει κρατηθεὶς τῷ κνισμῷ τελευτᾷ, πρῶτον ἀπὸ τῆς πέτρας τὸν Λίχαν ῥίψας καὶ ἀνελών. τὰ δὲ τόξα αὐτοῦ Ἡρακλῆς τῷ Φιλοκτήτῃ καταλιμπάνει, ὡς τοῦ πατρὸς Φιλοκτήτου Ποίαντος τῇ τελευτῇ αὐτοῦ ὑπουργήσαντος. τὰ δὲ τόξα ταῦτα ὁ Λυκόφρων φησί, ὅτι παρὰ Τευτάρου Σκύθου, βουκόλου τοῦ Ἀμφιτρύωνος, ἔσχεν Ἡρακλῆς, ὅτε Τεύταρος καὶ τοξεύειν τοῦτον ἐδίδαξεν. ἄλλοι δὲ Εὔρυτόν φασι διδάξαι τοῦτον τὴν τοξικήν, ἢ Ῥαδάμανθυν τὸν Κρῆτα, πατρῷον τούτου γενόμενον· μετὰ γὰρ τὸν θάνατον Ἀμφιτρύω-

1 *Λαογόραν* Apollod. *Λαγόραν* Argum. *Ἀλλαγόραν* PV 5 Sic F *Ὀρχομενὸν* PV 16 *πεφαρμαγμένον* F *πεφαρμακευμένον* PV 21 Alex. 56 22 *Σκήθου* PV 26 Sic scripsi cum uno codice Tzetzae, *ἐκείνου* vulg. *τοῦτον* PV

νος Ῥαδάμανθυς ἀνελὼν τὸν ἴδιον ἀδελφὸν φυγὼν ἐκ Κρήτης καὶ ἐν Ὠκαλέᾳ Βοιωτίας ἐλθὼν γαμεῖ τὴν Ἀλκμήνην καὶ Ἡρακλεῖ διδάσκει τὴν τοξικήν.

CCCCXXXVI[b]. *Καὶ ἄλλως καὶ περὶ τῆς γεννήσεως αὐτοῦ καὶ διὰ τί τριέσπερος προσηγορεύθη.*

Ὁ Ἡρακλῆς τριέσπερος προσηγόρευθη, ὅτι Ἀμφιτρύων ἐπὶ Τηλεβόας ἐστράτευσεν ἐκδικῆσαι θέλων τοὺς ἀδελφοὺς τῆς αὐτοῦ γυναικὸς Ἀλκμήνης καὶ τὸν πατέρα, οἵτινες αὐτοὺς διεχειρίσαντο δι' αἰτίαν τοιήνδε. Περσέως καὶ Ἀνδρομάχης τέσσαρες ἐγένοντο παῖδες· Ἀλκαῖος, Σθένελος, Μήστωρ καὶ Ἠλεκτρύων, ὁ τῆς 211
Ἀλκμήνης πατήρ. Περσέως δὲ τεθνηκότος, κοινῇ τὴν βασιλείαν εἶχον οὗτοι. Μήστορος δὲ θυγάτηρ Ἱπποθόη, ἧς καὶ Ποσειδῶνος Πτερέλας· τοῦ δὲ Τηλεβόας καὶ Τάφος. ἀπὸ μὲν οὖν τοῦ Τάφου ἡ νῆσος Τάφος ἐκλήθη, μία οὖσα τῶν Ἐχινάδων, ἣν ᾤκουν, ἀπ' ἀμφοτέρων δὲ Τάφιοι καὶ Τηλεβόαι ἐκλήθησαν. ἐλθόντες οὖν οἱ τοῦ Πτερέλου παῖδες ᾔτουν παρὰ τοῦ Ἠλεκτρύωνος τὰ τῆς μάμμης αὐτῶν Ἱπποθόης χρήματα. ὡς δὲ ἐνέστη ὁ Ἠλεκτρύων, αὐτόν τε οἱ Τηλεβόαι καὶ τοὺς υἱοὺς ἀνεῖλον καὶ τοὺς βοῦς τοῦ Ἠλεκτρύωνος ἐκεῖθεν ἀπήλασαν. στρατεύσαντος οὖν

CCCCXXXVI[b]. Tzetzes Lyc. 33 *Περσέως καὶ Ἀνδρομάχης — ἀπήλασαν* compilavit Apollod. II, 4, 5 seq. *στρατεύσαντος — καλοῦσιν* Tzetzes l. c. (v. Arsen. Viol. p. 131) *φασὶ δὲ —* exit. Schol. Apoll. I, 1212 (Lex. Phavorin.)

---

2 *ἐν Ὠκαλέᾳ* F *εἰς Ὠκαλέα* PV 5 *Ἀμφιτρίων* constanter P corr. V 6 *αὐτοῦ* P *αὐτοῦ* V 17 *αὐτῶν* P *αὐτῶν* V

ἐπὶ τούτους τοῦ Ἀμφιτρύωνος, ὁ Ζεὺς τρεῖς ἑσπέρας εἰς μίαν μεταβαλὼν συνεκάθευδε τῇ Ἀλκμήνῃ· κατὰ δὲ τὴν αὐτὴν ἑσπέραν καὶ Ἀμφιτρύων πάλιν νοστήσας καθεύδει τῇ γυναικί. ἡ δὲ διδύμους παῖδας γεννᾷ, ἐκ μὲν Διὸς Ἡρακλέα, ἐκ δὲ Ἀμφιτρύωνος Ἰφικλέα· διὰ τοῦτο καὶ τριέσπερον αὐτὸν καλοῦσιν. φασὶ δὲ τὴν Ἡρακλέα Ἀχελῴῳ μονομαχῆσαι τῷ ποταμῷ, ἐπεὶ Ἀχελῷος μεταξὺ ῥέων Αἰτωλῶν καὶ Κουρήτων πολλὰ τῆς χώρας ἀπετέμνετο, ποτὲ μὲν τούτοις, ποτὲ δὲ ἐκείνοις προστιθείς· ἐφ᾽ ᾧ καὶ νεῖκος ἦν ἑκατέροις. Ἡρακλῆς οὖν ἐλθὼν καὶ τὸν ποταμὸν περικλείσας εἰς ἓν ῥεῖθρον καὶ μίαν ἐκβολὴν ἀπέδωκε τοῖς Αἰτωλοῖς τὴν ἑαυτῶν γῆν καὶ τὴν Οἰνέως Δηϊάνειραν ἔλαβεν εἰς μισθαποδοσίαν. γήμας δὲ αὐτὴν καὶ διάγων ἐν Καλυδῶνι παρὰ τῷ Οἰνεῖ ἐν συμποσίῳ Κύαθον, τὸν Οἰνέως οἰνοχόον, Ἀρχιτέλους δὲ παῖδα, πλήξας κονδύλῳ ἀνεῖλεν, ὅτι αὐτῷ τὰ ποδόνιπτρα ὕδατα ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεε. φεύγων οὖν τὸν φόνον καὶ σὺν τῇ γαμετῇ στελλόμενος ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ τὸν Κένταυρον Νέσσον, ὡς Ἀρχίλοχος ἱστορεῖ. ἔπειτα προϊὼν ἔφερε καὶ Ὕλλον τὸν υἱόν, καὶ ἐλθὼν εἰς τὴν Δρυοπίαν (λῃστρικὸν δὲ τὸ ἔθνος, ὁμοροῦν τοῖς Μηλιεῦσι) τοῦ παιδὸς πεινῶντος καὶ τοῦ παιδαγωγοῦ Λίχα ἀπολιμπανομένου, συντυχὼν τῷ Θειοδάμαντι, ᾐτεῖτο ὀλίγην τροφήν· ὁ δὲ οὐκ ἐδίδω. ὀργισθεὶς δὲ ὁ Ἡρακλῆς καὶ ἀποσπάσας αὐτοῦ ἕνα

---

4 Sic F, simplex *καθεύδει* PV 15 *Κύαθον τὸν Πύλητος* coni. Hermann. coll. Athen. IX, p. 411 A 18 *ἐπέχεεν* PV 20 omnibus locis *Νέσον* PV 20 fr. 147 B 21 *Ὕλον* PV 23 *Μηλιεῦσιν* PV

τῶν βοῶν, θύσας εὐωχεῖτο. ὁ δὲ Θειοδάμας ἐλθὼν εἰς τὴν τῶν Δρυόπων πόλιν, ἐξῆγεν αὐτοὺς καθ' Ἡρακλέους· καὶ εἰς τοσαύτην ἀνάγκην κατέστη ὁ Ἡρακλῆς, ὡς καὶ τὴν γυναῖκα Δηϊάνειραν καθοπλίσαι, ὥστε δὴ καὶ τρωθῆναί φασι αὐτὴν κατὰ τὸν μαζόν. περιγενόμενος δὲ αὐτῶν καὶ ἀνελὼν τὸν Θειοδάμαντα ἀνεδέξατο τὸν τούτου υἱὸν Ὕλαν· καὶ τὸ πᾶν δὲ ἔθνος διὰ τὴν ληστείαν μετῴκισεν εἰς Ἄργος. ᾤκησε δὲ περὶ Τραχῖνα τὴν Θεσσαλικὴν πόλιν καὶ Οἴτην τὸ ὄρος πρὸς τοῖς ὅροις τῆς Φωκίδος, ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τοῦ ληστρικοῦ ἤθους ἀπόσχωνται. 212
τούτων δὲ καὶ Καλλίμαχος μέμνηται.

CCCCXXXVI^c. *Καὶ ἄλλως περὶ τοῦ Ἀχελῴου καὶ τοῦ τῆς Ἀμαλθείας κέρατος καὶ τῆς καύσεως αὐτοῦ.*

Ἀχελῷος λέγεται ὅτι κλασθεὶς τὸ ἀριστερὸν κέρας ὑφ' Ἡρακλέους τὸ τῆς Ἀμαλθείας κέρας ἀντέδωκε, δι' οὗ πᾶν ἀγαθὸν ἐχορηγεῖτο τῷ χρῄζοντι. τοῦτο δὲ οἱ τῶν μύθων θεραπευταὶ πρὸς ἀλήθειαν συμβιβάζοντες τοιοῦτόν τί φασιν αἰνίττεσθαι. Ἡρακλῆς εὐεργετεῖν εἰδὼς τοὺς ὁποίποτε γῆς, εἶτα καὶ τὸν ποταμὸν τοῦτον μαθὼν πλημμελῶς ῥέοντα καὶ ταῖς καμπαῖς πολλὴν τῆς Αἰτωλικῆς παρατεμνόμενον καὶ οὕτως ἀδικοῦντα, παραχώμασί τισι καὶ διώρυξι καὶ διοχετείαις

CCCCXXXVI^c. Eustath. Dion. 433 Cf. LII et DXXIV

8 μετῴκισε P μετῴκησε V Verba εἰς Ἄργος· ᾤκησε δὲ add. Schneider Callim. II, p. 59 et 585 om. omnes libri. De Callimachi narratione v. fr. 410 10 ὅροις PV 14 Ἡρακλεῖ FP corr. V 19 πλημμελῶς F πλημμερῶς PV

αὐτὸν ἐβιάσατο. καὶ παρατρέψας καὶ ῥέειν σωφρόνως ποιήσας, ἀνέψυξε τὴν γῆν καὶ εἰς ἀγαθοποιὸν εὐχρηστίαν μετήγαγε καὶ τὸ τοῖς ἐγχωρίοις ἐπαριστερὸν κέρας τοῦ ποταμοῦ, τὴν ἄτακτον καμπὴν δηλαδή, τήν, ὡς εἰπεῖν, ἀτέραμνον καὶ σκληρὰν τοῖς ἐκεῖ, εἰς μαλθακὴν οἷον ἀντιπαρέστησε δεξιότητα. καὶ ταῦτά εἰσι τὰ κέρατα τοῦ Ἀχελῴου, τό τε βίαιον, τὸ καταπονηθὲν καὶ τὸ πλουτοποιόν, τὸ ἀντιδοθέν, δι' οὗ καὶ Ἡρακλῆς εὐεργέτης ἔγνωσται. τὰς γάρ τοι τῶν ποταμίων ῥείθρων καμπὰς κέρατα ἐκάλουν οἱ παλαιοί· καὶ διὰ τοῦτο ταυροκράνους καὶ κερασφόρους ἐτύπουν αὐτούς. καὶ οὕτω μέν τινες περὶ τῶν κατὰ τὸν Ἀχελῷον.

Ἕτεροι δὲ αὐτὸν μὲν ἀφῆκαν, ὅποι βούλοιτο ῥέειν, τὸ δὲ τῆς Ἀμαλθείας μόνον κέρας τὸ εὔδαιμον ἐν λόγῳ ἔθεντο, καὶ τὸ αὐτόθι τοῦ μύθου νοσοῦν ἐκθεραπεύοντες ἱστοροῦσι, γραῦν τὴν Ἀμάλθειαν γενέσθαι κερδαλέαν, ἐμπορικήν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλουτοποιὸν καὶ βιωφελές. ἐπεὶ δὲ ὁ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλῆρες τοῦ ἐγκειμένου κέρματος καὶ χρησάμενος ἔζησε πρὸς τρυφήν, λόγος ἐντεῦθεν διεδόθη ἀστεῖος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει πᾶν ἀγαθόν, οὐ τὸ τῆς μυθικῆς αἰγὸς τῆς θρεψαμένης

---

13 Verba *ἕτεροι — προσέφερετο* non disiungi possunt a sequentibus *τὸ τοίνυν τῆς Ἀμαλθείας — ἥρωος* et *ὅτε μέντοι — ὑπανάψας* quae omnia ex scholiis ad Periegetam hausta sunt; titulo nimirum docemur *περὶ τοῦ τῆς Ἀμαλθείας κέρατος καὶ τῆς καύσεως αὐτοῦ.* Eadem autem de causa quae sequuntur verba *ἄλλος δέ τις λόγος — ἀπώλεσεν* ad nostrum caput referenda sunt. Itaque etiam titulos *περὶ τῆς λεοντῆς* et *πῶς νοητέον τὴν τοῦ Ἡρακλέους πυράν* serius appositos esse patet

τὸν Αἰγίοχον Δία, ἀλλὰ τὸ τῆς ῥηθείσης γραός. ἄλλοι δὲ τὸ τῆς Ἀμαλθείας κέρας, δι᾽ οὗπερ εὖ ἔχει τὰ κατὰ τὸν Ἡρακλέα, τὸ σκληρόν φασι τῆς διαίτης ἐκείνου καὶ τὸν τότε κατ᾽ ἀρετὴν βίον αἰνίττεσθαι, ὁπηνίκα ἡμίγυμνος περιιὼν καὶ ἐκκαθαίρων κακίας τὴν γῆν οὐ μαλθακῶς εἶχεν, ἀλλὰ σκληρότερον τοῖς φαύλοις προσεφέρετο.

CCCCXXXVI[d]. [Περὶ τῆς λεοντῆς.

Τὴν λεοντῆν καὶ γὰρ μόνην τοῦ λέοντος, ὅνπερ ἀνεῖλεν, ἐδέδυτο, ὅστις ἐν Νεμέᾳ τῇ χώρᾳ ἦν τοῦ 213
Ἄργους, ὡς εἴρηται, ἄτρωτος σιδήρῳ καὶ βολαῖς παντοίαις· ὃν Ἡρακλῆς συνθλάσας ταῖς οἰκείαις χερσὶ σκεπαστηρίῳ τῷ τούτου δέρματι ἐκέχρητο, ὡς ἔνδοξον ἔργον πεποιηκώς.] τὸ τοίνυν τῆς Ἀμαλθείας κέρας ἦν ἡ ἀμάλθακος πρὸς πόνους ἀντιτυπία τοῦ ἥρωος.

CCCCXXXVI[e]. [Πῶς νοητέον τὴν τοῦ Ἡρακλέους πυράν.]

Ὅτε μέντοι ἐμελέτησεν οἰκουρεῖν, ἀναπεισθεὶς ὑπὸ γυναικὸς καὶ σκιατραφούμενος καὶ ἱμάτια περιεβάλλετο θάλποντα καὶ οὐκέτι πρὸς ψῦχος ἐγυμνάζετο, ἀλλ᾽ ἐθάλφθη καὶ ὑπεμαλάχθη πρὸς τρυφὴν ἀποκλίνας, κατακαίει ὁ λόγος τὸν ἥρωα, τὴν ἐκ τῆς περιβολῆς θάλψιν εἰς πυρὰν αὐτῷ ὑπανάψας.

Ἄλλος δέ τις λόγος Λιβυκόν τι χωρίον πάμφορον, ἐοικὸς βοὸς κέρατι κατὰ τὸ σχῆμα ἐκτίθεται καὶ

CCCCXXXVI[d]. Interpolamentum nescio unde traductum τὸ τοίνυν — exit. Eustath. l. c. CCCCXXXVI[e]. Eustath. Dion. 433

εἰς κτῆμα γυναικί τινι Ἀμαλθείᾳ δίδωσιν, ὅπερ διὰ τὸ καρποῦ παντὸς εἰς πολλαπλάσιον δοτικὸν εἶναι ὁ μῦθος εἰς βόειον κέρας μεταλαβὼν τὰ θρυλλούμενα περὶ αὐτοῦ παραδίδωσιν. εἰ δέ τι παραπήλαυσεν ἀγαθὸν τοῦ τοιούτου κέρατος καὶ ὁ Ἡρακλῆς, ὅτε εἰς Λιβύην ἀπεδήμησε, λέγοιτο ἂν οὕτω μετεῖναι τῷ Ἡρακλεῖ τοῦ τοιούτου τῆς Ἀμαλθείας κέρατος. καὶ ταῦτα μὲν εἰς τοσοῦτον ἱκανῶς, ἡμᾶς τοῦ κατὰ τὸν Ἀχελῷον ἐπὶ τὰ τοιαῦτα οἷον παρασύραντος ῥεύματος. εἴπωμεν δὲ καὶ περὶ τοῦ προρρηθέντος Ὕλα, τίνα τρόπον αὐτὸν ὁ Ἡρακλῆς ἀπώλεσεν.

CCCCXXXVI[f]. *Περὶ τῆς ἁρπαγῆς τοῦ Ὕλα.*

Μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους σὺν Ἰάσονι πλέων ὁ Ἡρακλῆς, ἐν Κίῳ τῇ πόλει ἐξελθὼν καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ Ὕλαν ὕδωρ ἀντλῆσαι περιέμενεν αὐτόν. τοῦ δὲ ὑδρευομένου ὑπὸ Νυμφῶν ἁρπασθέντος, Ἡρακλῆς πολὺν χρόνον ἐζήτει, ἀλλ' οὐδὲν ἤνυσεν. ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς ἤκουσε „ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς“· ὃ καὶ εἰς παροιμίαν ἐλήφθη, ἐπὶ τῶν μάτην προσδοκούντων.

CCCCXXXVI[g]. *Περὶ τῶν Στυμφαλίδων ὀρνίθων.*

Περὶ δὲ τῶν Στυμφαλίδων ὀρνίθων τάδε θρυλλεῖται. ἐν Ἀρκαδίᾳ Στύμφαλος πόλις ἐστίν, ὅπου καί τις λίμνη Στυμφαλὶς καλουμένη, ἐν ᾗ ὄρνιθές τινες

CCCCXXXVI[f]. Paullo aliter historiam narraverunt Schol. Apoll. I, 1177, Schol. Theocrit. XIII, 30, Eustath. Dion. 806
CCCCXXXVI[g]. Schol. Apoll. II, 1052. Cf. DCCCLXVI.

---

18 Zenob. VI, 21

πλάττονται σιδηρόπτεροι νήχεσθαι τὸν λαὸν ἐνοχλούμεναι, αἵτινες τοὺς προσιόντας τοξεύουσαι τοῖς ἑαυτῶν πτεροῖς ἀπέκτεινον. ταύτας οὐκ ἠδύνατο ἀπώσασθαι Ἡρακλῆς, εἰ μὴ κρόταλον χαλκοῦν ψόφον ποιοῦν ἐφόβησε. καλοῦσι δὲ αὐτὰς καὶ Πλωΐδας διὰ τὸ ἐν τῇ λίμνῃ νήχεσθαι. Μνασέας δὲ τὰς Στυμφαλίδας φησὶ θυγατέρας γενέσθαι Στυμφάλου τινὸς 214 *ἥρωος καὶ Ὄρνιθος γυναικός, ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτόν, ἀλλ' ἐξένισαν τοὺς Μολίονας. ὁ δὲ Φερεκύδης οὐ γυναῖκάς φησιν, ἀλλ' ὄρνιθας εἶναι καὶ ἀναιρεθῆναι ὑπὸ Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς, τὴν δὲ Στυμφαλίδα λίμνην φασὶ διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι.*

CCCCXXXVI^h. *Περὶ τῶν Γηρυονείων βοῶν.*

Τὰ δὲ περὶ τῆς εἰς τὰς Γηρυόνου βοῦς ἀποδημίας αὐτοῦ οὕτως ἔχει. Ἡρακλῆς ἀφικόμενος ἕνεκα τοῦ τὰς Γηρυόνου βοῦς ἐλάσαι, σπέρμα τῶν εὐτραφῶν βοῶν εἰς Ἑλλάδα οἰσόμενος, καὶ τῷ Λίγυϊ κωλυθείς, ἀφ' οὗ καὶ οἱ Λίγυες ἐπωνομάσθησαν, ἤυξατο τῷ πατρὶ Διῒ ἐπαμῦναι. καὶ γὰρ αὐτὸν πᾶν ἀμυντήριον βέλος, ὡς οἱ μῦθοι, ἐπέλιπεν. ὁ δὲ ἀναγαγὼν νεφέλην, λίθους ἄνωθεν ὗσεν· ἐξ ὧν καὶ τὸ λίθινον πέδον μεταξὺ

CCCCXXXVI^h. Eustath. Dion. 76 *βουτρόφον οὖσαν — κακόξενον* Eustath. Dion. 558 *μυθεύεται — πόδας* Schol. Hes. Theog. 287. Cf. CCXLI. *ἀλλ' ὅμως — βοῦς* Eustath. Dion. 558 *παραπλέων — δυσχέρειαν* Tzetzes Lyc. 45. Cf. DCCCLXV et DCCCCLII. *ἰστέον δὲ — οὕτω* Eustath. Dion. 558

---

6 Müller III, p. 149 10 fr. 47 Sturz

Μασσαλίας καὶ Ῥηγίνης, μεστὸν χειροπληθῶν λίθων μυθεύεται. καὶ οὕτως ἀφεθεὶς εἰς Ἐρύθειαν ἀπέπλευσε νῆσον τοῦ Γηρυόνου περὶ τὸ Ἀτλαντικὸν πέλαγος [βουτρόφον οὖσαν καὶ ἀοίκητον τοῖς ἄλλοις διὰ τὸ ἐκείνου κακόξενον. μυθεύεται δὲ ὁ Γηρυόνης τρικέφαλος καὶ ὑπόπτερος. Στησίχορος δὲ καὶ ἓξ χεῖράς φησιν ἔχειν αὐτὸν καὶ ἓξ πόδας. ἀλλ' ὅμως ὁ πελώριος Ἡρακλῆς εἰς αὐτὸν πλεύσας χαλκῷ λέβητι, ὥς φησιν ὁ Εὐφορίων,

Χαλκείῃ ἀκάτῳ βουπληθέως ἐξ Ἐρυθείας,

ὁμοίως καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος,

Χαλκείῳ δὲ λέβητι μέγαν διενήξατο πόντον,

αὐτὸν καὶ τὸν αὐτοῦ κύνα Ὄρθον ἀδελφὸν Κερβέρου ἀποκτείνας τὰς Γηρυονείους ἀπήλασε βοῦς. τάχα δὲ ὁ μὲν ῥηθεὶς λέβης πλοίου εἶδος ἦν, ᾧ καὶ ὁ ληστρικὸς λέμβος ἔοικε παρηχεῖσθαι κατὰ παρονομασίαν τινά. τὸ δὲ τούτου χάλκεον συγκρότησίν νινα χαλκοῦ δηλοῖ ἐπ' αὐτῷ, ὡς εἴγε τυχὸν χαλκέμβολον ἦν, ἢ παράσημά τινα, ὡς εἰκός, ἐκ τοιαύτης εἶχεν ὕλης περὶ τὰ κατὰ πρύμναν ἢ κατὰ πρώραν. παραπλέων δὲ τοὺς τόπους Χυρύβδεώς τε καὶ Σκύλλης μετὰ τῶν βοῶν ἀπώλεσεν αὐτόθι τινὰς ἐξ αὐτῶν καὶ ἀνακαθαίρει τὸν τόπον περὶ τὸ Ῥήγιόν τισι μηχαναῖς, ὅθεν καὶ ἐμυθεύσαντο τὴν Σκύλλαν αὐτὸν ἀνελεῖν. Φόρκυς δέ, ἤτοι ἡ θάλασσα, ὁ ταύτης πατήρ. ἡ γὰρ θάλασσα δυσχερῆ ταύτῃ ἐποίει, λαμπάσιν αὐτὴν πάλιν ἀνεζώωσεν

---

1 Ῥηγίνης F Ῥηγένης PV 4 Verba βουτρόφον οὖσαν — ταῦτα μὲν οὕτω interpolatoris manu apposita sunt; mox laudavit Stesichor. fr. 6 B 10 fr. 82 Meinek., de versu Alexandri Ephesii cf. Meineke Anal. Alex. p. 377 24 Σκύλαν P corr. V

ἢ κινήσεσι. καὶ χρόνοις πάλιν τὴν ὑφ' Ἡρακλέους ἀνακάθαρσιν καὶ τὸ μηχάνημα ἡ θάλασσα χέασα, μετέστρεψεν εἰς τὴν ἀρχαίαν δυσχέρειαν. 215

Ἰστέον δέ, ὅτι ὁ Ἀρριανὸς δοξάζων τὸν Τύριον Ἡρακλέα τοῖς περὶ τὰ Γάδειρα τόποις ἐπιφοιτῆσαι (σημειοῦνται γὰρ οἱ παλαιοὶ πολλοὺς γενέσθαι Ἡρακλέας), λέγει, ὅτι κατὰ τὸν λογοποιὸν Ἑκαταῖον ὁ Γηρυόνης, ἐφ' ὃν ὁ Ἀργεῖος Ἡρακλῆς ὑπ' Εὐρυσθέως ἐστάλη, οὐδέν τι προσήκει τῇ γῇ τῶν Ἰβήρων, ἤγουν οὐκ ἦν ἐξ Ἰβηρίας, ἀλλὰ τῆς ἠπείρου τῆς περὶ Ἀμπρακίαν βασιλεὺς ἐγένετο. καὶ ἐκ τῆς ἠπείρου ταύτης ἀπήλασεν ὁ Ἡρακλῆς τὰς βοῦς, οὐδὲ τοῦτο φαῦλον ἆθλον τιθέμενος. οἶδα δέ, φησίν, ἐγὼ καὶ εἰς τοῦτο ἔτι τὴν ἤπειρον ταύτην εὔβοτον καὶ βοῦς τρέφουσαν καλλίστας. καὶ ταῦτα μὲν οὕτω.]

CCCCXXXVI[i]. Περὶ τοῦ Κερβέρου.

Ῥητέον δὲ καὶ περὶ τοῦ προρρηθέντος Ὄρθου ἀδελφοῦ, λέγω δὴ τοῦ Κερβέρου. Κερβέρῳ, τῷ τοῦ Ἅιδου κυνί, κυνὸς μὲν κεφαλὰς προσάπτουσι τρεῖς, οὐρὰς δὲ προσπλάττουσι δράκοντος, ἐπὶ δὲ νώτου προσφύουσιν ὄφεων κεφαλάς. τοῦτον νεκροφύλακα ἐν Αιδου φασὶ κατατεθῆσθαι χαλκεόφωνον ὄντα· ὃν

CCCCXXXVI[i]. Eustath. Il. p. 717 τοῦτον — ἀνάξαι, ἀνελκόμενος — τοῖς ζῶσιν ἐγένετο Eustath. Dion. 787 ὃν ὁ μεγαλόφρων — λειμῶνα Eustath. Il. p. 938. Cf. CCX. περὶ δὲ τῶν χρυσῶν — ἐστρατεύσατο Palaeph. 19. Cf. CCCLVI et MIV Ἀγροίτας δὲ — παρέχει αὐτὰ τῷ Εὐρυσθεῖ (CCCCXXXVI[k]) Schol. Apoll. IV, 1396. Cf. MIV.

4 Exped. Alex. II, 16 7 Müller I, p. 27 20 προσφύουσιν F προσφυείσας PV

ὁ μεγαλόφρων Ἡρακλῆς σταλεὶς ὑπο Εὐρυσθέως ἀνήγαγεν [προσέσχε τῷ Ἀχέρωνι, ὃς ἦν ἐν Ἅιδου ποταμός. ἰδὼν δὲ Ἀχερωΐδα, τὴν καὶ Λεύκην καλουμένην καὶ ἐκ τῆς εὐφυΐας θαυμάσας τὸ δένδρον, ἐστεφανώθη καὶ ἀνήγαγεν ἅμα τῷ Κερβέρῳ, ἥντινα καὶ τῷ ἡλίῳ ἔδειξεν. ὡς ἄκαρπος δὲ ἡ Ἀχερωὶς τῷ Ἅιδῃ ἀνάκειται· διὸ καὶ ἰτέαι καὶ αἴγειροι τὸν τῆς Περσεφόνης πληροῦσι λειμῶνα]. ἀνελκόμενος δὲ ὁ χαλκεόφωνος κύων καὶ λυττήσας δεινὸν κατὰ τὴν Ποντικὴν Ἡράκλειαν ἔβαλε σίελον, ὃν δεξαμένη ἡ γῆ αὐτόθι βλάβος ἐφύτευσε τὸ ἀκόνιτον. ὄνομα δὲ δηλητηρίου φαρμάκου τούτου ἐστί, πρὸς ὃ οὐκ ἔστι κονίσασθαι καὶ οἷον παλαῖσαι καὶ ἀντιπαλαμήσασθαι. διὰ τοῦτο δὲ καὶ ἀκόνιτον λέγεται, οἱονεὶ ἀκαταπάλαιστον. λέγουσι δὲ καὶ ὅτι τὸ ἀκόνιτον πάλαι μὲν ἀσινὲς ἦν, ὕστερον δὲ κακόν τι γέγονε φάρμακον διὰ τὸν ἰόν, ὃς τῶν ἐχιδνῶν ἀποστάξας, αἳ τῆς τοῦ Κερβέρου κεφαλῆς ἐκπεφύκασιν, ἔβλαψε τὴν πόαν. καὶ τάχα τις ἀστεϊζόμενος πρὸς τὸν μῦθον καὶ τὸν Ἡράκλειον τοῦτον ἆθλον κάτω βάλλων, ἔτι δὲ καὶ τὸν μῦθον, ἐρεῖ, μηδὲν ἀγαθὸν τὸν Ἡρακλῆ ἐνταῦθα καταπράξασθαι. οὐ γὰρ τοσοῦτον ἀνθρώποις εἶναι πῆμα τὸν Κέρβερον κάτω μένοντα, ὅσον ἄνω γενόμενον· τότε γὰρ νεκροῖς ἐνεκάθητο, οὓς καὶ οὐκ ἔστι δὶς θανεῖν. ἄνω δὲ φανεὶς καὶ τὸ ἀκόνιτον ἐκφήνας κακὸν μέγα τοῖς ζῶσιν ἐγένετο. [μετὰ δὲ τὴν τοῦ Κερβέρου ἀναγωγὴν εἰς

---

1 ἀνήγαγεν correxi, ἀνάξαι PV 2 προσέσχε correxi, πρόσεχε PV Verba προσέσχε — λειμῶνα ex Eustathii commentariis serius addita sunt 13 παλαῖσαι FP παλαῖσθαι V 26 μετὰ δὲ τὴν τοῦ Κερβέρου ἀναγωγὴν — λέγουσιν ἀνελεῖν nihil ad rem faciunt, itaque a ceteris seiunxi

Θήβας ἐλθὼν ὁ Ἡρακλῆς Λύκον Θηβῶν βασιλεύοντα καὶ βιαζόμενον Μεγάραν τὴν Κρέοντος μὲν θυγατέρα, γυναῖκα δὲ Ἡρακλέους, τοξεύσας ἀνεῖλε. μανίᾳ δὲ 216
συσχεθεὶς τῇ τῆς Ἥρας ὀργῇ καὶ τὴν ἰδίαν γυναῖκα τὴν Μεγάραν καὶ τοὺς τέσσαρας αὐτῆς παῖδας, Ὀνίτην, Θηρέμαχον, Δημοκόοντα τοξεύσας ἀνεῖλεν. ὁ δὲ Πίνδαρος ὀκτὼ λέγει παῖδας Μεγάρας ἀνελεῖν Ἡρακλέα. ἕτεροι δὲ καὶ δύο υἱοὺς Ἰφικλέους τοῦ ἀδελφοῦ σὺν τοῖς τε Μεγάρας παισὶ λέγουσιν ἀνελεῖν.]

[Περὶ δὲ τῶν χρυσῶν μήλων ταῦτα λέγεται. γυναῖκές τινες ἦσαν Ἑσπερίδες καλούμεναι διὰ τὸ ἑσπέρας ἐπιφαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ κατοικεῖν, Φόρκου καὶ Κητοῦς θυγατέρες. ταύταις δὲ ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἣν ἐφύλασσε Δράκων, ὁ καὶ Λάδων ὀνομαζόμενος· ἐφ' ἃ μῆλα Ἡρακλῆς ἐστρατεύσατο. τοῦτο δὲ κατά τινας. Ἀγροίτας δὲ ἐν τρίτῳ Λιβυκῶν φησι, μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη· ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ἐκάλουν. Φερεκύδης δὲ ἐν δεκάτῳ, τῆς Ἥρας, φησί, γαμουμένης τῷ Διΐ, τὴν γῆν ἀναδεδωκέναι ἐν τῷ Ὠκεανῷ μῆλα χρυσᾶ ἢ μηλέας χρυσοῦν καρπὸν φερούσας· φυλάττειν δὲ αὐτὰ Δράκοντα τὸν Τύφωνος καὶ Ἐχίδνης, ἔχοντα

---

7 Isthm. III, 63 10 Haec ad verbum leguntur Eud. p. 434 in capite uberiore, quod *περὶ χρυσῶν μηλῶν* inscriptum est. Atque cum illo loco recte legantur, hic praeter morem Eudociae solitum ne titulo quidem gaudeant, dubitari non potest, quin hic eiicienda sint, quemadmodum verba sequentia ex eodem scholio sumpta *ἐπελθὼν δὲ* — *Ἑσπερίδων* et *Ἡρακλῆς* — *Εὐρυσθεῖ*. His autem interpolator admiscuit *εἰδέναι δὲ χρὴ* — *ἀποδημῆσαι*, quae eadem lege removeri necesse est 16 Müller IV, p. 245 20 fr. 30 Sturz

κεφαλὰς ἑκατὸν καὶ φωνὰς παντοίας· καὶ ὅτι αἱ νύμφαι αἱ Διὸς καὶ Θέμιδος οἰκοῦσαι ἐν σπηλαίῳ πρὸς τὸν Ἠριδανὸν ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι, μαθεῖν παρὰ Νηρέως, ποῦ ἂν εἴη τὰ χρυσᾶ μῆλα. ὡς δὲ συνελήφθη ὁ Νηρεὺς ὑπὸ Ἡρακλέους βίᾳ, πρῶτον μὲν μεταμορφούμενος εἰς ὕδωρ καὶ πῦρ, τὸ δὲ τελευταῖον εἰς τὴν παλαιὰν καταστὰς μορφὴν ἐδήλωσε περὶ τῶν μήλων. πορευόμενος δὲ ἐπὶ τὰ μῆλα ὁ Ἡρακλῆς πρῶτον μὲν ἀφικνεῖται εἰς Ταρτησσόν· ἐκεῖθεν δ' εἰς Λιβύην ἀφικόμενος ἀναιρεῖ Ἀνταῖον τὸν Ποσειδῶνος, ὑβριστὴν ὄντα· εἶτα ἀφικνεῖται ἐπὶ Νεῖλον εἰς Μέμφιν παρὰ Βούσιριν τὸν Ποσειδῶνος· καὶ αὐτόν τε ἀναιρεῖ καὶ τὸν παῖδα Ἀμφιδάμαντα καὶ τὸν κήρυκα Χάλβην καὶ τοὺς ὀπάονας παρὰ τῷ βωμῷ τοῦ Διός, ἔνθα ἐξενοκτόνουν. εἰς Θήβας δ' ἐκεῖθεν πορευθεὶς καὶ διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην πολλὰ κατὰ τὴν ἔρημον θηρία τοξεύων ἀναιρεῖ. καθήρας δὲ τὴν Λιβύην ἀφικνεῖται εἰς τὴν ἔξω κειμένην θάλασσαν· καὶ λαβὼν δέπας χρυσοῦν παρὰ Ἡλίου διαβαίνει ἐν αὐτῷ εἰς Πέργην, διά τε τῆς ἔξω γῆς καὶ θαλάσσης καὶ διὰ τοῦ Ὠκεανοῦ πλέων.

CCCCXXXVI[k]. *Ἡρακλῆς ἀποκτείνει τὸν τοῦ Προμηθέως ἧπαρ ἐσθίοντα ἀετόν.*

Ἐπελθὼν δὲ εἰς Προμηθέα καὶ ὀφθεὶς ὑπ' αὐτοῦ οἰκτείρει ἱκετεύοντα· καὶ τὸν ἀετόν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιεν, ἀποκτείνει τοξεύσας προσπετώμενον τῷ

CCCCXXXVI[k] et CCCCXXXVI[l] — *Εὐρυσθεῖ* Schol. Apoll. IV, 1396

13 *Ἀφιδάμαντα* hic et p. 434 PV

Προμηθεῖ. ἀντὶ δὲ τούτου Προμηθεὺς μὴ ἀπιέναι 217 ἐπὶ τὰ μῆλα ὑποτίθεται, ἐλθόντα δὲ πρὸς Ἄτλαντα κελεύειν ἐνέγκαι αὐτῷ καὶ ἀντὶ Ἄτλαντος αὐτὸν ἀνέχειν τὸν οὐρανόν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων.

CCCCXXXVI[1]. *Ἡρακλῆς ἐπ' ὤμων δέχεται τὸν οὐρανόν.*

Ἡρακλῆς δὲ ἀκούσας ἔρχεται πρὸς Ἄτλαντα καὶ κελεύει αὐτὸν ἐνεγκεῖν τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, τρία λαβόντα, διηνυσάμενον τὸν ἆθλον. δοὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων Ἡρακλεῖ τὸν οὐρανὸν καὶ ἐλθὼν πρὸς τὰς Ἑσπερίδας, δεξάμενος παρ' αὐτῶν τὰ μῆλα, ἐλθών τε πρὸς τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος, δόλῳ ἀντεπέθηκε τῷ Ἄτλαντι. ἣν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς ὑποθέμενος κελεῦσαι δέξασθαι τὸν οὐρανόν, ἕως οὗ σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσεται. ὁ δὲ καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν, ὑποδέχεται τὸν οὐρανόν. Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα χαίρειν εἰπὼν τῷ Ἄτλαντι, ἀπέρχεται εἰς Μυκήνας παρ' Εὐρυσθέα καὶ παρέχει αὐτὰ τῷ Εὐρυσθεῖ.]

[Εἰδέναι δὲ χρὴ καὶ ὅτι τινὲς ταῦτα τὰ περὶ Ἡρακλέους ἄπιστα φασι καὶ μυθώδη καὶ κολακείας ἀναπλάσματα· πάντων γάρ, φασί, τὰ κατὰ τὸν δεσμὸν τοῦ Προμηθέως ὑποθεμένων ἐν τῷ ἀρκτῴῳ γενέσθαι

CCCCXXXVI[1]. Schol. Apoll. IV, 1396 *εἰδέναι δὲ χρὴ — ἀποδημῆσαι* Eustath. Dion. 1153 *ἰστέον — Αἴσωπον* Zenob. I, 47? *Ἡρακλῆς ἐστιν* — exit. Cornut. 31

Καυκάσῳ, οἱ Μακεδόνες κολακείᾳ τῇ πρὸς τὸν Ἀλέξανδρον μετέθηκαν τῷ λόγῳ τὸν Καύκασον εἰς τὴν ἑῴαν θάλασσαν, καλέσαντες Καύκασον ὄρη τινὰ ἐκεῖ Ἰνδικά. οἱ δ' αὐτοὶ κόλακες καί τι σπήλαιον ἱερὸν ἐν Παροπαμισάδαις τῷ Ἀλεξάνδρῳ δεικνύοντες, Προμηθέως δεσμωτήριον αὐτὸ ἀπέφαινον καὶ τὸν Ἡρακλέα ἐλθεῖν ἐκεῖ ἔλεγον εἰς λύσιν τοῦ Προμηθέως, ἐναγόμενοι πρὸς τὸν λόγον καὶ ἀπὸ τοῦ ἰδεῖν αὐτόθι βοῦς ἐγκεκαυμένας ῥόπαλον, τὸ τοῦ Ἡρακλέους παράσημον. ὥστε τούτῳ τῷ λόγῳ ἐφ' ἑκατέρους τέρμονας γῆς ἐλθεῖν τὸν Ἡρακλέα καὶ εἶναι καὶ τὸν Ἀλέξανδρον διὰ τοῦτο κατὰ τοὺς κόλακας οὐκ ἀπεοικότα τοῦ Ἡρακλέους· διὰ τὸ καὶ αὐτὸν ὁμοίως ἐκείνοις ἀποδημῆσαι.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι οἱ μυθογράφοι λέγουσι, τόνδε τὸν τοῦ Ἀμφιτρύωνος Ἡρακλῆν καὶ Τυνδάρεων καὶ Γλαῦκον δὶς ζῆσαι καὶ ἀναβιῶναι. τινὲς δὲ καὶ τὸν Αἴσωπον. ἔτι δέ τινες οὕτω καθ' ἱστορίαν καὶ ἀλληγορίαν περὶ τοῦ Ἡρακλέους φάσκουσιν. Ἡρακλῆς ἐστιν ὁ ἐν τοῖς ὅλοις λόγος, καθ' ὃν ἡ φύσις ἰσχυρὰ καὶ κραταιά ἐστιν, ἀνίκητος καὶ ἀπεριγένητος οὖσα, μεταδοτικὸς ἰσχύος καὶ τῆς κατὰ μέρος ἀλκῆς ὑπάρχων.
218 *ὠνόμασται δὲ τάχα ἀπὸ τοῦ διατείνειν εἰς τοὺς ἥρωας, ὡς αὐτοῦ ὄντος τοῦ κλεΐζεσθαι τοὺς γενναίους ποιοῦντος. ἥρωας γὰρ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἁδροὺς τῷ σώματι καὶ ταῖς ψυχαῖς καὶ κατὰ τοῦτο τοῦ θείου γένους μετέχειν δοκοῦντας. οὐ δεῖ δὲ ὑπὸ νεωτέρας ἱστορίας ἐπιταράττεσθαι· διὰ γὰρ ἀρετὴν ἠξιώθη τῷ θεῷ τοιαύτης προσηγορίας, Ἀλκμήνης καὶ Ἀμφιτρύω-*

---

20 *ἀπεριγέννητος* PV 24 *ἁδροὺς* F *ἀνδρείους* PV 26 *οὐ δεῖ δὲ* F *οὐδ'* PV

νος υἱὸς ὤν. τὸ δὲ δυσδιάκριτα γεγονέναι τὰ τοῦ θεοῦ ἴδια, ἀπὸ τῶν περὶ τοῦ ἥρωος ἱστορουμένων.*** τάχα δ' ἂν ἡ λεοντὴ καὶ τὸ ῥόπαλον, ἐκ τῆς παλαιᾶς θεολογίας ἐπὶ τοῦτο μετενηνεγμένη εἴη. στρατηγὸν γὰρ αὐτὸν γενόμενον ἀγαθὸν καὶ πολλὰ μέρη τῆς γῆς μετὰ δυνάμεως ἐπελθόντα, οὐχ οἷόν τε γυμνὸν ἔδοξε περιεληλυθέναι ξύλῳ μόνῳ ὡπλισμένον, ἀλλὰ τοῖς ἐπισήμοις τοῦ θεοῦ μετὰ τὸν ἀπαθανατισμὸν ὑπὸ τῶν εὐεργετουμένων κεκοσμῆσθαι. σύμβολον γὰρ ἑκάτερον εἴη ῥώμης καὶ γενναιότητος· ὁ μὲν γὰρ λέων τὸ ἀλκιμώτατον τῶν θηρίων ἐστί, τὸ δὲ ῥόπαλον τὸ καρτερώτατον τῶν ὅπλων. καὶ τοξότης δ' ἂν ὁ θεὸς παρεισάγοιτο κατά τε τὸ πανταχοῦ διϊκνεῖσθαι κατὰ τὸ ἔντονόν τι ἔχειν καὶ τὴν τῶν βελῶν φοράν. στρατηλάτην δ' οὐκ ἄλογον, τούτοις ὅπλοις πεποιθότα εἰς τὰς παρατάξεις ἀπαντᾶν. οἰκείως δὲ παρέδοσαν αὐτὸν Κῷοι τῇ Ἥβῃ συνοικοῦντα, ὁλοσχερέστερον τὴν διάνοιαν ὄντα· ὡς γὰρ „νέων τι δρᾶν μὲν εὐτονώτεραι χέρες, ψυχαὶ δ' ἀμείνους τῶν γεραιτέρων πολύ". ὑπονοοῦσι δὲ τὴν παρ' Ὀμφάλῃ λατρείαν, ἐκείνῳ πιθανωτέραν εἶναι προσήκειν, ἐμφαινόντων πάλιν διὰ τούτου τῶν παλαιῶν, ὅτι καὶ τοὺς ἰσχυροτάτους ὑποτάττειν δεῖ ἑαυτοὺς τῷ λόγῳ καὶ τὰ ὑπὸ τούτου προσταττόμενα ποιεῖν, εἰ καὶ θηλύτερόν τι κατὰ τὴν θεωρίαν καὶ τὴν λογικὴν σκέψιν προσπίπτει τῆς ὀμφῆς· ἣν οὐχ

---

2 Lacunae signum posui ad Osanni exemplum 6 ἔδοξε F ἔδοξαν PV 8 ἐπισήμοις F πισύνοις PV 11 ἀλκιμώτατον F γενναιότατον PV 16 ἄλογον F εὔλογον PV 18 Sic scripsi Osanno obtemperans, paucis mutatis Nauck. fragm. trag. p. 355, νεῶν τι δρᾶν εὐτονώτεραι αἱ χεῖρες, οὕτω ψυχὰς ἀμείνους PV

ἀτόπως ἂν δόξαιεν ὀμφαλοῦ προσηγορευκέναι. τοὺς δὲ δώδεκα ἄθλους ἐνδέχεται μὲν ἀναγαγεῖν οὐκ ἀλλοτρίους ἐπὶ τὸν Ἡρακλέα, ὥς καὶ Κλεάνθης ἐποίησε. καὶ περὶ μὲν Ἡρακλέους ἅλις· περὶ δὲ τῶν συγγενῶν αὐτῷ ἡρώων ὡς ἐν βραχεῖ διαληψόμεθα.

CCCCXXXVII. *Περὶ τῶν παρὰ τοῖς Ἕλλησιν ἡρώων.*

Ἥρωας ἡ παλαιὰ σοφία γένος τι θεῖον εἶναι δοξάζει, μέσον θεῶν καὶ ἀνθρώπων. καὶ τὸ μὲν θεῖον φῦλον εἰς θεοὺς διαιρεῖται καὶ δαίμονας, οἱ δὲ ἄνθρωποι εἴς τε ἥρωας καὶ εἰς αὐτὸ τοῦτο ἀνθρώπους. καὶ ὑποβεβηκέναι μέν φασι θεοῖς δαίμονας, ἀνθρώπους δὲ ἥρωσιν, οὓς καὶ ἐκ θείου καὶ ἀνθρωπίνου σώματος φῦναι λέγουσι (διὸ καὶ Ἡσίοδος ἡμιθέους αὐτούς φησιν), ἢ ἐκ θεᾶς ὄντας καὶ θνητοῦ ἀνδρός, ὁποῖος
219 *καὶ Ἀχιλλεὺς ὁ ἐκ Θέτιδος καὶ Πηλέως καὶ Αἰνείας ὁ ἐξ Ἀφροδίτης καὶ Ἀγχίσου· ἢ ἀνάπαλιν ὁποῖον ὁ Λυκόφρων Ἕκτορα παραδίδωσι πατρὸς μὲν Ἀπόλλωνος, θνητῆς δὲ μητρός. οὕτω μέν τινες. ἕτεροι δὲ συντομώτερον φράζοντές φασιν· ἄκρα μὲν θεοὶ καὶ ἄνθρωποι, μέσον δὲ γένος ἀμφοῖν τὸ ἡρωϊκὸν, θεοῖς μὲν ὑποβεβηκός, ἀνθρώπων δὲ ὑπερκείμενον διὰ μετουσίαν ἀρετῆς· ἀφ' ἧς καὶ δοκοῦσι παρονομάζε-*

CCCCXXXVII. Eustath. Il. p. 17

---

1 *ἀτόπως* et *προσηγορευκέναι* F *ἑτέραν* et *προσηγορηκέναι* PV 3 *ἐποίησεν* PV 8 *διαιρεῖ* F 12 Oper. 160 14 *καὶ Αἰνείας* — *Ἀγχίσου* om. F. In sequentibus Eudocia citat Lyc. Alex. 265

σθαι. καὶ δῆλον, ὡς οἱ τοιοῦτοι ἀπὸ τῆς ἀρετῆς βούλονται καλεῖσθαι τοὺς ἥρωας, ἀνθρώπους μὲν ὄντας, διὰ δὲ τὸ θεῖον τῆς ἀρετῆς ἡμιθέους νομισθέντας. ἄλλοι δὲ ἀπὸ τοῦ ἔρωτος, τροπῇ τοῦ ε εἰς η, παράγουσι τοὺς ἥρωας. καὶ τούτου ἢ ἐπαινετοῦ καὶ ἐς κάλλος θεῖον ὁρῶντος καὶ ἀνατεινομένου εἰς τὸ ἄκρον ἐφετὸν καὶ τῶν κάτω μὲν ἀπάγοντος τὸν ἄνθρωπον, ταῖς δὲ ἀνωτάτω θεαῖς προσενοῦντος, ὡς οὕτω κληροῦσθαι ἡμιθέου κλῆσιν αὐτόν· ἢ καὶ ἄλλως, ἐκ μυθικοῦ ἔρωτος καὶ ἐμπαθοῦς. ἔρως γὰρ κάλλους ἀμυθήτου πολὺς μυθικῶς ἐκκαυθεὶς τὰ ἀνομοίως ἔχοντα γένη συντήξας, οἷον πρὸς γάμον ἔμιξεν. ἄλλοι δὲ ἀπὸ τῆς ἔρας τοὺς ἥρωας εἶπον καλεῖσθαι· γῆθεν γὰρ ἦσαν, εἰ καὶ δι' ἀρετήν, ὥσπερ οὐρανώθησαν. οἱ δὲ ἀπὸ τοῦ ἀέρος, ὡς δηλοῦται καὶ ἔν τινι τῶν παρὰ Πορφυρίῳ ἐπιγραμμάτων, ἐν ᾧ κεῖται τὸ

Σῆμα μὲν ἐν πόντῳ κεῖται, πνεῦμα δ' ἀὴρ ὅδ' ἔχει.

φησὶ δὲ καὶ Ἡσίοδος·

Ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν.

ἤγουν ἐνδυθέντες ἀέρα, ὡς μετὰ τὸ ἄριστον λυθῆναι τοῦ σώματος, μὴ κάτω ἀπιόντες, ἀλλ' ἐν ἀέρι ὄντες καὶ γέρας ἔχοντες, τὸ πανταχοῦ γῆς φοιτᾶν καὶ τὰ κατ' ἀνθρώπους ἐπισκέπτεσθαι. ποτὲ δέ φασι καὶ εἰς τὸ Ἠλύσιον συναγελάζεσθαι· περὶ οὗ λεκτέον.

---

5 ἢ addidi ex F 14 οὐρανόθησαν PV 17 Forte σῶμα scribendum, nam cogitasse videtur de epigrammate, quod Jacobs. Anthol. II, p. 754 publicavit: σῆμα τὸ μὲν γουνῆος ὁρᾷς· ψυχὴ δὲ θανόντος Ἀέρ' ἐς ὑγρὸν ἔβη, σῶμα δὲ πόντος ἔχει. Deinceps laudatur Hes. Oper. 125 20 ἄριστον λυθῆναι PV ἀπολυθῆναι F infra φασιν PV

CCCCXXXVIII. *Περὶ τοῦ Ἠλυσίου πεδίου.*

Ὥσπερ ὁ χριστιανικὸς λόγος ὑπογράφει, τινὰ εἶναι παράδεισον, οὕτω καὶ Ἕλληνες ὑπογράφουσί τινα χῶρον, ὃν καλοῦσιν Ἠλύσιον. τινὲς δὲ λέγουσιν, ἱερὸν περὶ τὸν Ἅιδην εἶναι, οἱ δὲ περὶ Αἴγυπτον, οἱ δὲ περὶ Λέσβον, οἱ δὲ τὸ κεκεραυνωμένων χωρίον ἢ πεδίον. τὰ δὲ τοιαῦτά ἐστιν ἄβατα, ἅτινα καὶ Ἐνηλύσια καλεῖται. οἱ δὲ περί που τὰ κατὰ δύσιν πέρατα τῆς γῆς τὸ Ἠλύσιον εἶναι λέγουσιν, ὃ καὶ νῆσοι μακάρων παρὰ τοῖς ὕστερον λέγεται· νῆσοι μέν, ὅτι περὶ τὴν ἔξω θάλασσαν εἰσίν, ὅ ἐστι περὶ αὐτὸν τὸν Ὠκεανόν· μακάρων δέ, διὰ τὸ τοῦ τόπου εὔδαιμον καὶ μακάριον, ὃ τοῖς πᾶσι τεθρύλληται. λέγεται δὲ Ἠλύσιον, παρὰ 220 τὸ ἐλεύσασθαι ἐκεῖσε τοὺς ἀγαθόν τι βεβιωκότας, ἢ παρὰ τὸ λύσιν μὴ ἔχειν.

Ὁ δὲ Ῥαδάμανθυς λέγεται τὴν δικαστικὴν ἀξίαν ἔχειν καὶ τοῖς ἐν Ἅιδῃ δικάζειν, καὶ τοὺς μὲν ἀξίους κολάσεως πέμπειν παρὰ τὸν Κωκυτὸν καὶ τὸν Πυριφλεγέθοντα, τοὺς δὲ ἀγαθὸν ἐργασαμένους πέμπειν παρὰ τὸ Ἠλύσιον.

Ἐπεὶ δὲ καὶ ἡρώων μνείαν ἐποιησάμην, λέξομαι τὸν τῶν φιλομούσων πόνον ἀνακουφιζομένη καὶ οἱονεὶ θυμηδίας ἕνεκεν, τίνες τὴν πάλαι θρυλλουμένην τοῖς

CCCCXXXVIII. Nonn. II, 13 *τινὲς δὲ λέγουσι — καλεῖται* Hesych. Alexandrin. (Phot. Suid.) *οἱ δὲ περί που — τεθρύλληται* Eustath. Od. p. 1509 *λέγεται — μὴ ἔχειν* certe ex Etym. M. p. 428, 35 fluxerunt *ὁ δὲ Ῥαδάμανθυς — Ἠλύσιον* Nonn. II, 13

5 *κεκεραυνωμένον* F *κεκεραμωμένων* PV 12 *τεθρύληται* more suo F

ποιηταῖς ἥρωες εὔζυγον Ἀργὼ χάριν τοῦ χρυσομάλλου κωδίου ἐς Κόλχους ἰδίαις χερσὶν ἀνήλασαν.

Ἔστω δὲ ἐν τοῖς ἄλλοις πρῶτος ὁ μουσικώτατος Ὀρφεύς, ὁ καὶ κιθαρίζων εὐτόνως τοὺς ἥρωας εἰς τὸ ἐρέσσειν παρεσκεύαξεν.

CCCCXXXIX. *Πόσοι καὶ τίνες οἱ Ἀργοναῦται ἥρωες καὶ τίνων καὶ πόθεν.*

Ὀρφεὺς Καλλιόπης καὶ Οἰάγρου, ἐκ Θρᾳκικῆς Πιμπληΐδος.

Ἡρακλῆς Ἀμφιτρύωνος καὶ Ἀλκμήνης, Ἀργόθεν.

Ἀστερίων Κομήτου, ἐξ Ἀπειρεσίας.

Πολύφημος Εἰλάτου, ἐκ Λαρίσσης.

Ἴφικλος μήτρως Ἰάσονος, ἐκ Φυλάκης.

Ἄδμητος Φέρητος τοῦ Κρηθέως, ἐκ Φερῶν.

Ἔρυτος καὶ Ἐχίων υἱοὶ Ἑρμοῦ, ἐξ Ἀλόπης.

Αἰθαλίδης Φθιάδος Εὐπολεμείας.

Κόρωνος Καινέως, ἐκ Γυρτῶνος.

Μόψος Ἀμπύκου καὶ Χλωρίδος τῆς Ὀρχομενοῦ (Ἄμπυκος Τιταιρῶνος, ἐκ Τιτάρου).

Εὐρυδάμας Κτιμένου, ἐκ τῆς Ξυνιάδος λίμνης, ἐκ Κτιμένης.

Μενοίτιος Ἄκτορος, ἐξ Ὀπόεντος.

CCCCXXXIX. Haec paucis omissis in commentariis ad Apoll. Argon. (p. 535 ed. Keil) leguntur (cf. Arg. I, 23—233)

---

13 *Ἔρυτος* et *Ἀγχίων* PV 14 Sic PV *Αἰθαλείδης* cui praecedit *γνωτὸς* F 17 Haec verba parenthesi seclusa scripsi, cum Ampycus in Argonautarum numero non habendus sit. *Τιταιρῶνος* formam praebet Tzetz. Lyc. 881 *Τιτάρωνος* (scilicet ab urbe *Τιταρών* sic vocatus) Schol. Apoll. I, 65 *Τυταιρῶνος* PV

Εὐρυτίων Ἴρου Ἀκτορίδου.

Ἐριβώτης Τελέοντος.

Ὀϊλεύς.

Κάνθος Κανήθου Ἀβαντιάδου, ἀπ' Εὐβοίας.

Κλύτιος καὶ Ἴφιτος Εὐρύτου, ἐξ Οἰχαλίας.

Πηλεὺς καὶ Τελαμὼν Αἰάκου, ἐξ Αἰγίνης.

Φάληρος Τελέοντος, Κεκροπίηθεν.

Τῖφυς Ἁγνιάδης, ἐκ Σιφῶν τῆς Βοιωτίας.

Ἄργος Ἀρεστορίδης.

Φλίας Διονύσου, Ἀραιθυρέηθεν.

221 Ταλαὸς καὶ Ἀρήϊος καὶ Λεώδοκος Βίαντος καὶ Πηροῦς Νηληΐδος, Ἀργόθεν.

Ὕλας Θειοδάμαντος τοῦ Δρύοπος.

Ναύπλιος Κλυτονήου τοῦ Ναυβολίδου, τοῦ Λέρνου, τοῦ Προίτου, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος ἐκ τῆς Δαναΐδος.

Ἴδμων Ἀπόλλωνος (οἱ δὲ Ἀπόλλωνος καὶ Ἄβαντος τοῦ Αἰολίδου).

Κάστωρ καὶ Πολυδεύκης Λήδας καὶ Διός, Σπάρτηθεν.

Λυγκεὺς καὶ Ἴδας Ἀφαρέως, Ἀρήνηθεν.

Περικλύμενος Νηλέως, Πυλόθεν.

Ἀμφιδάμας καὶ Κηφεὺς Ἀλεοῦ τοῦ Ἀφείδαντος, Ἀρκαδίηθεν.

Ἀγκαῖος Λυκούργου τοῦ Ἀλεοῦ.

Αὐγείας Ἡλίου (οἱ δὲ Φόρβαντος ἐκ τῆς Νηλέως Ὑρμίνης, οἱ δὲ Νυκτέως, οἱ δὲ Ἐπείου).

---

2 Εὐρυβώτης PV 10 Φλίας F Φλοίας PV 12 Πυροῦς PV 16 add. Ἀμυμώνης 26 Sic correxi, Φόρμητος PV mox Ἰκλέως et Ἐπόχου PV

Ἀστέριος καὶ Ἀμφίων Ὑπερασίου τοῦ Πέλλου, Πελλήνηθεν.

Εὔφημος, ὁ ἐπὶ θαλάσσης θέων, Ποσειδῶνος καὶ Εὐρώπης τοῦ Τιτυοῦ, ἐκ Ταινάρου.

Ἐργῖνος Ποσειδῶνος, ἐκ Μιλήτου.

Ἀγκαῖος Ποσειδῶνος, ἐξ Ἰμβρασίας.

Μελέαγρος Οἰνέως, ἐκ Καλυδῶνος.

Λαοκόων, ἀδελφὸς Οἰνέως.

Ἴφικλος Θεστίου, ἐκ Καλυδῶνος.

Παλαιμόνιος Λέρνου τοῦ Ὠλένου, ἐκ Καλυδῶνος,

Ἴφιτος Ναυβόλου Ὀρνυτίδου, ἐκ Φωκίδος.

Ζήτης καὶ Κάλαϊς Βορέου ἐξ Ὀρειθυίας Ἐρεχθέως, ἐκ τῆς Θρᾴκης. [καὶ ἄλλοι ἄλλοθεν.]

Ἄκαστος Πελίου.

Ἰάσων Αἴσονος καὶ Ἀλκιμέδης τῆς Κλυμένης τῆς Μινυηΐδος.

CCCCXL. *Οἱ ἥρωες οἱ τὸν Καλυδώνιον σῦν κτείναντες.*

Λεκτέον δὲ πρὸς τούτοις καὶ περὶ τῶν τὴν εὔφημον συστησάντων θήραν τοῦ Καλυδωνίου συός, ὧν πρώτη ἡ γενναιοτάτη καὶ πάγχρυσος Ἀταλάντη, ἡ καὶ πρώτη τῷ βέλει τοῦ πεφρυαγμένου συὸς τὴν κεφαλὴν τρώσασα. διὸ καὶ ἀντὶ γέρατος ὁ Μελέαγρος αὐτὴν ἐδωρήσατο, ἥν τινα καὶ εἰς φιλομηδῆ γάμον οἱ Ἔρωτες αὐτῷ παρεσκεύασαν.

CCCCXL. Titulum huc transposui, quippe quem PV venatorum enumerationi praemittant

---

8 *Ἡφαίστου* pro *Λέρκου* F 11 *καὶ ἄλλοι ἄλλοθεν* lector aliquis addidit, qui omnia iam enarrata esse nomina ratus est 18 *πεφρυμαγμένου* P corr. V

222 Ἀταλάντη, Μελέαγρος, Ἰάσων, Κάστωρ, Πολυδεύκης, Πυρίθοος, Θησεύς, Λυγκεύς, Θεστιάδαι, Λεύκιππος, Ἄκαστος, Καινεύς, Ἱππόθοος, Δρύας, Φοῖνιξ, Μενοίτιος, Ἶρος, Φλυεύς, Τελαμών, Πηλεύς, Ἄδμητος, Ἰόλαος, Εὐρυτίων, Ἐχίων, Λέλεξ, Πανοπεύς, Ὕλας, Ἵππασος, Νέστωρ, Ἱπποκόων, Ἀγκαῖος, Μόψος, Οἰκλείδης.

CCCCXLI. *Περὶ τοῦ Ἡφαίστου.*

Τὸν Ἥφαιστον ἐκ τῆς Ἥρας ἄνευ συζυγίας φασὶ γενέσθαι. τούτου γυνὴ ἦν Ἀφροδίτη, ἣν ὁ Ἄρης ἐμοιχεύετο. ὁ δὲ Ἥφαιστος στήσας πάγας εὑρίσκει τὴν μοιχείαν γενομένην καὶ οὐκ ἔλυσεν αὐτοὺς ὁ Ἥφαιστος, ἀλλ' εἴασεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν, ἕως οὗ ἐκάλεσε τοὺς θεοὺς καὶ ἐδημοσίευσεν αὐτούς. καὶ τότε οἱ θεοὶ ἰδόντες, πῶς θριαμβευόμενοι ἐν ταῖς πάγαις κατεχόμενοι ἦσαν οἱ δύο, ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς, πολὺν ἐπ' αὐτοὺς κατέχεον γέλωτα. καὶ τότε λύεται ὁ Ἄρης, μικρὰ λύτρα δοὺς τῷ Ἡφαίστῳ. χωλὸν δὲ ὁ μῦθος λέγει τὸν Ἥφαιστον, διὸ καὶ ἀμφιγυήεις· γυῖα γὰρ τὰ μέλη. συνέβη δ' αὐτῷ ἡ χωλεία δι' αἰτίαν τοιαύτην. γεννηθεὶς γὰρ ἐτώσιόν τι ἄχθος ἀρούρης ἐφάνη τῇ Ἥρᾳ διὰ τὸ εἰδεχθὲς καὶ ἀκαλλὲς αὐτοῦ καὶ κατηθαλωμένον τοῦ προσώπου, καὶ βδελυχθεὶς ὑπ' αὐτῆς μετὰ τὴν γένεσιν ὡς βδέλυγμά

CCCCXLI. Nonn. I, 86. Cf. Eud. p. 14. *χωλὸν — μέλη, κλυτοτέχνην — προσηγόρευσαν* Nonn. II, 26 *ἐν δὲ Λιπάρᾳ — ἀνιέναι* Schol. Apoll. IV, 761 *καὶ ἄλλοι δὲ — ὁρᾶται* Schol. Apoll. III, 41 *πρὸς τούτοις δὲ — ὠδίνειν φαμέν* Cornut. 19

---

3 *Δρίας* P corr. V 11 Sic ex F restitui, *καὶ οὐκ ἠλέησεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν* vitiose scribunt PV 19 *ἀμφιγυής* PV

τι ἀπερρίφθη· διὸ καὶ μητρόρριπτος λέγεται, ὅτε καὶ ἐχωλάνθη. δευτέραν δὲ προσέτι ῥῖψιν οἱ ποιηταὶ διϊσχυρίζονται. φασὶ γάρ, ἐριζομένοιν ποτὲ Διός τε καὶ Ἥρας ὑπὲρ τῆς τοῦ Ἀχιλλέως ἀλεξήσεως διὰ τὴν ἱκετείαν τῆς Θέτιδος, τὸν Ἥφαιστον ἀναφανῆναι ἐπίηρα φέροντα τῷ Διῒ ὑπὲρ τῆς μητρός, καὶ τότε δεσμευθῆναι καὶ τεταγῆναι τῷ Διῒ ὀργιζομένῳ καὶ εἰς τὴν Λῆμνον ῥιφθῆναι καταφερόμενον ἐκ τοῦ οὐρανοῦ διὰ μιᾶς ἡμέρας. κλυτοτέχνην δὲ αὐτὸν καλοῦσι, χαλκέα 223
ὄντα τὴν τέχνην, ἐπειδὴ τὸ παλαιὸν ἔνδοξον εἶχον τὴν χαλκευτικήν, διὸ καὶ κατηθαλωμένον καὶ κεκαπνισμένον. προσέτι δὲ καὶ Θερσίτην Ὀλύμπιον διὰ τοιαύτην αἰτίαν. ὁ Ὅμηρος εἰσφέρει τινὰ Θερσίτην ὀνόματι χωλὸν καὶ κυρτὸν καὶ στραβὸν καὶ μαδαρὸν καὶ προπετῆ καὶ φησίν, ὅτι οὗτος ἠκολούθει τῷ στρατοπέδῳ, οὐ διὰ τὸ πολεμεῖν, ἀλλὰ διὰ τὸ γελᾶσθαι. ἐπεὶ οὖν ὁ Ἥφαιστος χωλὸς ἦν καὶ κεκαπνισμένος καὶ ὅλως παρόμοιος τῷ Θερσίτῃ, τῶν νεωτέρων τινὲς οὕτως αὐτὸν προσηγόρευσαν.

Ἐν τῇ Λιπάρᾳ δὲ καὶ Στρογγύλῃ (ἐκ τῶν Αἰόλου δὲ νήσων αὗται) φασὶ τὸν Ἥφαιστον διατρίβειν χαλκεύοντα· διὸ καὶ πυρὸς βρόμον ἀκούεσθαι καὶ ἦχον σφυρῶν. Ἀγαθοκλῆς δὲ ἐν τοῖς ὑπομνήμασι περὶ τῶν χαλκείων τοῦ Ἡφαίστου λέγων φησὶ κατὰ Σικελίαν δύο εἶναι νήσους, ὧν ἡ μὲν καλεῖται Ἱερά, ἡ δὲ Στρογγύλη· αἵ τινες ἡμέρας καὶ νυκτὸς πῦρ ἀφιᾶσι. καλεῖται δὲ ἡ μὲν Αἰόλου, ἡ δὲ Ἡφαίστου, ἐν ᾗ πυρὸς

---

13 Il. II, 217 seq. 19 λέγει αὐτός, ὅτι ὡς Θερσίτης ἦν ὁ Ἥφαιστος ὑμῶν F 23 σφυρῶν F σφοδρὸν PV Müller IV, p. 290

ποταμούς φησιν ἀνιέναι. καὶ ἄλλοι δὲ πολλοὶ ἐν αὐτῇ τῇ Ἱερᾷ φασιν αὐτὸν χαλκεύειν, ὁ δὲ Καλλίμαχος ἐν Λιπάρᾳ. ὁ δὲ Καλλίας ἱστορεῖ ἐν τῷ δεκάτῳ τῶν περὶ Ἀγαθοκλέα καὶ λόφον εἶναι ὑψηλὸν ἐκεῖ, ἀφ' οὗ κρατῆρές εἰσι δύο, ὧν ὁ ἕτερός ἐστι τὴν περίμετρον τριστάδιος, ἀφ' οὗ πολὺ φέρεται φέγγος, ὥστε ἐπὶ πολὺν τόπον διήκειν τὸν φωτισμόν, ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλετομεγέθεις. καὶ τηλικοῦτος βρόμος γίνεται, καθ' ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ πεντακόσια στάδια ἀκούεσθαι τὸν ἦχον. οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναρριπτόμενοι μύδροι διὰ τὴν ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσὶ καὶ διακεκαυμένοι τὴν ὄψιν καὶ τὴν δύναμιν καθ' ἥλιον ἔχουσι. νύκτωρ μὲν οὖν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς ὁρᾶται, μεθ' ἡμέραν δὲ ἐκ τῆς κορυφῆς, ὅθεν ἡ φλὸξ ἄνεισιν, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται. πρὸς τούτοις δὲ ἀλληγοροῦντες τὰ αὐτοῦ οὕτω φασί. διὰ τὰς πλείστας τῶν τεχνῶν καὶ διὰ τὴν τοῦ πυρὸς ἐνέργειαν ἀποδίδοσθαι τὰ ἑαυτοῦ ἔργα. ὁ μὲν γὰρ αἰθὴρ καὶ τὸ διαυγὲς καὶ καθαρὸν πῦρ Ζεύς ἐστι, τὸ δ' ἐν χρήσει καὶ ἀερομιγὲς Ἥφαιστος, ἀπο τοῦ ἧφθαι ὠνομασμένος, ὅθεν καὶ ἐκ Διὸς καὶ Ἥρας ἔφασάν τινες αὐτὸν γενέσθαι· ἄλλοι δὲ μόνης τῆς Ἥρας· αἱ γὰρ φλόγες παχυμερέστεραί πως οὖσαι, ὡς ἐκ μόνου τοῦ

2 *Καλλίμαχος* hic substituendum est, non *Καλλίας*, cum alludatur ad hymn. in Dian. 47, erraverunt enim propter syllabae compendium librarii; sed infra pro *ὁ δ' αὐτὸς* corrigendum *ὁ δὲ Καλλίας*, de quo cf. Müller II, p. 383 4 *λόφον* correxit Meineke, *ὄροφον* PV 6 *τριστάδιος* F *τριστάδα* PV 8 *ἀπλατομεγέθεις* PV 12 *φυσήματος* PV 17 *ἀνίησιν* PV

ἀέρος διακαιομένου τὴν ὑπόστασιν λαμβάνουσι. χωλὸς δὲ παραδέδοται, τάχα μὲν διὰ τὸ παχεῖαν τὴν τῆς ὕλης πορείαν ποιεῖσθαι τοῖς ἐπισκιάζουσιν ὁμοίαν, τάχα δὲ καὶ ἀπὸ τοῦ μὴ δύνασθαι προβαίνειν δίχα ξυλώδους τινὸς ὡσανεὶ βάκτρου. τινὲς δὲ διὰ τὸ τὴν ἄνω κίνησιν τῆς κάτω πρὸς τροφὴν ἄνισον καὶ ἀνώ- 224 μαλον ποιεῖσθαι, βραδυτέρας αὐτῆς οὔσης, χωλεύειν αὐτὸν ἔφασαν. ῥιφῆναι δὲ ὑπὸ τοῦ Διὸς ἐξ οὐρανοῦ εἰς γῆν λέγεται διὰ τὸ τοὺς πρώτους ἴσως ἀρχομένους χρῆσθαι πυρί, ἐκ κεραυνοβόλου καιομένου τούτου περιτυχεῖν, μηδέπω ἐπινοίᾳ τοῖς πυρίοις ἐπιπεσεῖν δυναμένους. γυναῖκα δ' αὐτοῦ τὴν Ἀφροδίτην ἔφασαν εἶναι, καθ' οἷον λόγον καὶ τὴν Χαρίτων μίαν· ὡς γὰρ χάριν φαμὲν ἔχειν τὰ τεχνικὰ ἔργα, οὕτω καὶ τὴν Ἀφροδίτην τινὰ αὐτοῖς ἐπιτρέχειν λέγομεν· εἰ μὴ πρὸς παράστασιν τοῦ πολὺ τὸ πυρῶδες εἶναι ἐν ταῖς πρὸς τὰς μίξεις ὁρμαῖς πέπλασται τοῦτο. δεδηκέναι δὲ μυθεύονται τὸν Ἄρη, μοιχεύοντα τὴν γυναῖκα (καὶ γὰρ ὁ μῦθος παρὰ τῷ ποιητῇ ἐστι παλαιότατος ὤν), ἐπειδὴ τῇ τοῦ πυρὸς δυνάμει ὁ σίδηρος καὶ ὁ χαλκὸς δαμάζεται. το δὲ τῆς μοιχείας πλάσμα παρίστησιν, ὅτι οὐ πάνυ μὲν πέφυκε κατάλληλον τὸ μάχιμον καὶ βίαιον τῷ ἱλαρῷ καὶ μειλιχίῳ, οὐδὲ κατὰ τὸν φυσικὸν αὐτῶν νόμον ἐπιπλέκεται· ἀντιποιουμένων δέ πως τῆς μίξεως αὐτῶν καλὸν καὶ γενναῖον γέννημα, τὴν ἐξ ἀμφοῖν ἁρμονίαν ἀποτελεῖν εἴωθε. λέγεται δὲ Ἥφαιστος μαιώσασθαι τὸν Δία, ὅτε τὴν Ἀθηνᾶν ὤδινε. διελὼν

3 *ὁμόνοιαν* P corr. V   13 *Χαρίτων* F *Χάριν* PV   16 *τοῦ* addidi ex F om. PV   17 *δεδοικέναι* P corr. V   23 *αὐτῶν* F *αὖ* PV   25 *γενναιότερον* PV

γὰρ αὐτοῦ τὴν κεφαλὴν ἐκθορεῖν ἐκείνην ποιῆσαι· τῷ γὰρ πυρί, ᾧ χρῶνται αἱ τέχναι, συνεργὸν πρὸς τὴν ἀπόδειξιν τῆς φυσικῆς τῶν ἀνθρώπων ἀγχινοίας γενόμενον, ὥσπερ κεκρυμμένην αὐτὴν εἰς φῶς προήγαγε· τοὺς γὰρ ζητοῦντάς τι, εἰ προσευρέθη, κύειν αὐτὸ καὶ ὠδίνειν φαμέν.

CCCCXLII. *Περὶ ἀναθημάτων Ἡφαίστου Ἀφροδίτης τε καὶ Ἀρτέμιδος καὶ Ἀπόλλωνος Ἑρμοῦ τε καὶ Ἐρώτων.*

Τὸ τῆς πεύκης δένδρον τῷ Ἡφαίστῳ ἀνάκειται, οὐ μόνον ὅτι εὐέξαπτον, ἀλλὰ καὶ διὰ τὴν δᾷδα, ἥτις ἀπὸ τοῦ δαίω, τὸ καίω, παράγεται, καθὰ καὶ ἐκ τοῦ αἴθειν ὁ Ἥφαιστος. ἡ δὲ τρίγλα τῇ Ἀρτέμιδι, παρόσον ἡ τρίγλα μὲν κατὰ τὸν Κίλικα ποιητὴν τριγόνοις γοναῖς ἐπωνόμασται, τρὶς γεννῶσα τοῦ ἔτους, καὶ Ἄρτεμις, ταὐτὸν δὲ εἰπεῖν σελήνη, τριταία μετὰ τὴν γέννησιν σαφῶς διεκφαίνεται. τῇ δ' αὐτῇ Ἀρτέμιδι, ταὐτὸν δὲ εἰπεῖν Ἑκάτῃ, μαινίδα θύεσθαί φασι διὰ τὸ δοκεῖν μανιῶν αἰτίαν εἶναί τισιν, ὡς οἷον εἰπεῖν τοῖς σεληνιαζομένοις. καὶ ἄλλοι δὲ ἰχθύες ἀνάκεινταί τισι κατὰ οἰκειότητα, οἷον Ἀπόλλωνι μὲν κίθαρος, ἤτοι κιθάρα, ἐπεὶ κιθαριστὴς ἐκεῖνος περιᾴδεται, Ἑρμῇ δὲ βόαξ, ὡς κήρυκι, διὰ τὴν βοήν, παρ' ἣν καὶ Βοώτης κήρυκος ὄνομα, Ἀφροδίτῃ δὲ ἀφύη, ἥτις καὶ ἀφρῖτις διὰ τὸ ἄμφω ἐξ ἀφροῦ φῦναι, τήν
225 τε ἀφύην φυσικῶς, καὶ τὴν δαίμονα μυθικῶς. οὕτω καὶ λύκος Ἀπόλλωνι ἀνάθημα διὰ τὴν ἀμφιλύκην

CCCCXLII. Eustath. Il. p. 87 (cf. Athen. VII, p. 325)

5 κυεῖν V 11 Oppian. Hal. I, 590 22 ἀφρίτης PV 23 bis φυσικῶς PV 24 Ἀπόλλωνος ἄθυρμα F

νύκτα, μεθ' ἣν ἐκφαίνεται ὁ ἥλιος. καὶ λαγὼς Ἔρωσιν ἀνάθημα διὰ τὸ ταὐτὸν τῆς κατὰ κλῆσιν γενέσεως. λαγώς τε γὰρ ἀπὸ τοῦ λάειν, καὶ Ἔρως ἀπὸ τοῦ ὁρᾶν, ἅπερ τὸ βλέπειν μηνύουσιν.

Θεογονία.

Θεῶν δὲ τὴν γένεσιν, ἢ μᾶλλον Θεογονίαν, τὴν κατὰ τοὺς παλαιούς, οὔ μοι δοκεῖ παρεᾶσαι, ἀλλ' ὅτι γε ἐν τῷ Θῆτα στοιχείῳ καταντήσασα, αὐτὴν γραμματικῶς ἐκτίθεμαι.

Ἐξ ἀφανοῦς τινος πρῶτον ἐγένετο Χάος (οὗ ἄνευ συζυγίας Ἔρεβος, Νύξ, ἐξ ἀμφοτέρων δὲ Αἰθήρ, Ἡμέρα, Νύξ, ἄνευ δὲ συζυγίας γεννᾷ Ἑσπερίδας. οἱ δὲ Φόρκυος καὶ Κητοῦς Κλωθώ, Λάχεσιν, Ἄτροπον τὰς Μοίρας, μόρον, κῆρας, θάνατον, ἔριν, ἧς ἄνευ συζυγίας λήθη, λιμός, δάκρυα, ὑσμῖναι, φόνοι, νείκη, ψεῦδος, δυσνομία, ἄτη, ὅρκος) Γῆ, ἧς καὶ ἐκ τοῦ αἵματος τῶν αἰδοίων τοῦ Οὐρανοῦ, τμηθέντος ὑπὸ τοῦ Κρόνου, Ἐριννύες, Γίγαντες, Τιτᾶνες, ἧς ἄνευ συζυγίας Οὐρανός, ὄρη, πέλαγος, πόντος, μιγεῖσα δὲ τῷ Οὐρανῷ γεννᾷ κ. τ. λ.

Διὸς παῖδες πολλοὶ ἐκ διαφόρων θεῶν τε καὶ ἡρωινῶν, ἐξ ὧν οὗτοι οἱ θεοί.

Περσεφόνη ἐκ τῆς Δήμητρος, Θέμις (ἧς Ὧραι Εὐνομία, Δίκη, Εἰρήνη, Μοῖραι), Ἀθηνᾶ ἐκ τῆς Μή-

---

Quae in initio literae Θ post ἐκτίθεμαι sequuntur narratiunculae partim congruunt cum Hes. Theog. 116 seq., partim cum Apollod. I, 1, partim cum Nonn. I, 76, satis viles atque obsoletae, quo forte adductus Villoisonus ex codicis gremio non elicuit. Equidem duas tantum publicavi.

τιδος, Τυφὼν ἐξ Ἀφροδίτης, Ἀπόλλων, Ἄρτεμις ἐκ τῆς Λητοῦς, Διόνυσος ἐκ τῆς Σεμέλης, Ἡρακλῆς ἐκ τῆς Ἀλκμήνης, Ἥβη, Ἄρης (οὗ καὶ Ἀφροδίτης Δεῖμος, Φόβος, Ἁρμονία), Εἰλείθυια ἐκ τῆς Ἥρας, Ἑρμῆς ἐκ τῆς Μαίας, Μοῦσαι, ὧν τὰ ὀνόματα Καλλιόπη, Οὐρανία, Πολύμνια, Ἐρατώ, Τερψιχόρη, Μελπομένη, Θάλεια, Εὐτέρπη, Κλειώ.

CCCCXLIII. *Περὶ τῆς Θέτιδος.*

Θέτις Νηρηΐς. ταύτην ἐκ Πηλέως ἑπτὰ παῖδας ἄρρενας τεκεῖν λέγουσι. καὶ τοὺς μὲν ἓξ εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλεν· οἱ δέ, ὅτι εἰς πῦρ βάλλουσα ἀνεῖλεν, βουλομένη εἰδέναι, εἰ θνητοί εἰσιν. ἐπὶ δὲ τοῦ Ἀχιλλέως ἐφωράθη καὶ ἐκωλύθη [ὑπὸ Πηλέως ἐμβαλεῖν αὐτὸν εἰς λέβητα]. Χείρωνος δὲ βουλαῖς ὁ Πηλεὺς κατέσχεν αὐτὴν εἰς παντοίας μορφὰς μεταβάλλουσαν, καὶ ἐμίγη αὐτῇ ἐν εἴδει σηπίας. μεταβληθείσῃ καίτοι ὁ γάμος ἐν Πύλῳ, καὶ οἱ θεοὶ δῶρα ἔθηκαν· Ποσειδῶν ἵππους Ξάνθον καὶ Βαλίον, Ἥφαιστος μάχαιραν, καὶ οἱ λοιποὶ ἕτερα. γεννήσασα δὲ ἡ Θέτις τὸν πρὶν κατὰ τὸν Ἀπολλόδωρον Λιγύρωνα καλούμενον, ὕστερον δὲ Ἀχιλλέα μετακληθέντα, διὰ τὸ δοθῆναι τῷ Χείρωνι, καὶ δίχα κοινῆς τροφῆς ἀνατρέφεσθαι, ἑσπέρᾳ μὲν αὐτὸν εἰς πῦρ ἔβαλεν, ἡμέρᾳ δ' ἔχριεν ἀμβροσίᾳ, ὡς ἀθανατίσαι τοῦτον ἠθέλησεν.

CCCCXLIII. Schol. Apoll. IV, 816 *Χείρωνος δὲ βουλαῖς — καταλιπεῖν αὐτόν* Tzetzes Lyc. 178 *ἄλλοι δέ φασιν — ἐξαίσια* Schol. Ar. Nub. 1064 (*Στάφυλος — ἐξαίσια* etiam Schol. Apoll. IV, 816) *Πίνδαρος δὲ* — exit. Tzetzes Lyc. l. c.

12 *ὑπὸ Πηλέως — λέβητα* om. F, ut serius additamentum seclusi 15 *μεταβληθείσῃ* addidi ex F om. PV 19 *Λιγύρωνα* F *Λιγύρον* PV 22 *ἔβαλε* PV 23 *ἄχρις ἐν* PV

ἴδοντος δὲ τοῦ Πηλέως τὴν Θέτιν βάλλουσαν αὐτὸν εἰς πῦρ καὶ βοηθήσαντος, συνέβη ταύτην πρὸς τὰς Νηρηΐδας ὑποχωρῆσαι. ὁ δὲ Πηλεὺς τῷ Χείρωνι τῷ ἱπποκενταύρῳ τὸν παῖδα δέδωκε τρέφειν. καὶ ταῦτα μέν φησιν Ἀπολλόδωρος. Ἀγαμήστωρ δὲ ἀφ' ἁρπασείας πυρίδοον λέγει τὸν Ἀχιλλέα καλεῖσθαι ἐν τῷ τῆς Θέτιδος ἐπιθαλαμίῳ, εἶτα τοιουτοτρόπως αὐτὸν Ἀχιλλέα καλεῖσθαι, ὡς τοῦτο σαφῶς ἐπιδηλώσειε·

Παιδνῷ δ' οὔνομα θῆκε Πυρίσσοον, ἀλλ' Ἀχιλῆα
  Πηλεὺς κίκλησκεν χείλεος εἵνεκά μιν·
Κείμενον εἰνὶ κόνει σποδιῇ ἐπὶ πῦρ ἀπάμερσε
  Χείλεος αἰθομένου ἀπροφάτως ἑτέρου.

ὁ δὲ Εὐριπίδης ἅπαξ φησὶ μιγῆναι Πηλέα τῇ Θέτιδι 226
ἐν τῇ Σηπιάδι, καὶ ἕτεροι σὺν αὐτῷ. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως Ἐρασταῖς φησιν, ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. ἄλλοι δέ φασιν, ὅτι ἡ Θέτις λαμβάνουσα τοὺς παῖδας ἐκ Πηλέως γινομένους, περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν, καὶ πάντας ἔκαυσε. καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα ἐπέθηκεν εἰς τὸ πῦρ, καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα

---

1 ἰδόντες P corr. V   2 βοήσαντος F   5 Ἀγαμήτωρ PV ἀφ' ἁρπασείας mendosum esse manifestum est, Φαρσάλιος autem recipere dubitavi   9 Haec in PV corruptelis obscurata sunt: παῖδα. γνῶ δ' οὔνομα θῆκε πυρίδοον. ἀλλὰ Ἀχιλλέα Πηλεὺς κέκληκεν, ἐχίλος εἵνεκά μιν κείμενον ἐνὶ κονίῃ σποδιῇ, ἐνὶ πῦρ ἀπέμερσε χίλεος, ἅτε βίον ἀπροσφάτως ἕτερον, restitui igitur lectionem Mülleri. De hoc epigrammate egerunt Schneidevin. in Philol. I, p. 155 et Hermann. ibid. d. 742. Agamestoris narrationem ex Ptolemaei Hephaestionis historiis mentitis fluxisse docuit Hercher in Annal. Phil. Suppl. I, p. 292   13 Androm. 1265, unde recepi Πηλέα pro Ἀχιλλέα, quod PV praebent   14 σηπιάδι PV   15 fr. 156 Nauck

ἐχωρίσθη. Στάφυλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίαν ἱστορεῖ, Χείρωνα, σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος καὶ λόγους διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεύς, Διὸς διδόντος αὐτῷ, οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. ταῦτα φημίσας παρετήρει τὸν χρόνον, ἐν ᾧ ὑδάτων ἔμελλεν ἔσεσθαι ἐπομβρία καὶ πνεύματα ἐξαίσια καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημε. Πίνδαρος δὲ λέγει, Ποσειδῶνα καὶ Ἀπόλλωνα καὶ Δία περὶ τοῦ γάμου τῆς Θέτιδος ἐρίσαι, κωλυθῆναι δὲ αὐτοὺς κατά τινας τῶν ἱστορικῶν ὑπὸ Ἐπιμηθέως, κατὰ δὲ Αἰσχύλον ὑπὸ Προμηθέως. φησὶ γὰρ „ἣ τέξεταί γε παῖδα φέρτερον πατρός“. Ἀπολλόδωρος δὲ Δία καὶ Ποσειδῶνα μετὰ τὸν γάμον τῆς Θέτιδος ἐρίσαι, Θέτιν δὲ ὡς τραφεῖσαν ὑφ' Ἥρας, μὴ θέλειν Διῒ συνελθεῖν, ὅθεν ὀργισθέντα τὸν Δία Θέτιδι θνητῷ συζεῦξαι αὐτὴν [τῷ Πηλεῖ].

CCCCXLIV. Περὶ Θαμύριδος.

Θάμυρις παῖς ἦν Φιλάμμωνος καὶ Ἀργιόπης τῆς

CCCCXLIV. Schol. Ven. Il. II, 595 (Phavorin.) διὸ καὶ παροιμία — exit. Zenob. IV, 27

1 Müller IV, p. 505 9 ἐν ᾧ ὕδατα πολλὰ καὶ πνεύμ. ἐξ. F 11 ὅτι — ἔγημε om. F Isthm. VIII, 27 12 Θέμιδος F, quod vix ferri potest 14 Prom. 776 16 Ap. III, 13, 5, unde forte reponas περὶ τοῦ γάμου 18 λέγειν PV Δία Θέτι P Δία Θέτιδι V, Δία θνητῷ F, sed legendum est Δία Θέτιδι, θνητῷ, omissis quae in PV sequuntur verbis τῷ Πηλεῖ 20 Ἀρσίου PV, ad quod in margine additum est γρ. Ἀρσινόης, idem cod. Ven. praebet, Ἀργιόπης scripsi e coni. Heynii

νύμφης, τὸ γένος Θρᾷξ, ὃς ἔσχεν αἰσχρὸν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾶν ἀρρένων. οὗτος κάλλει πολλῷ διενεγκὼν καὶ κιθαρῳδίᾳ, περὶ μουσικῆς ἐρίσας ταῖς Μούσαις συνέθετο, ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσαι πάσαις, ἂν δὲ ἡττηθῇ, στερηθῆναι οὗ ἂν ἐκεῖναι θέλωσι. καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας καὶ τοῦ νοῦ ἐστέρησαν. διὸ καὶ παροιμία κεκράτηται „Θάμυρις μαίνεται“ ἐπὶ τῶν κατὰ σύνεσιν παράλογα δοκούντων πράττειν.

CCCCXLV. Περὶ Θερσίτου.

Θερσίτην λέγει ἡ νεωτέρα ἱστορία ἀναιρεθῆναι ὑπὸ Ἀχιλλέως κονδυλισθέντα, ὁπηνίκα τὴν Ἀμαζόνα Πενθεσίλειαν ἐκεῖνος ἀνελὼν οἶκτον ἔσχεν ἐπὶ τῇ 227
κειμένῃ. ὁ μὲν γὰρ ἐθαύμασε τὸ κάλλος καὶ ὡς καλὴν ἅμα καὶ ἀνδρείαν ἀνδρειότατος καὶ κάλλιστος ἠλέει κειμένην, τὸ ὅμοιον οἰκτιζόμενος. ὁ δὲ πιθηκόμορφος, ὡς ἱστορεῖται, ἐπὶ λαγνείᾳ σκώπτει τὸν ἥρωα. ὁ τοίνυν Ἀχιλλεὺς γογγύλῃ χειρὶ παίσας τὸν αἴσχιστον τῇ καλῇ Πενθεσιλείᾳ συγκατακλίνει.

CCCCXLVI. Περὶ Θησέως καὶ Πειρίθου.

Θησεὺς καὶ Πειρίθους, ὁ μὲν Διός, ὁ δὲ Ποσειδῶνος ὤν, ἐφάμιλλον ἐποιοῦντο τὴν πρᾶξιν· Θησεὺς μὲν οὖν τῆς Ἑλένης ἐρασθείς, συνεργὸν ἑαυτῷ τὸν

CCCCXLV. Eustath. Il. p. 208 (Phavorin.) CCCCXLVI. Schol. Apoll. I, 101 μετὰ τὸ χαρίσασθαι — exit. Schol. Ar. Plut. 627 (Suid. v. θησείοισιν)

---

9 σύνεσιν F σύνθεσιν PV 13 ἐθαύμαξε F mox ἀνδριώτατος PV 19 Ποσειδῶνος ὤν, ἐφαμίλλους ἐποιοῦντο τὰς πράξεις coni. Spitzner

Πειρίθουν εἶχεν, ὁ δὲ Πειρίθους μετὰ ταῦτα τὴν Περσεφόνην ἁρπάσαι βουληθεὶς ἑπόμενον εἶχεν ἑαυτῷ τὸν Θησέα. καὶ δὴ διὰ Ταινάρου εἰς Ἅιδην κατελθόντες καὶ ἐπί τινος τόπου καθίσαντες οὐκ ἐδύναντο ἐκεῖθεν ἀναστῆναι. ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κατελθὼν Θησέα μὲν διὰ τὸ ἄκοντα κατελθεῖν ἀνέσωσε, Πειρίθουν δὲ διὰ τὸ ἰδίᾳ προαιρέσει καταβῆναι εἴασεν. ἔτι δὲ τοῦ Θησέως ἐν Ἅιδου ὄντος, στρατεύσαντες κατὰ τῆς Τροιζῆνος οἱ Διόσκουροι Αἴθραν τὴν Θησέως μητέρα αἰχμάλωτον ἔλαβον.

Καὶ ἄλλως περὶ τοῦ Θησέως λέγουσι. μετὰ τὸ χαρίσασθαι αὐτὸν τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις, Λύκος τις συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὸν ἥρωα. ὁ δὲ παραγενόμενος εἰς Σκῦρον διῆγε παρὰ Λυκομήδει, τῷ δυνάστῃ τῆς νήσου, ὃς ζηλοτυπήσας ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μεταστειλάμενοι καὶ Θησεῖον οἰκοδομήσαντες ἰσοθέους αὐτῷ τιμὰς νέμουσι. διανομαὶ δὲ καὶ εὐωχίαι τοῖς Θησείοις γίνονται. ταῖς δὲ ὀγδόαις τὰ Θησεῖα ἤγετο, καὶ πᾶσαν τὴν ἡμέραν ἐπανηγύριζον εἰς τιμὴν τοῦ ἥρωος. ἑορτὴ αὐτῷ ἐπετελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικήν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην.

CCCCXLVII. *Περὶ Θεόγνιδος.*

Θεόγνις εἷς ἦν τῶν παρ' Ἀθηναίοις τυράννων,

CCCCXLVII. Schol. Ar. Acharn. 11 (eodem ex fonte *ἦν*

---

1 *εἶχε* PV 4 *τόπον καθεσθέντες* F 19 *αὐτῷ* F *οὕτω* PV 24 *οἰκουμένην* scripsi e coni. Spitzneri, *οἰκισμένην* PV

καθάπερ φασὶν ἄλλοι τε καὶ Ξενοφῶν ἐν δευτέρῳ Ἑλληνικῶν.

[Καὶ Θέογνις ἕτερος, Μεγαρεὺς τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ πεντηκοστῇ ἐνάτῃ Ὀλυμπιάδι. ἔγραψεν ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ καὶ γνώμας δι' ἐλεγείας εἰς ἔπη 228
δισχίλια ὀκτακόσια. ἔγραψε δὲ καὶ γνώμας παραινετικάς.]

Ἦν δὲ Θέογνις καὶ τραγῳδοποιητὴς πάνυ ψυχρός, ὃς καὶ Χιὼν ἐλέγετο.

[Ἔστι δὲ καὶ ποιητὴς Μεγαρεύς, ἄλλος τις Θέογνις.]

CCCCXLVIII. *Περὶ Θρασυβούλου.*

Θρασύβουλος, ἐραστὴς ὢν τῆς δημοκρατίας καὶ αὐθάδης καὶ δωροδόκος καὶ ὑπερόπτης τοῦ δήμου, ἠβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι. βουλόμενος δὲ καταλῦσαι τοὺς τριάκοντα, καταλαβὼν Φυλὴν τόπον τινά, κἀκεῖσε συμμάχους λαβὼν κατέλυσε. καὶ ἐπεὶ ἀλαζονικὸν ἐφθέγξατο, ἤκουσε μὴ μνησικακῆσαι καὶ

δὲ Θέογνις — ἐλέγετο) καὶ Θέογνις — παραινετικάς Hesych. (Suid.). Cf. CCCCLXVI. CCCCXLVIII. Schol. Ar. Plut. 1176 (Paullo aliter historiam tradidit Steph. Byz.)

---

1 Hellen. II, 3, 2 3 De erroribus, qui in hunc articulum invaserunt, cf. quae argute exposuit Fr. Nietzschius in Mus. Rhen. XXII, p. 194. Ceterum quae de tragoediarum poeta dicuntur ad ipsum tyrannum spectant, cuius solius Eudocia hoc loco mentionem fecit, quoniam reliqua a lectoribus e Suidae lexico adscripta esse consectarium est. Qua de causa infra merito substituitur *ἦν δὲ Θέογνις καὶ τραγῳδοποιός* —. Neque adstipulari possum D. Volkmanno (Quaest. nov. p. IX, not. 13) haec ipsa Eudociae verba Suidae articulo integriora esse obtinenti 9 Ita emendavi, *καὶ Θέογνις* PV 10 *Χιὼν* P, quod servavi, *Χίων* V, quod scholiasta praebet

ἐγένετο παροιμιακόν. Φυλὴ δὲ δῆμος τῆς Ἀττικῆς, καὶ οἱ ἐνοικοῦντες Φυλάσιοι. τὸ δὲ παρὰ τῷ Ἀριστοφάνει „εἰ σὺ Φυλὴν κατέλαβες" ἀντὶ τοῦ εἰ ἐπλούτησας, εἰ μέγας γέγονας. Φυλὴ γὰρ τόπος οὕτω καλούμενος.

Φιλόσοφοι.

CCCCXLIX. *Περὶ τοῦ Θαλοῦ.*

Θαλῆς τῶν ἑπτὰ φιλοσόφων εἷς γέγονε, Μιλήσιος, ὡς δὲ Ἡρόδοτος, Φοῖνιξ, γεγονὼς πρὸ Κροίσου. πρῶτος οὗτος τὸ σοφοῦ ἔσχεν ὄνομα, καὶ πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνατον. ἦν δὲ ἐπὶ γεωμετρίᾳ διαβεβοημένος, πρῶτός τε τὰ περὶ οὐρανοῦ ἐξεῦρεν. οὐ μὴν ἀλλὰ καὶ ἄκρος μηχανικὸς ἦν. στρατεύσαντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον, τοιόνδε τι μηχανᾶται. ἄνω τῆς στρατιᾶς ἰὼν τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν, οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθέν, τὸ μὲν ἓν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει, θάτερον δὲ ὑπ' ἀγκάλης εἶχε τὴν στρατιάν, καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομήν, ἵνα καὶ ἐπανιόντες περαιωθήσωνται. φέρεται αὐτοῦ ἀποφθέγματα πλεῖστα. ἔγραψε περὶ μετεώρων ἐπικῶς, περὶ ἰσημερίας καὶ ἐκλείψεως καὶ ἄλλα πολλά.

CCCCXLIX. Hesych. (Suid.) *στρατεύσαντος — περαιωθήσωνται* Schol. Ar. Nub. 181 *φέρεται* — exit. Hesych. (Suid.)

---

3 Plut. 1146 6 *γέγονεν* PV. Verba *τῶν ἑπτὰ φιλοσόφων εἷς γέγονεν* (pro quibus *Ἐξαμύου καὶ Κλεοβουλίνης* S) et infra *οὐ μὴν ἀλλὰ καὶ ἄκρος μηχανικὸς ἦν* ex eo, quod laudavi, Aristophanis scholio fluxerunt. Suidam sive fontem eius descripsit Cedrenus I, p. 275 Bek. 21 *καὶ ἐκλείψεως καὶ πολλά* om. S

CCCCL. Περὶ τῆς Θεανοῦς.

Θεανὼ Κρῆσσα φιλόσοφος, θυγάτηρ μὲν Πυθώνακτος, γαμετὴ δὲ τοῦ μεγάλου Πυθαγόρου. φέρεται αὐτῆς ὑπομνήματα πολλὰ φιλόσοφα καὶ ἀποφθέγματα καὶ ποίημά τι δι' ἐπῶν.

Ἔστι καὶ ἑτέρα Θεανὼ Μεταποντίνη ἢ Θουρία. ἔγραψε περὶ Πυθαγόρου, Πυθαγορεία οὖσα, περὶ ἀρετῆς Ἱπποδάμῳ Θουρίῳ, παραινέσεις γυναικείας καὶ ἀποφθέγματα Πυθαγορείων.

CCCCLI. Περὶ Θεαιτήτου τοῦ ἀστρολόγου.¦ 229

Θεαίτητος Ἀθηναῖος φιλόσοφος καὶ εἰς τὸ ἄκρον ἀστρολόγος, μαθητὴς Σωκράτους, ἐδίδαξεν ἐν Ἡρακλείᾳ. πρῶτος δὲ τὰ πέντε καλούμενα στερεὰ ἔγραψε. γέγονε μετὰ τὰ Πελοποννησιακά.

CCCCLII. Περὶ Θεοδοσίου [τοῦ Τριπολίτου.]

Θεοδόσιος, φιλόσοφος [Τριπολίτης]. ἔγραψε σφαιρικὰ ἐν βιβλίοις τρισί, διαγραφὰς οἰκιῶν ἐν βιβλίοις τρισίν, ἤτοι περὶ οἰκήσεων, ὑπόμνημα εἰς τὰ Θευδᾶ κεφάλαια, περὶ ἡμερῶν καὶ νυκτῶν β', ὑπόμνημα εἰς τὸ Ἀρχιμήδους ἐφόδιον.

CCCCL—CCCCLII. Hesych. (Suid.)

---

2 Uberius de familia agit S, qui infra *πολλὰ* et *τι* omisit 5 *Μεταποντίνη* S *Μεταποντικὴ* PV, hic quoque auctior S 10 *ἀστρολόγος, φιλόσοφος* brevius S 13 In Suidae articulo Theodosium scepticum et mathematicum confundi inter omnes constat, hic autem miro Eudociae errore etiam Theodosius poeta admiscetur, quo factum est, ut ex tribus hominibus unus coaluerit.

Καὶ ἕτερος Θεοδόσιος, Τριπολίτης. ἔγραψε δι' ἐπῶν εἰς τὸ ἔαρ καὶ ἕτερα διάφορα.

CCCCLIII. *Περὶ Θεοφράστου.*

Θεόφραστος Μελάντα γναφέως, ἀκουστὴς Ἀριστοτέλους. ἔγραψεν ἀναλυτικῶν προτέρων τρία, ἀναλυτικῶν ὑστέρων ἑπτά, ἀναλύσεις συλλογισμῶν, ἀναλυτικῶν ἐπιτομήν, ἀνηγμένων τόπων, περὶ λίθων, περὶ φυτῶν, περὶ μετάλλων, περὶ ὀδμῶν, τοὺς καλουμένους χαρακτῆρας καὶ ἄλλα.

CCCCLIV. *Περὶ Θέωνος τοῦ Ἀλεξανδρέως καὶ τῶν ἄλλων.*

Θέων Ἀλεξανδρεύς, φιλόσοφος Στωικὸς ἐπὶ Αὐγούστου. ἔγραψεν ὑπόμνημα τῆς Ἀπολλοδώρου φυσιολογικῆς εἰσαγωγῆς, περὶ τεχνῶν ῥητορικῶν βιβλία τρία.

Καὶ ἕτερος Θέων, Σμυρναῖος φιλόσοφος.

Καὶ Θέων Ἀντιοχείας τῆς ἐν Δάφνῃ, φιλόσοφος Στωϊκός. ἔγραψεν ἀπολογίαν Σωκράτους.

Καὶ ἄλλος πρὸς τούτοις, ὁ ἐκ τοῦ Μουσείου, Αἰγύπτιος φιλόσοφος, σύγχρονος Πάππῳ τῷ φιλοσόφῳ

CCCCLIII et CCCCLIV. Hesych. (Suid.)

Itaque non dubitanter addidi *καὶ ἕτερος Θεοδόσιος, Τριπολίτης,* in superioribus voce *Τριπολίτης* a ceteris seiuncta 3 *Μελάντα* scripsi cum Bernhardyo *Μελάντου* PV. Etiam haec uberius narrat S 4 *ἀναλυτικῶν* S *ἀναλυτικὰ* PV 5 *ἀναλύσεως* S *περὶ ἀναλύσεως* Diogen. Laert. V, 2. Infra *ἐπιτομὴν* rectius in Violario legitur, quam in S, qui operum tabulae praemisit haec: *βιβλία δὲ αὐτοῦ πάμπλειστα* 7 *τοὺς καλουμένους χαρακτῆρας* omiserunt meliores Suidae libri, itaque expunxit Bernhardy *Ἠθικοὶ χαρακτῆρες* Diogenes l. c. 10 *μετὰ Ἄρειον* add. S 13 *Ἀντιοχείας* S *Ἀντιοχεὺς* PV

καὶ αὐτῷ Ἀλεξανδρεῖ. ἀμφότεροι ἐπὶ Θεοδοσίου τοῦ πρεσβυτέρου. ἔγραψε μαθηματικά, ἀριθμητικά, περὶ σημείων καὶ σκοπῆς ὄρνεων καὶ τῆς τῶν κοράκων φωνῆς, περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, περὶ τῆς τοῦ Νείλου ἀναβάσεως, εἰς τὸν Πτολεμαίου πρόχειρον κανόνα καὶ εἰς τὸν μικρὸν ἀστρόλαβον ὑπόμνημα.

Ῥήτορες. 230

CCCCLV. *Περὶ Θεοδέκτου τοῦ ῥητορικοῦ.*

Θεοδέκτης Ἀριστάνδρου, Φασηλίτης ἐκ Λυκίας, ῥήτωρ. ἔγραψε τέχνην ῥητορικὴν ἐν μέτρῳ καὶ ἄλλα τινὰ καταλογάδην [καὶ τραγῳδίας], ἐτράπη δὲ καὶ ἐπὶ τραγῳδίας. ἀκουστὴς Πλάτωνος, Ἰσοκράτους, Ἀριστοτέλους. οὗτος ἔσχε καὶ υἱὸν Θεοδέκτην, ῥήτορα καὶ αὐτόν, ὅστις ἔγραψεν ἐγκώμιον Ἀλεξάνδρου τοῦ Ἠπειρώτου, ἱστορικὰ ὑπομνήματα, νόμιμα βαρβαρικά, τέχνην ῥητορικὴν ἐν βιβλίοις ἑπτὰ καὶ ἄλλα τινὰ ὑπομνήματα.

CCCCLVI. *Περὶ Θεοδώρου τοῦ σοφιστοῦ.*

Θεόδωρος Βυζάντιος σοφιστής, ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη. ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου καὶ ἄλλα τινά.

CCCCLV et CCCCLVI. Hesych. (Suid.)

---

1 *βασιλέως* add. S 4 *τοῦ* recepi ex S om. PV 5 *Πτολεμαίου* S *Πτολεμαῖον* PV 8 Copiosius de Theodecta agit S 10 *καὶ τραγῳδίας* removi, a neglegente scilicet lectore additum *δὲ* scripsi, *γὰρ* PV 12 *ἔσχεν* PV

CCCCLVII. *Περὶ Θεοδώρου τοῦ Γαδαρέως.*

Θεόδωρος Γαδαρεύς, σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος [ἐπὶ Ἀδριανοῦ]. ἔγραψε περὶ τῶν ἐν φωναῖς ζητουμένων βιβλία τρία, περὶ ἱστορίας α΄, περὶ θέσεως α΄, περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως β΄, πεσὶ πολιτείας β΄, περὶ Κοίλης Συρίας α΄, περὶ δυνάμεως ῥήτορος α΄.

CCCCLVIII. *Περὶ Θεοκρίτου τοῦ ῥήτορος.*

Θεόκριτος Χῖος, ῥήτωρ, μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατικοῦ. ἔγραψε χρείας. φέρονται δὲ αὐτοῦ ἱστορίαι Λιβύης καὶ ἐπιστολαὶ θαυμάσιαι καὶ λόγοι πανηγυρικοί.

CCCCLIX. *Περὶ Θεοπόμπου.*

Θεόπομπος Χῖος, ῥήτωρ, υἱὸς Δαμασιστράτου, γεγονὼς κατὰ τοὺς χρόνους τῆς ἀναρχίας Ἀθηναίων ἐπὶ τῆς ργ΄ Ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος, Ἰσοκράτους ἀκουστὴς ἅμα Ἐφόρῳ. ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱστοριῶν ἐν δυσὶ βιβλίοις, Φιλιππικὰ ἐν βιβλίοις οβ΄, Ἑλληνικὰς ἱστορίας. ἕπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος καί εἰσιν ἐν βιβλίοις ια΄, ἔχουσαι τὰ

CCCCLVII—CCCCLIX. Hesych. (Suid.)

---

1 *Γαδαρέως* P *Γαδαρέος* V. Haec inepta sunt, nam pergere debuisse Eudociam *ἐπὶ Ἀδριανοῦ Καίσαρος ὁ υἱὸς αὐτοῦ Ἀντώνιος συγκλητικὸς ἐγένετο* persuadet S. In Suidae articulo ante *ἐπὶ Ἀδριανοῦ* nonnulla (scilicet *ἠφείθη διὰ τὴν παίδευσιν καὶ*) excidisse monuit Bernhardy, laudatus a Wachsmuth. Symbol. Bonn. p. 141 6 *καὶ ἄλλα* add. S 7 *Χίων* PV *Χῖος* S, qui plura de Th. tradidit 8 *φέρεται — ἱστορία* S 10 *καὶ λόγοι πανηγυρικοί* om. S 15 *Φιλιππικά* S *Φιλικά* propter compendium male intellectum PV

ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου καὶ λοιπά. ἔγραψε δὲ καὶ ἕτερα πλεῖστα.

CCCCLX. *Περὶ Θέωνος τοῦ σοφιστοῦ.* 231

Θέων Ἀλεξανδρεύς, σοφιστής, ὃς ἐχρημάτισεν Αἴλιος. ἔγραψε τέχνην περὶ προγυμνασμάτων, ὑπόμνημα εἰς τὸν Ξενοφῶντα, εἰς τὸν Ἰσοκράτην, εἰς Δημοσθένην, ῥητορικὰς ὑποθέσεις καὶ ζητήματα περὶ συντάξεως λόγου καὶ ἄλλα.

Καὶ ἕτερος σοφιστής, Θέων ὁ Οὐαλέριος. φέρεται αὐτοῦ εἰς Ἀνδοκίδην ὑπόμνημα.

Καὶ ἄλλος λόγων ῥητορικῶν σοφιστής, γεγονὼς ἀπὸ τῆς ἱερᾶς Μαρκέλλης τό γε ἀνέκαθεν, τὸ δ' ἐξ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου διδασκάλου. ἔγραψε τέχνην ῥητορικήν, ἀρχαίαν ἱστορίαν καὶ ἄλλα τινά.

Ἔστι καὶ ἄλλος Σιδώνιος, σοφιστὴς καὶ αὐτός, Γυμνασίου τοῦ σοφιστοῦ παῖς, παιδεύσας κατὰ τὴν πατρίδα ἐπὶ Κωνσταντίνου.

CCCCLXI. *Περὶ Θηραμένους τοῦ Ἀθηναίου.*

Θηραμένης Ἀθηναῖος, ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου, ὃς ἐπεκαλεῖτο Κόθορνος. ἔγραψε μελέτας ῥητορικὰς καὶ ἄλλα.

CCCCLX et CCCCLXI. Hesych. (Suid.)

---

7 *πλείονα* add. S 10 Huic articulo nonnulla ex Damascii vita Isidori adiunxit S (cf. Phot. Bibl. p. 339b) 12 *ὑπογύου* et *Ἐκδικίου* ex S recepi, *ὑπογείου* et *Ῥαδικίου* PV *ἔγραψε* — *ἄλλα τινά* om. S 16 *καὶ ἀπὸ ὑπάτων καὶ ὕπαρχος* add. S 19 *τινα* add. S

CCCCLXII. *Περὶ Θηραμένους τοῦ Κείου.*

Θηραμένης Κεῖος σοφιστής. ἔγραψε μελετῶν βιβλία τρία, περὶ ὁμοιώσεως λόγου, περὶ εἰκόνων, ἤτοι παραβολῶν, περὶ σχημάτων.

CCCCLXIII. *Περὶ Θρασυμάχου.*

Θρασύμαχος Χαλκηδόνος σοφιστὴς ἐν Βιθυνίᾳ, ὃς πρῶτος περίοδον καὶ κῶλον κατέδειξε καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου καὶ Ἰσοκράτους τοῦ ῥήτορος. ἔγραψε συμβουλευτικούς, τέχνην ῥητορικήν, παίγνια, ἀφορμὰς ῥητορικάς.

Ποιηταί.

CCCCLXIV. *Περὶ Θαλήτου τοῦ ποιητοῦ.*

Θαλήτας Κρὴς Ἐλύριος, λυρικός, γεγονὼς πρὸ Ὁμήρου. ἔγραψε μέλη.

Καὶ ἕτερος Κνώσσιος ῥαψῳδός. συνέθηκε ποιήματά τινα μυθικά.

232 CCCCLXV. *Περὶ Θεογνήτου.*

Θεόγνητος κωμικός. τῶν δραμάτων αὐτοῦ Φάσμα ἢ Φιλάργυρος, Φιλοδέσποτος, Κένταυρος.

CCCCLXII—CCCCLXV. Hesych. (Suid.)

4 *Χαλκιδόνιος* PV 9 Apud Suidam haec vita maiore additamento deformata est, quod omnino huc non pertinere recte perspexit Bernhardy 10 *Κρὴς Ἐλύριος* corr. in S Meursius Cret. lib. I, c. 9, probante Bernhardyo *ἢ Ἰλλυριὸς* PV 15 *ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς* add. S, sed comoediae *Κένταυρος* neque Athenaeum neque alium quemquam mentionem fecisse observavit Bernhardy

CCCCLXVI. Περὶ Θεόγνιδος.

Θέογνις Μεγαρεὺς ἐκ Σικελίας. ἔγραψε (γνώμας δι' ἐλεγείας εἰς ἔπη βω', καὶ) πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενον γνωμολογίαν δι' ἐλεγείων καὶ ἑτέρας ὑποθήκας παραινετικάς· πάντα ἐπικῶς.

Καὶ ἕτερος Θέογνις τραγῳδοποιός.

CCCCLXVII. Περὶ Θεοδώρου.

Θεόδωρος ποιητής, ὃς ἔγραψε διάφορα [δι' ἐπῶν] καὶ εἰς Κλεοπάτραν δι' ἐπῶν.

CCCCLXVIII. Περὶ Θεοκρίτου.

Θεόκριτος Πραξαγόρου καὶ Φιλίννης, Συρακούσιος, κατὰ δέ τινας, Κῷος. ἔγραψε τὰ καλούμενα βουκολικὰ ἔπη Δωρίδι διαλέκτῳ. τινὲς δὲ ἀναφέρουσιν εἰς αὐτὸν καὶ ταῦτα· Προιτίδας, ἐλπίδας, ὕμνους, ἡρωΐνας, ἐπικήδεια μέλη, ἐλεγείας, ἰάμβους, ἐπιγράμματα.

CCCCLXVI—CCCCLXVIII. Hesych. (Suid.)

---

1 Haec ex duobus particulis conflata esse argute demonstravit Fr. Nietzschius in Mus. Rhen. XXII, p. 190 seq., quarum altera esset Θέογνις Μεγαρεὺς τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ νθ' Ὀλυμπιάδι. ἔγραψεν Ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, γνώμας δι' ἐλεγείας εἰς ἔπη βω', altera Θέογνις Μεγαρεὺς (ἐκ Σικελίας forte del.). ἔγραψε πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενων γνωμολογίαν δι' ἐλεγείων καὶ ἑτέρας ὑποθήκας παραινετικάς. τὰ πάντα ἐπικῶς γνώμας δι' ἐλεγείας pro γν. ἐλεγ. flagitavit A. C. Meineke 4 ἐπικῶς vitiosum esse constat, neque tamen arridet coniectura Schoemanni scribentis βωστ', quamvis probata C. Müllero, neque Diltheyi in Mus. Rhen. XVIII, p. 150 proponentis ἠθικῶς 5 Cf. Eud. p. 227 6 δι' ἐπῶν priore de loco movendum esse apparet, quamquam editores Suidae lexici tuentur 8 οἱ δὲ Σιμμίχου hic, plura infra add. S

CCCCLXIX. *Περὶ Θεοπόμπου.*

Θεόπομπος Θεοδέκτου, Ἀθηναῖος κωμικός. ἐδίδαξε δράματα κδʹ. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας κατὰ Ἀριστοφάνην.

CCCCLXX. *Περὶ Θεοφίλου.*

Θεόφιλος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἰατρός, Ἐπίδαυρος, Παγκράτεια, Βοιωτία, Προιτίδες, Νεοπτόλεμος.

CCCCLXXI. *Περὶ Θέσπιδος.*

Θέσπις, Ἰκαρίου πόλεως Ἀττικῆς, τραγικός, ἑκκαιδέκατος ἀπὸ τοῦ πρώτου γενομένου τραγῳδοποιοῦ Ἐπιγένους τοῦ Σικυωνίου τιθέμενος. καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυθίῳ ἐτραγῴδησεν, εἶτα ἀνδράχνῃ ἐσκέπασεν ἐν τῷ ἐπιδείκνυσθαι, καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τὴν τῶν προσωπείων χρῆσιν. δράματα αὐτοῦ Ἆθλα Πελίου ἢ Φόρβας, Ἱερεῖς, Ἠίθεοι, Πενθεύς.

233 *Ἱστορικοί.*

CCCCLXXII. *Περὶ Θεμιστογένους τοῦ ἱστορικοῦ.*

Θεμιστογένης Συρακούσιος, ἱστορικός. ἔγραψε Κύρου ἀνάβασιν καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.

CCCCLXIX—CCCCLXXII. Hesych. (Suid.)

---

1 *ἢ Θεοδώρου* add. S 3 *δράματα δὲ αὐτοῦ εἰσι καὶ ἄλλα πολλά* add. S 9 *ἐπὶ γένους* inepte PV - *ὡς δέ τινες, δεύτερος μετὰ Ἐπιγένην· ἄλλοι δὲ αὐτὸν πρῶτον τραγικὸν γενέσθαι φασί* add. S 10 *ψιμμυθίῳ* PV 11 *ἐσκέπασε* PV 12 Sic P, *εἰσήνεκε* V 13 *ἐν μόνῃ ὀθόνῃ κατασκευάσας* add. S *ἢ* recepi ex S om. PV 16 *ἥτις ἐν τοῖς Ξενοφῶντος φέρεται* add. S

CCCCLXXIII. *Περὶ Θησέως τοῦ ἱστορικοῦ.*

Θησεὺς ἱστορικός. ἔγραψε τοὺς τῶν ἐνδόξων βίους ἐν βιβλίοις πέντε, Κορινθιακῶν ἐν βιβλίοις τρισίν, ἐν οἷς καὶ περὶ καταστάσεως τοῦ Ἰσθμικοῦ ἀγῶνος.

CCCCLXXIV. *Περὶ Θουκυδίδου.*

Θουκυδίδης Ὀλόρου Ἀθηναῖος, μαθητὴς Ἀντιφῶντος. ἔγραψε τὸν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον. ἤκουσε δὲ ἔτι παῖς τυγχάνων καὶ Ἡροδότου.

[CCCCLXXV. *Περὶ Ἰανουαρίου.*

Ἰανουάριος ἄγαλμα τετράμορφον διὰ τὰς τέσσαρας τροπάς. οἱ δὲ πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα, ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυραῖον, ἕτεροι δὲ τῇ δεξιᾷ τ', τῇ δὲ ἀριστερᾷ ξε' κατέχοντα, ὥσπερ τὸν ἐνιαυτόν, ὅθεν καὶ ὁ Λογγῖνος αἰωνοαρίον αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.]

CCCCLXXVI. *Περὶ Ἰασίωνος.*

Ἰασίων κατὰ τὸν Ἑλλάνικον Διὸς υἱὸς καὶ Ἡμέρας, παρ' ᾧ μετὰ τὸν κατακλυσμὸν εὑρέθη, φασί, σπέρματα· ὅθεν ἡ Δημήτηρ κατὰ τὸν μῦθον ἐφίλει αὐτόν, ὡς καὶ Ἡσιόδῳ δοκεῖ. καὶ μίγνυται οὐκ ἐν

CCCCLXXIII et CCCCLXXIV. Hesych. (Suid.) CCCCLXXV. Suidas CCCCLXXVI. Eustath. Od. p. 1528

---

2 *τρισί* PV, mox *ἐν ᾧ δηλοῖ τὴν κατάστασιν* S 4 Haec multo uberius narravit S 7 Quoniam Suidas haec ex Ioh. Lyd. de mens. IV, 1 compilavit, quin ex Suidae lexico huc migraverint, non dubium videtur. Cf. Untersuchungen p. 83 10 *θυρεόν* PV 14 fr. 58 17 Theog. 970

ϑαλάμῳ, ἀλλα καὶ ἐν νειῷ τριπόλῳ· ἣν ὁ αὐτὸς Ἡσίοδος ἐξαίρει ἀλεξιάρην καλέσας καὶ παίδων εὐκηλήτειραν. καὶ ἐκ τῆς τοιαύτης μίξεως ὁ Πλοῦτος γεννᾶται, ὁ ὡραῖος δηλαδή. ὁ δὲ τῷ Ἰασίωνι τούτῳ ἐνσκήψας κεραυνὸς εἰς πολὺν αὐχμὸν νοεῖται, ὃς οἷα ὀλέθριος
234 ἀπεναντίας ἥκει τοῖς γεωργοῖς, ὅτε γένηται. τὸ δὲ ὅλον εἰπεῖν, ἐπεὶ γεωργικώτατος ὁ Ἰασίων, δόξαν ἔσχε Δήμητρι συνῳκηκέναι καὶ τὸν Πλοῦτον τεκεῖν καϑ' Ἡσίοδον. δοκεῖ δὲ προσφυῶς κληϑῆναι Ἰασίων παρὰ τὸ ἵημι, διὰ τὴν τῶν σπορίμων ἕσιν, ὅ ἐστι πέμψιν, κατὰ τῆς γῆς. ὁ δὲ Ἀρριανὸς ἱστορεῖ καὶ ὅτι Ἰασίων ἀδελφὸς Ἀετίωνος καὶ Δαρδάνου, πρόγονος Πριάμου, ἐκ Δήμητρος καὶ Κόρης κάτοχος γενόμενος εἴς τε Σικελίαν ἦλϑε καὶ πολλὴν ἄλλην γῆν ἐπλανήϑη, τὰ ἐκείνης ὄργια δεικνύων. διὸ λόγον ἔσχεν, ὡς Δημήτηρ αὐτῷ μίσγεται.

[CCCCLXXVII. *Περὶ τῶν Ἰδαίων Δακτύλων.*

Ἰδαῖοι Δάκτυλοι Ἀγχιάλης Νύμφης λέγονται εἶναι. Προμαϑίδας δὲ λέγει, ὅτι Νύμφη τις Ἀγχιάλη Οἰαξίδος γῆς δραξαμένη, ἐποίησε τοὺς Ἰδαίους Δακτύλους, καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν Δάκτυλοι ἐκλήϑησαν. οἱ δὲ τοὺς Ἰδαίους Δακτύλους ἓξ καὶ πέντε φασὶν εἶναι· καὶ τοὺς μὲν δεξιοὺς ἄρρενας, τοὺς δὲ ἀριστεροὺς ϑηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς εἴκοσί φησιν εἶναι, τοὺς δὲ εὐωνύ-

CCCCLXXVII. Schol. Apoll. I, 1126. V. Eud. p. 103

---

1 *τριπώλῳ* P corr. V Oper. 464 17 Omnia ex priore articulo p. 103 lectorum aliquis hic ad verbum repetivit 18 *Προμαϑίδας* F *Προμαχίδας* PV

μους τριάκοντα δύο. γόητες δὲ ἦσαν καὶ φαρμακεῖς, καὶ δημιουργοὶ σιδήρου λέγονται πρῶτοι καὶ μεταλλεῖς. ὠνομάσθησαν δὲ Ἰδαῖοι ἀπὸ τῆς μητρὸς Ἴδης, οἱ μὲν ἀριστεροὶ γόητες, οἱ δὲ δεξιοὶ ἀναλύοντες. οἱ δέ φασιν, ὅτι Ἰδαῖοι ἐκλήθησαν, ἐπειδὴ ἐν τῇ Ἴδῃ συντυχόντες τῇ Ἥρᾳ ἐδεξιώσαντο τὴν θεὸν καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. Μνασέας δὲ λέγει, ὅτι Δάκτυλοι λέγονται ἀπὸ Δακτύλου τοῦ πατρός, καὶ Ἰδαῖοι ἀπὸ τῆς μητρὸς Ἴδης. δεῖ δὲ εἰδέναι, ὅτι Ἰδαῖοι καὶ Δάκτυλοι καὶ Κουρῆτες καὶ Κορύβαντες οἱ αὐτοί εἰσιν.]

CCCCLXXVIII. Περὶ τοῦ Ἰάσονος.

Τυρώ, ἡ Σαλμωνέως θυγάτηρ, ἔτεκε τῷ Ποσειδῶνι Νηλέα καὶ Πελίαν, εἶτα γαμεῖται Κρηθεῖ τῷ Αἰόλου παιδί, καὶ τίκτει αὐτῷ Αἴσονα, Φέρητα καὶ Ἀμυθάονα. καὶ γίνεται ἐκ μὲν Αἴσονος Ἰάσων, ἐκ δὲ Φέρητος Ἄδμητος, ἐκ δὲ Ἀμυθάονος Μελάμπους. καὶ ὁ μὲν Ἰάσων ἐκδίδοται Χείρωνι τρέφεσθαι καὶ τὴν ἰατρικὴν μανθάνειν, Αἴσονος τοῦ πατρὸς τὴν βασιλείαν τῷ ἑαυτοῦ ἀδελφῷ Πελίᾳ καταλιπόντος, ἄρχειν τε καὶ κρατεῖν τῆς Θεσσαλίας κελεύσαντος, ἕως ἂν ὑποστραφῇ Ἰάσων ἀπὸ Χείρωνος. χρησμὸν δὲ ἦν εἰληφὼς παρὰ τοῦ Ἀπόλλωνος ὁ Πελίας, φυλάττεσθαι τὸν ἐπιόντα πρὸς αὐτὸν μονοπέδιλον· τεθνήξεσθαι γὰρ δι' αὐτόν. ὁ δὲ Ἰάσων αὐξηθεὶς ἔρχεται πρὸς 235
τοὺς ἀδελφοὺς τοῦ πατρός, μεθέξων καὶ αὐτὸς τῆς

CCCCLXXVIII. Argum. Apoll. Argon. Cf. Eud. p. 146 et 149

---

9 Postrema verba aliunde fluxerunt   22 *ἐπιόντα* rectius F *ἀπιόντα* PV

βασιλείας τοῦ πατρός. γενόμενος δὲ ἐν τῷ Ἀναύρῳ ποταμῷ (ἔστι δὲ οὗτος τῆς Θεσσαλίας), καὶ βουλόμενος παρελθεῖν, εὑρίσκει ἐπὶ τῆς ὄχθης τὴν Ἥραν γραῒ ὁμοιωθεῖσαν, διαπεράσαι μὲν βουλομένην, φοβουμένην δὲ καὶ ἑστῶσαν. εἶτα τοῦτο γνοὺς Ἰάσων, λαβὼν ἐπὶ τῶν ὤμων διασώζει. κατὰ δὲ τὸ μέσον τοῦ ποταμοῦ τὸ ἓν πέδιλον ἀποβάλλει τοῦ πηλοῦ. εἶτα ἀπέρχεται ἐπὶ τὴν πόλιν μονοπέδιλος καὶ εὑρίσκει πανήγυριν δημοσίαν καὶ θυσίαν ἀγομένην τοῖς θεοῖς παρὰ Πελίου. θεασάμενος δὲ μονοπέδιλον τὸν Ἰάσονα ὁ Πελίας ἀναμιμνήσκεται τοῦ χρησμοῖ. εὐλαβούμενος δὲ αὐτὸν ἀνελεῖν ἆθλον αὐτῷ προσέταξε τοιοῦτον, εἰπών, ὅτι ἀπελθὼν εἰς τὴν Σκυθίαν τὸ χρυσόμαλλον δέρας κόμισον καὶ λήψῃ τὴν βασιλείαν τοῦ σοῦ πατρός. τοῦτο δὲ προσέταξεν, οὐχ ὡς τοῦ κωδίου τοῦ χρυσοῦ δεόμενος, ἀλλ' οἰόμενος αὐτὸν ἐν τῇ ἀλλοδαπῇ ἀναιρεθήσεσθαι ὑπό τινος ἢ ἐν τῇ θαλάσσῃ ναυαγήσειν. ὁ δὲ Ἰάσων πλεύσας διὰ τῆς Ἀργοῦς εἰς Κόλχους καὶ μετακομισάμενος τὸ χρυσὸν δέρας ἐπανῆλθε. καὶ τὴν ἀποκειμένην αὐτῷ βασιλείαν ὑπὸ τοῦ πατρὸς διεδέξατο, τοῦ Πελίου φυγόντος.

[Τὰ δὲ περὶ τοῦ χρυσομάλλου δέρατος οὕτως ἔχει. Ἀθάμας, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, ὥς Ἀπολλώνιός φησιν (ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες), ποιεῖ ἐκ Νεφέλης δύο παῖδας, Φρίξον καὶ Ἕλλην. τελευτησάσης δὲ αὐτῆς, γαμεῖ δευτέραν γυναῖκα τὴν Ἰνώ. αὕτη δέ, ὡς μητρυιά, ἐπ-

---

22 Haec lectorum incuria iterata sunt. Cf. Eud. p. 146 et p. 419 24 Argon. III, 360

εβούλευε τοῖς παισὶ τοῖς ἐκ τῆς προτέρας γυναικός, καὶ φρύττουσα τὰ σπέρματα παρεῖχε τοῖς γεωργοῖς πρὸς σπόρον. οἱ δὲ ἔσπειρον μὲν ἐν τῇ γῇ. ἡ δὲ γῆ λαβοῦσα οὐκ ἔφερε τοὺς καρποὺς τοὺς ἐτησίους διὰ τὸ πεφρύχθαι τὸν σπόρον. Ἀθάμας οὖν, ὡς βασιλεύς, συναγαγὼν τοὺς μάντεις ἠρώτα αὐτούς, μαθεῖν βουλόμενος τὴν αἰτίαν τῆς ἀφορίας. ἡ δὲ Ἰνὼ πέμπει πρὸς αὐτοὺς δῶρα ἐπαγγελλομένη δώσειν, εἰ φήσειαν πρὸς Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα τὰ ἐκ τῆς προτέρας γυναικὸς αὐτῷ γεγονότα, Φρίξος καὶ Ἕλλη, οὐκ ἂν ἐκφύσειεν ἡ γῆ τοὺς καρπούς. πεισθέντες δὲ οἱ μάντεις λέγουσι ταῦτα ὑποστρέψαντες τῷ Ἀθάμαντι. μελλόντων δὲ τῶν παίδων τῆς Νεφέλης Φρίξου καὶ Ἕλλης φονεύεσθαι, κριὸς ἀπήγγειλεν αὐτοῖς τὸν ἐπηρτημένον κίνδυνον. εἶτα ἐπὶ τῶν νώτων λαβὼν εἴσεισιν εἰς θάλασσαν καὶ νηχόμενος ἔφερεν αὐτούς. ἐλθὼν δὲ εἰς τὸ Τρωϊκὸν πέλαγος ἀποβάλλει τὴν Ἕλλην, ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντος ὠνομάσθη, τὸν δὲ Φρίξον ἐπὶ τὴν Σκυθίαν διακομίζει. 236
ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριὸν καὶ θύει Φυξίῳ Διΐ, ὅτι ἐξέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς. γαμεῖ δὲ Χαλκιόπην, τὴν θυγατέρα Αἰήτου τοῦ Σκυθῶν βασιλέως, καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας Ἄργον, Κυτίσσωρον, Μέλανα καὶ Φρόντιν. καὶ ουτως ἐκεῖ τελευτᾷ.]

---

2 φρίττουσα P corr. V sed infra vitiose πεφρίχθαι τὸν σπόρον PV

CCCCLXXVIII[b]. *Ἰάσονος γενεαλογία καὶ πῶς ἀπέκειτο αὐτῷ κληρονομῆσαι τὸ χρυσόμαλλον δέρας.*

Σαλμωμεύς, ὁ τῆς Ἀχαΐας καὶ Ἤλιδος βασιλεύς, γεννᾷ Τυρώ, ἥτις πρῶτον ἐκ Ποσειδῶνος γεννᾷ Νηλέα καὶ Πελίαν. γεννήσασα δὲ τοὺς δύο τούτους παῖδας, παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλιπε. τὸν μὲν οὖν ἕνα κύων, ἀφαιρεθέντων αὐτῆς τῶν τέκνων, παρέχουσα θηλὴν ἔτρεφε, τὸν δὲ ἕτερον ἵππος κατὰ τὸ μέτωπον ἐπάτησεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοί, ἀνελόμενοι τὰ παιδία ἔτρεφον, καὶ τὸν μέν, ἐπεὶ ἐκ συνδρομῆς αἵματος ἐπελιώθη, Πελίαν ὠνόμασαν, τὸν δὲ ἕτερον, ἐπεὶ κύων κατηλέησε, Νηλέα. ὕστερον δὲ ἡ Τυρὼ γαμεῖται Κρηθεῖ, τῷ Αἰόλου παιδί, οὐ τῷ Ἱπποτάδῃ, ἐξ οὗ γεννᾷ

Αἴσωνα,	*Φέρητα,*	*Ἀμυθάονα*
ἐξ οὗ	*ἐξ οὗ*	*ἐξ οὗ*
Ἰάσων,	*Ἄδμητος.*	*Μελάμπους.*
οὗ ἐκ τῆς Ὑψιπύλης		
τῆς Λημνίας,		
Εὔνεως ἢ Εὔηνος		

Ἀθάμας, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, πάππου Ἰάσονος, ἐκ τῆς Νεφέλης γεννᾷ

Φρίξον,	*Ἕλλην.*
οὗ καὶ	
Χαλκιόπης,	

τῆς Αἰήτου τῶν Σκυθῶν βασιλέως, ἣν ἔγημεν ἐκεῖ

CCCCLXXVIII[b]. Schol. Apoll. II, 1158 et 1123

σωθεὶς διὰ τοῦ χρυσομάλλου ἀρνός· Ἄργος, Κυτίσσωρος, Μέλας, Φρόντις. ὥστε τὸν Ἰάσονα δεύτερον ἐξάδελφον τοῖς παισὶ τοῦ Φρίξου δύνασθαι καταριθμεῖσθαι. τούτου ἕνεκεν καὶ ὡς κληρονόμος τοῦ χρυσοῦ δέρατος ἦλθεν εἰς Κόλχους· ἔθανον γὰρ οἱ υἱοὶ Φρίξου ἐν τῷ τῶν Ἀλβανῶν πολέμῳ, μὴ λιπόντες σπέρμα· Ἀλβανοὶ δὲ οἱ νῦν Μίγκρελλοι.

CCCCLXXIX. Περὶ τοῦ Ἴδου. 237

Ἴδας Ἀφαρέως μὲν υἱός, ἀδελφὸς δὲ Λυκγέως. οὗτος ἄριστος τοξότης ὑπάρχων τῷ Ἀπόλλωνι κατὰ μῦθον ἀντικατέστη, ἁρπάζοντι κατὰ ἔρωτα τὴν Μάρπησσαν τὴν αὐτοῦ γαμετήν, οὐκ ἐθέλουσαν, ὡς καὶ ὁ Λυκόφρων ἱστορεῖ. καὶ φαίνεται μὲν ἀμυθήτου κάλλους αἴνιγμα εἶναι ὁ τοῦ Ἀπόλλωνος ἡλίου εἰς τὴν ἡρωΐδα ταύτην ἔρως, ὡς ἀξιοθέατον καὶ οἷον ἡλιώδη τὸ εἶδος καὶ διὰ τοῦτο τῷ ἡλίῳ πρέπουσαν. περιᾴδεται δὲ ὅμως ἄλλως τὸ φίλανδρον τῆς Μαρπήσσης· ἣν ὁ μῦθος λέγει πολλά τε κλαῦσαι, ὅτε ὑπὸ Ἀπόλλωνος ἡρπάγη, καὶ αἵρεσιν σχοῦσαν προελέσθαι Ἀπόλλωνος τὸν αὐτῇ συγγηράσαντα θνητὸν Ἴδαν. [ἦν δὲ θυγάτηρ Εὐήνου τοῦ γαμβροκτόνου, ὃς εἰς ἁρματηλασίαν τοὺς μνηστῆρας τῆς θυγατρὸς προκαλούμενος, καθὰ καὶ ὁ Οἰνόμαος, καὶ τῷ διεκφυγόντι αὐτὸν διώκοντα εἰς ἀριστεῖον διδοὺς αὐτήν, καὶ τοὺς λειπομένους, ὅ ἐστιν ἡττωμένους, καρατομῶν καὶ τὰς

CCCCLXXIX. Cf. CCCLVII.

---

6 ἐν τῷ — πολέμῳ correxi, εἰς τὸν — πόλεμον PV 9 Λυγγέως P corr. V 13 Alex. 561 20 αὐτῇ P αὐτῇ V 23 αὔτὸν P αὐτὸν V

κεφαλὰς τῆς οἰκίας ἀπαιωρῶν εἰς ἐκφόβησιν δεινὰ ἐποίει. ἐπεὶ δὲ ὁ Ἴδας ὑπερήλασεν αὐτὸν ἁρπάσας τὴν Μάρπησσαν, καὶ ἐκεῖνος ἐπιδιώξας οὐ κατέλαβε, κατασφάττει μὲν τοὺς ἵππους, ἑαυτὴν δὲ ῥίπτει ἐς τὸν πρὶν μὲν Λυκόρμαν ποταμόν, ἀπ' ἐκείνου δὲ Εὔηνον.]

CCCCLXXX. *Περὶ τοῦ Ἴδμονος.*

Ἴδμονα Χαμαιλέων τὸν Θέστορά φησι καλεῖσθαι δι' ἐμπειρίας. Φερεκύδης δὲ τὸν Ἴδμονα Ἀστερίας τῆς Κορώνου καὶ Ἀπόλλωνός φησι γενέσθαι, τοῦ δὲ καὶ Λαοθόης Θέστορα, τοῦ δὲ Κάλχαντα. ὁ δὲ Ἀπολλώνιος Ἄβαντός φησιν. συμμαρτυρεῖ δὲ αὐτῷ καὶ Ἡρόδωρος, ὅν τινα καὶ Αἰολίδην λέγει, ὅτι Αἰόλου τοῦ Ἕλληνος γίνεται Κρηθεὺς καὶ Ἀθάμας, Κρηθέως δὲ Ἀμυθάων καὶ Αἴσων, Ἀμυθάονος δὲ Μελάμπους, τοῦ δὲ Ἄβας, οὗ Ἴδμων.

CCCCLXXXI. *Περὶ Ἱλάονος.*

Ἱλάων ἥρως, Ποσειδῶνος υἱός, ἀφ' οὗ Ἀριστοφάνης ἐν Τριφάλητι Ἱλάονας ἔφη τοὺς φάλητας μεταφέροντας, ὡς ὑπερβάλλοντας τῷ μεγέθει, ὡς εἰ ἔλεγε Τιτυούς ἤ τινας τοιούτους. ἄλλοι δὲ θεὸν πριαπώδη φασίν.

CCCCLXXX. Schol. Apoll. I, 139 *ὅτι Αἰόλου* — exit. idem Schol. I, 143   CCCCLXXXI. Hesych. v. *Ἱλάων*

---

6 *Ἴδμωνος* constanter PV. Ceterum cf. Pher. fr. 43 Sturz 9 *Λαοθόης* F *Λασθείας* PV 11 *Ἡρόδωρος* correxi, *Ἡρόδοτος* PV 16 *Τριφάλιτι* PV, cf. Meineke, fr. com. II, 2 p. 1166 *μεταφέρων* PV

CCCCLXXXII. *Περὶ τῆς Ἰνοῦς.* 238

Ποσειδῶν ἐκ τῆς Δαμνοῦς τοῦ Βήλου γεννᾷ
Ἀγήνορα,
οὗ καὶ Ἀργιόπης τοῦ Νείλου ποταμοῦ
Φοῖνιξ, Ἰσαίη, Μελία, Κάδμος, Εὐρώπη.
οὗ καὶ
Ἁρμονίας
Ἰνώ, Σεμέλη, Ἀγαύη, Αὐτονόη.

Ἰνὼ γυνὴ ἦν Ἀθάμαντος μετὰ τὴν Νεφέλην, περὶ ἧς ἐν τῷ περὶ Ἀθάμαντος εἴρηται. ἥτις φεύγουσα μετὰ τοῦ παιδὸς αὐτῆς Παλαίμονος, τοῦ πρότερον Μελικέρτου λεγομένου, διὰ τὸ διώκεσθαι ὑπ' Ἀθάμαντος μανέντος εἰς θάλασσαν ἀπέπτη, ἐξεχύθη δὲ περὶ Κόρινθον ὑπὸ δελφῖνος. Ἀμφίμαχος δὲ καὶ Δονακῆνος ἀνελόμενοι τὸ σῶμα ἄγουσιν εἰς Κόρινθον. ὁ δὲ Σίσυφος ἀδελφὸς ὢν Ἀθάμαντος, βασιλεύων Κορίνθου, ἀγῶνα καὶ θυσίαν ἐπ' αὐτοῖς ἐτησίως ἐκέλευσε γενέσθαι ὅθεν καὶ θεοὺς αὐτοὺς κεκλήκασι. καὶ Λευκοθέαν ἀπὸ τοῦ τῆς θαλάσσης ἀφροῦ τὴν Ἰνὼ ὠνόμασαν. καὶ Βύνη ἡ αὐτὴ παρὰ Λυκόφρονι, οἷον „Βύνης καταλέκτριαι αὐδηέσσης". εἴρηται δὲ παρὰ τὸ εἰς βυθὸν δύνειν βυθοδύνη, καὶ κατὰ συγκοπὴν δύνη, ἢ παρὰ τὸ δύνω δύνη ἡ καταδῦσα εἰς θάλασσαν καὶ βύνη κατὰ τροπήν, ἢ παρὰ

CCCCLXXXII. Apollod. III, 3, 2 *ἥτις φεύγουσα* — exit. Tzetzes Lyc. 107 (Phavorin.)

---

7 *Αὐτονόη* correxi, *Αὐτώνη* PV 9 Cf. p. 25 12 *ἐξήχθη* F 13 *Ἀμ-φίμαρχος* et *Δονακῖνος* PV 14 *τὰ σώματα* F 20 Alex. 107

τὸ βύω τὸ κολυμβῶ, ἢ παρὰ τὸ βύω τὸ κρύπτω, ὅπερ καὶ ἄμεινον· ὅθεν καὶ ἡ αὐτὴ Βύνη.

CCCCLXXXIII. *Περὶ Ἰξίονος.*

*Ἰξίων κατὰ μὲν Εὐριπίδην Φλεγύου παῖς ἦν· κατὰ δὲ Φερεκύδην *** Αἴτωνος, ὃς γαμήσας Δίαν τὴν Ἠϊονέως πολλὰ ὑπέσχετο δώσειν ἕδνα. ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ Ἠϊονέως, βέρεθρον ποιήσας ὁ Ἰξίων καὶ πυρακτώσας σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ· ἐμπεσὼν δὲ εἰς τοῦτο ὁ Ἠϊονεὺς ἀπώλετο. λύσσα δὲ τῷ Ἰξίονι ἐνέπεσε διὰ τοῦτο· καὶ οὐδεὶς ἤθελεν αὐτὸν ἁγνίσαι οὔτε θεῶν, οὔτ' ἀνθρώπων, ὅτι πρῶτος ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. ἐλεήσας οὖν ὁ Ζεὺς ἁγνίζει αὐτόν, καὶ ἁγνισθεὶς ἠράσθη τῆς Ἥρας. ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ παρακοιμίζει αὐτῷ. καὶ ὕστερον ποιήσας τροχὸν τετράκνημον καὶ δεσμεύσας αὐτὸν τιμωρεῖται.*

Ἄλλως δὲ ἔοικεν ὁ Ἰξίων φαντασιοσκόπος τις
239 *εἶναι καὶ πραγμάτων ἐφιέμενος ὑπὲρ αὐτὸν ὄντων, ὁποίους πολλοὺς ὁ μακρὸς χρόνος ἤνεγκε. διόπερ ὁ μῦθος ἐρᾶν αὐτὸν λέγει τῆς Ἥρας, ὕψους τινὸς δη-*

CCCCLXXXIII. Schol. Apoll. III, 62 *καὶ ἁγνισθεὶς — τιμωρεῖται, ἄλλως* — exit. Nonn. II, 39 (v. Cosm. p. 133 et 212; Clarke, l. c. p. 44)

---

3 fr. 428 Nauck 4 fr. 69 Sturz, qui cum Pherecydem de patre Ixionis Aetone nihil memoriae prodidisse constet, haec manca esse praeter alios recte perspexit, *Φερεκύδην δὲ *** Ἀντίονος* scripsit Keil. *Αἰσχύλος Ἀντίωνος* suasit Wesselingius in Diod. IV, 69 coll. Schol. Pind. Pyth. II, 40; equidem lacunae signum ponere satis habui 6 *βέρεθρον* F *βάραθρον* PV 13 Dilucidius Eudocia rem explanare poterat, etenim *ὁ δὲ Ἰξίων νομίσας αὐτὴν εἶναι τὴν Ἥραν συμμίγνυται αὐτῇ* praebet F

λαδὴ ἡγεμονικοῦ. καὶ γὰρ οἱ παλαιοὶ καὶ εἰς τοιοῦτόν τι, ὡς εἴρηται, τὴν Ἥραν ἐκλαμβάνουσι, ζωὴν ἡραίαν λέγοντες τὴν βασιλικήν, ἧς διεκπεσὼν ὁ Ἰξίων ἐμίγη, φασί, τῇ νεφέλῃ, σκιᾷ τινὶ δηλαδὴ καὶ φαντάσματι τῆς φιλουμένης ὑψηλῆς ζωῆς καὶ εἰδώλου τοῦ ποθουμένου. καὶ ἀπέτεκε Ἱπποκενταύρους, ἀνυποστάτους δηλονότι ἐννοίας καὶ ἃς οὐκ οἶδε φύσις τελεσφορεῖν· οὐδὲν γάρ ἐστιν ὁ Ἱπποκένταυρος, ὥσπερ οὐδὲ ὁ τραγέλαφος.

CCCCLXXXIV. *Περὶ Ἰκαρίου τοῦ πατρὸς τῆς Πηνελόπης.*

Ἰκάριος, Λάκων τὸ γένος, ὁ πατὴρ Πηνελόπης, ἀδελφὸς ἦν Τυνδάρεω τοῦ Λάκωνος, τοῦ πατρὸς τῆς Ἑλένης, οἳ τῆς οἰκείας ἐκπεσόντες ὑπὸ Ἱπποκόωντος ἦλθον εἰς Θέστιον Πλευρωνίων ἄρχοντα καὶ τὴν πέραν Ἀχελῴου συγκατεκτήσαντο. ὕστερον δὲ Τυνδάρεως μὲν τὴν Θεστίου θυγατέρα Λήδαν λαβὼν ἐπανῆλθεν, ἀφ' ἧς ἐγένοντο αὐτῷ Ἑλένη καὶ οἱ Διόσκουροι. Ἰκάριος δὲ ἐπέμεινε μέρος, φασίν, ἔχων τῆς Ἀκαρνανίας, ἔνθα καὶ τεκνωσάμενος Πηνελόπην ἐκ Πολυκάστης τῷ Ὀδυσσεῖ πρὸς γάμον ἐξέδοτο.

CCCCLXXXV. *Περὶ τῆς Ἱπποδαμείας.*

Ἱπποδάμεια ἔτεκεν ἐκ τοῦ Πέλοπος Ἀτρέα, Θυέστην, Πιτθέα, Ἀλκάθουν, Πλεισθένην, Χρύσιππον·

CCCCLXXXIV. Eustath. Od. p. 1417 CCCCLXXXV. Schol. Pind. Ol. I, 89 *καὶ Ἱπποδάμεια* — exit. Harpocrat. (Suid.)

---

12 *οἰκείας* F *οἰκίας* PV

οἱ δὲ Ἀτρέα, Θυέστην, Ἀλκάθοον, Ἵππαλκον, Πιτθέα, Δίαντα ἢ Χρύσιππον· οὕς τινας λαγέτας καλεῖ Πίνδαρος, ἤγουν ἡγεμόνας. καὶ Ἱπποδάμεια ἀγορὰ ἐν Πειραιεῖ, οὕτω καλουμένη ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος, τοῦ οἰκοδομησαμένου Ἀθηναίοις τὸν Πειραιᾶ.

CCCCLXXXVI. *Περὶ Ἱπποδάμου.*

Ἱππόδαμος τὸν Πειραιᾶ πρῶτος κατὰ τὰ Μηδικὰ συνήγαγεν, ὅπου καὶ κατῴκει καὶ οἰκίαν εἶχεν, ἥνπερ ἀνῆκε δημοσίαν εἶναι. ἦν δὲ Ἀθηναίοις τίμιος, διεβάλλετο δὲ ἐπὶ πολυφαγίᾳ. Ἀριστοφάνης· ὁ δὲ Ἱππόδαμος εὐνούστατος ὢν τῇ πόλει καταλείβεται τοῖς δάκρυσιν, ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον.

CCCCLXXXVII. *Περὶ Ἴσιδος.*

Ἶσις δαίμονός ἐστιν ὄνομα τιμωμένης παρὰ Αἰγυπτίοις. ἐκ τοῦ ἴσου δὲ γίνεται Ἶσις· ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ, καὶ γὰρ ἡ γῆ ἴση ἐστὶ καὶ σφαιροειδής.
240 *ἄλλοι δὲ λέγουσιν, ὅτι αὕτη ἐστὶν ἡ Ἰώ. τούτου χάριν διὰ τοῦ ι γράφεται, ἐπειδὴ παρὰ τὸ ἴεσθαί ἐστι, καὶ γὰρ πολλὰ ἐπλανήθη ἡ Ἰὰ μεταβληθεῖσα εἰς βοῦν. ὑπάγεται δὲ τὸ Ἶσις τῷ κανόνι τοῦ Βιθυνία· καὶ γὰρ ἔχει τὸ ι ἐν τῇ δευτέρᾳ συλλαβῇ, ὡς Ἶρις.*

CCCCLXXXVI. Schol. Ar. Equ. 327 CCCCLXXXVII. Etym. M. p. 476, 48

---

1 *Ἵππαλκμον* F *Ἵππαλκον* PV 2 *λεγέτας* P corr. V cf. Ol. I, 89 12 In animo habuit Ar. Equ. 326 seq. *ἢ σὺ πιστεύων ἀμέργει τῶν ξένων τοὺς καρπίμους | Πρῶτος ὤν. ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος*

CCCCLXXXVIII. *Περὶ Ἱστιαίας.*

Ἱστίαια, θυγάτηρ Ὑριέως, ἀρχαία ἡρωΐς, ἀφ' ἧς ἡ πόλις ὠνόμασται Ἱστίαια. κεῖται δὲ ἡ Ἱστίαια ὑπὸ ὄρει παρὰ τὸν Κάλλαντα ποταμὸν ἐπὶ πέτρας ὑψηλῆς, διὸ καὶ Ὠρεὸς ἐκλήθη, ἐκτάσει δηλαδὴ τοῦ ο εἰς ω, διὰ τὸ ὀρείους, φασίν, εἶναι τοὺς προοικήσαντας. δοκεῖ δέ, φασί, καὶ Ὠρίων ἐνταῦθα τραφεὶς ἀφεῖναι τὸ ὄνομα αὐτῇ. οἱ δὲ ἀνάπαλιν, ὅτι καὶ ὁ Ὠρίων ἐνταῦθα τραφεὶς οὕτω λέγεται ὀνομασθῆναι. ἦν δὲ καὶ γυνὴ σοφὴ Ἀλεξανδρινὴ κατὰ τὸν Γεωγράφον Ἱστίαια καὶ Ἑστίαια.

CCCCLXXXIX. *Περὶ τοῦ Ἴτυος.*

Ἴτυς υἱὸς ἦν Τηρέως καὶ Πρόκνης τῆς ἑαυτοῦ γαμετῆς. Πανδίων γάρ, ὁ τῶν Ἀθηναίων βασιλεύς, Πρόκνην τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον ἐκδίδωσι τῷ Τηρεῖ, Θρᾳκῶν δυναστεύοντι. ὁ δὲ μετὰ τοὺς γάμους ἀφικνεῖται πρὸς Θρᾴκην μετὰ Πρόκνης, ἐξ ἧς ἔσχεν Ἴτυν. μετὰ δὲ χρόνον συχνόν, ποθούσης τὴν ἀδελφὴν Φιλομήλαν τῆς Πρόκνης ἰδεῖν, ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν καὶ λαβὼν καθ' ὁδὸν αὐτὴν διεκόρησε καὶ τὴν γλῶτταν αὐτῆς ἀπέταμε, μὴ δῆλα θείη τὰ πραχθέντα τῇ Πρόκνῃ. οὐ μὴν ἀλλ' ὑφαίνουσα διὰ γραμμάτων ἐδήλωσε τὸ συμβάν. Πρόκνη μὲν οὖν μαθοῦσα τὴν συμφοράν, σφάξασα τὸν υἱὸν Ἴτυν εἰς

CCCCLXXXVIII. Eustath. Il. p. 280 CCCCLXXXIX. Schol. Ar. Aves 212

3 *Κάλαντα* PV 9 Strabo XIII, p. 599 19 Sic scripsi, *ἀπέτεμεν* F *ἀπέταμεν* PV 20 *τῇ* recepi ex F om. PV

βρῶσιν παρέθηκε τῷ Τηρεῖ. ὁ δὲ γνοὺς ἐδίωκεν αὐτὰς ξίφει, ποῦ ποῦ φθεγγόμενος. Πρόκνη μὲν δὴ κατά τινας, ὡς ἐν τῷ περὶ Πανδίονος λεχθήσεται, Τηρεὺς ἦν βοῶσα τῷ φόβῳ, Φιλομήλα δὲ τὸν Ἴτυν θρηνοῦσα Ἴτυ Ἴτυ ἐλεεινῶς ἐφθέγγετο. τοῦ δὲ Διὸς ἐλεοῦντος, ἡ μὲν Φιλομήλα εἰς ἀηδόνα, ἡ δὲ Πρόκνη εἰς χελιδόνα μεταβληθεῖσαι, ἔτι γε μὴν καὶ Τηρεὺς εἰς ἔποπα, ταῦτα φθέγγεσθαι φαίνονται ἕκαστος ἀείποτε.

CCCXC. *Περὶ τῆς Ἰφιγενείας.*

Ἰφιγένεια κατά τινας Νεοπτολέμου τοῦ Ἀχιλλέως μήτηρ ὑπῆρχε, μετὰ δὲ τὴν ἐπ' Εὐρίπῳ Ἰφιγενείας 241 *θυσίαν (ὥς φησι Πίνδαρος· „Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα") παρέθετο, ὥς τινές φασιν, Ἀχιλλεὺς τὸν παῖδα Δηϊδαμείᾳ ἐν Σκύρῳ τῇ νήσῳ. Τρυφιόδωρος δὲ καὶ οἱ λοιποὶ πάντες Δηϊδαμείας τῆς Λυκομήδους θυγατρὸς καὶ Ἀχιλλέως παῖδα τὸν Νεοπτόλεμον ἴσασι. φησὶ γὰρ ὁ Τρυφιόδωρος οὕτως·*

Υἱὸς Ἀχιλλέως καὶ ἐπαινῆς Δηϊδαμείας.

τὴν δὲ Ἰφιγένειαν κατὰ τοὺς ἀκριβεῖς τῶν ἱστορικῶν οὐ γυναῖκα ἔσχεν Ἀχιλλεύς, ἀλλὰ κατασχεθέντων τῶν ἀνέμων ἐν τῷ διάγειν τοὺς Ἕλληνας ἐν Αὐλίδι, πέμ-

CCCCXC. Tzetzes Lyc. 183 *ἡ Ἄρτεμις — γραῦν* Etym. M. p. 748, 1 *τὸ δ' ἀληθὲς* — exit. Tzetzes Lyc. l. c.

---

2 Hic *Φιλομήλα*, infra *Πρόκνη* exhibet F mutatis ut in hac fabula solet, nominibus *δὴ* F *δὲ* PV 3 *λεχθήσεται* P *λεκθήσεται* V. Cf. p. 326 seq. 8 *μέχρι καὶ νῦν* add. F 10 *ὑπῆρχεν* PV mox *ἐπ'* om. P add. V *Εὐρίπου* PV 11 Haec cum ab ipso Pindaro Pyth. XI, 22 Eudocia mutuata sit, parenthesi inclusi; mutavi igitur *Ἰφιγένεια δὲ* et *σφαγεῖσα*, quae PV praebent 17 Excid. Il. v. 52 *Δηιολμείας* P corr. V 20 Post *Αυλίδι* nonnulla add. F

πουσιν εἰς Μυκήνην ἀφελέσθαι πρὸς θυσίαν τὴν Ἰφιγένειαν. ἐρομένης δὲ τῆς Κλυταιμνήστρας τῆς αὐτῆς μητρός, τίς ἡ χρεία αὐτῆς, ἔφησαν Ἀχιλλεῖ μέλλουσι συνάψαι αὐτήν. οἱ δὲ τῷ ὄντι λέγουσι, δι' Ἀχιλλέα ταύτην κομισθῆναι ἐν Αὐλίδι καὶ διὰ τὸ σύμφωνον τὸ συμβὰν περὶ τοὺς ἀνέμους, ἔμελλον αὐτὴν θύειν, ὅτε ἀπὸ τῆς Ἑλλάδος ἀπόπλους τῶν Ἑλλήνων ἐπὶ Τροίαν ἐγίνετο. ἐν τῇ Αὐλίδι τοίνυν τῆς Βοιωτίας θυσίας γενομένης τῇ Ἀρτέμιδι καὶ τῆς θυγατρὸς τοῦ Ἀγαμέμνονος τῆς Ἰφιγενείας ἐπιδοθείσης τυθῆναι, ἡ Ἄρτεμις ἐλεήσασα τὴν παρθένον ἁρπάζει μὲν ταύτην καὶ ἀποφέρει παρὰ τοῖς Ταύροις ἐν Σκυθίᾳ (ἔθνος δὲ περὶ τὴν Σκυθίαν οἱ Ταῦροι), ἔλαφον δὲ ἀντὶ τῆς παρθένου φανῆναι ἐποίησεν, ἥντινα λαβόντες ἔθυσαν οἱ Ἕλληνες. κατὰ δὲ Φανόδημον τὸν ἱστορικὸν εἰς ἄρκτον μετέβαλε, κατὰ δὲ Νίκανδρον εἰς ταῦρον καὶ κατ' ἄλλους εἰς γραῦν. αὕτη οὖν ἡ Ἰφιγένεια οὖσα ἐν τοῖς Ταύροις, διὰ τὸ μὴ ἐπιγνωσθῆναι παρὰ τῶν ἐπιξενουμένων, τίς ἐστιν, ἐπέτρεπε θύειν αὐτοὺς τῇ Ἀρτέμιδι. ὕστερον δὲ Ὀρέστης δειματούμενος ὑπὸ τῶν Ἐριννύων καὶ ἐλθὼν παρὰ τοῖς Ταύροις καὶ συλληφθεὶς ὡς ξένος ἐπ' ἀναιρέσει καὶ προσενεχθεὶς ὡς ἱερείᾳ τῇ ἀδελφῇ Ἰφιγενείᾳ ἐπεγνώσθη διὰ τοῦ ἐλεφαντίνου ὤμου καὶ ἀφείθη τῆς θυσίας. οὗτος λοιπὸν ὁ Ὀρέστης, ὥς φασιν, λαβὼν τὴν ἰδίαν ἀδελφὴν κομίζει πάλιν εἰς τὴν Ἑλλάδα.

Τὸ δ' ἀληθὲς περὶ τῆς θυσίας οὕτως ἔχει. παραστάσης τῆς Ἰφιγενείας τῇ θυσίᾳ καὶ μελλούσης θύε-

---

4 *Ἀχιλλέως* PV 15 *Φαιόδημον* PV, cf. Müller I, p. 368
17 Haec usque ad *τὴν Ἑλλάδα* aliunde fluxerunt

σθαι, ἄρκτος ἢ ταῦρος ἢ γραῦς ἢ ἔλαφος διέδραμε μέσου τοῦ τῶν Ἑλλήνων στρατοῦ καὶ προστάξει τοῦ μάντεως τὸ διελθὸν ἐκεῖνο ἀναιρεῖται. ἡ δὲ Ἰφιγένεια σωθεῖσα φεύγει παρὰ Σκυθίαν, ἐν ᾗ πόλις Ἀρτέμιδος λέγεται, καὶ ἀνῄρει πάντας τοὺς Ἑλλήνων
242 ἀφικνουμένους. τινὲς δὲ τὴν Ἰφιγένειαν ταύτην, ὥσπερ καὶ Δοῦρις, οὐκ Ἀγαμέμνονος θυγατέρα λέγουσιν, ἀλλὰ Θησέως ἐξ Ἑλένης γεννηθεῖσαν. ἄλλοι δὲ οὐκ ἐκ Κλυταιμνήστρας λέγουσι τὴν Ἰφιγένειαν, ἀλλὰ ἐκ τῆς Χρυσηΐδος. καὶ Ἀγαμέμνονος παῖδες γίνονται Χρύσης καὶ ἡ ῥηθεῖσα Ἰφιγένεια. μετὰ δὲ τὴν πόρθησιν Ἰλίου ἐν τῷ τῶν Ἑλλήνων Ἀπόλλωνι Χρύσης μὲν ἐν τῇ λεγομένῃ Χρύσου πόλει τοῦ Εὐξείνου τελευτᾷ. τὴν δὲ Ἰφιγένειαν τὴν αὐτοῦ ἀδελφὴν Ταυροσκύθαι αἰχμαλωτίσαντες ἱέρειαν Ἀρτέμιδος, ἤτοι Σελήνης, ἐποίησαν. οὐκ ἀπεικὸς δὲ τὸ θυομένης τῆς Ἰφιγενείας διαδραμεῖν ἔλαφον καὶ ταύτην τοὺς Ἕλληνας ἀνελεῖν καὶ τὴν κόρην ἐᾶσαι. καὶ γὰρ Ἰουλίαν Λουπέρκαν Ῥωμαίαν ἀετὸς οὕτως ἔσωσε. σφαγιαζομένης γὰρ αὐτῆς καταπτὰς ἀπὸ τοῦ δημίου ἢ ἱερέως, ἁρπάζει δὴ τὸ ξίφος καὶ πρὸς δάμαλιν ἐπιρρίπτει πλησίον τοῦ νεὼ νεμομένην, ἣν καὶ ἐθυσίασαν ἀντ᾽ αὐτῆς.

---

7 Müller II, p. 470 18 Sic scripsi pro Ἴουλος Πέρκαν ῥώμης, quod in PV legitur, secutus Müllerum quamquam hoc quoque absurdum esse ex Plutarch. Parall. min. 14 patet; tradidit enim Pseudoplutarchus: — *Μέτελλος στρατηγὸς μόνῃ τῇ Ἑστίᾳ οὐκ ἔθυσεν· ἡ δὲ πνεῦμα ἀπέπνευσε ταῖς ναυσί. Γάϊος δὲ Ἰούλιος μάντις εἶπε λωφῆσαι, ἐὰν προθύσῃ τὴν θυγατέρα. ὁ δ᾽ ἀναγκασθεὶς Μεταλίαν τὴν θυγατέρα προσῆγεν. ἡ δὲ Ἑστία ἐλεήσασα δάμαλιν ὑπέβαλε καὶ αὐτὴν ἐκόμισεν εἰς Λαμουσιον* —

CCCCXCI. *Περὶ τοῦ Ἰκαρίου τοῦ παρὰ Διονύσου λαβόντος τὸ τῆς ἀμπέλου κλῆμα καὶ φυτεύσαντος.*

Ὁ οἶνος λέγεται, ὅτι παρὰ τοῦ Διονύσου εὕρηται, διὸ καὶ ἔφορον τῆς ἀμπέλου λέγουσιν αὐτόν. οὗτος οὖν ὁ Διόνυσος ἐλθὼν Ἀθήναζεν, Ἰκαρίῳ τινὶ περιτυχὼν δέδωκεν αὐτῷ κλῆμα ἀμπέλου φυτεῦσαι, καὶ ἐφύτευσε καὶ ἐγεώργησεν οἶνον, καὶ ἔπιε καὶ αὐτὸς καὶ δέδωκε καὶ τοῖς ποιμέσι πιεῖν. οἱ δὲ ποιμένες μεθυσθέντες διὰ τὸ ἐκ παραδόξου πρῶτον νομίσαντες φαρμαχθῆναι παρὰ τοῦ Ἰκαρίου ἀποκτείνουσιν αὐτόν. ἡ δὲ Ἠριγόνη, ἡ τούτου θυγάτηρ, διὰ τῆς κυνὸς τοῦ Ἰκαρίου ὑλακῆς γνοῦσα, ὅτι ἀπέθανεν, ἐποτνιᾶτο καὶ ἤσχαλε. καὶ καθὼς μυθεύουσι, ταύτην, φασίν, ἐλεήσαντες οἱ θεοὶ διὰ τὸ πάθος μετέθηκαν αὐτὴν εἰς τὸν οὐρανὸν καὶ νῦν ἐστιν ἐν τοῖς ἄστροις ἡ Ἠριγόνη. [οἱ δέ φασι παρὰ Χίοις πρώτοις γενέσθαι τὸν μέλανα οἶνον, οἳ καὶ φυτεύειν καὶ θεραπεύειν ἀμπέλους μαθόντες παρὰ Οἰνοπίωνος Διονυσίου, τοῦ καὶ συνοικίσαντος τὴν νῆσον, τοῖς ἄλλοις ἀνθρώποις μετέδωκαν.]

CCCCXCII. *Περὶ τοῦ Ἰφίκλου.*

Ἴφικλος υἱὸς ἦν Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. τοῦτόν φασι διὰ τὴν τῶν ποδῶν ἀρετὴν καὶ

CCCCXCI. Nonn. I, 68 CCCCXCII. Eustath. Od. p. 1689

14 Haec usque ad finem om. F, narrat Theopompus apud Athen. I, p. 26, unde lectoris alicuius cura huc migraverunt

ἀνέμοις ἁμιλλᾶσθαι καὶ ἐπ᾽ ἄκρων ἀνθερίκων θέειν καὶ μὴ κατακλᾶν αὐτούς.

CCCCXCIII. *Περὶ τῆς Ἰοῦς.*

Ἰὼ Ἰνάχου θυγάτηρ ἦν, ἥντινα Ζεὺς ἐκ τοῦ Ἄργους ἥρπασε καὶ φοβούμενος τὴν Ἥραν τὴν ἑαυτοῦ γυναῖκα μετέβαλε τὴν Ἰὼ εἰς βοῦν καὶ ποτὲ μὲν
243 *εἰς λευκήν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δὲ εἰς ἰάζουσαν, καὶ οὕτως ἐπλανᾶτο μετ᾽ αὐτῆς. ἦλθεν οὖν καὶ ἐν Αἰγύπτῳ πλανώμενος μετ᾽ αὐτῆς, καὶ διὰ τοῦτο τιμῶσιν οἱ Αἰγύπτιοι τὴν Ἰώ, ἤτοι τὴν Ἴσιδα. αὕτη γὰρ ἐνομίσθη παρ᾽ αὐτοῖς, διὸ ἐπὶ τοῦ ἀγάλματος αὐτῆς περὶ τὴν κεφαλὴν κέρατα βοὸς ἐγγλύφουσι, σημαίνοντες τῆς κόρης τὴν εἰς βοῦν μεταβολήν. φησὶ καὶ Ἀρριανὸς περὶ τοῦ Βοσπόρου λέγων οὕτω· „πορθμὸς ὁ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον, ὅ ποτε Μύσιος, διότι Μυσοὶ ἀντιπέραν ᾤκουν τῆς Θρᾴκης, ὕστερον δὲ Βόσπορος ἐπὶ τῇ συμφορᾷ τῆς Ἰοῦς, ἣν κατὰ μῆνιν Ἥρας οἰστρωθεῖσαν εἰς τοὺς χώρους τούτους ἀφικέσθαι καὶ ταύτῃ διαπεραιώσασθαι οἱ μῦθοι ἐποίησαν“. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι „κατά τινας, οὐκ ἀπὸ τῆς ῥηθείσης βοὸς ὁ τοιοῦτος Βόσπορος, ἀλλ᾽ ἀπό τινος ἑτέρας ὠνόμασται, ἥτις, φησί, Φρυγῶν ἐπικειμένων ἐμβάλλει ἀδεῶς εἰς τὴν θάλασσαν καὶ*

CCCCXCIII. Nonn. Sanct. Lum. 10 (Cosm. p. 179; Clarke p. 50; cod. Monac. 490) *φησὶ δὲ Ἀρριανὸς — ἕως νῦν* Eustath. Dion. 140 *ὁ δὲ Ἔφορος — Βόσπορον* Schol. Apoll. II, 168 *ἄλλοι δὲ — ἀνεπλάσθη* Palaeph. 43 *τινὲς δὲ* — exit. Eustath. Od. p. 1845

---

13 Müller III, p. 593 17 *οἰστρηθεῖσαν* F 22 *ἐμβάλλει* P *ἐκβάλλει* V

περαιοῦται ἀβλαβῶς τὸν κατὰ Χαλκηδόνα καὶ Βυζάντιον Βόσπορον. καὶ οὕτω καθηγεμὼν ἐκείνου γίνεται, κατά τινα θεοφορίαν (ἤγουν μαντείαν), ἥτις διεκελεύετο βοῦν ἡγεμόνα τῆς ὁδοῦ ποιήσασθαι, ὃ καὶ ποιήσαντες ἐκεῖνοι διεπεραιώσαντο ἀσφαλῶς. καὶ μνῆμα, φησί, τοῦ πόρου τούτου ἕστηκε βοῦς χαλκῆ, ὑστέρῳ ποτὲ χρόνῳ ὑπὸ Χαλκηδονίων ἱδρυθεῖσα. καὶ τάχα ἐκ ταύτης καί τις ἐκεῖ τόπος καλεῖται Δαμάλιον ἕως νῦν". ὁ δὲ Ἔφορός φησιν, ἡρπάσθαι τὴν Ἰὼ ὑπὸ Φοινίκων καὶ διακομισθῆναι εἰς Αἴγυπτον, ἀνθ' ἧς τὸν βασιλέα τῶν Αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον. τετελευτηκότος δὲ ἐκείνου, περιϊέναι αὐτοὺς παραδεικνύντας, καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῶον. τὸν δὲ τόπον προσηγορεῦσθαι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν τὸν Βόσπορον. ἄλλοι δὲ πάλιν οὕτω φασὶ περὶ τῆς Ἰοῦς, μὴ πιθανὰ τὰ τοῦ μύθου νομίζοντες. Ἰὼ βασιλέως τῶν Ἀργείων ἦν θυγάτηρ. ταύτῃ οἱ ἀπὸ τῆς πόλεως τιμὴν ἔδωκαν τὸ ἱέρειαν εἶναι τῆς Ἀργείας Ἥρας. αὕτη ἔγκυος γεγονυῖα καὶ δείσασα τὸν πατέρα καὶ τοὺς πολίτας ἔφυγεν ἐκ τῆς πόλεως. οἱ δὲ Ἀργεῖοι κατὰ ζήτησιν ἐξιόντες, ὅπου ἂν εὗρον συλλαμβάνοντες ἐν δεσμοῖς εἶχον. ἔλεγον δέ, ὅτι ὥσπερ βοῦς οἰστρήσασα διαφεύγει εἰς Αἴγυπτον, ἔνθα ἀφικομένη τίκτει· ὅθεν ὁ μῦθος ἀνεπλάσθη. τινὲς δὲ ἐν οἷς καὶ ὁ ποιητὴς καὶ υἱὸν τῆς Ἰοῦς τὸν Ἴασον οἴδασι βασιλέα Πελοποννήσου, διὸ καὶ Ἴασον Ἄργος αὐτὴν καλεῖ Ὅμηρος.

---

8 Δαμάλιον F Δάμαλις PV 9 Müller I, p. 258 25 Od. XVIII, 246

CCCCXCIV. Περὶ τοῦ Ἰαμβλίχου.

Ἰάμβλιχος ὁ φιλόσοφος, Χαλκίδος τῆς Συρίας, μαθητὴς Πορφυρίου φιλοσόφου τοῦ Πλωτίνου ἀκουστοῦ, ἐπὶ Κωνσταντίνου βασιλέως. ἔγραψε διάφορα βιβλία φιλόσοφα.

CCCCXCV. Περὶ Ἰάσονος τοῦ φιλοσόφου.

Ἰάσων Μενεκράτους Νυσαεὺς ἐκ πατρός, ἀπὸ δὲ μητρὸς Ῥόδιος φιλόσοφος, μαθητὴς καὶ θυγατριδοῦς καὶ διάδοχος τῆς ἐν Ῥόδῳ διατριβῆς Ποσειδωνίου τοῦ φιλοσόφου. ἔγραψε βίους ἐνδόξων καὶ φιλοσόφων διαδοχὰς καὶ βίον Ἑλλάδος ἐν βιβλίοις δ'. ἔγραψε καὶ περὶ Ῥόδου.

CCCCXCVI. Περὶ τοῦ Ἱεροκλέους.

Ἱεροκλῆς φιλόσοφος Ἀλεξανδρεύς. ἔγραψε σύγγραμμα εἰς τὰ χρυσᾶ ἔπη τῶν Πυθαγορείων βιβλίων καὶ περὶ προνοίας ἐν ἑτέροις βιβλίοις συχνοῖς, ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὴν δὲ γνῶσιν οὐκ ἀκριβής.

CCCCXCIV—CCCCXCVI. Hesych. (Suid.)

1 *Φιλόσοφοι* accessit ex P, om. V 3 *γεγονὼς κατὰ τοὺς χρόνους Κωνστ.* more suo S 5 *Νυσσαεύς* PV 9 *κατά τινας ἔγραψε* S 10 Plura a Damascio mutuatus est S (cf. Phot. Bibl. p. 338 b) 12 *βιβλίων* om. S, qui pergit *καὶ ἑτέρων βιβλίων* (sc. *ἔξεστι μαθεῖν ἀπὸ*) *περὶ προνοίας συχνῶν*

CCCCXCVII. Περὶ Ἱππαρχίας.

Ἱππαρχία ἀδελφὴ Μητροκλέους τοῦ Κυνικοῦ, Μαρωνεῖτις, φιλόσοφος κυνική, γυνὴ Κράτητος τοῦ κυνικοῦ, ὃς ἦν Θηβαῖος, Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ, ἤ, ὥς τινες, Διογένους. ἔγραψε φιλοσόφους ὑποθέσεις καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον τὸν ἐπικληθέντα ἄθεον.

CCCCXCVIII. Περὶ Ἱππάρχου.

Ἵππαρχος Νικαεὺς φιλόσοφος * * * ἐπὶ τῶν ὑπάτων. ἔγραψε περὶ τῶν Ἀράτου φαινομένων, περὶ τῆς τῶν ἀπλανῶν συντάξεως καὶ τοῦ καταστερισμοῦ, περὶ τῆς κατὰ πλάτος μηνιαίας τῆς σελήνης κινήσεως καὶ εἰς τοὺς ἀστερισμούς.

Καὶ ἕτερος Ἵππαρχος Σταγειρίτης φιλόσοφος, Ἀριστοτέλους γνώριμος καὶ συγγενής. ἔγραψε περὶ τοῦ τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς καὶ τίς ὁ γάμος καὶ ἄλλα τινά.

CCCCXCIX. Περὶ Ἱπποβότου.

Ἱππόβοτος φιλόσοφος, ὃς ἔφησεν ἐννέα αἱρέσεις εἶναι τῶν φιλοσόφων.

CCCCXCVII—CCCCXCIX. Hesych. (Suid).

---

2 Στράτητος PV, itemque Ἀθηναῖος pro Θηβαῖος 6 ἤκμαζεν ἐπὶ τῆς ρια' ὀλυμπιάδος add. S 7 γεγονὼς ἐπὶ τῶν ὑπάτων S, quod sensu carere perspexit Rohde in Mus. Rhen. XXXIII, p. 179 not.; fortasse quemadmodum in vita Eustephii observarunt viri docti, hic quoque ante ἐπὶ τῶν ὑπάτων nonnulla exciderunt, quapropter lacunae signum posui; ἐπὶ Πτολεμαίων τῶν ὑστάτων mihi suppeditavit A. de Gutschmid 9 καταστηριγμοῦ P καταστηρισμοῦ V 11 ἀρίστους compendio male intellecto PV 17 καὶ ἔστιν ἐν τῷ αἵρεσις add. S, qui de voce αἵρεσις alio loco uberiorem glossam lexico inseruit

245 D. *Περὶ Ἱστιαίου.*

Ἱστιαῖος Σάμιος ἦν τὸ γένος. φίλος δὲ γενόμενος Δαρείου τοῦ Περσῶν βασιλέως ἐλήφθη ὑπ' αὐτοῦ ἐν Περσίδι. ἐκεῖ δὲ διαιτώμενος ἐπεθύμει ἰδεῖν τὴν οἰκείαν πατρίδα. μὴ ἀπολυόμενος δὲ γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετᾶν ἀποστασίαν καὶ πείθει καί τινας τῶν Ἰώνων ἀποστῆναι. γράφει δὲ οὕτως. λαβὼν πιστὸν οἰκέτην καὶ τούτου τὴν κεφαλὴν ξυρήσας ἐγχαράττει τῇ κεφαλῇ, ὃ δηλῶσαι ἠβούλετο, εἶτα μέλανι ἐγκαυστῷ τὴν χάραξιν ἐγκαίει καὶ ἀφίει ἀνενεγκεῖν τὰς τρίχας καὶ μετὰ τὸ κομάσαι αὐτόν, ἀποπέμπει λέγων τῷ οἰκέτῃ πάλιν ἐκεῖσε γενόμενον ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ Ἀρισταγόρας Ἱστιαίου τὰ γράμματα. ἀναγνοὺς τοίνυν ὁ Ἀρισταγόρας [Ἱστιαίου τὰ γράμματα] καὶ μαθὼν ἐποίησε τὴν ἀπόστασιν σχεδὸν πάντων τῶν Ἰώνων. εἶτα μανθάνει ἐν Περσίδι ὁ βασιλεὺς καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι. καὶ συμβουλεύεται παρὰ τοῦ Ἱστιαίου αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν, ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως. ἐλθὼν οὖν ὁ Ἱστιαῖος ἐν τῇ Ἀσίᾳ καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος παρὰ τοῦ Ἀρταφέρνου, τοῦ ὑπάρχου Σάρδεων, ἤκουσε ταῦτα· τοῦτο το ὑπόδημα ἔρραψε μὲν Ἱστιαῖος, ἐπεδύσατο δὲ Ἀρισταγόρας. ὑπόδημα

D. Nonn. II, 10 (Cosm. p. 137)

---

1 *φιλόσοφος* perperam PV 4 *οἰκείαν* Nonn. *ἰδίαν* Cosm. *ἐκείνου* inepte PV 6 *πείθειν* PV 9 *μελαίνει τὴν χάραξιν* F 12 *Ἱσταίου* (l. *Ἱστιαίου*) add. P Cosmas om. V Nonnus 13 *Ἱστιαίου τὰ γράμματα* om. F sine dubio supervacanea sunt 15 *Περσίδι* rectius Nonnus *ἐν Πέρσαις* PV Cosmas

δὲ τὴν ὅλην κατασκευὴν ἔλεγε. ταῦτα Ἡρόδοτος ἐν τῷ ἕκτῳ.

Ἱστορικοί.

DI. Περὶ Ἰάσονος τοῦ ἱστορικοῦ.

Ἰάσων Ἀργεῖος, νεώτερος Πλουτάρχου τοῦ Χαιρωνέως. ἔγραψε περὶ τῆς Ἑλλάδος βιβλία δ', ἔχει δὲ ἀρχαιολογίαν Ἑλλάδος καὶ τὰ ἀπὸ τῶν Μηδικῶν τά τε κατ' Ἀλέξανδρον ἕως τῆς τελευτῆς αὐτοῦ καὶ τὰ μέχρι τῆς Ἀθηναίων ἁλώσεως, τῆς γενομένης ὑπὸ Ἀντιπάτρου τοῦ πατρὸς Κασάνδρου.

DII. Περὶ Ἵππυος τοῦ ἱστορικοῦ.

Ἵππυς Ῥηγῖνος, ἱστορικὸς γεγονὼς ἐπὶ τῶν Περσικῶν. ὃς πρῶτος τὰς Σικελικὰς πράξεις ἔγραψεν, ἃς ὕστερον Μύης ἐπετέμετο, κτίσιν Ἰταλίας, Σικελικῶν βιβλία ε', χρονικὰ ἐν βιβλίοις ε', Ἀρχαιολογικῶν τρία. [οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.]

DI—DII. Hesych. (Suid.)

---

1 VI, 1 seq. Post 2 titulum Ἱστορικοὶ add. ex P om. V 8 Κασσάνδρου PV 11 Σικελικῶν S Σικελῶν PV 12 Lectionem Ἀρχαιλογικῶν, quam PV praebent, servavi, Ἀργολικῶν vel Ἀργολογικῶν vel Ἀρχολογικῶν codd. et edd. S 13 Haec verba, quae eodem loco apud Suidam leguntur, librariorum neglegentia de loco suo mota esse perspexit Kuesterus, qui ad Hipponactem poetam merito retulit. Itaque ego quoque Hipponactis vitae (p. 248) adiunxi, quae in Hesychii Onomatologo proxime praecedebat (eo videlicet literarum ordine, quem ἀντιστοιχία vocamus) 13 χωρίαμβον PV

246 DIII. *Περὶ Ἴστρου τοῦ συγγραφέως.*

Ἴστρος Μενάνδρου ἢ Ἴστρου, Κυρηναῖος συγγραφεύς, Καλλιμάχου δοῦλος καὶ γνώριμος. Ἕρμιππος δέ φησιν αὐτὸν Πάφιον ἐν τῷ δευτέρῳ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.

Ἰατροί.

DIV. *Περὶ τοῦ Ἱπποκράτους.*

Ἱπποκράτης Κῷος ἰατρός, Ἡρακλείδου υἱός, γέγονε μαθητὴς πρῶτον τοῦ πατρός, εἶτα Ἡροδίκου τοῦ Σηλυβριανοῦ καὶ Γοργίου τοῦ ῥήτορος καὶ φιλοσόφου, ὡς δέ τινες, Δημοκρίτου τοῦ Ἀβδηρίτου, ὡς δέ τινες, καὶ Προδίκου. διέτριψεν ἐν Μακεδονίᾳ φίλος ὢν τῷ βασιλεῖ Περδίκκᾳ. παῖδας ἔσχε δύο Θεσσαλὸν καὶ Δράκοντα. κατέστρεψε τὸν βίον ἐνιαυτῶν γεγονὼς δ′ καὶ ρ′ καὶ τέθαπται ἐν Λαρίσσῃ τῆς Θετταλίας. πρώτη βίβλος αὐτοῦ ἡ τὸν ὅρκον περιέχουσα, δευτέρα ἡ τὰς προγνώσεις ἐμφαίνουσα, τρίτη ἡ τῶν ἀφορισμῶν ἀνθρωπίνην ὑπερβαίνουσα σύνεσιν, τετάρτην τάξιν ἐχέτω ἡ πολυθρύλητος καὶ πολυθαύμαστος Ἑξηκοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιστήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

DIII et DIV. Hesych. (Suid.)

---

1 *ἢ* addidit Siebelis, om. SPV alii *ἴστρου* i. e. *ἱστορικοῦ* post *Κυρ.* *ἢ Μακεδὼν* add. S 2 Müller III, p. 51 seq. 6 Hic nonnulla add. S 9 *ἐπιβαλεῖν γὰρ αὐτὸν νέον πρεσβύτῃ* add. S alterum *ὡς δέ τινες* addidi ex S om. PV 10 *Μακεδωνίᾳ* PV 13 His plura partim ex vita Sorani, quam Westermann. Biogr. p. 451 recensuit, partim aliunde deprompta adiunxit S 16 *τετάρτη, τάξιν* PV

ʽΙπποκράτης Γνωσιδίκου Κῷος, ἰατρὸς καὶ αὐτός, τοῦ γένους τῶν ᾿Ασκληπιαδῶν, ἰατρικήν.

ʽΙπποκράτης Θεσσαλοῦ, Κῷος ἰατρός, ἔγγονος ʽΙπποκράτους τοῦ προτέρου τοῦ υἱοῦ ʽΗρακλείδου. ἔγραψε καὶ αὐτὸς ἰατρικά τινα.

ʽΙπποκράτης τέταρτος, ὁ Δράκοντος ἰατρός, Κῷος καὶ αὐτός, τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσε ʽΡωξάνην. ἔγραψε καὶ αὐτὸς ἰατρικά.

ʽΙπποκράται δύο, πέμπτος καὶ ἕκτος, ἰατροί, Θυμβραίου παῖδες, Κῷοι καὶ αὐτοί, τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψαν ἀμφότεροι εἰς τὴν αὐτὴν ἐπιστήμην.

ʽΙπποκράτης ἕβδομος, Κῷος [καὶ αὐτός], ἰατρός, Πραξιάνακτος παῖς, καὶ αὐτὸς ἐκ τοῦ αὐτοῦ γένους. ἔγραψε καὶ αὐτὸς εἰς τὸν αὐτὸν τρόπον.

ʽΡήτορες.

DV. *Περὶ ʽΙππίου τοῦ ῥήτορος.*

ʽΙππίας Διοπείθους ᾿Ηλεῖος, ῥήτωρ καὶ φιλόσοφος, μαθητὴς ʽΗγησιδάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

DVI. *Περὶ ᾿Ισαίου.* 247

᾿Ισαῖος εἷς μέν ἐστι τῶν δέκα ῥητόρων, μαθητὴς μὲν ᾿Ισοκράτους, διδάσκαλος δὲ Δημοσθένους, ᾿Αθη-

DV et DVI. Hesych. (Suid.)

1 Sic correxi, quoniam quae PV praebent *Κῶος καὶ αὐτὸς τοῦ γένους τῶν ᾿Ασκληπιαδῶν, ἰατρος* certe mutilata sunt 4 *δευτέρου* S, qui om. *τινα* 6 *ὁ* scripsi cum S om. PV 7 *ἰάτρευσεν ʽΡοξάνην* PV posthac *ὑπὸ δὲ Κασάνδρου τελευτᾷ τοῦ υἱοῦ ᾿Αντιπάτρου* add. S 9 *ʽΙπποκράτεις* PV 12 *καὶ αὐτὸς* quamquam eodem loco etiam apud Suidam legitur, uncis seclusi 15 *ʽΙππείας* bis PV

ναῖος τὸ γένος. οὗτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ καὶ ὡς Δημοσθένην ἀμισθὶ προαγαγών.

DVII. Περὶ τοῦ Ἰσοκράτους.

Ἰσοκράτης Θεοδώρου αὐλοποιοῦ Ἀθηναῖος, ῥήτωρ γενόμενος κατὰ τὰ Πελοποννησιακά. ἔγραψε λόγους λβʹ, βιώσας ἔτη τρία πρὸς τοῖς ἑκατόν.

Ἰσοκράτης Ἀμύκλα τοῦ φιλοσόφου, μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους, διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου. λόγους πέντε· Ἀμφικτυονικόν, προτρεπτικόν, περὶ τοῦ τάφου μὴ ποιῆσαι Φιλίππῳ, περὶ τοῦ μετοικισθῆναι, περὶ τῆς ἑαυτοῦ πολιτείας.

DVIII. Περὶ Ἰφικράτους.

Ἰφικράτης σκυτέως πατρός, Ἀθηναῖος, ῥήτωρ καὶ στρατηγός, ὃς πρῶτος ἐν τοῖς λαφύροις ἐπίγραμμα ἐποίησε μεμνημένον τοῦ στρατηγοῦ, πρότερον μόνης τῆς πόλεως ἐπιγραφομένης.

DVII et DVIII. Hesych. (Suid.)

---

1 Δημήτριος δὲ Χαλκιδέα φησὶν αὐτὸν εἶναι add. S, quae quidem verba leguntur Harpocrat. v. Ἰσαῖος, sed Demetrium Magnesium Hesychio suppeditasse docuit D. Volkmann. Quaest. nov. p. XIII 2 Apud S pura ex Philostrat. Vit. Soph. I, 20 accesserunt 4 ἐπὶ τῆς πϛ ὀλυμπιάδος, ὅ ἐστι κατὰ τὰ Πελ. S μετὰ τὰ Πελ. perperam PV 5 ϛ πρὸς τοῖς ρ S, qui in hac quoque vita uberior est 8 Ἀμφικτυωνικόν PV. Plura dedit S 12 Συντέως V quamquam σκυτέως recte P habet 13 τὸ add. S

Ποιηταί.

DIX. *Περὶ Ἰβύκου τοῦ ποιητοῦ.*

Ἴβυκος Φυτίου υἱός, ποιητής. ἔγραψε Δωρίδι διαλέκτῳ βιβλία ζʹ. οὗτος φονευόμενος ὑπό τινων καὶ μηδένα μήτε σύμμαχον μήτε μάρτυρα τῆς ἐπιβουλῆς ἔχων, θεωρήσας γεράνους „ὑμεῖς," ἔφησεν, „ὦ γέρανοι, τιμωρήσατέ μοι τὸν φόνον". τῆς δὲ πόλεως ζητούσης τοὺς φονεύσαντας καὶ μὴ δυναμένης εὑρεῖν, ἐπιτελουμένου θεάτρου καὶ τοῦ δήμου καθεζομένου, γέρανοι διέπτησαν. θεασάμενοι δὲ οἱ φονεῖς ἐγέλασαν καὶ „ἰδού", εἶπον, „αἱ τιμωροὶ τοῦ Ἰβύκου". τῶν δὲ πλησίον καθεζομένων τις ἀκούσας, ἀπήγγειλε ταῖς ἀρχαῖς καὶ συλληφθέντες ὡμολόγησαν τὸν φόνον καὶ τοῦ φόνου δίκην ἔδοσαν.

[Ὅρα τὴν ἀνείκαστον πρόνοιαν τοῦ Θεοῦ καὶ δικαιοκρισίαν.]

DX. *Περὶ Ἰδαίου τοῦ ποιητοῦ.*

Ἰδαῖος Ῥόδιος, υἱὸς Λισσοῦ, ἐποποιός. παρεμβαλὼν στίχον στίχῳ, ἐδίπλασε τὴν ποίησιν Ὁμήρου. ἔγραψε καὶ ἄλλα· Ῥόδια εἰς ἔπη ͵γ.

DIX et DX. Hesych. (Suid.)

Titulus *Ποιηταὶ* accessit ex P om. V 2 Plura de familia et aetate, qua poeta vixerit, invenies apud S, qui sequentia tali modo enarrat: *συλληφθεὶς δὲ ὑπὸ λῃστῶν ἐπ' ἐρημίας ἔφη, κἂν τὰς γεράνους, ἃς ἔτυχεν ὑπερίπτασθαι, ἐκδίκους γενέσθαι. καὶ αὐτὸς μὲν ἀνῃρέθη, μετὰ δὲ ταῦτα τῶν λῃστῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους ἔφη „ἴδε, αἱ Ἰβύκου ἔκδικοι." ἀκούσαντος δέ τινος καὶ ἐπεξελθόντος τῷ εἰρημένῳ, τό τε γεγονὸς ὡμολογήθη καὶ δίκας ἔδωκαν οἱ λῃσταί, ὡς ἐκ τούτου καὶ παροιμίαν γενέσθαι αἱ Ἰβύκου γέρανοι".* Ceterum haec ad Hesychium non spectare luce clarius est 12 Pietate commotus

248 DXI. *Περὶ Ἰοφῶντος τοῦ τραγικοῦ.*

Ἰοφῶν Ἀθηναῖος τραγικός, υἱὸς Σοφοκλέους τοῦ τραγῳδοποιοῦ γνήσιος. ἐδίδαξε δράματα πεντήκοντα, ὧν ἐστιν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἰλίου πέρσις, Δεξαμενός, Βάκχαι, Πενθεύς, καὶ ἄλλα τινὰ μετὰ τοῦ πατρὸς Σοφοκλέους.

DXII. *Περὶ Ἴωνος τοῦ ποιητοῦ.*

Ἴων Χῖος, τραγικὸς καὶ λυρικὸς καὶ φιλόσοφος. δράματα δὲ αὐτοῦ ιβ΄, οἱ δὲ λ΄, οἱ δὲ μ΄. [οὗτος ἔγραψε περὶ μετεώρων καὶ συνθέτους λόγους]. ὃν παίζων Ἀριστοφάνης ὁ κωμικὸς Ἀοῖόν φησιν.

DXIII. *Περὶ Ἱππάρχου τοῦ κωμικοῦ.*

Ἵππαρχος κωμικὸς τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ περὶ γάμων.

DXIV. *Περὶ Ἱππώνακτος τοῦ ἰαμβογράφου.*

Ἱππῶναξ Ἐφέσιος ἰαμβογράφος. γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς, ὅτι αὐτοῦ εἰ-

DXI—DXIV. Hesych. (Suid.)

---

lector aliquis in margine P haec addidit *ὅρα τὴν ἀνείκαστον πρόνοιαν τοῦ Θεοῦ καὶ δικαιοκρισίαν.* Cf. Unters. p. 7 2 *τραγικοῦ* vel *τραγῳδιοποιοῦ* libri S *ἀπὸ Νικοστράτης* add. S, qui pergit *γέγονε δὲ αὐτῷ καὶ νόθος υἱὸς Ἀρίστων ἀπὸ Θεωρίδος Σικυωνίας.* Cf. Unters. p. 68. 3 *Ἴλιος, Περσίς* PV 5 *μετὰ* cum Porson. add. Bernhardy 6 *υἱὸς Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβ΄ ὀλυμπιάδος* add. S 7 seq. Haec verba futilia interpolatori debentur. Cf. Westermann. Biogr. p. 149. 9 *Ἀοῖον* pro *ἀοῖον* reposui ex Ar. Pac. 836 10 *νέας* corr. Meinecke; cf. Bergk. Mus. Rhen. XXXIV p. 322 Post 11 *ἰαμβιογράφος* bis P corr. V 12 *Πύθεω καὶ μητρὸς Πρωτίδος* et infra *ᾤκησε δὲ Κλαζομενὰς ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾷ ἐξελαθεὶς* add. S

κόνας πρὸς ὕβριν εἰργάσαντο. οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.

DXV. *Περὶ τοῦ Κάδμου.*

Κάδμος υἱὸς Ἀγήνορος. οὗτος, ὡς Ἑλλάνικος ἱστορεῖ ἐν πρώτῳ Φορωνίδος, ἔσπειρε τοὺς ὀδόντας τοῦ δράκοντος κατὰ Ἄρεως βούλησιν, καὶ ἐγένοντο πέντε ἄνδρες ἔνοπλοι, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ὑπερήνωρ, Ἐχίων. ὁ δὲ Ἀπολλώνιος πολλοὺς οἴεται καὶ ἄλλους πολεμίους πεπολεμηκέναι. ἐν δὲ τῷ τρίτῳ Μουσαίου Τιτανογραφίας λέγεται, ὡς Κάδμος ἐκ τοῦ Δελφικοῦ ἐπορεύετο, προκαθηγουμένης αὐτῷ τῆς βοός. Ἱππίας δὲ ὁ Ἠλεῖος ἐν ἐθνῶν ὀνομασίαις φησίν, ἔθνος τι καλεῖσθαι Σπαρτούς. καὶ ὁμοίως Ἀτρόμητος. Φερεκύδης δὲ ἐν τῇ πέμπτῃ οὕτω φησίν· „ἐπεὶ δὲ Κάδμος κατῳκίσθη ἐν Θήβαισιν, Ἄρης διδοῖ αὐτῷ καὶ Ἀθηναίη τοῦ ὄφιος τοὺς ἡμίσεις ὀδόντας, τοὺς δὲ ἡμίσεις Αἰήτῃ. καὶ ὁ Κάδμος αὐτίκα σπείρει αὐτοὺς εἰς τὴν 249
ἄρουραν Ἄρεως κελεύσαντος, καὶ αὐτῷ ἀναφύονται ἄνδρες ὡπλισμένοι. ὁ δὲ Κάδμος δείσας βάλλει αὐτοὺς λίθοισιν. οἱ δὲ δοκέοντες ὑφ' ἑαυτῶν βάλλεσθαι, κτείνουσί τε ἀλλήλους καὶ θνήσκουσι πλὴν πέντε ἀνδρῶν, Οὐδαίου, Χθονίου, Ἐχίονος, Πέλωρος, Ὑπερήνορος, καὶ αὐτοὺς Κάδμος πολίτας κατῴκισεν ἐν Θήβαις“.

DXV. Schol. Apoll. III, 1179 *λέγει καὶ Ἑλλάνικος* — exit. Schol. Apoll. III, 1186

---

1 Haec ex vita Hippyos huc transposui Bekkerum secutus. Cf. p. 245 3 Müller I, p. 45 7 *Περήνωρ* PV 9 Kinkel I, p. 228 11 *Ἠλεῖος* corr. Müller II, p. 61 *Δήλιος* PV 12 Müller II, p. 396 Pher. fr. 16 Sturz 13 *ἐπειδὴ* PV 14 *Θήβησιν* F 17 *πολλοὶ* add. F

λέγει καὶ Ἑλλάνικος, ὅτι Κάδμος ἐξελὼν τοῦ ὄφεως τοὺς ὀδόντας, ἔσπειρεν, ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν οἱ προρρηθέντες. ὁ δὲ Ἀπολλώνιος, λέγει ὅτι καὶ ἄλλοι πολλοὶ ἔφυσαν.

DXVI. *Διὰ τί καίειν τοὺς νεκροὺς παρὰ τοῖς παλαιοῖς ἐποίουν.*

Καίειν τοὺς νεκρούς, ὃ δὴ καὶ εἰσέτι παραμένει τισὶ τῶν Βορείων βαρβάρων, ἐποίουν πρὸς ἔνδειξιν τοῦ τὸ μὲν θεῖον τοῦ ἀνθρώπου ἄνω φορηθέν, ὥσπερ ἐν ὀχήματι, τῷ πυρὶ προσμῖξαι τοῖς οὐρανίοις, τὸ δὲ γήϊνον κάτω μεῖναι, τὸ μὲν πυρὶ δαπανηθέν, τὸ δὲ ἐναπομεῖναν λειψάνοις ὀστῶν. οἱ δέ φασιν, ὅτι τὸ μὲν νεκρὸν οὐ καθαρὸν ἐδόκει, ἁγνισμὸς δέ τις ἦν ἡ διὰ πυρὸς δαπάνη τοῦ νεκρωθέντος, ὅτι καὶ τὸ πῦρ ἁγνιστικόν· διὸ καὶ οἱ καθαρμοὶ διὰ πυρὸς ἐγίνοντο. καὶ Εὐριπίδης δὲ τοιοῦτόν τι ἐμφαίνει, ὅπου φησίν, ὅτι τὸ τῆς Κλυταιμνήστρας „πυρὶ καθήγνισται δέμας“. ὁ δὲ Λυκόφρων τῇ προτέρᾳ ἐννοίᾳ συντρέχει, ἐν οἷς τὴν Σκύλλαν καυθεῖσαν δομηθῆναί φησιν, ἤγουν ἀνακτισθῆναι, ἀναζωωθῆναι καὶ γενέσθαι κατὰ τὸν ποιητὴν κακὸν ἀθάνατον. ἔδοξε δέ τισιν, οὐ μὴν ἀληθῶς, τὸν Ἡρακλέα κατάρξαι τῆς τῶν νεκρῶν καύσεως.

DXVI. Eustath. Il. p. 42

---

1 Müller I, p. 45 6 Sic cum F scripsi, *ἔνδειξιν· τοῦτο* inepte PV 15 Substitui textum Eur. Or. 40, *δέμας πυρὶ καθήγνισται* V consentiente F *καθύγνισται* P 16 Alex. 48 mox *Σκύλαν* PV 19 Od. XII, 85 seq. 20 *τοῦ ἔθους* add. F, qui omnino uberior

DXVII. *Περὶ Καινέως.*

Καινέα μυθολογοῦσι πρότερον γεγονέναι γυναῖκα, εἶτα Ποσειδῶνος αὐτῇ πλησιάσαντος, μεταβληθῆναι εἰς ἄνδρα· τοῦτο γὰρ ᾔτησε καὶ ἀτρωσίαν. ἤρισε δὲ καὶ Ἀπόλλωνι καὶ ἐνικήθη. φησὶ δὲ καὶ ὁ μῦθος πλάττων περὶ αὐτοῦ, ὅτι παρθένος εὐπρεπής ποτε ἐγεγόνει, καί, Ποσειδῶνος αὐτῇ συμμιγέντος, αἰτησαμένη ἀνὴρ γενέσθαι καὶ ἄτρωτος μεῖναι ὧν ἤθελεν ἔτυχε. λέγεται δὲ καὶ ὑπερφρονῆσαι. ἀκόντιον γάρ, φασίν, ἐν ἀγορᾷ μέσῃ πήξας εἰς ὀρθόν, θεὸν τοῦτο προσέταξεν ἀριθμεῖν, ὅθεν ἡ δίκη ποινὴν αὐτὸν ἀσεβείας εἰσπραττομένη πεποίηκεν ὑπὸ τοῖς Κενταύροις, οἵ δρυσί τε καὶ ἐλάταις αὐτὸν εἰς γῆν ἤρεισαν, 250 *ἄρρηκτον καὶ ἄκαμπτον δύντα ὑπὸ γῆν, θεινόμενον στιβαραῖς καταίγδην ἐλάταις, ὥς φησιν Ἀπολλώνιος. ἐκέλευε δὲ καὶ τοὺς παριόντας ὀμνύναι τὸ δόρυ αὐτοῦ· ἔνθεν ἡ παροιμία „τὸ Καινέως δόρυ.“ τινὲς δέ φασι Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις, οὐ Κόρωνον. ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε λέγοντος „ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς ᾤχεθ' ὑπὸ χθόνα Καινεὺς σχίσας ὀρθῷ ποδὶ γᾶν.“ τοῦτο δὲ αὐτῷ συνέβη διὰ τὸ μήτε θύειν τοῖς θεοῖς, μήτε εὔχεσθαι, ἀλλὰ τῷ*

DVII. Schol. Apoll. I, 57 *φησὶ δὲ καὶ — Ἀπολλώνιος* Eustath. Il. p. 101 *ἐκέλευε — ὠθοῦσι* Schol. Apoll. l. c. *τὸ δ' ἀληθὲς — ἄτρωτος* Palaeph. 11 (Cf. Arsen. Viol. p. 81) *λέγεται* — exit. Eustath. l. c.

---

4 primum *καὶ* addidi ex F om. PV *καὶ ὁ μῦθος πλάττων* F *καὶ Πλάτων* absurde PV. Idem iamdudum in Violario flagitaverat Spitznerus 14 *καταίγδην* correxi, *κατίγδην* PV 16 *ἔθα* PV 19 Haec reposui e Pind. fr. 167 Bergk. (ed. IV) *ὁ δὲ χλωρῆς ἐλάτῃσι τυπεὶς ᾤχετο Καινεύς, σχίσας ὀρθῷ ποδὶ γᾶν* PV

ἑαυτοῦ δόρατι, διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους· οἵ τινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν.

Τὸ δ' ἀληθὲς οὕτως ἔχει περὶ αὐτοῦ. Καινεὺς ἦν Θετταλὸς τῷ γένει, ἀγαθὸς καὶ ἀνδρεῖος τὰ πολεμικὰ καὶ ἐπιστήμων τοῦ μάχεσθαι. γενόμενος δὲ ἐν πολλαῖς μάχαις οὐδέποτε ἐτρώθη, καθὰ καὶ ὁ Τελαμώνιος Αἴας παρ' Ὁμήρῳ φαίνεται, οὐδὲ Λαπίθαις συμμαχῶν πρὸς τῶν Κενταύρων ἀπέθανεν, ἀλλὰ συλλαβόντες αὐτὸν μόνον κατέχωσαν, καὶ οὕτως ἐτελεύτησεν. ἔλεγον οὖν οἱ Λαπίθαι ἀνελόμενοι τὸν νεκρὸν αὐτοῦ καὶ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα· Καινεὺς τόν γε ἄλλον βίον ἄτρωτος ἦν καὶ ἀπέθανεν ἄτρωτος. λέγεται δὲ καὶ ὅτι κάλλος περιττὸν εἶχεν.

DXVIII. *Διὰ τί τὴν κόμην ἔτρεφον οἱ Ἕλληνες.*

Ἔθος ἦν τοῖς Ἀχαιοῖς κόμην τρέφειν, οὓς καὶ ὁ ποιητὴς καρηκομόωντας λέγει, ἤτοι κομῶντας τὰ κάρηνα καὶ πολύτριχας, οὐ μόνον εἰς κάλλος, ἀλλὰ καὶ διὰ τὸ φοβερόν. οὕτω καὶ λέων χαιτήεις φοβερώτερος τοῦ μὴ χαίτην ἔχοντος. λέγονται δὲ τὸν μὲν ἄλλον πάντα χρόνον κομᾶν οἱ Ἕλληνες, ἐν δὲ πένθους καιρῷ κείρεσθαι. ὡσαύτως δὲ καὶ ἐν καιρῷ ἀκμῆς, ἤτοι ἡλικίας τελείας. τηνικαῦτα γὰρ πλόκαμον κείραντες ἀνετίθουν Ἀπόλλωνι κουροτρόφῳ καὶ ποταμοῖς, καθάπερ Ὅμηρος ἱστορεῖ. καὶ ἦν οὗτος μὲν ὁ πλόκαμος

DXVIII. Eustath. Il. p. 165

6 καθὰ — φαίνεται om. F, habet Eustathius l. c. Τελαμὼν PV 7 οὐδὲ F οὔτε PV 13 περιττοῦν PV 23 ἱστορήσει ἐν τοῖς ἑξῆς F

θρεπτήριος κατὰ τὸν Αἰσχύλον, πενθήριος ὁ ἕτερος. λέγεται δὲ τῆς τομῆς τοῦ θρεπτηρίου πλοκάμου κατάρξαι Θησεύς. κειράμενος γάρ, φασίν, ἐμπροσθίαν κόμην εἰς Δῆλον ἀνέθετο τῷ Ἀπόλλωνι. εἰ δέ τινες τῶν Ἑλλήνων οὐκ ἦσαν καρηκομόωντες, παρεσημειώσατο αὐτοὺς ἡ ἱστορία, Κουρῆτας αὐτοὺς ὀνομάζεσθαι λέγουσα, τοὺς δὲ ἀντιθέτους αὐτοῖς Ἀκαρνᾶνας.

DXIX. *Περὶ Καρνέων ἑορτῆς τοῦ Ἀπόλλωνος.* 251

Κάρνος μάντις τις ὢν εἶπε τοῖς Ἡρακλείδαις, ἄσημα τούτοις μαντευόμενος, ὅντινα ἐκτραπεὶς εἷς τῶν Ἡρακλειδῶν, Ἱππότης τοὔνομα, λόγχῃ βαλὼν ἀπέκτεινε. δι' ὃν λοιμὸς ἐγένετο ἐν τῇ Πελοποννήσῳ, καὶ ἀπελθόντες ἔλαβον χρησμὸν ἐξ Ἀπόλλωνος, Καρνεῖον τιμῆσαι Ἀπόλλωνα. καὶ τοῦτο ποιήσαντες ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν Κάρνεα καλουμένην καὶ οἱ μετοικήσαντες ἐκ Πελοποννήσου εἰς ἑτέρας πόλεις διὰ τὸν λοιμὸν ἐπετέλουν.

Ἄλλως. Κάρνεα ἑορτὴ Δωρικὴ τελουμένη Καρνείῳ Ἀπόλλωνι κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς ἔχρησε τοῖς Ἡρακλείδαις (ἀπ' αὐτοῦ δὲ Κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν). ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ, ὅτι τὸν αὐτὸν καὶ Δία καὶ ἡγήτορα καλοῦσιν Ἀργεῖοι διὰ τὸ τὸν Κάρνον ἡγήσασθαι τοῦ στρατοῦ, ὃν οἱ Ἡρακλεῖδαι ἀπέκτειναν ἀπερχόμενον εἰς Πελοπόννησον, ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ

DXIX. Schol. Theocrit. V, 83

---

1 Sic correxi ex F *θρεπτήριος, κατὰ τὸν Ἀχιλλέα πενθήριος* inepte PV cf. Aesch. Choeph. 6 11 *λιμοῦ* ubique F 21 Müller I, p. 304

στρατεύματος· ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι. ἡ δὲ Πράξιλλα ἀπὸ Καρνείου φησὶν ὠνομάσθαι, τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τῷ Ἀπόλλωνι. Ἀλκμὰν δὲ ἀπὸ Καρνέου τινὸς Τρωϊκοῦ. Δημήτριος δὲ ἀπὸ τοῦ κρᾶναι, ὅ ἐστι τελέσαι· φησὶ γάρ, ὡς ὁ Μενέλαος στρατεύσας εἰς Ἴλιον ηὔξατο τιμῆσαι αὐτόν, ἐὰν κραίνῃ. ἄλλοι δέ φασιν, ὅτι Κάρνεα ἑορτή ἐστι Διός, Καρνεῖα ὀνομαζομένη, παρ' Ἕλλησι δὲ τελεῖται διὰ τὸ τὸν Δούρειον ἵππον ἐκ καρνείου εἶναι ξύλου.

DXX. Περὶ τῆς Κασταλίας.

Πηγὴ περὶ τὴν Ἀντιόχειάν ἐστιν, ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα παρεδρεύειν καὶ χρησμοὺς τοῖς ἐρχομένοις ἐπὶ τὸ ὕδωρ λέγεσθαι. λέγεται δέ, ὅτι, ἡνίκα ἐμαντεύετό τις, αὔρας καὶ πνοὰς καὶ ἁπλοῦν τινα ἦχον, οὐ φωνήν, ὥς τινες ληροῦσι, τὸ ὕδωρ ἀνεδίδου. καὶ ἀναδιδομένων τῶν τοιούτων πνευμάτων, οἱ ἱστάμενοι περὶ τὴν πηγὴν ἱερεῖς, νοοῦντες τὰ σύμβολα, ἔλεγον ἃ ἤθελεν ὁ δαίμων.

DXXI. Περὶ τοῦ Κέκροπος.

Κέκροψ βασιλεὺς γέγονεν Ἀθηναίων, ὃς μεγάλως τὴν Ἀττικὴν κατεκόσμησεν. οὗτος δέ ἐστιν ὁ διφυὴς

DXX. Nonn. II, 21 Sanct. Lum. 8 (Cosm. p. 170; Clarke p. 47; cod. Mon. 490) DXXI. Nonn. Laud. Bas. 2 (Cosm.

---

2 Sic correxit Warton., recepit Zieglerus, quem secutus sum; cf. Bergk. Poet. Lyr. p. 861 et 1226 ὁ δὲ Πραξίλας PV 5 sc. Iliensis, de quo cf. Müller IV, p. 381 11 in margine P legitur γραφ. περὶ τὴν Ἀντιόχειαν, quod cum Nonnus quoque praebeat recipere non dubitavi, ἐν Ἀντιοχείᾳ P (in textu) V consentiente Cosma

καλούμενος. ἐκαλεῖτο δὲ διφυής, ὅτι δύο φωνὰς ἦν ἠσκημένος, μίαν μὲν τὴν τῆς Ἑλλάδος, ἑτέραν δὲ τὴν τῆς Αἰγύπτου. λέγεται γάρ, ὅτι οἱ Ἀθηναῖοι ἄποικοί εἰσιν Αἰγυπτίων ἀπὸ Σάεως πόλεως. ἡγεμὼν οὖν τῆς 252
ἀποικίας γέγονεν οὗτος ὁ Κέκροψ καὶ ἐλθὼν εἰς τὴν Ἑλλάδα ἔμαθε τὴν Ἑλλάδα φωνὴν καὶ τὴν Αἰγυπτίαν. [καὶ ἦλθεν εἰς τὴν Ἑλλάδα φωνὴν ἔχων καὶ τὴν Αἰγυπτίαν]. ὁ δὲ λόγος ὁ λέγων αὐτόχθονας εἶναι Ἀθηναίους μῦθός ἐστι, λαβὼν τὸ πλάσμα ἀπὸ τοῦ μηδέποτε ἀπωσθῆναι, μᾶλλον δὲ ἀναθῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικήν. λεπτόγεως γὰρ οὖσα ἡ χώρα οὐ πάνυ ἦν ζηλωτὴ καὶ ἄλλους εἰσοικίσαι.

Καὶ ἄλλως. Κέκροψ ἐλθὼν ἀπὸ Σάεως, πόλεως Αἰγύπτου, τὰς Ἀθήνας συνῴκησε. Σάϊς δὲ κατ' Αἰγυπτίους ἡ Ἀθηνᾶ λέγεται, ὥς φησι Χάραξ. δίμορφον δὲ λέγουσι καὶ διμόρφου γηγενοῦς τὸν Κέκροπα διὰ τὸ δύο ἀνδρῶν φυλὴν καὶ μέγεθος ἔχειν ἢ διὰ τὸ δύο φωνὰς ἐπίστασθαι, Αἰγυπτίαν καὶ Ἑλληνίδα, ἤ, ὡς ληροῦσι, τὰ ἄνω ἀνθρώπου, τὰ δὲ κάτω δράκοντος εἶχεν. ὅπερ ἀλληγορῶν Δημοσθένης, ὅτι κατὰ ἀλκὴν ὅμοιος τῷ δράκοντι, ἀνθρώπῳ δέ γε τὴν φρόνησιν. ἄλλοι δὲ οὕτως πάλιν ἀλληγοροῦσι λέγοντες, ὅτι ἀγαθὸς βασιλεὺς γεγονὼς πᾶσαν θηριωδίαν ἐθνῶν οὕτως ὑπέταξεν, ὡς μίαν σύμπνοιαν πάντας ἔχειν αὐτῷ καὶ ἀγαθὸν ἡγεμόνα καὶ αὐτοκράτορα. διὰ ταῦτα

p. 146; cod. Mon. 490) *Κέκροψ ἐλθὼν — ποιήσας αὐτοῖς* Tzetzes Lyc. 111 *Κέκροψ Αἰγύπτιος ὢν — ἐκλήθη* Schol. Ar. Plut. 773 (Suid.) *εἰσί τινες* — exit. Schol. Ar. Vesp. 436

---

6 In *Αἰγυπτίαν* verbum cod. Mon. desinit. Pro *Αἰγυπτίαν* apud Nonnum legitur *Αἰγυπτίων* 17 *δύο* P *δύων* V

γοῦν λέγουσιν αὐτὸν διφυῆ. ἢ, ὡς εὗρον ἐν Ἰωάννῃ Ἀντιοχεῖ, ὅτι πρότερον αἱ καθ' Ἑλλάδα γυναῖκες θηριωδῶς, ὥσπερ τὰ ἄλογα, καὶ οὐ κατὰ συζυγίαν ἐμίγνυντο. οἱ γοῦν παῖδες τότε μονοφυεῖς ἦσαν· μητέρα γὰρ μόνην, πατέρα δὲ οὐκ ἐπεγίνωσκον. βασιλεὺς δὲ Κέκροψ τῆς Ἀττικῆς κατέπαυσε τὸ θηριῶδες τῆς μίξεως καὶ ἀνδράσι νομίμοις ἐποίησε τὰς γυναῖκας συνάπτεσθαι. ἐπεὶ γοῦν ἐκ τούτου οἱ παῖδες πατέρα καὶ μητέρα ἐγνώρισαν, τοὺς αἰτίους αὐτῶν τῆς γεννήσεως δύο τυγχάνοντας φύσεων, διφυὴς ὁ Κέκροψ ἐκλήθη, ὡς τοῦτο ποιήσας αὐτοῖς.

Ἄλλως. Κέκροψ Αἰγύπτιος ὢν τὸ γένος ᾤκισε τὰς Ἀθήνας, ὅθεν οἱ Ἀθηναῖοι Κεκροπίδαι. τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γενέσθαι, οἱ μέν, ὅτι τὰ ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω θηρίου, ἕτεροι δέ, ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν. ἄλλοι δέ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχεν μισγομένων ταῖς γυναιξὶ καὶ ἐκ τούτου μὴ γινωσκομένου ἢ τοῦ παιδὸς παρὰ τοῦ πατρὸς ἢ πατρὸς παρὰ τοῦ παιδὸς αὐτὸς νόμους θέμενος, ὥστε φανερῶς συγγίνεσθαι αὐταῖς καὶ μιᾶς τυχεῖν καὶ σχεδὸν εὑρὼν τὰς δύο φύσεις τοῦ τε πατρὸς καὶ τῆς μητρός, τούτου χάριν διφυὴς ἐκλήθη. εἰσί τινες, οἵ
253 φασι τὸν Κέκροπα διφυᾶ γεγονέναι καὶ τὰ κάτω ὄφεως ἐσχηκέναι, καὶ διὰ τοῦτο πρὸς τοὔνομα κεχαριέντισται. καὶ περὶ μὲν Κέκροπος ἅλις.

Εἴπομεν δὲ καὶ περὶ τῆς Κελαδεινῆς Ἀρτέμιδος, μηδὲν περὶ τούτου λέξασαι ἐν τῷ περὶ Ἀρτέμιδος.

---

1 Ἰωάννῃ addidi ex F, quod vix omitti potest cf. Müller IV. p, 547 12 ᾤκησε PV 28 λέξασα (sed acc. om.) P corr. V

DXXII. *Διὰ τί κελαδεινὴ ἡ Ἄρτεμις λέγεται.*

Κελαδεινὴ Ἄρτεμις λέγεται ὡς αἰτία τοῦ ἐν κυνηγεσίοις κελάδου καὶ ἡ κῆλα δεινὰ ἔχουσα, τουτέστι βέλη, ἢ ὅτι Ἐγκέλαδόν τινα σὺν Ὠρίωνι ἀνεῖλε βιαζόμενον αὐτήν, ἢ διὰ τοὺς κελάδους, ἤτοι θορύβους, οὓς ποιεῖ ἡ μὲν μυθικὴ Ἄρτεμις κυνηγετοῦσα, ἡ δὲ ἀλληγορουμένη αὔξουσα καὶ φθίνουσα. σελήνης γὰρ πάθη ἡ αὐξομείωσις, ὅτε κέλαδοι ὡς ἐπὶ πολὺ περὶ ἀέρα γίνονται.

DXXIII. *Περὶ Κενταύρων.*

Κενταύρους ἐκ δύο φυῶν ἡρμοσμένους, ὅ ἐστι διφυεῖς, μυθολογοῦσι γεγονέναι, τὸ μὲν κάτω ἵππους ὄντας ἄχρι καὶ εἰς αὐχένα, τὸ δὲ ἐνεῦθεν, ἀνθρώπους καὶ τὸ ὅλον εἰπεῖν, ἵππους τε ὄντας ἀκεφάλους καὶ ἀνθρώπους ἄποδας· ὅθεν καὶ ἀστεῖον ἐκεῖνο εἴρηται, ὅτι δηλαδὴ ἐν τῇ τῶν Ἱπποκενταύρων φύσει ἵππος μὲν ἀπερεύγεται ἄνδρα, βροτὸς δὲ ἀποπέρδεται ἵππον. ἡ δ' ἀλήθεια περὶ αὐτῶν οὕτως ἔχει κατὰ τὴν ἱστορίαν. Ἰξίονος βασιλέως ὄντος Θεσσαλίας, ἐν τῷ Πηλίῳ ὄρει ἀπηγριώθη ταύρων ἀγέλη καὶ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐποίει. εἰς γὰρ τὰ οἰκούμενα κατιόντες οἱ ταῦροι ἔσινον τὰ δένδρα καὶ τοὺς καρποὺς καὶ τὰ ὑποζύγια διέφθειρον. ἐκήρυξεν οὖν ὁ Ἰξίων, εἴ τις ἀνέλοι τοὺς ταύρους, τούτῳ δώσειν χρήματα πάμπολλα.

DXXII. Eustath. Il. p. 1342 CXXIII. Eustath. Il. p. 102 *ἡ δ' ἀλήθεια* — exit. Palaeph. 1

---

2 *κηλεδεινὰ* P *κήλη δεινὰ* V *κῆλα δεινὰ* F 3 *ἐγκέλαδόν τινα* PV 5 *ποιεῖ* add. ex F om. PV 10 *μυθολογοῦσιν* P 17 *Πηλείῳ* PV 21 Sic F *ὡς εἴ τις οὖν ἕλοιτο τοὺς Κενταύρους* PV infra *δώῃ* PV

νεανίσκοι δέ τινες ἐκ τῆς ὑπωρείας, ἐκ κώμης τινὸς καλουμένης Νεφέλης, ἐπινοοῦσιν ἵππους κέλητας διδάξαι· πρότερον γὰρ οὐκ ἠπίσταντο ἐφ᾽ ἵππων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶντο. οὕτω δὲ ἀναβάντες τοὺς κέλητας ἤλαυνον ἐφ᾽ οὗ οἱ ταῦροι ἦσαν. καὶ ἐπεισβάλλοντες τῇ ἀγέλῃ ἠκόντιζον, καὶ ὅτε μὲν ἐδιώκοντο ὑπὸ τῶν ταύρων, ἀπέφευγον οἱ νεανίαι· ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι. ὅτε δὲ ἔστησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον καὶ τοῦτον τὸν τρόπον ἀνεῖλον αὐτούς. καὶ τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τοὺς Κενταύρους κατεκέντουν. οὐδὲν γὰρ πρόσεστι ταύρου τοῖς Κενταύροις, ἀλλ᾽ ἵππου καὶ ἀνδρὸς ἰδέα ἐστὶν ἀπὸ τοῦ ἔργου λαβόντες γοῦν οἱ Κένταυροι παρὰ Ἰξίονος χρήματα καὶ γαυριῶντες ἐπὶ τῇ πράξει καὶ τῷ πλούτῳ, ὑβρισταὶ ὑπῆρχον καὶ ὑπερήφανοι καὶ πολλὰ κακὰ εἰργάζοντο,
254 καὶ δὴ καὶ κατ᾽ αὐτοῦ τοῦ Ἰξίονος, ὃς ᾤκει τὴν νῦν καλουμένην Λάρισσαν πόλιν· οἱ δὲ τότε τοῦτο τὸ χωρίον οἰκοῦντες Λαπίθαι ἐκαλοῦντο. κεκλημένοι δὲ οἱ Κένταυροι παρὰ τῶν Λαπίθων ἐπὶ θοίνην, μεθυσθέντες ἁρπάζουσι τὰς γυναῖκας αὐτῶν καὶ ἀναβιβάσαντες ἐπὶ τοὺς ἵππους αὐτάς, ᾤχοντο φεύγοντες εἰς τὴν οἰκείαν, ὅθεν ὡρμῶντο. ἐπολέμουν οὖν τοῖς Λαπίθαις καὶ καταβαίνοντες διὰ νυκτὸς εἰς τὰ πεδία ἐνέδρας ἐποίουν. ἡμέρας δὲ γενομένης, ἁρπάζοντες ἀπέτρεχον ἐπὶ τὰ ὄρη. οὕτω δ᾽ ἀπερχομένων αὐτῶν, ἵππων οὐραὶ καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο.

---

4 *ἀναβαίνοντες* PV 11 *κατεκέντουν* P *μετεκέντουν* V 13 *τοῦ* addidi ex F om. PV 17 *τοῦ* addidi ex F 23 *οἰκίαν* PV

ξένην οὖν ὁρῶντες θέαν ἔλεγον· οἱ Κένταυροι ἡμᾶς κατατρέχοντες ἐκ Νεφέλης πολλὰ κακὰ ἐργάζονται. ἀπὸ δὴ ταύτης τῆς ἰδέας τοῦ λόγου ὁ μῦθος ἀπίστως ἐπλάσθη, ὡς ἐκ τῆς Νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐγεννήθη ἐν τῷ ὄρει.

DXXIV. *Περὶ τοῦ κέρατος τῆς Ἀμαλθείας.*

Κέρας τῆς Ἀμαλθείας τὸ τῆς μυθικῆς αἰγός, τῆς θρεψαμένης τὸν αἰγίοχον Δία, ἔνιοί φασιν εἶναι, ὃ φέρων πανταχοῦ ὁ Ἡρακλῆς, ἐγίνετο αὐτῷ, ὅσα ἐβούλετο. ἕτεροι δέ φασιν, ὡς Ἀχελῷος κλασθεὶς τὸ ἀρίστερον κέρας ὑφ' Ἡρακλεῖ, τὸ τῆς Ἀμαλθείας κέρας ἀντέδωκε, δι' οὗ πᾶν ἀγάθον ἐχορηγεῖτο τῷ χρῄζοντι. τοῦτο δὲ οἱ τῶν μύθων θεραπευταὶ πρὸς ἀλήθειαν συμβιβάζοντες τοιοῦτόν τί φασιν αἰνίττεσθαι. Ἡρακλῆς εὐεργετεῖν εἰδὼς τοὺς ὁποίποτε γῆς, εἶτα καὶ τὸν ποταμὸν τοῦτον μαθὼν πλημμερῶς ῥέοντα καὶ ταῖς καμπαῖς πολλὴν τῆς Αἰτωλικῆς παρατεμνόμενον καὶ οὕτως ἀδικοῦντα, παραχώμασί τισι καὶ διώρυξι καὶ διοχετείαις αὐτὸν ἐβιάσατο, καὶ παρατρέψας καὶ ῥέειν σωφρόνως ποιήσας ἀνέψυξε τὴν γῆν καὶ εἰς ἀγαθοποιὸν εὐχρηστίαν μετήγαγε καὶ τὸ τοῖς ἐγχωρίοις ἐπαριστερὸν κέρας τοῦ ποταμοῦ, τὴν ἄτακτον καμπὴν δηλαδή, τήν, ὡς εἰπεῖν, ἀτέραμνον καὶ σκληρὰν τοῖς ἐκεῖ, εἰς μαλθακὴν οἷον ἀντιπαρέστησε δεξιότητα. καὶ ταῦτά εἰσι τὰ κέρατα τοῦ Ἀχελῴου, τό τε βίαιον, τὸ

DXXIV. Eustath. Dion. 433. Cf. Eud. p. 212 *ἄλλοι δὲ πάλιν — προσανεπλάσθη* Palaeph. 46 (Arsen. Viol. p. 49) *οἱ δὲ οὐ νέαν* — exit. Eustath. Dion. l. c. Cf. Eud. p. 213

11 *ἀντέδωκεν* PV

καταπονηθὲν καὶ τὸ πλουτοποιὸν τὸ ἀντιδοθέν, δι' οὗ καὶ Ἡρακλῆς εὐεργέτης ἔγνωσται. τὰς γάρ τοι τῶν ποταμίων ῥείθρων καμπὰς κέρατα ἐκάλουν οἱ παλαιοὶ καὶ διὰ τοῦτο ταυροκράνους καὶ κερασφόρους ἐτύπουν αὐτούς.

Ἄλλοι δὲ πάλιν φασίν, ὅτι Ἡρακλῆς ἀποδημῶν κατὰ Βοιωτίαν μετὰ Ἰολάου τοῦ ἀδελφιδοῦ καταλύει ἐν Θεσπιαῖς ἔν τινι πανδοκείῳ, ἐν ᾧ ἦν τις γυνὴ καλουμένη Ἀμάλθεια, ὡραία καὶ καλή. ὁ δὲ Ἡρακλῆς ἡδόμενος αὐτῇ πλείονα χρόνον ἐξενίζετο. Ἰό-
255 λαος δὲ βαρέως φέρων, ἐπινοεῖ τὴν ἐμπολὴν τῆς Ἀμαλθείας ἐν κέρατι κειμένην ἀφελέσθαι, ἐξ ἧς ἐμπολῆς, εἴ τι ἤθελεν, ὠνεῖτο τῷ Ἡρακλεῖ. ἔλεγον οὖν διὰ τοῦτο οἱ συνέκδημοι· Ἡρακλῆς τὸ κέρας ἔσχε τῆς Ἀμαλθείας, ἐξ οὗ ὠνεῖτο ὅσα βουλητέον αὐτῷ. ἐξ οὗ ὁ μῦθος προσανεπλάσθη. [οἱ δὲ οὐ νέαν καὶ ὡραίαν τὴν Ἀμάλθειαν βούλονται γενέσθαι, ἀλλὰ γραῦν κερδαλέαν καὶ ἐμπορικήν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλουτοποιὸν καὶ βιωφελές. ἐπεὶ δὲ ὁ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλῆρες τοῦ ἐγκειμένου κέρματος καὶ χρησάμενος ἔζησε πρὸς τρυφήν, λόγος ἐντεῦθεν διεδόθη ἀστεῖος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει πᾶν ἀγαθόν· οὐ τὸ τῆς μυθικῆς αἰγός, ἀλλὰ τὸ τῆς ῥηθείσης γραός. ἄλλος δέ τις λόγος Λιβυκόν τι χωρίον πάμφορον, ἐοικὸς βοὸς κέρατι κατὰ τὸ σχῆμα, ἐκτίθεται καὶ εἰς κτῆμα γυναικί τινι

---

8 Θεσπεσίαις PV πανδοχείῳ PV 12 ἀφελέσθαι F ἀνελέσθαι PV 15 βούλοιτο ἐπ' PV 16 Verba οἱ δὲ — exit. male ex Eud. p. 213 repetita sunt, quare hic expunxi

Ἀμαλθείᾳ δίδωσιν. ὅπερ διὰ τὸ καρποῦ παντὸς εἰς πολλαπλάσιον δοτικὸν εἶναι ὁ μῦθος εἰς βόειον κέρας μεταλαβὼν τὰ θρυλλούμενα περὶ αὐτοῦ δίδωσιν. εἰ δέ τι παραπέλαυσεν ἀγαθὸν τοῦ τοιούτου κέρατος καὶ ὁ Ἡρακλῆς, ὅτε εἰς Λιβύην ἀπεδήμησε, λέγοιτο ἂν οὕτω μετεῖναι τῷ Ἡρακλεῖ τοῦ τῆς Ἀμαλθείας κέρατος.]

DXXV. *Περὶ τοῦ Κερβέρου.*

Μυθεύεται, ὅτι ἔστι τις κύων ἔχων τρεῖς κεφαλάς, ὃς καλεῖται Κέρβερος [ἐν τῷ Ἅιδῃ], [οὗ τὴν κλῆσιν Ὅμηρος μὲν σιγᾷ, οἱ δὲ νεώτεροι Κέρβερον αὐτὸν καλοῦσι· καὶ οὐρὰν προσπλάττουσιν αὐτῷ δράκοντος, ἐπὶ δὲ νώτου προσφύουσιν ὄφεων κεφαλάς]. οὗτος, φασί, φυλάττει τὰς πύλας τοῦ Ἅιδου καὶ τοὺς μὲν καταβαίνοντας εἰς τὸν Ἅιδην σαίνει καὶ κολακεύει, τοὺς δὲ ἀνιόντας δάκνει καὶ οὐκ ἐᾷ ἀνελθεῖν. φασὶν οὖν, ὅτι ὁ Ἡρακλῆς, ὅτε κατῆλθε συναρπάσαι τῷ Πειρίθῳ τὴν Περσεφόνην, ἀνιὼν ἀπέκτεινε τὸν τρίκρανον Κέρβερον. [οἱ δέ, ὅτι ἀνήγαγε ζῶντα καὶ τῷ Εὐρυσθεῖ ἐκόμισεν, ἕνα φασὶν εἶναι τῶν Ἡρακλέους ἄθλων μέγιστον, οἳ ἐν μηνὶ καὶ ἔτεσιν ὀκτὼ ἐκείνῳ ἠνύσθησαν. καὶ ταῦτα μὲν ὁ μῦθος. οἱ δὲ ἱστοροῦν-

DXXV. Nonn. I, 51 *οὗ τὴν κλῆσιν — κεφαλάς* Eustath. Il. p. 717. Cf. Eud. p. 215. *οὗτος, φασί — Κέρβερον* Nonn. l. c. *οἱ δέ, ὅτι ἀνήγαγε — ὁμωνυμεῖν* Eustath. l. c. *οἱ δέ φασιν — κύνα* Palaeph. 40 *ἡ δὲ ἀλληγορία* — exit. Eustath. l. c.

---

8 *Κέρβερος* F *τρίκρανος* PV Verba *ἐν τῷ Ἅιδῃ* nescio unde huc fluxerint Verba *οὗ τὴν κλῆσιν — κεφαλάς* et *οἱ δὲ — ὁμωνυμεῖν*, quae alio loco rectius leguntur, hic postea addita videntur 9 Il. VIII, 368 14 *φησὶν* F 18 *ἐκόμισε* PV, mox *ἵνα* pro *ἕνα* absurde PV

τες λέγουσιν, ἄφυκτον εἶναι κύνα τὸν Κέρβερον Ἀϊδωνέως Θρᾳκῶν βασιλέως, ἔνθα σταλέντα τὸν Ἡρακλέα ὑπὸ Εὐρυσθέως περιγενέσθαι τοῦ κυνὸς καὶ τὸν μῦθον ἐντεῦθεν πλασθῆναι, διὰ τὸν Ἀϊδωνέα τὸν Θρᾷκα τῷ ὑπὸ γῆν Ἅιδῃ ὁμωνυμεῖν.] οἱ δέ φασιν, ὅτι Γηρυόνῃ ἐν Τρικαρηνίᾳ πόλει τοῦ Εὐξείνου πόντου διάγοντι ἐπὶ ταῖς βουσὶν ἦσαν κύνες μεγάλαι τε
256 καὶ νεανικαί, ὧν ὁ μὲν Κέρβερος τρικάρηνος, ἡ δὲ Ὄρθος. τὴν μὲν οὖν Ὄρθον Ἡρακλῆς ἐν Τρικαρηνίᾳ, πρὶν περιελεῖν τὰς βοῦς, ἀναιρεῖ, ὁ δὲ Κέρβερος συνηκολούθει ταῖς βουσίν. ἐπιθυμήσας δὲ τοῦ κυνὸς ἀνὴρ Μυκηναῖος, τοὔνομα Μολοττός, τὸ μὲν πρῶτον ᾔτει τὸν Εὐρυσθέα ἀποδοῦναι τὸν κύνα. οὐ βουλομένου δὲ τοῦ Εὐρυσθέως, ἀναπείθει τοὺς βουκόλους καὶ τὸν κύνα καθείργνυσιν ἐν τῇ Λακωνικῇ ἐπὶ Ταινάρῳ ἐν σπηλαίῳ τινὶ καὶ ἀφίησιν αὐτῷ κύνας θηλείας συμβατεύειν. Εὐρυσθεὺς δὲ πέμπει Ἡρακλέα ἐπὶ ζήτησιν τοῦ κυνός. ὁ δὲ πᾶσαν περιϊὼν τὴν Πελοπόννησον ἦλθεν, ὅπου ὁ κύων αὐτῷ ἐμηνύθη εἶναι, καὶ καταβὰς ἀνάγει ἐκ τοῦ ἄντρου τὸν κύνα. ἔλεγον οὖν οἱ τότε, ὅτι διὰ τοῦ ἄντρου καταβὰς εἰς Ἅιδου ὁ Ἡρακλῆς ἀνήγαγε τὸν κύνα. ἡ δὲ ἀλληγορία εἰς μέθην αὐτὸν ὑπονοεῖ ἢ ἄλλο τι τοιοῦτον κακὸν παρὰ τὸ κέαρ βαρύνειν, ὅ ἐστι τὴν ψυχήν. οὗ δὴ Κερβέρου περιγίνεται Ἡρακλῆς, ὁ εἰς τὸν λόγον ἀναγόμενος.

---

15 καθείργνυσιν F κατειργνύουσιν PV 21 οἱ ἄνθρωποι F 24 Cf. Hesiodscholien (meae ed.) p. 318

DXXVI. Περὶ τῶν Κεραμεικῶν.

Κεραμεικοὶ τόποι δύο τινὲς ἦσαν Ἀθήνησιν οὕτω καλούμενοι, ὧν ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἔξω. ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον. ἦσαν δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις, ἔχουσαι ἐπιγραφάς, ποῦ ἕκαστος τέθαπται. ἐν δὲ τῷ ἑτέρῳ ἦσάν τε καὶ προεστήκεσαν αἱ πόρναι. οἱ δὲ Κεραμεικόν φασι τόπον Ἀθηναίων, ὅπου θεῶν τὰ ἀγάλματα ἱδρυμένα ἦν.

DXXVII. Περὶ τοῦ Κερδῴου θεοῦ.

Κερδῷον θεὸν καλοῦσι τὸν Ἑρμῆν οἱ Ἕλληνες, ὡς κέρδους περιποιητικὸν καὶ ἔφορον. διὸ καὶ μαρσίπιον αὐτὸν ποιοῦσι βαστάζειν, ὡς καὶ ἔφορον τῆς κλοπῆς. ὅθεν καὶ Ἀριστοφάνης ἐν Πλούτῳ ἀπορῶν, τίνα δεῖ καλέσαι, τὸν Ἑρμῆν φησιν· ἐμπολαῖον αὐτὸν ἱδρυσώμεθα, τουτέστι κέρδους ἔφορον.

DXXVIII. Περὶ τοῦ κήτους τοῦ Τρωϊκοῦ.

Περὶ τοῦ Τρωϊκοῦ κήτους μυθεύεται, ὅτι τοῖς Τρωσὶν ἐκ τῆς θαλάττης ἐπεφοίτα. καὶ εἰ μὲν αὐτῷ δοῖεν κόρας, ἀπήρχετο, εἰ δὲ μή, τὴν χώραν αὐτῶν ἐλυμαίνετο. ὡς δὲ μάταιον τὸ ἄνδρας ἐκτίθεσθαι τὰς ἑαυτῶν θυγατέρας, τίς οὐκ οἶδεν; ἀλλ' ἦν ἀνὴρ βασιλεὺς μέγας καὶ πολλὴν ἔχων δύναμιν καὶ ναυτι-

DXXVI. Schol. Ar. Aves 394 (Suid.) DXXVII. Nonn. I, 90 (Cosm. p. 66) DXXVIII. Palaeph. 38

---

1 κεραμικῶν bis PV 13 Plut. 1155 17 ἐπεφοίτα F ἐφοίτα PV

257 κὸν πολύ, ὃς κατέστρεψε τὸ παραθαλάσσιον τῆς Ἀσίας ἕλος, ὃ Τρῶες ἐκτῶντο. ἐδίδουν δὲ φόρον, ὅν τινες δασμὸν καλοῦσιν (ἀργυρίῳ μὲν οὖν οἱ τότε ἄνθρωποι οὐκ ἐχρῶντο, ἀλλὰ σκεύεσι). προσέταξε δὲ ὁ βασιλεύς, ᾧ ὄνομα Κήτων, τῶν πόλεών τινας μὲν ἵππους διδόναι, τινὰς δὲ κόρας. τὸν δὲ βασιλέα, ᾧ ὄνομα Κήτων, οἱ βάρβαροι ἐκάλουν Κῆτος. περιέπλει δὲ ὁ Κήτων κατὰ τὸν δέοντα χρόνον, ἀπαιτῶν τὸν δασμόν, τῶν δὲ μὴ ἀποδιδόντων ἐκάκου τὰς χώρας. ἐξέρχεται δὲ εἰς Τροίαν, καθ' ὃν χρόνον καὶ Ἡρακλῆς ἧκεν, ἔχων στρατιὰν τῶν Ἑλλήνων. μισθοῦται δὲ τὸν Ἡρακλέα Λαομέδων ὁ βασιλεύς, ἀρῆξαι τοῖς Τρωσίν. ἀποβιβάσας δὲ τὴν στρατιὰν ὁ Κήτων ὡδοιπόρει. ὑπαντήσαντες δ' αὐτῷ Ἡρακλῆς καὶ Λαομέδων ἀναιροῦσιν αὐτόν. οὗ γενομένου, ὁ μῦθος προσανεπλάσθη.

DXXIX. *Περὶ τῶν κολάσεων τῶν παρ' Ἕλλησι δοξαζομένων.*

Οἱ παλαιοὶ καὶ αὐτοὶ βούλονται εἶναι κολαστήρια, ὅπου αἱ τῶν ἁμαρτανόντων ψυχαὶ κολάζονται. ἐν οἷς καὶ Πλάτων ἐν τῷ Φαίδωνι λέγων περὶ τῶν λήξεων καὶ τῶν ἀποκληρώσεων τῶν ψυχῶν λέγει, ὅτι οἱ ἀδίκως βεβιωκότες κολάζονται ἐν τῷ Κωκυτῷ καὶ ἐν τῷ Πυριφλεγέθοντι καὶ ἐν τῷ Ταρτάρῳ. ποταμοὶ δὲ οὗτοί εἰσιν, ὁ μὲν Κωκυτὸς ψυχρότατος, ὁ δὲ Πυρι-

DXXIX. Omnia ex scholiis ad Greg. Naz. fluxerunt (ποταμοί — θερμότατος Suid. v. Ἠλύσιον, ὁ δὲ Τάρταρος — exit. Suid. v. Ἀχέρων)

---

3 ἀργυρίῳ F ἀργυρίοις PV 7 περιεπόλει PV 13 ὁδοιπόρει PV 22 εἰσὶν om. S δὲ ante Τάρτ. ego inserui

φλεγέθων θερμότατος, ὁ δὲ Τάρταρος μέσος τις τόπος τοῦ παντός, ἐν ᾧ ἀνίμησίς ἐστιν ὑδάτων καὶ κατάποσις ἄχρι τοῦ τέρματος τοῦ παντός, σκοτεινός τις καὶ ἀφεγγής. [καὶ ὅτι ἐν τούτῳ τῷ τόπῳ κολάζονται οἱ ἄδικοι]. ὁ δὲ Ἀχέρων [καὶ αὐτὸς μέσος τις ὢν] καθαρσίῳ ἔοικε καὶ οὐχὶ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ τῶν ἀνθρώπων ἁμαρτήματα.

DXXX. *Περὶ τοῦ κολοιοῦ καὶ τῶν πτερῶν αὐτοῦ.*

Κρίσις ἦν, ὥς φασι, περὶ κάλλους ὄρνεων, καὶ ὁ Ζεὺς διαιτητὴς ὑπῆρχε τῆς κρίσεως. ἦν δὲ ὁρισθεῖσα ἡμέρα, ἐν ᾗ ἔδει συναυλισθῆναι τὰ ὄρνεα παρὰ τὸν Δία. τῇ προτέρᾳ δὲ τῆς ὁρισθείσης ἡμέρας παρὰ τοὺς ποταμοὺς φοιτήσαντα τὰ ὄρνεα τοῖς νάμασιν ἀπενίζοντο τὰ πτερά, ἵνα τὸ φυσικὸν ἑκάστῳ διαλάμψῃ κάλλος. ὁ δὲ κολοιὸς (ἔστι δὲ τοῦτο τὸ ὄρνεον εὖ μάλα μικρὸν μὲν τῷ σώματι, ἀκαλλὲς δὲ τὸ εἶδος), τῶν ἐκπεσόντων παρὰ τοῖς ὕδασι πτερῶν περιθεὶς ἑαυτῷ ἧκε καὶ αὐτὸς παρὰ τὸν Δία, ὡς ληψόμενος τοῦ κάλλους τὰ νικητήρια. ἀνέμου δὲ ὧδε πνεύσαντος καὶ 258 ἀποσκεδάσαντος τὰ ἀλλόφυλα τῶν πτερῶν, γυμνὸς εὑρέθη τοῦ κάλλους. ἔχων δὲ τὴν ἐκ φύσεως αὐτῷ περικειμένην ἀμορφίαν οὕτω τῆς αἰσχύνης ἀπέλαυσεν.

DXXX. Nonn. I, 63 (Cosm. p. 187)

---

1 Hoc loco S legit ὁ Ἀχέρων, quod certe vitiosum est, cum hac glossa de Tartaro, non de Acheronte agatur 4 seq. om. S 5 καὶ αὐτὸς μέσος τις ὢν lector aliquis adscripsit, ab initio Suidae articuli ὁ Ἀχέρων μέσος τις τόπος verba mutuatus. Cf. Untersuchungen p. 83 seq. 11 Sic etiam Cosmas, προτεραίᾳ Nonnus 13 ἀπενίπτοντο Nonnus; cum Eudocia conspirat, ut saepius, Cosmas 20 κάλλους F ἀλλογενοῦς inepte PV

[DXXXI. *Περὶ Κόττου καὶ Βριάρεως.*

Κόττος καὶ Βριάρεως ἄνδρες ὄντες μυθεύονται ὡς ἑκατὸν χεῖρας ἔσχον, οἳ μετὰ τῶν θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας. τὸ δ' ἀληθὲς οὕτως ἔχει. τῇ πόλει ἦν ὄνομα Ἑκατογχειρία, ἐν ᾗ ᾤκουν. ἦν δὲ πόλις τῆς νῦν καλουμένης Ὀρεστιάδος. ἔλεγον οὖν οἱ ἄνθρωποι· Κόττος καὶ Βριάρεως Ἑκατόγχειρες, οἱ βοηθήσαντες τοῖς θεοῖς, αὐτοὶ ἐξήλασαν τοὺς Γίγαντας ἐκ τοῦ Ὀλύμπου.]

DXXXII. *Περὶ τοῦ Κρόνου.*

Κατὰ τὸν μῦθον, ὡς καὶ εἴρηται, ὁ Οὐρανὸς γίνεται Κρόνου πατήρ. ὁ Κρόνος δὲ μὴ βουλόμενος γενέσθαι αὐτῷ ἕτερον παῖδα, λαβὼν δρέπανον ἐκτέμνει τὰ αἰδοῖα πατρὸς καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλασσαν, καὶ ἀφροῦ γενομένου ἐγεννήθη ἡ Ἀφροδίτη· ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη ἐκ τοῦ ἀφροῦ. λέγεται δὲ προσέτι ὁ Κρόνος πρῶτον μὲν καταπίνειν τὰ ἐκ τῆς αὐτοῦ γαμετῆς Ῥέας γινόμενα αὐτῷ τέκνα, διὸ καὶ τεκνοφάγον αὐτὸν καλοῦσιν. ὃ οἱ τῶν μύθων θεραπευταὶ καὶ θεολόγοι τῶν Ἑλλήνων ἀλληγοροῦντές φασιν, ὅτι εἴληπται μὲν οὖν οὕτω πάνυ εἰκότως, ἐπειδή, ὅσα ἂν γίνονται κατὰ τὸν τῆς κινήσεως λόγον,

CXXXI. Palaeph. 20. Cf. Eud. p. 91 DXXXII. Nonn. I, 88 (cod. Mon. 490) *λέγεται δὲ προσέτι — πάντων* Cornut. 6 *τέως δὲ ὁ Κρόνος — ἐξελίσσων* Cornut. 7 *ἡ δὲ ἱστορία — ἐτίμησαν* Miller, Périple p. 311 *καὶ ἀλληγοροῦντες* — exit. Etym. M. p. 540, 5 (Schol. Hes. Oper. 111, Theog. 459)

---

1 Haec utpote ex priore loco repetita uncis seclusi 6 *καὶ Γύγης* add. F 9 Cf. Eud. p. 195 16 *αὐτῷ* P *αὐτῷ* V

πάλιν κατὰ τὸν αὐτὸν ἐν περιόδῳ ἀφανίζεται. καὶ ὁ χρόνος δὲ τοιοῦτόν ἐστι· δαπανᾶται γὰρ ὑπ' αὐτοῦ τὰ γενόμενα. εἶτα τὴν Ῥέαν, φασί, γενομένου αὐτῇ τοῦ Διός, λίθον ἀντ' αὐτοῦ προσενεγκεῖν ἐσπαργανωμένον τῷ Κρόνῳ, τοῦτον εἰποῦσαν τετοκέναι, κἀκεῖνον μὲν καταποθῆναι ὑπ' αὐτοῦ, τὸν δὲ Δία τραφέντα βασιλεῦσαι τοῦ κόσμου. ἐνταῦθα οὖν ἄλλως εἴληπται ἡ κατάποσις. συντέτακται γάρ, φασίν, ὁ μῦθος περὶ τῆς τοῦ κόσμου γενέσεως, ἐν ᾧ τότε ἀνετράφη ἡ διοικοῦσα αὐτὸν φύσις καὶ ἐπεκράτησεν, ὅτε εἰς τὸ μεσαίτατον αὐτοῦ ὁ λίθος οὗτος, ὃν καλοῦμεν γῆν, οἱονεὶ καταποθεὶς ἐγκατεστηρίχθη. οὐ γὰρ ἂν ἄλλως συνέστη τὰ ὄντα, εἰ μὴ ἐπὶ θεμελίῳ ταύτης ἐρείσθη, γινομένων καὶ τρεφομένων ἐντεῦθεν πάντων. τέως δὲ ὁ Κρόνος ἱστορεῖται συνεχῶς κατιὼν ἐπὶ τῷ μίγνυσθαι τῇ γῇ, τοῦτον δὲ ἐκτεμεῖν καὶ παῦσαι τῆς ὕβρεως· ὁ μὲν γὰρ Ζεὺς ἐκβαλὼν αὐτὸν τῆς βασιλείας κατεταρτάρωσε. διὰ γοῦν τούτων αἰνίττονται, ὅτι ἡ τῆς ὅλης γενέσεως τάξις, ἥν φασιν ἀπὸ τοῦ κραίνειν, 259
Κρόνον εἰρῆσθαι, τὴν γινομένην τέως πολλὴν ῥύσιν τοῦ περιέχοντος ἐπὶ τὴν γῆν ἔστειλε, λεπτοτέρας ποιήσασα τὰς ἀναθυμιάσεις. ἡ δὲ τοῦ κόσμου φύσις ἐπιχύσεις ἐπιχύσασα, ἣν καὶ Δία λέγουσι καλεῖσθαι, τὸ λίαν φερόμενον τῆς μεταβολῆς ἐπέσχε καὶ ἐπεπέδησε μακρότερον διεξαγαγὼν καὶ δοὺς αὐτῷ τῷ κόσμῳ. πάνυ δ' εἰκότως καὶ ἀγκυλομήτην φασὶ καλεῖσθαι τὸν Κρόνον, ἀγκύλων ὄντων καὶ δυσπαρακολουθήτων, ἃ μή τελέσηται τοσούτους ἀριθμοὺς ἐξελίσσων.

---

5 εἰποῦσα PV 13 ταῦτα PV 15 seq. De corruptelis loci cf. Osann. 28 ἐξελίσσων F ἐλελίττων PV

Ἡ δὲ ἱστορία Κρόνον βασιλέα Κρήτης οἶδεν, ὁμοίως καὶ Δία τὸν καὶ Ἀστερίονα νομοθέτην Κρητῶν καὶ ἄλλων Ἑλλήνων ὄντα. ἀλλ' ὁ μὲν Κρόνος ἐξορισθεὶς ὑπὸ τοῦ ἰδίου υἱοῦ Διὸς εἰς Ἰταλίαν ἀφικνεῖτο βασιλεύς τε ἐγένετο Λατίνων, νόμους θεὶς αὐτοῖς καὶ γεωργίαν διδάξας, ὃν καὶ ὡς θεὸν ἀποθανόντα ἐτίμησαν. καὶ ἀλληγοροῦντές φασιν, ὅτι τῆς νοερᾶς ζωῆς ἐστι δοτήρ, κόρος ὢν τοῦ νοῦ, μᾶλλον δὲ κόρος νοῦς καὶ καθαρός. πάντες οὖν οἱ νοερῶς ζῶντες Κρονίαν ἔχουσι πολιτείαν, φασίν, ὅθεν καὶ βασιλεὺς αὐτῶν ὁ Κρόνος λέγεται. ὃν ἐκ τοῦ κρᾶν καὶ κιρνᾶν ἕκαστα τῶν γενεθλιωμάτων φασὶ καὶ μίξαντα τὸ θῆλυ τῷ ἄρρενι. Χρύσιππος δέ φησι, καθύγρων ὄντων τῶν ὅλων καὶ ὄμβρων καταφερομένων πολλῶν, τὴν ἔκκρισιν τούτων Κρόνον ὠνομάσθαι.

DXXXIII. Περὶ Καλλιστοῦς.

Καλλιστὼ τὴν Λυκάονος χόλῳ Ἥρας διὰ τὸν Διὸς ἔρωτα μεταπεσεῖν εἰς ἄρκτον λέγουσι, καὶ τοξευθῆναι μὲν ὑπ' Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς ἀστέρας ὑπὸ τοῦ Διός. ἰστέον δὲ καὶ ἐπεὶ ἄρκτον ὁ μῦθος κατὰ ζωωνυμίαν τὸ τῆς Καλλιστοῦς ὠνόμασεν ἀστεροθέτημα, ὁ δὲ Ὠρίων κυνηγέτης ὑπόκειται, χαριέντως εἶπεν ὁ ποιητὴς τὸ

ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει.

ἀληθῶς μέν, διότι τὴν αὐτὴν ἡ ἄρκτος τῷ Ὠρίωνι ποιεῖται κίνησιν, ἀστείως δέ, ὡς πρὸς τὸν μῦθον,

DXXXIII. Eustath. Il. p. 1212 *καὶ τὸν Ἀρκτοῦρον* — exit. Eratost. Catasterism. 8

---

1 *οἶδε* PV   18 *ἀστέρα* PV   23 Il. XVIII, 488

διότι δέδιεν ὡς ἄρκτος τὸν κυνηγέτην καὶ διὰ τοῦτο πρὸς τὸ τοῦ Ὠρίωνος ἀπονεύει ἄστρον. καὶ τὸν Ἀρκτοῦρον δὲ Καλλιστοῦς υἱὸν λέγουσιν Ἀρκάδα καλούμενον, ὃς ἐπερχομένην τὴν μητέρα ἐν κυνηγεσίῳ κατ' αὐτοῦ, μεταβαλλομένην εἰς ἄρκτον, τοῦ Διὸς μιγνυμένου αὐτῇ, ὡς εἴρηται, ἀνεῖλε. καὶ ὁ Ζεὺς ἐλεήσας αὐτοὺς κατηστέρισεν. ἔστι δὲ ἀστὴρ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος.

DXXXIV. *Περὶ Κεφάλου.* 260

Κέφαλος, Δηϊονέως υἱός, πατὴρ Ἀρκεισίου τοῦ πάππου Ὀδυσσέως, ὃν ἐγέννησεν ἐκ τῆς ἄρκτου, μεταβληθείσης ἔπειτα εἰς γυναῖκα· ὅθεν Ἀρκείσιος. τοῦτο δὲ τοῦ μαντικοῦ θεοῦ κελεύσει· ἐξ οὗ καὶ ἡ Κεφαληνία νῆσος.

[DXXXV. *Περὶ Κήϋκος.*

Κῆϋξ ὁ Φωσφόρου τοῦ ἀστέρος γήμας Ἀλκυόνην τὴν Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ θεὸς ἐβούλετο νομίζεσθαι. διόπερ ἥτε γαμετὴ διὰ παντὸς αὐτὸν ἐκάλει Δία, κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας μετέβαλεν αὐτοὺς εἰς ὄρνεα, χωρὶς ἀλλήλων βιοῦντα. ἐκλήθη δὲ ἡ μὲν Ἀλκυόνη, ὁ δὲ Κῆϋξ. παρὰ δὲ τοῖς αἰγιαλοῖς τῆς Ἀλκυόνης τικτούσης, συμβαίνει ἐπελθόντα τὰ κύματα τὰ ἔκγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτὴν κλαίου-

DXXXIV. Etym. M. p. 144, 22 DXXXV. Schol. Ar. Aves 251. Cf. Eud. p. 36

---

6 ἀνεῖλεν PV 12 Κεφαληνία P Κεφαλληνία V 14 Haec cum iisdem fere verbis Eudocia iam narraverit, uncis circumsepsi 21 ἔγγονα — κατηλεήσας — τίκτει PV

σαν, κατελεήσας ἐπέταξε τοῖς ἀνέμοις, καθ' ὃν ἂν καιρὸν ἡ Ἀλκυόνη τίκτῃ, μὴ πνεῖν μέχρι τεσσάρων καὶ δέκα ἡμερῶν, τοῦ χειμῶνος αὐξανομένου. εἴρηται δὲ Ἀλκυὼν παρὰ τὸ ἐν ἁλὶ κύειν.]

DXXXVI. *Περὶ Κηφέως.*

Κηφεύς, ὡς Εὐριπίδης φησίν, ἦν Αἰθιόπων βασιλεύς, Ἀνδρομέδας δὲ πατήρ. τὴν δ' αὐτοῦ θυγατέρα δοκεῖ παραθεῖναι τῷ κήτει βοράν, ἣν Περσεὺς ὁ Διὸς διέσωσε. δι' ἣν καὶ αὐτὸς ἐν τοῖς ἄστροις ἐτέθη Ἀθηνᾶς γνώμῃ.

Ζεὺς γεννᾷ Βῆλον, ὃς ἦν βασιλεὺς Βαβυλῶνος, οὗ Κηφεύς, βασιλεὺς Αἰθιόπων, οὗ Ἀνδρομέδα, ἧς καὶ Περσέως τοῦ Διὸς Γοργοφόνη, Ἀλκαῖος, Σθένελος, Ἕλειος, Μνήστωρ, Ἠλεκτρύων.

Ἰστέον δέ, ὅτι δύο προσέτι εὑρίσκονται Κηφεῖς, ὧν ἡ γενεαλογία οὕτως ἔχει. Διὸς καὶ Θεμιστοῦς γίνεται Ἀρκάς, οὗ Ἀφείδας, οὗ Ἄλεος, οὗ Κηφεύς. Διὸς καὶ Δωρίππης γίνεται Ἕλλην, οὗ Αἴολος, οὗ Κηφεύς, Δηϊονεύς, Σαλμονεὺς καὶ ἄλλοι.

261

DXXXVII. *Περὶ τῆς Κίρκης.*

Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφήν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. ταύτην Διονύσιος ὁ Μιλήσιος ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν δὲ Μηδείας λέγει. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις,

DXXXVI. Eratosth. Catast. 15 *Ζεὺς — Ἠλεκτρύων* Apollod. II, 4, 3 seq. *ἰστέον δέ,* — exit. Schol. Apoll. I, 163
DXXXVII. Schol. Apoll. III, 200

5 fr. 113 Nauck. 12 *Γοργοφόντης — Ἕλ.* PV 20 Müller

οἷς ὀνόματα ἦν Περσεὺς καὶ Αἰήτης. τούτους δὲ κατασχεῖν τὴν χώραν, καὶ Αἰήτην μὲν Κόλχων καὶ τῆς Μαιώτιδος, Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινά, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα Ἑκάτη. οἱ δὲ ἐκ νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι, ἀνδρικὴν περὶ τὰ κυνηγετικὰ καὶ πρώτην θανασίμους ῥίζας εὑρεῖν καὶ ἐμπειροτάτην γεγονέναι τῶν τε δηλητηρίων καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γήμασθαι μεταπεμφθεῖσαν εἰς Κόλχους Αἰήτῃ τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι Κίρκην καὶ Μήδειαν. τὴν δὲ Κίρκην, πρεσβυτέραν οὖσαν Μηδείας, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα, τὰ μὲν διακούσασαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν πολλὰ καὶ δεινὰ φάρμακα, Μήδειαν δὲ νεωτέραν Κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. ταῦτα μὲν οὗτοι. Ἡσίοδος δέ φησι, τὴν Κίρκην τοῦ Ἡλίου θυγατέρα εἶναι.

DXXXVIII. *Περὶ Κλυμένης.*

Κλυμένη, θυγάτηρ Ἴφιος ἢ Μινύου, ὑπὸ Φυλάκῳ τῷ Δηϊονέως Ἴφικλον τίκτει παῖδα ποδώκη. Ἡσίοδος δέ φησι, προμιγῆναι αὐτὴν Ἡλίῳ καὶ τεκεῖν Φαέθοντα.

DXXXIX. *Περὶ Κοισύρας.*

Κοισύρα, γυνὴ Ἀθήνησιν εὐγενὴς καὶ πλουσία, μήτηρ Μεγακλέους καὶ Λαμάχου, Ἀλκμαίωνος γαμετή,

DXXXVIII. Eustath. Od. p. 1689 DXXXIX. Schol. Ar. Acharn. 614 (Suïd.)

II, p. 8 17 Theog. 957 20 fr. 160

ἥτις ἐπὶ βλακείᾳ διεβέβλητο. καὶ κοισυροῦται καὶ κοσμεῖται ἀπὸ τῆς Κοισύρας.

DXL. Περὶ Κοννᾶ.

Κοννᾶς αὐλητὴς ἦν καὶ μέθυσος, ὃς εἰς συμπόσια παρήει συνεχῶς ἐστεμμένος. οὗτος Ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθεὶς πενιχρὸς ἦν, μηδὲν ἔχων ἀλλ' ἢ κότινον, ἀφ' οὗ Κρατῖνος εἶπεν·

Ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ· Κοννᾶς δὲ πολυστέφανος νικήσει.

262 λέγει δὲ αὐτὸν τοσαῦτα νικήσαντα μηδέποτε τετιμῆσθαι. ἡ δὲ παροιμία·

— Στέφανον μὲν ἔχων, δίψει δ' ἀπολωλώς.

καὶ πάλιν·

Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχων, δίψει δ' ἀπολωλώς.

πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο, ὅτι μέθυσός ἐστι.

DXLI. Περὶ Κορυδαλοῦ.

Κόρυδος καὶ Κορυδαλὸς τὸ στρουθίον, τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερά, ὥσπερ λόφον, ὃν λόφον ὁ τῶν Ἑλλήνων μῦθος τὸν τάφον εἶναι βούλεται τοῦ πατρὸς αὐτῶν. φασὶ γὰρ αὐτοὺς εἶναι πρὸ τοῦ γῆν ὑποστῆναι. ἀποθανόντα δὲ τὸν πατέρα αὐτῶν, ἐπεὶ οὐκ εἶχον ὅπου θάψουσιν, ἐπὶ ταῖς αὐτῶν

DXL. Schol. Ar. Equ. 531 (Suid.) DXLI. Schol. Theocrit. VII, 23

---

1 διαβεβόητο PV 6 Meineke, fr. com. II, 1 p. 292; ceterum φιλοστέφανος est Suidae lectio 11 δίψει F δίψῃ utroque loco PV 20 αὐτῶν P αὐτῶν V

ἔθαψαν κεφαλαῖς. τοῦτο δὲ βούλεται δηλοῦν καὶ παρα Θεοκρίτῳ τὸ „ἐπιτυμβίδιοι κορυδαλλίδες“, ἤγουν αἱ ἐπὶ ταῖς ἑαυτῶν κεφαλαῖς τὸν τύμβον τοῦ πατρὸς φέρουσαι.

DXLII. *Περὶ Κρηθέως.*

Κρηθεὺς Σαλμωνέως ἦν ἀδελφός, ὡς δέ τινες καὶ Ἀθάμαντος, ἀμφότεροι δὲ παῖδες Αἰόλου καὶ Λαοδίκης τῆς Ἀλωέως.

DXLIII. *Περὶ Κριοῦ.*

Κριὸν Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς φησι γεγονέναι τροφέα Φρίξου, ὃν αἰσθόμενον τῆς ἐπιβουλῆς Ἰνοῦς ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν ποιήσασθαι καὶ συμπεπλευκέναι αὐτῷ εἰς Κόλχους· ὅθεν καὶ μεμυθεῦσθαι, ὡς ὑπὸ Κριοῦ διασωθείη καὶ περὶ τῆς αὐτοῦ θυσίας αὐτόθι. Ἡρόδωρος δέ φησιν, Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας Σχοινέα, Ἐρύθριον, Λεύκωνα, Πτῶον, νεωτάτους δὲ Φρίξον καὶ Ἕλλην, οὓς διὰ τὴν Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι, τελευτῆσαι δὲ τὴν Ἕλλην ἐν τῇ ἀποχωρήσει. οἱ δέ φασιν, αὐτοὺς ἐπὶ κριοπρῴρου σκάφους πλεῦσαι φεύγοντας τὴν ὀργὴν τῆς μητρυιᾶς.

DXLII. Eustath. Od. p. 1681 DXLIII. Schol. Apoll. II, 1144 *ὅθεν — αὐτόθι* Schol. Apoll. I, 256 *Ἡρόδωρος — ἀποχωρήσει* Schol. II, 1144 *οἱ δὲ* — exit. Schol. I, 256 II, 168

---

2 *κορυδαλίδες* PV. Cf. Theocrit. l. c. Post 4 *Κρηθέος* PV 8 Müller II, p. 8 13 *Ἡρόδορος* P corr. V. Cf. Müller II, p. 37 15 *Ποῖον* PV

DXLIV. Περὶ Κτιμένης.

Κτιμένη Ὀδυσσέως ἦν ἀδελφή, ἧς ἀνὴρ Εὐρύλοχος γεγονέναι ὑπονοεῖται, ἣν Ὅμηρος ἰφθίμην λέγει, καθὰ καὶ τὴν τοῦ Λαέρτου ἄλοχον δαΐφρονα, ὁμοίως καὶ τὴν Πηνελόπην.

263 ## DXLV. Περὶ Κυγχρέως.

Κυγχρεὺς Σαλαμῖνος καὶ Ποσειδῶνος υἱός. ἐβασίλευσε δὲ Σαλαμινίων, ὥς φησιν Εὐφορίων. τοῦτον δέ τινες τὸν διφυᾶ Κέκροπά φασιν. ἄλλοι δὲ καὶ ὅτι ὄφις ἐλυμαίνετο τὴν Σαλαμῖνα καὶ ἀοίκητον ἐποίει, ὃν ὁ Κυγχρεὺς ἀνεῖλεν. ὅθεν καὶ Ἀνάξιφος ἐκλήθη.

DXLVI. Περὶ τοῦ Κύδωνος.

Κύδων βασιλεὺς Κυδωνίας, πόλεως ἐν Κρήτῃ. οὗτος λέγεται υἱὸς γεγονέναι Ἑρμοῦ διὰ τὸ λόγιον καὶ μουσικὸν τοῦ ἀνδρός. περὶ οὗ Ἀλέξανδρος ἐν πρώτῳ Κρητικῶν φησι, τῇ Ἀκακαλλίδι συνελθεῖν τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα, καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ Κύδωνα. ἀφ' οὗ ἡ πόλις Κυδωνία, κτίσμα οὖσα αὐτοῦ καὶ βασίλειον, ὥσπερ καὶ Κνωσσὸς Μίνωος, καὶ Γόρτυνα ταύρου ἐκείνου, τοῦ τὴν Φοίνισσαν Εὐρώπην ἁρπάσαντος. μεγάλη δὲ αὕτη ἡ πόλις κατὰ τὸν Γεωγράφον εἰπόν-

DXLIV. Eustath. Od. p. 1781 DCLV. Tzetzes Lyc. 451 DXLVI. Schol. Apoll. IV, 1491 κτίσμα — exit. Eustath. Dion. 498. Cf. Eud. p. 150

2 Ἰφθίμην inepte V. Cf. Od. XV, 362 6 fr. 17 Meineke 12 Müller III, p. 231 13 Ἀκακαλίδι PV 19 Strabo X, p. 476

τα· πόλεις Κρήτης μέγισται Γόρτυνα, Κυδωνία καὶ Κνωσσός.

DXLVII. Περὶ τῶν Κυκλώπων.

Ἐν τῇ Σικελίᾳ τῇ νήσῳ περὶ τὰ ὀρεινὰ αὐτῆς λέγονται οἱ Κύκλωπες γενέσθαι, ποιμενικὸν μὲν βίον ἐπιτηδεύοντες, ζῶντες δὲ βιαιότερον. λέγονται δὲ οὗτοι ἀνθρωποφάγοι εἶναι καὶ κατεδηδοκέναι τοὺς τοῦ Ὀδυσσέως ἑταίρους. ἐθνικὸν δέ ἐστι τὸ Κύκλωψ τῷ τοῦ Ποσειδῶνος υἱῷ, κύριον δὲ τὸ Πολύφημος, εἰ μὴ ἄρα, ὥσπερ τὸ Αἰγύπτιον κύριον εὕρηται ὄνομα, οὕτω καὶ τὸ Κύκλωψ ἐξ ἐθνικοῦ εἰς κύριον μετέπεσεν, ἐξιδιωσαμένου τοῦ Πολυφήμου τὸ κοινόν, καὶ τῶν παλαιοτάτων Οὐρανοῦ καὶ Γῆς υἱῶν Κυκλώπων καὶ αὐτῶν ὄντων, Βρόντου τε Στερόπου τε καὶ Ἄργου. οἵ τινες χαλκεῖς τὴν τέχνην μυθεύονται ἐξοχώτατοι, διὸ τὴν βροντὴν καὶ τὴν στεροπὴν τῷ Διῒ κατασκευάζουσιν. Ἡσίοδος δέ φησιν, ὅτι Κύκλωπες ἐπωνομάσθησαν, ὡς ἕνα ἔχοντες κυκλοτερῆ ὀφθαλμὸν ἐν τῇ ὄψει. Ἑλλάνικος δὲ ἀπὸ Κύκλωπος, υἱοῦ Οὐρανοῦ, λέγων οὐ περὶ τῶν παρ' Ὁμήρῳ Κυκλώπων, ἀλλὰ περὶ τῶν θεῶν. Κυκλώπων γὰρ γένη τρία· Κύκλωπες, οἱ τὴν Μυκήνην τειχίσαντες, οἱ περὶ τὸν Πολύφημον καὶ αὐτοὶ οἱ θεοί.

DXLVII. Nonn. I, 65 (Cosm. p. 209; Clarke p. 54; cod. Mon. 490) *ἐθνικὸν δὲ — κοινόν* Eustath. Od. p. 1392 *καὶ τῶν — κατασκευάζουσιν* Nonn. l. c. *Ἡσίοδος — ὄψει* Eustath. l. c. *Ἑλλάνικος* — exit. Schol. Hes. Theog. 139

---

15 *κατασκευάζουσι* PV 16 Theog. l. c. 18 fr. 176 Müller

264 DXLVIII. *Περὶ τῶν ἐς Κυνόσαργες ἀπορριπτομένων νόθων.*

Τὸ Κυνόσαργες τόπος ἦν Ἀθήνησιν, ἐν ᾧ οἱ νόθοι ἐκρίνοντο, εἰ τοῦδε ὄντως γέγονεν υἱὸς ἢ ἐκείνου. ἐκάλουν δὲ παρ' Ἀθηναίοις καὶ τοὺς ἀπελευθέρους νόθους· νόθοι δὲ καὶ οὗτοι πρὸς τοὺς ἐκ γεννητῆς ἐλευθέρους. καὶ οὗτοι δὲ ἐκρίνοντο καὶ ἐδοκιμάζοντο, εἰ ὅλως ἠλευθερώθησαν.

Κυνόσαργες δὲ ἤκουσεν ὁ τόπος ἀπὸ τούτου. θυσίας πλησίον ἐν ἱερῷ γενομένης, εἰσελθὼν κύων ἥρπασε κρέας τοῦ θύματος καὶ ἤγαγεν ἐν τούτῳ τῷ τόπῳ. καὶ ἐκεῖ ἐκτίσθη τις νεὼς καὶ ἐκλήθη Κυνόσαργες, οἷον Κυνόσαρκες, ἀπὸ τῶν σαρκῶν καὶ τοῦ κυνός. ὕστερον δὲ τοῦ κάππα ἐξελθόντος, εἰσῆλθε τὸ γάμμα, διὸ καὶ Κυνόσαργες καλεῖται.

DXLIX. *Περὶ τῶν Κύκνων.*

Κύκνοι δύο εἰσίν, ὁ μὲν Ἄρεως, ὁ δὲ Ποσειδῶνος. καὶ τὸν μὲν Ἄρεως κακῶς τὰ περὶ Θεσσαλίαν διαθέντα Ἡρακλῆς ἀπέκτεινεν, ὡς ἐν τῇ Ἀσπίδι Ἡσίοδος δηλοῖ, τὸν δὲ Ποσειδῶνος Ἀχιλλεύς, στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς Τρωσίν, ὡς καὶ Πίνδαρος ἱστορεῖ. οὗτος ἐλέγετο, ὅτι ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα πλὴν κεφαλῆς. τοῦτο δὲ μῦθος, ὅτι κατὰ τὴν κεφα-

DXLVIII. Nonn. I, 60 (Cosm. p. 147) Cf. Eud. p. 143. DXLIX. Schol. Pind. Ol. II, 82 *οὗτος — ἄτρωτος ἦν* Palaeph. 12 *Κύκνος — Ἀπόλλωνος* Tzetzes Lyc. 232. Cf. Eud. p. 392 *ὁ Ζεὺς ἐρασθεὶς — ὁ κύκνος* Nonn. II, 3 *δεῖ δὲ* — exit. Eustath. Il. p. 87

4 *γενετῆς* PV 7 *τούτου* F *τούτων* PV 8 *γινομένης* PV 5 Sic F *παρὰ θαλασσίαν* PV 16 v. 421 18 Olymp. II, 82

λὴν πληγεὶς ὑπ' Ἀχιλλέως ὁ Κύκνος ἀνῃρέθη. ἀλλα περιδέξιος ὢν στρατιώτης ὁ Κύκνος καὶ κάλλιστα σκεπτόμενος ἐν πολέμοις, ὡς μηδέποτε τρωθῆναι, ὑποπέπτωκε τοῖς μύθοις, ὅτι ἄτρωτος ἦν. [Κύκνος δὲ ἤκουσεν, ἐπειδὴ λαθραίως τεχθεὶς ἐρρίφη πλησίον θαλάσσης. κύκνων δὲ πέριξ αὐτοῦ καταπτάντων, ἰδόντες ἁλιεῖς ἀνείλοντο τοῦτον καὶ Κύκνον ὠνόμασαν, τὸν καὶ Σκαμανδροδίκην ὕστερον κληθέντα, ὃς ἀνδρωθεὶς ἔγημε Πρόκλειαν τὴν Λαομέδοντος καὶ γεννᾷ Τένην καὶ Ἡμιθέαν. ἀποθανούσης δὲ τῆς Προκλείας, ἐπέγημεν ὁ Κύκνος Φιλονόμην τὴν Τραγανάσου, ἥτις ἐρασθεῖσα τοῦ Τένου καὶ μὴ τυχοῦσα κατηγόρησε πρὸς τὸν πατέρα, ἐκβιασθεῖσα ὑπ' αὐτοῦ, συμφωνοῦντος αὐτοῦ καὶ αὐλητοῦ τινος Μόλπου. ὁ δὲ ὀργισθείς, εἰς λάρνακα βαλὼν Τένην καὶ Ἡμιθέαν ἀφῆκεν εἰς τὴν θάλασσαν. τῆς δὲ λάρνακος προσενεχθείσης τῇ τότε Λευκόφρυϊ νήσῳ, νῦν δὲ ἀπὸ τοῦ Τένου Τένεδος καλουμένῃ, ἰδόντες οἱ τῆς νήσου τὸ συμβὰν καὶ μαθόντες τὸ δρᾶμα βασιλέα αὐτὸν τὸν Τένην ἐποίησαν καὶ τὴν νῆσον ἀπ' ἐκείνου Τένεδον προσηγόρευσαν. γνοὺς δὲ ὁ Κύκνος τὸ ἀληθὲς ἀνεῖλε μὲν Φιλο- 265 *νόμην, αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν Τενέδῳ. Ἀχιλλεὺς δὲ ἐπιστρατεύσας τῇ Τροίᾳ ἀνεῖλε τὸν Κύκνον καὶ Τένην τὸν υἱὸν Κύκνου λόγῳ, ἔργῳ δὲ Ἀπόλλωνος. ἡ δὲ Ἡμιθέα διωκομένη, φεύγουσα τὴν μῖξιν εἰς γῆν κατεπόθη. μετὰ δὲ τὸ ἀνελεῖν Ἀχιλλεὺς Κύκνον καὶ Τένην, εἰς ἔννοιαν ἐλθὼν ὕστερον ἀνεῖλε καὶ Μνήμονα, ὅντινα ἡ Θέτις συνακόλου-*

4 Haec postea ex Tzetzae commentariis apposita sunt 10 *Τέννην* omnibus locis PV 11 *ἐπέγημεν* P *ἐπέγημε* V

θον Ἀχιλλεῖ δέδωκεν ὑπομιμνήσκειν αὐτῷ μὴ ἀνελεῖν Ἀπόλλωνος παῖδα· εἱμαρμένον γὰρ ἦν Ἀχιλλεῖ ἀποθανεῖν, εἰ ἀνέλῃ παῖδα Ἀπόλλωνος· ὁ δὲ Τένης, ὡς ἔφην, υἱὸς Ἀπόλλωνος.]

Λέξομεν δὲ καὶ περὶ τῆς μεταμορφώσεως τοῦ Διὸς εἰς Κύκνον. ὁ Ζεὺς ἐρασθείς, ὡς οἱ μὲν λέγουσι τῆς Νεμέσεως, οἱ δὲ τῆς Λήδας, βουλόμενος [οὖν] συγγενέσθαι καὶ μὴ ὁραθῆναι ὑπὸ τῆς Ἥρας, ἐξωμοιώθη Κύκνῳ καὶ συνεγένετο τῇ ἐρωμένῃ. νῦν οὖν οὗτος ὁ Κύκνος κατηστερίσθη ἐν τῷ οὐρανῷ καὶ ἔστιν, ὥς φασιν, ὑποζωγραφηθεὶς καὶ ἄστρον ὁ κύκνος. [δεῖ δὲ εἰδέναι, ὅτι ὁ κύκνος τὸ ζῷον ἀφιέρωται τῷ Ἀπόλλωνι, οὐ μόνον διὰ τὸ ᾠδικὸν καὶ μαντικόν, ἀλλὰ καὶ διὰ τὸ λευκόν, ὅπερ ἐκ τοῦ λεύσσειν, ἤτοι βλέπειν, παράγεται, οὗπερ Ἀπόλλων ἐστὶ παραίτιος. ὅθεν καὶ Δήλιος ἐπιθετικῶς ὀνομάζεται, ὡς δῆλα καὶ εὐόρατα πάντα ποιῶν.]

DL. *Περὶ Κύλωνος.*

Κύλων, Ἀθηναῖος ἀνήρ, Μεγαρίδα γυναῖκα γήμας, Θεαγένους γυναῖκα, θέλων τυραννεῖν, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς ἐπιθέσθαι τῇ πόλει. ἐν Ὀλυμπίᾳ δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι μεγάλην ἑορτήν, δύναμιν λαβὼν παρὰ Θεαγένους, μὴ γνούς, ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτή, ἐπελθὼν τῇ Ἀκροπόλει ἁλίσκεται. ἐλήφθη δὲ συλῶν τὸ τῆς Ἀθηνᾶς ἱερόν. καὶ αὐτὸς μὲν ὁ Κύλων φεύγει, τοὺς δὲ

DL. Schol. Ar. Equ. 443

---

11 Haec ex Eustathii commentariis compilata non ab ipsa Eudocia addita sunt

ἄλλους φονεύουσι, τινὰς δὲ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀποσπάσαντες ἀπέκτειναν. τοὺς οὖν ἁμαρτάνοντας εἰς τοὺς ἱκέτας ἀλιτηρίους ἔφασκον, οὓς καὶ ἐξέβαλον τῆς πόλεως, ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν τοὺς ἱκέτας φονεύσαντας.

Ἄλλως. Κύλων τὴν Ἀκρόπολιν κατέλαβεν ἐπὶ τυραννίδι καὶ ἐλήφθη ποτὲ συλῶν τὸ τῆς Ἀθηνᾶς ἱερὸν καὶ ὑπὸ Ἀθηναίων ἐκλείσθη. καὶ οὕτως ἐκεῖνος εὑρὼν καιρὸν φυγῇ ἐχρήσατο, καὶ οἱ φίλοι ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν, οὓς οὗτοι ἀποσπάσαντες ἀπέκτειναν, ὅθεν ἀλιτήριοι ἐκλήθησαν. ἐκλήθησαν δὲ ἐντεῦθεν οἱ ἀλιτήριοι. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους, καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαξον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς 266 τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παραγώγως ἀπὸ τοῦ ἀλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν. λαμβάνεται δὲ παρὰ τῷ Ἀριστοφάνει τὸ ἀλιτηρίων καὶ ἀντὶ τοῦ ἀστοχησάντων καὶ ἀποτυχόντων.

DLI. *Περὶ τοῦ Κύρου τοῦ Παρυσά|τιδος.*

Δαρεῖος, ὁ μικρὸς υἱὸς Ξέρξου, γεννᾷ ἐκ τῆς Παρυσάτιδος δύο υἱούς, Κῦρον καὶ Ἀρταξέρξην. ἀποθανόντος δὲ τοῦ Δαρείου, ἠμφισβήτουν οἱ δύο περὶ τῆς βασιλείας. καὶ τὸν μὲν ὡς πρεσβύτερον ἦγεν ὁ

DLI. Nonn. II, 9 (Cosm. p. 99)

---

2 ἀποσπάσαντες F ἀπαντήσαντες PV 8 ἐκλείσθη F ἐκλήθη PV 19 Equ. 445

χρόνος ἐπὶ τὸ βασιλεύειν, τὸν δὲ Κῦρον, ὡς νεώτερον καὶ φιλούμενον, ἡ μήτηρ προεβάλλετο. ἐπικρατεῖ δὲ ὁ Ἀρταξέρξης διὰ τὸν χρόνον καὶ βασιλεύει αὐτός. ὁ οὖν Κῦρος μὴ θέλων ὑπείκειν τῷ Ἀρταξέρξῃ αἰτεῖ τὸν ἴδιον ἀδελφόν, δοῦναι αὐτῷ τὴν τῆς Ἀσίας σατραπείαν, οἷον ἐπαρχότητα, καὶ λαβὼν κατῆλθεν ἐπὶ τὴν Ἰωνίαν, κἀκεῖσε καθεζόμενος, εἰς ἔννοιαν ἐλθὼν πάλιν τῆς βασιλείας καὶ ὑποπείσας Λακεδαιμονίων ἄνδρας τινὰς καὶ ἄλλους Ἕλληνας, ὡς μυρίους [ἔπεισεν αὐτοὺς] συνακολουθεῖν αὐτῷ [τούτων συνακολουθούντων] ἀνῆλθεν ἄχρι Περσίδος, καὶ συμβολῆς γενομένης μεταξὺ τῶν Ἀρταξέρξου καὶ τῶν Κύρου, νικῶσιν οἱ Κύρου, καὶ ταῦτα πολλῷ ἐλάχιστοι ὄντες προς τὴν Ἀρταξέρξου στρατιάν. οἱ γὰρ Ἕλληνες ᾔδεσαν καλῶς παρατάττεσθαι, καὶ |ὀλίγοι ὄντες τέχνῃ ἐνίκων τοὺς πολλούς. ὁ δὲ Κῦρος ἐπαρθεὶς τῇ πρὸς ὀλίγων νίκῃ ἐφορμᾷ ἀπὸ τῆς αὐτοῦ φάλαγγος ἐπὶ τὴν φάλλαγγα Ἀρταξέρξου, ὡς δῆθεν αὐτὸν τὸν Ἀρταξέρξην κατασφάξων, καὶ διαφθείρεται μόνος ὤν, καὶ οὕτως τελευτᾷ μὴ βασιλεύσας.

DLII. *Διὰ τί Κωλῶτις ἡ Ἀφροδίτη ἐκλήθη.*

Κωλῶτις ἡ Ἀφροδίτη ἐκλήθη, ὅτι νεανίας ὑπὸ λῃστῶν ἢ ὑπὸ τυράννου κατασχεθεὶς ἐκ τῶν κώλων,

DLII. Tzetzes Lyc. 867

3 *αὐτὸς* om. F 5 *σατραπίαν* PV 6 *ὁ δὲ* pro *καὶ* PV 8 *ὑποπείσας* etiam Cosmas, *πείσας* Nonnus. Sequentia cum et apud Cosmam Nonnumque et in PV corruptelis inquinata sint, verba *ἔπεισεν αὐτοὺς* et *τούτων συνακολουθέντων* removi, positura maiore post *αὐτῷ* sublata. Pro *ἔπεισεν αὐτοὺς* Cosmas ineptius *πείθων αὐτοὺς* exhibet, prorsus om. Nonnus 14 *στρατείαν* PV 17 *ἐφόρμα* PV

ἤτοι τῶν ἄκρων μορίων καὶ τῶν χειρῶν, ἐδέθη, ἡ δὲ θυγάτηρ ἢ τοῦ ἀρχιληστοῦ ἢ τοῦ τυράννου ἐρασθεῖσα αὐτοῦ ἀπέλυσεν αὐτόν, μιγεῖσα τούτῳ. ὁ δὲ Ἀφροδίτης ἱερὸν Κωλώτιδος ἱδρύσατο εἰς εὐχαριστίαν αὐτῆς, ὅτι δεδεμένον ὄντα ἐκ τῶν κώλων ἐρρύσατο.

Ἱστορικοί. 267

DLIII. Περὶ Κάδμου τοῦ ἱστορικοῦ.

Κάδμος Πανδίονος, Μιλήσιος ἱστορικός, ὃς πρῶτος κατά τινας συγγραφὴν ἔγραψε καταλογάδην, μικρῷ νεώτερος Ὀρφέως. συνέταξε δὲ κτίσιν Μιλήτου καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις τέσσαρσιν. ὅτι τὸν Κάδμον φασὶ πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, ἅπερ πρῶτον Φοίνικες ἐφεῦρον.

Καὶ ἕτερος Κάδμος Ἀρχελάου, Μιλήσιος καὶ αὐτὸς ἱστορικός, νεώτερος. τινὲς δὲ καὶ Λυκῖνον καὶ Κάδμον ἀνέγραψαν· ἄλλ᾽ ἴσως ἔστιν ἕτερος. ἔγραψε δὲ λύσιν ἐρωτικῶν παθῶν ἐν βιβλίοις ιδ´, καὶ Ἀττικὰς ἱστορίας ἐν βιβλίοις ις´.

DLIV. Περὶ Καπίτωνος.

Καπίτων Λύκιος ἱστορικός. οὗτος ἔγραψεν Ἰσαυρικὰ βιβλία ὀκτώ, μετάφρασιν τῆς ἐπιτομῆς Εὐτρο-

DLIII et DLIV. Hesych. (Suid.)

---

1 ἄκρων μορίων F ἀκρωτηρίων PV 9 Eadem Suidas in Pherecydis vita exposuit 11 ἐξεῦρον PV 13 Haec vix intellegi possunt; Λύκιον Κάδμον (i. e. Lycium, quo vocabulo patriam indicaverit Suidas) proposuit Kuesterus, Λύκτιον Müller. fragm. hist. II, p. 4, τινὲς δὲ Λυκίνου Κάδμον νέον (sive νεώτερον) ἀνέγραψαν coni. Bernhardy, quam lectionem excepto vocabulo νέον vel νεώτερον etiam D. Volkmann. Quaest. nov. p. IX, not. 14 probavit ἀπέγραψαν PV 14 ταῦτα ante λύσιν add. S 16 λύσιν ἐρωτικῶν δ´ et Ἀττ. ἱστορίας ιϛ scripsit Bernhardy

πίου, Ῥωμαϊστὶ ἐπιτεμόντος Λίβιον Ῥωμαῖον τὸν Παταβῖνον, καὶ περὶ Λυκίας καὶ Παμφυλίας.

DLV. *Περὶ Κλεοξένου.*

Κλεόξενος καὶ Δημόκλειτος ἔγραψαν περὶ πυρσῶν, ὧν τὴν πραγματείαν ἐπεξειργάσατο Πολύβιος ὁ Μεγαλοπολίτης, ὥς λέγει ἐν τοῖς ἱστορουμένοις.

DLVI. *Περὶ Κλήμεντος.*

Κλήμης ἱστορικός. ἔγραψε τοὺς Ῥωμαίων βασιλεῖς καὶ αὐτοκράτορας, καὶ πρὸς Ἱερώνυμον, περὶ τῶν Ἰσοκράτους σχημάτων καὶ ἄλλα.

DLVII. *Περὶ Κρίτωνος.*

Κρίτων Πιεριώτης (πόλις δὲ αὕτη Μακεδονίας ἡ Πιερία). ἔγραψε Παλληνικά, Συρακουσῶν κτίσιν, Περσικά, Σικελικά, Συρακουσῶν περιήγησιν καὶ περὶ τῆς ἀρχῆς τῶν Μακεδόνων.

Καὶ ἕτερος Κρίτων Νάξιος, ἱστορικός. ἔγραψεν ὀκταετηρίδα, ἣν Εὐδόξου φασίν.

268 DLVIII. *Περὶ Κτησίου τοῦ ἰατροῦ.*

Κτησίας Κτησιάρχου ἢ Κτησιόχου, Κνίδιος ἰατρός, ὃς ἰάτρευσεν ἐν Πέρσαις Ἀρταξέρξην τὸν Μνήμονα κληθέντα καὶ συνέγραψε Περσικὰ ἐν βιβλίοις κγ΄.

DLV—DLVIII. Hesych. (Suid.)

---

1 *Λίβιον τὸν Ῥωμαῖον* om. *τὸν Παταβῖνον* S 3 *πυρσῶν* corr. Harles, *Περσῶν* PV 4 *ἐπεξεργάσατο* PV, cf. Polyb. X, 45 7 *αὐτοκρατορίας* PV 8 *Ἰσοκρατικῶν* S 11 *Σικελικὰ* add. P consentiente S om. V 14 *Εὐδοξίου* PV 16 *Ἀμείμονα* PV

Ῥήτορες.

DLIX. *Περὶ Καλλινίκου τοῦ ῥήτορος.*

Καλλίνικος Γαΐου, ὁ καὶ Σουητώριοις ἐπικληθείς, ῥήτωρ Σύρος, ὥς δέ τινες, Ἀράβιος, τὸ δ' ἀληθὲς Πετραῖος, σοφιστεύσας. ἔγραψε πρὸς Λοῦπον περὶ κακοζηλίας ῥητορικῆς, προσφωνητικὸν Γαλιηνῷ, πρὸς Κλεοπάτραν, περὶ τῶν κατ' Ἀλεξάνδρειαν ἱστοριῶν βιβλία δέκα, πρὸς τὰς φιλοσόφων αἱρέσεις, περὶ τῆς Ῥωμαίων ἀνανεώσεως καὶ ἄλλα τινὰ ἐγκώμια καὶ λόγους.

DLX. *Περὶ Κάστορος τοῦ ῥήτορος.*

Κάστωρ, Ῥόδιος, ἤ, ὥς τινες, Γαλάτης ῥήτωρ, Φιλορώμαιος κληθείς. ἔγραψεν ἀναγραφὴν τῶν θαλασσοκρατησάντων ἐν δυσὶ βιβλίοις, χρονικὰ ἀγνοήματα καὶ περὶ ἐπιχειρημάτων ἐν βιβλίοις θ', περὶ πειθοῦς β', περὶ τοῦ Νείλου, τέχνην ῥητορικὴν καὶ ἕτερα.

DLXI. *Περὶ Καικιλίου τοῦ ῥήτορος.*

Καικίλιος Καλακτῖνος (Καλάκτη δὲ πόλις Σικελίας) ῥήτωρ, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τοῦ σεβαστοῦ Καίσαρος [καὶ ἕως Ἀδριανοῦ], πρότερον καλούμενος

DLIX—DLXI. Hesych. (Suid.)

Titulum *Ῥήτορες* addidi ex P om. V 1 *Σουτώριος* PV 3 *ἐν Ἀθήναις* add. S *Λοῦππον* PV 4 *Γαλλήνῳ* PV 6 *φιλοσόφους* ex codd. AE rec. Bernhardy 9 *ὡς δὲ ἄλλοι ἐπλανήθησαν Μασσαλιώτης* add. S 10 Plura de eius familia attulit S *Βαβυλῶνος καὶ* post *ἀν.* ex nonnullis libris add. Kuesterus, merito uncis seclusit Bernhardy, om. PV 12 *πέντε* ex libris melioribus reposuit Bernhardy 14 *Κεκίλιος* scripsit Westerm. *Σικελιώτης* add. S *Καλακτῖνος* et *Καλάκτη* scribendum esse monuit Holstenius, receperunt Westermann. et Bekker. 16 Hoc fidem

Ἀρχάγαθος, τὴν δὲ δόξαν Ἰουδαῖος. ἔγραψε βιβλία πολλά· κατὰ Φρυγῶν β', ἀποδείξεις τοῦ εὑρέσθαι πᾶσαν λέξιν καλλιρρημοσύνης (ἔστι δὲ κατὰ στοιχεῖον), σύγκρισιν Δημοσθένους καὶ Κικέρωνος, τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ, περὶ τοῦ χαρακτῆρος τῶν δέκα ῥητόρων, σύγκρισιν Δημοσθένους καὶ Αἰσχίνου, περὶ Δημοσθένους ποῖοι αὐτοῦ γνήσιοι λόγοι καὶ ποῖοι νόθοι, περὶ τῶν κατὰ ἱστορίαν ἢ παρ' ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι καὶ ἄλλα πλεῖστα.

DLXII. *Περὶ Κεφαλίωνος.*

Κεφαλίων ἢ Κεφάλων, Γεργίθιος ῥήτωρ καὶ ἱστορικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ. ἔφυγε δὲ τὴν πατρίδα δι' ἀπέχθειαν δυναστῶν καὶ ἐβίω ἐν Σικελίᾳ. ἔγραψε παντοδαπὰς ἱστορίας ἐν βιβλίοις ἐννέα, ἅτινα ἐπιγράφει Μούσας, Ἰάδι διαλέκτῳ, μελέτας τε ῥητορικὰς καὶ ἄλλα πολλά.

269 DLXIII. *Περὶ Κεφάλου τοῦ ῥήτορος.*

Κέφαλος, Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος προοίμια καὶ ἐπιλόγους προσέθηκε. γέγονε πρὸ τῆς ἀναρχίας [οε' ὀλυμπιάδας].

DLXII et DLXIII. Hesych. (Suid.)

---

excedere editores Suidae viderunt, itaque neglegens librarius vel lector addidisse putandus est. Post *Ἀδριανοῦ* add. S *καὶ ἀπὸ δούλων, ὥς τινες ἱστόρησαν* 1 *Ἀρκάγαθος* PV 2 *εὑρέσθαι* corr. R. Nitzschius *εἰρῆσθαι* PV *ἀπόδειξις τοῦ* S, qui infra *ἔστι δὲ ἐκλογὴ λέξεων κ. στ.* exhibet, *ἀπόδειξις καλορημοσύνης τοῦ εἰρ. π. λ.* coni. Hermann. 10 *Γεργήθιος* PV 12 *ἐβίωσεν* PV infra *ἐπιγράφουσι* 15 *ἄλλα τινά* S 17 *προσέθηκε* praestantiores Suidae libri, *συντέθεικε* PV 18 *ἐπὶ τῆς ἀν.* ex libris Paris. reposuit Kuesterus, quem editores secuti sunt. Sequentia cum inepta esse luce clarius sit, expunxi. *οε'* enim ex

[DLXIV. *Περὶ Κηφισοδήμου.*

Κηφισόδημος Ἀθηναῖος, λάλος ῥήτωρ, δεινὸς περὶ τὰς δίκας, ἀντιπολιτευόμενος Περικλεῖ.]

DLXV. *Περὶ Κόρακος.*

Κόραξ ῥήτωρ, ὃν εὑρετήν φασι τῆς ῥητορικῆς γενέσθαι.

Ποιηταί.

DLXVI. *Περὶ τοῦ Καλλιμάχου.*

Καλλίμαχος, υἱὸς Βάττου καὶ Μεσάτμας, Κυρηναῖος, μαθητὴς Ἑρμοκράτους. ἔγραψε ποιήματα εἰς πᾶν μέτρον, συνέταξε καὶ καταλογάδην πλεῖστα. καὶ ἔστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ ω'. ἐπὶ Πτολεμαίου Φιλαδέλφου μέχρι τοῦ Εὐεργέτου παρέτεινε. τῶν δὲ βιβλίων Ἰοῦς ἄφιξις, Σεμέλη, Ἄργους οἰκισμοί, Ἀρκαδία, Γλαῦκος, ἐλπίδες, Σατυρικὰ δράματα, τραγῳδίαι, κωμῳδίαι, μέλη, μουσεῖον, πίνακες

DLXIV—DLXVI. Hesych. (Suid.)

---

insequente Suidae glossa *Κέφαλος οὗτος ἔσχε θυγατέρα τὴν Οἴην*, quae olim a vocabulo *ὅτι* inchoaverit, ortum esse recte perspexit Bernhardy, unde non mirum, quod lector aliquis Violarii ex Suidae lexico vocabulo *οε* semel transposito, ut res dilucidior fieret, *Ὀλυμπιάδας* adiunxit 1 Haec Suidae scholiastam Ar. Acharn. 705 suppeditasse vidit Bernhardy; ex Suidae lexico interpolator huc traduxit 3 Hanc vitam, quae certe in Hesychii Onomatologo extabat, S glossae *κόραξ· εἶδος ὀρνέου* non bene adiunxit. Cf. Unters. p. 97 not. 1 5 Nomen *Μεσάτμα* Graecis inauditum esse editores viderunt, *Μεγατίμης* flagitantes 6 Plura de eius familia et vita invenies apud S, de quo cf. doctam dissertationem, quam scripsit Schneider., Callim. II, p. 3 seq. 12 *Ἶβις (ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν καὶ λοιδορίαν, εἴς τινα Ἶβιν γενόμενον ἐχθρὸν Καλλιμάχου, ἦν δὲ οὗτος Ἀπολλώνιος ὁ γράψας τὰ Ἀργοναυτικά)* post *μέλη* add. S

τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων καὶ ὧν συνέγραψαν ἐν βιβλίοις κ′ καὶ ρ′, πίναξ τῶν Δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων, μηνῶν προσηγορίαι κατὰ ἔθνος καὶ πόλεις, περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν, θαυμάτων τῶν εἰς ἅπασαν γῆν κατὰ τόπους ὄντων συναγωγή, κλίσεις νήσων καὶ πόλεων καὶ μετονομασίαι, περὶ μετονομασίας ἰχθύων, περὶ ἀνέμων, περὶ ὄρνεων καὶ ἄλλα πολλά, ὡς εἴρηται.

Ἔστι καὶ ἕτερος Κυρηναῖος Καλλίμαχος, ἐποποιός, ἀδελφιδοῦς τοῦδε.

DLXVII. Περὶ Κανθάρου.

Κάνθαρος Ἀθηναῖος κωμικός. μνημονεύεται τούτου δράματα Μήδεια, Τηρεύς, Συμμαχίαι, Μύρμηκες, Ἀηδόνες καὶ ἄλλα τινά.

270 DLXVIII. Περὶ Καρκίνου.

Καρκίνος Ἀκραγαντῖνος τραγικός. καὶ ἕτερος ποιητὴς Ἀττικός. καὶ ἄλλος Θεοδέκτου, Ἀθηναῖος τραγικός. οὗτος ἐδίδαξε δράματα ρξ′, ἐνίκησε δὲ α′. τῶν δραμάτων αὐτοῦ Ἀχιλλεύς, Σεμέλη καὶ ἄλλα.

DLXVII et DLXVIII. Hesych. (Suid.)

---

2 *πίναξ καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους καὶ ἀπ' ἀρχῆς γενομένων διδασκάλων* add. S 6 *περὶ τῶν ἐν Εὐρώπῃ ποταμῶν, περὶ τῶν ἐν Πελοποννήσῳ καὶ Ἰταλίᾳ θαυμασίων καὶ παραδόξων* add. S. Cf. Unters. p. 62 10 *υἱός Στασήνορος καὶ Μεγατίμας τῆς ἀδελφῆς Καλλιμάχου* add. S 13 *καὶ ἄλλα τινά* om. S 14 Forte primum poëtam finxerunt librarii. Cf. Meinek. hist. com. p. 505 *ἢ Ξενοκλέους* add. S 16 *ἤκμαζε κατὰ τὴν ρ′ ὀλυμπιάδα πρὸ τῆς Φιλίππου βασιλείας τοῦ Μακεδόνος* add. S 17 *ἢ ἀρχή, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς* add. S

DLXIX. Περὶ Καίσαρος Τιβερίου.

Καῖσαρ Τιβέριος ἔγραψεν ἐπιγράμματα καὶ τέχνην ῥητορικήν.

DLXX. Περὶ Κορίννης.

Κόριννα, Θηβαία ἢ Ταναγραία, μαθήτρια Μύρτιδος, Ἀρχελοδώρου καὶ Προκρατίας, ἐπωνόμαστο Μυῖα, λυρική. ἐνίκησε δὲ πεντάκις, ὡς λόγος, Πίνδαρον. ἔγραψε βιβλία πέντε καὶ ἐπιγράμματα καὶ νόμους λυρικούς.

Ἔστι καὶ ἑτέρα Κόριννα Θεσπία (οἱ δὲ Κορινθίαν), λυρική. ἔγραψε καὶ αὐτὴ νόμους λυρικούς.

DLXXI. Περὶ Κηφισοδώρου.

Κηφισόδωρος, Ἀθηναῖος, τραγικὸς τῆς ἀρχαίας τραγῳδίας. φέρεται αὐτοῦ δράματα Ἀμαζόνες, Τροφώνιος, Ὗς.

DLXXII. Περὶ Κικιλίου.

Κικίλιος, Ἀργεῖος ἐποποιός, ἁλιευτικὰ γεγραφὼς καὶ περιήγησιν Ἑλλάδος καὶ ἄλλα.

DLXXIII. Περὶ Κλαυδιανοῦ.

Κλαυδιανὸς Ἀλεξανδρεύς, ἐποποιὸς νεώτερος, γέγονεν ἐπὶ τῶν χρόνων Ἀρκαδίου καὶ Ὁνωρίου τῶν βασιλέων.

DLXIX—DLXXIII. Hesych. (Suid.)

---

4 μυῖα λυρική positura omissa PV 9 νόμ. λυρ. brevius S. Specimen καὶ αὐτὴ neglexit D. Volkmann. Quaest. nov. p. VII 11 Ἀντιλαΐς add. S 14 καὶ περιήγησιν — ἄλλα om. S, qui eorum loco Halieuticorum scriptores enumeravit, quae quidem explicatio vix ad Hesychium referenda videtur

DLXXIV. *Περὶ Κλεοφῶντος.*

Κλεοφῶν Ἀθηναῖος τραγικός. τῶν δραμάτων αὐτοῦ Ἀκταίων, Ἀμφιάραος, Ἀχιλλεύς, Βάκχαι, Δεξαμενός, Ἠριγόνη, Θυέστης, Λεύκιππος, Περσίς, Τήλεφος.

[DLXXV. *Περὶ Κλειταγόρας.*

Κλειταγόρα, ποιήτρια Λακωνική. μέμνηται Ἀριστοφάνης ἐν Δαναΐσι.]

271 DLXXVI. *Περὶ Κολούθου.*

Κόλουθος Λυκοπολίτης, Θηβαῖος ἐποποιός, γεγονὼς ἐπὶ τῶν χρόνων Ἀναστασίου τοῦ βασιλέως. ἔγραψε Καλυδωνιακὰ ἐν βιβλίοις ἕξ, ἐγκώμια δι' ἐπῶν καὶ Περσικά.

DLXXVII. *Περὶ Κορίννου.*

Κόριννος Ἰλιεύς, ἐποποιὸς τῶν πρὸ Ὁμήρου, ὥς τινές φασι, καὶ πρῶτος γράψας Ἰλιάδα, ἔτι τῶν Τρωϊκῶν συνισταμένων. ἦν δὲ Παλαμήδους μαθητὴς καὶ ἔγραψε τοῖς ὑπὸ Παλαμήδους εὑρεθεῖσι Δωρικοῖς γράμμασιν. ἔγραψε καὶ τὸν Δαρδάνου πρὸς Παφλαγόνας πόλεμον, ὡς ἐκ τούτου λαβεῖν καὶ τῆς ποιήσεως πᾶσαν ὑπόθεσιν Ὅμηρον καὶ ἐντάξαι τοῖς αὑτοῦ βιβλίοις.

DLXXIV. Hesych. (Suid.) DLXXV. Suid. (Schol. Ar. Lys. 1237) DLXXVI et DLXXVII. Hesych. (Suid.)

---

3 *Ἠριγίνη* P corr. V. Cf. Kaiser, histor. crit. trag. p. 228 infra *Περσεύς* PV 5 fr. 21 Meineke. Hanc vitam ex schol. Ar. Lysistr. 1237 Suidam descripsisse non fugit editores. Cf. Unters. p. 121. Hic interpolatoris manu e Suidae lexico additam ex violato literarum ordine concludi potest 8 *Καλυδωνικὰ* P corr. V

DLXXVIII. *Περὶ Κράτητος.*

Κράτης Ἀθηναῖος κωμικός, οὗ ἦν ἀδελφὸς Ἐπίλυκος, ποιητὴς ἐπῶν. δράματα αὐτοῦ εἰσιν ἑπτά· Γείτονες, Ἥρωες, Θηρία, Λάμια, Πεδῆται, Σάμιοι.

Καὶ ἕτερος Ἀθηναῖος κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. φέρεται αὐτοῦ δράματα τρία· Θησαυρός, Ὄρνιθες, Φιλάργυρος,

DLXXIX. *Περὶ Κρατίνου.*

Κρατῖνος Καλλιμήδους, Ἀθηναῖος κωμικός, λαμπρὸς τὸν χαρακτῆρα. ἔγραψε δράματα κα΄, ἐνίκησε δὲ θ΄.

DLXXX. *Περὶ Κρεωφύλου.*

Κρεώφυλος Ἀστυκλέους, Χῖος ἢ Σάμιος, ἐποποιός. τινὲς δὲ ἱστόρησαν Ὁμήρου γαμβρὸν ἐπὶ θυγατρί, οἱ δὲ φίλον αὐτὸν Ὁμήρου μόνον γεγονέναι καὶ ὑποδεξάμενον Ὅμηρον λαβεῖν αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχαλίας ἅλωσιν.

DLXXXI. *Περὶ Κύρου.*

Κῦρος Πανοπολίτης, ἐποποιός, γέγονεν ἐπὶ Θεοδοσίου τοῦ νέου βασιλέως, ὑφ᾽ οὗ καὶ ἔπαρχος Πραιτωρίων καὶ ἔπαρχος πόλεως προεβλήθη.

DLXXVIII—DLXXXI. Hesych. (Suid.)

---

3 *ἔγραψε δὲ καὶ καταλογάδην τινά* add. S 8 *φιλοπότης δὲ καὶ παιδικῶν ἡττημένος* add. S 17 *ἔπαρχος πόλεως* S *πρόλεων* om. *ἔπ.* PV His plura de Eudocia, Theodosii uxore, adnexuit S

272 Φιλόσοφοι.

DLXXXII. Περὶ τοῦ Καρνεάδους.

Καρνεάδης Λίβυς ἀπὸ Κυρήνης, υἱὸς Φιλοκώμου, φιλόσοφος, ἀφ᾽ οὗπερ ἡ νέα ἤρξατο Ἀκαδήμεια. φασὶ δὲ τελευτήσαντος τὴν σελήνην ἐκλιπεῖν καὶ τὸν ἥλιον ἀμυδρὸν γενέσθαι.

DLXXIII. Περὶ Καλλίππου.

Κάλλιππος Ἀθηναῖος φιλόσοφος, Πλάτωνος μαθητής.

DLXXXIV. Περὶ Κέβητος.

Κέβης Θηβαῖος, φιλόσοφος, Σωκράτους μαθητής. φέρονται αὐτοῦ διάλογοι τρεῖς· Ἑβδόμη, Φρύνιχος, Πίναξ (ἔστι δὲ τῶν ἐν Ἅιδου διήγησις) καὶ ἄλλα τινά.

DLXXXV. Περὶ Κελσίνου.

Κελσῖνος Εὐδώρου, Κασταβαλεύς, φιλόσοφος. ἔγραψε συναγωγὴν δογμάτων πάσης αἱρέσεως φιλοσόφων.

DLXXXII—DLXXXV. Hesych. (Suid.). De Carn. cf. Pseudo-Hesych. p. 32

Titulum *Φιλόσοφοι* addidi ex P om. V 1 *Κηρύνης* P corr. V *Φιλοκόμου* PV 2 *Ἀκαδημία* PV 5 Quae nunc sequuntur duae vitae, ex P sic reposui; neglegentissime V utramque commiscuit scribens *Κάλλιππος Ἀθηναῖος φιλόσοφος, Σωκράτους μαθητής*, vocabulo *μαθητής* ansam erroris dante, quo factum est, ut de Cebetis vita non simus certiores facti. Quem Villoisoni errorem nescius ipsi Eudociae tribuit Fr. Nitzschius in Mus. Rhen. XXII p. 193 6 Plura dedit S 12 *καὶ ἕτερα* add. S

DLXXXVI. Περὶ Κλεάνθους.

Κλεάνθης εἷς ἦν καὶ αὐτὸς τῶν Κυνικῶν φιλοσόφων, Ἄσσιος, μαθητὴς Κράτητος, εἶτα Ζήνωνος, οὗ καὶ διάδοχος γέγονε, διδάσκαλος Χρυσίππου τοῦ φιλοσόφου τοῦ Σολέως καὶ Ἀντιγόνου τοῦ βασιλέως. οὗτος ἐπωνομάσθη Φρεάντλης, ὅτι ἔν τινι φρέατι ἑαυτὸν στήσας ἠρύετο ὕδωρ τοῖς παριοῦσι, καὶ διδοὺς πιεῖν ἐλάμβανε παρ᾽ αὐτῶν ἄρτον καὶ ἤσθιε. θαυμάζεται δὲ παρὰ τῶν φιλοσόφων ἐν τούτῳ καὶ οὗτος ὡς καρτερικός. τοσοῦτον δὲ γέγονε φιλόπονος, ὡς καὶ δεύτερος Ἡρακλῆς κληθῆναι.

DLXXXVII. Περὶ Κλεοβούλου.

Κλεόβουλος Εὐαγόρου, Λίνδιος, εἷς τῶν ἑπτὰ σοφῶν, ῥώμῃ καὶ κάλλει διαφέρων τῶν κατ᾽ αὐτόν. μετέσχε δὲ τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. ἔγραψεν ᾄσματα καὶ γρίφους εἰς ἔπη ͵γ.

DLXXXVIII. Περὶ Κλεοβουλίνης.

Κλεοβουλίνη Λινδία, θυγάτηρ Κλεοβούλου τοῦ σοφοῦ. ἔγραψεν ἔπη καὶ γρίφους καὶ τὸ ᾀδόμενον εἰς τὸν ἐνιαυτὸν αἴνιγμα, οὗ ἡ ἀρχή· εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα, τῶν δὲ ἑκάστῳ παῖδες τριήκοντα.

DLXXXVI. Hesych. (Suid.) *ἔν τινι φρέατι — καρτερικός* Nonn. I, 35 (Cosm. p. 236; cod. Mon. 490) *τοσοῦτον δὲ γέγονε* — exit. Hesych. (Suid.) DLXXXVII et DLXXXVIII. Hesych. (Suid.)

---

2 *Κάσσιος* PV 6 Alteram nominis originationem attulit S *μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθοῦ καὶ μεθ᾽ ἡμέραν τοῖς μαθήμασι καὶ τοῖς βιβλίοις ἐσχόλαζεν*, quam iteravit v. *φρεάντλης* 14 *γρίφια* PV 15 *Κλεοβούλη* bis PV 18 *ἑκάστῳ* P, quod sine idonea causa in *ἑκάστων* mutavit V *τριήκοντα* legitur in Anthol. Pal. XIV, 101, unde

DLXXXIX. Περὶ Κλεομβρότου.

Κλεόμβροτος, Ἀμβρακιώτης τὸ γένος (πόλις αὕτη ἐστὶ τῆς παλαιᾶς Ἠπείρου), ἐντυχὼν [οὗτος] τῷ Φαί-
273 δωνι, τῷ περὶ ψυχῆς διαλόγῳ Πλάτωνος, καὶ μαθών, ὡς ἄμεινόν ἐστι τῇ ψυχῇ ὁ χωρισμὸς τοῦ σώματος, ἔρριψεν ἑαυτὸν ἀπὸ τοῦ τείχους καὶ τέθνηκεν ἀλόγως, ἵνα δῆθεν ἡ ψυχὴ αὐτοῦ ἐξελθοῦσα χωρισθῇ τοῦ σώματος.

DXC. Περὶ Κορνούτου.

Κορνοῦτος Λεπτίνης (ἡ δὲ Λέπτις πόλις Λιβύης), φιλόσοφος, γενονὼς ἐν Ῥώμῃ ἐπὶ τοῦ Νέρωνος καὶ πρὸς αὐτοῦ ἀναιρεθεὶς σὺν τῷ Μουσωνίῳ. ἔγραψε δὲ πολλὰ φιλόσοφα καὶ ῥητορικά.

DXCI. Περὶ Κράτητος.

Κράτης Ἀσκώνδου, Θηβαῖος ἐκ τῆς Βοιωτίας τὸ γένος, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ. οὗτος φιλοσοφῆσαι θέλων τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔρριψε τῷ δήμῳ, κηρύξας οὕτω· Κράτης ἀπολύει τὰ Κράτητος, ἵνα μὴ τὰ Κράτητος κρατήσῃ τὸν Κράτητα. καὶ τὰ χωρία αὐτοῦ εἴασε γενέσθαι μηλόβοτα (μηλόβοτον δέ ἐστι χωρίον, ἐν ᾧ ἀπολύονται τὰ πρόβατα εἰς τὸ βόσκεσθαι,

DLXXXIX. Nonn. I, 16 (Cosm. p. 257) DXC. Hesych. (Suid.) DXCI. Hesych. (Suid.) οὗτος — προβάτου Nonn. I, 28 ἔστι δὲ — exit. Hesych. (Suid.)

---

etiam παῖδες δυοκαίδεκα reponas 2 οὗτος cum F omittendum putavi 5 ἀλόγως om. F 10 πρὸ PV 12 φιλόσοφος κυνικός add. S 15 αὐτοῦ P. Verba Κράτης ἀπολύει τὰ Κράτητος affert Suidas v. βωμός.

μῆλα γὰρ καλοῦνται τὰ πρόβατα, ἔνθεν καὶ μηλανόμοι οἱ ποιμένες καὶ μηλωτὴ ἡ δορὰ τοῦ προβάτου).

Ἔστι δὲ καὶ ἕτερος Κράτης Τιμοκράτους, Μαλλώτης, φιλόσοφος Στωϊκός, ὃς ἐπεκλήθη Ὁμηρικὸς καὶ κριτικὸς διὰ τὴν περὶ τοὺς γραμματικοὺς καὶ ποιητικοὺς λόγους αὐτοῦ ἐπίστασιν, σύγχρονος Ἀριστάρχου τοῦ γραμματικοῦ καὶ τοῦ Φιλομήτορος Πτολεμαίου. συνέταξε διόρθωσιν Ἰλιάδος καὶ Ὀδυσσείας ἐν βιβλίοις θ' καὶ ἄλλα.

DXCII. *Περὶ Κρίτωνος.*

Κρίτων, Ἀθηναῖος φιλόσοφος, Σωκράτους μαθητής, ὃς καὶ γνησίως διετέθη πρὸς Σωκράτην, καὶ τὰ πρὸς τὴν χρείαν πάντα ἐδίδου αὐτῷ. ἔγραψε Σωκράτους ἀπολογίαν.

DXCIII. *Περὶ Λάδωνος τοῦ ποταμοῦ.*

Λάδων, ὁ ἐν Ἀρκαδίᾳ ποταμός, τῇ Γῇ συγγενόμενος ἐγέννησε Δάφνην πάνυ ὡραίαν τῷ εἴδει. ταύτης ἐρασθεὶς ὁ Ἀπόλλων ἐδίωκεν αὐτήν. ἡ δὲ συλλαμ- 274
βάνεσθαι μέλλουσα ηὔξατο τῇ μητρὶ αὐτῆς Γῇ. ἡ δὲ χανοῦσα ὑπεδέξατο αὐτήν. ἡ Γῆ δὲ Ἀπόλλωνα παραμυθουμένη ὁμώνυμον τῇ κόρῃ φυτὸν ἀνέδωκεν, ὃ καὶ Δάφνη καλεῖται. ἔστι δὲ ἀειθαλὲς καὶ μηδέποτε μαραινόμενον, ἐπεὶ καὶ ἡ κόρη ἄφθαρτος ἐκ τοῦ Ἀπόλ-

DXCII. Hesych. (Suid.)   DXCIII. Tzetzes Lyc. 6

---

1 Sic Cosmas, *μηλονόμοι* Nonnus. Ceterum plura ex Diogene Laertio et Philostrato compilata add. S   7 *ἐπὶ Πτολεμαίου τοῦ Φιλομ.* S   15 *παῖδα* add. F   17 *αὐτῆς* P *αὐτ.* V

λωνος ἔμεινεν. Ἀπόλλων δὲ ἐκ τοῦ αὐτοῦ φυτοῦ τῶν φύλλων στέφανον συνείρας ἐστεφανώσατο διὰ τὸν τὴν ὁμωνύμου κόρης ἔρωτα, ὅθεν καὶ τὰ ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος στέμματα ἀπὸ δάφνης ἦσαν κατεσκευασμένα. ὅθεν ληροῦσιν, ὅτι οἱ μάντεις δι' εὐφροσύνην Ἀπόλλωνος δάφνας ἤσθιον. καὶ ταῦτα μὲν τὰ μυθικά, τὸ δ' ἀληθὲς οὕτως ἐστίν. οἱ χρησμολόγοι καὶ μάντεις δάφνης φοροῦντες στεφάνους, ὡς ἀειθαλοῦς ὄντος τοῦ φυτοῦ καὶ ἀλεξικάκου, [καὶ] οὕτω χρῄζουσι τοὺς χρησμοὺς λέγοντες καὶ λαμβάνοντές τι ἐξ αὐτῶν. καὶ οὕτω διατρεφόμενοι τὸν μῦθον ἐπέθηκαν, οτι δαφνηφάγοι εἰσίν, ἤτοι ἐκ τοῦ στεφανοῦσθαι δάφνῃ καὶ λέγειν τοὺς χρησμοὺς ἔχουσι τὰς τροφάς.

DXCIV. *Περὶ Λακρατίδου.*

Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν, ὡς καὶ Φιλόχορος. ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου, ἐφ' οὗ πλείστη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι· διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδας ἐκάλουν.

DCXV. *Περὶ τῶν Λακωνικῶν ἐφήβων τῶν ξαινομένων ταῖς μάστιξιν.*

Οἱ Λακεδαιμόνοι πρὸς καρτερίαν γυμναζόμενοι ἑορτὴν ἐποίουν, ἐν ᾗ ἐμάστιζον ἀλλήλους καὶ ἀνδρείαν τινὰ ἐκ τούτου ἐπαιδεύοντο, ἵνα καρτερικῶς ἔχοιεν

DXCIV. Schol. Ar. Acharn. 219 (Suid.) DXCV. Nonn. I, 11 et 58

6 *δάφνην* F 11 *εἰς μῦθον ἐτέθησαν* F 16 Müller I p. 397

περὶ τοὺς πολέμους. ἐτίμων δὲ οἱ Λάκωνες ἐν τῇ ἑορτῇ τῶν μαστίγων τὴν Ἄρτεμιν· ταύτην γὰρ λέγουσι παρθένον θεάν, καρτερικὴ γὰρ ἡ θεὸς καὶ ὑπεράνω πάσης δειλίας καὶ ἐμπαθείας. οἱ δὲ καὶ τοῦτό φασιν, ὅτι τοὺς παῖδας αὐτῶν ἐπὶ τοῖς βωμοῖς ἔξαινον ταῖς πληγαῖς καὶ τούτους ἐδίδασκον ὑπομονητικῶς καὶ καρτερικῶς ἔχειν ταῖς μάστιξι, καὶ τῷ [μὴ] ὀλιγωρήσαντι καὶ γενναίως ἐνεγκόντι ἆθλον ἐδίδοσαν.

DXCVI. *Περὶ Λαμίας.*

Λάμια Βήλου καὶ Λιβύης θυγάτηρ. ταύτης ἐρασθῆναί φασι τὸν Δία, μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ Λαμία προσηγόρευται· ἔνθεν αὐτῇ συνελθὼν ὁ Ζεὺς οὐκ 275 *ἔλαθε τὴν Ἥραν, ἥτις ζηλοτυποῦσα τὴν Λάμιαν τὰ γινόμενα αὐτῆς τέκνα ἀνῄρει. ἡ δὲ ἀποθνησκόντων αὐτῆς τῶν παιδίων βαρυθυμοῦσα, τὰ τῶν ἄλλων παιδία διὰ φθόνον ὑποκλέπτουσα ἀνῄρει. διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβούσας τὰ βρέφη καλεῖν ἐπ' αὐτοῖς τὴν Λάμιαν. μυθεύεται δέ, ὡς ἄϋπνος αὕτη διατελεῖ βουλήσει Ἥρας, ἵνα καὶ ἡμέρας καὶ νύκτας ἐν τῷ πένθει ᾖ, ἕως οὗ αὐτὴν ἐλεήσας ὁ Ζεὺς ἀφαιρετοὺς αὐτῆς καὶ τοὺς ὀφθαλμοὺς ἐποίησεν, ὅπως ἐν αὐτῇ ᾖ ἐξαιρέσθαι καὶ πάλιν θεῖναι. λέγεται δὲ καὶ ἐσχηκέναι παρὰ Διὸς καὶ τὸ μεταμορφοῦσθαι εἰς ὅτι ἂν βούληται.*

DXCVI. Schol. Ar. Pac. 757 (Eadem tradidit Suidas, qui descripsit Schol. Ar. Vesp. 1050)

---

7 *μὴ* seclusi et *καὶ* pro *ἀλλὰ* emendavi, quod certe vulgatae lectioni praeferendum

DCXVII. *Περὶ Λαμπετίας.*

Λαμπετία καὶ Φαέθουσα, Ἡλίου καὶ Νεαίρας θυγατέρες, ποιμένες τῶν τοῦ Ἡλίου βοῶν ἐν Σικελίᾳ πλάττονται.

DXCVIII. *Περὶ τῆς Λαοδαμείας.*

Λαοδάμεια, ἡ Ἐκάστου, φίλανδρος πάνυ καὶ μὴ ἀνασχομένη ζῆν μετὰ τὸν τοῦ ἀνδρὸς θάνατον, περὶ ἧς λόγος φέρεται τοιοῦτος. Πρωτεσίλαος καὶ μετὰ θάνατον ἐρῶν τῆς γυναικὸς κατὰ μῆνιν Ἀφροδίτης ᾐτήσατο τοὺς κάτωθε ὄντας ἀνελθεῖν. καὶ ἀνελθὼν εὗρεν ἐκείνην ἀγάλματι αὐτοῦ περικειμένην. αἰτήσαντος δέ, φασί, μὴ ὑστερεῖν αὐτοῦ, ξίφει διεχρήσατο ἑαυτήν. ἕτεροι δὲ ἄλλως φασί, τὴν Λαοδάμειαν καὶ τεθνεῶτος τοῦ Πρωτεσιλάου ἔρωτι ἐκκαίεσθαι χόλῳ Ἀφροδίτης. ἀγγελθέντος δὲ τοῦ πάθους, οὐ μόνον χαλεπῶς ἤνεγκε, φασίν, ἀλλὰ καὶ ἀναγκαζομένη πρὸς τοῦ πατρὸς γάμῳ δευτέρῳ ζευχθῆναι οὐκ ἀπέστη τοῦ ἐρᾶν, ἀλλὰ κατεχομένη ἐνυκτέρευε μετὰ τοῦ ἀνδρός, μᾶλλον αἱρουμένη τὴν πρὸς τὸν τεθνεῶτα, φασί, συνουσίαν ἢ τὴν πρὸς τοὺς ζῶντας ὁμιλίαν, καὶ ἐξέλιπεν ὑπὸ ἐπιθυμίας. μεμύθευται δὲ ταῦτα διὰ τὸ ἐκείνης φίλανδρον, ἀνειδωλοποιουμένης, ὡς εἰκός, τὸν ἄνδρα καὶ συνεῖναι δοκούσης αὐτῷ καὶ θανόντι.

DXCVII. Eustath. Od. p. 1717. Cf. Eud. p. 410 DXCVIII. Eustath. Il. p. 325

---

8 Sic F *κάτω σθένοντας* perperam PV. Cf. Unters. p. 72 not.

DXCIX. *Περὶ Λαπίθων.*

Λαπίθαι γένος ἦν ἡρωϊκὸν ἐν Θεσσαλίᾳ, Κενταύροις πολέμιον, ἀπό τινος Λαπίθου, υἱοῦ Ἀπόλλωνος καὶ Στίλβης Νύμφης, ἔχοντες τὴν τοῦ γένους ἀρχήν.

DC. *Περὶ Λευκοθέας.* 276

Λευκοθέα ἢ Ἰνώ, ὅτι ἐμμανὴς γενομένη, διὰ τοῦ λευκοῦ πεδίου θέουσα, ὅ ἐστι περὶ τὴν Μεγαρίδα, ἑαυτὴν εἰς τὴν θάλασσαν ἔρριψε. Μυρσίλος δὲ οὐ μόνον τὴν Λευκοθέαν Ἰνώ φησιν, ἀλλὰ καὶ τὰς Νηρηΐδας Λευκοθέας ὀνομάζει.

DCI. *Περὶ Λευκωσίας.*

Λευκωσία μία τῶν Σειρήνων· ἡ δὲ Παρθενόπη πρώτη ἦν ἐν αὐταῖς. Παρθενόπην λέγουσι διὰ τὸ ἔχειν παρθένου μικρᾶς φωνήν, ἢ διὰ τὸ ὁμοιοῦν παρθένῳ μικρᾷ· Λευκωσία πάλιν ἡ λευκωτέρα, ἔχουσα λευκὰ ὠτία, ἢ Λεύκου τινὸς θυγάτηρ, ἢ τὰ τοῦ λύκου ὠτία ἔχουσα.

DCII. *Περὶ τοῦ λέοντος τοῦ ἐν οὐρανῷ.*

Λέων ὁ ἐν τῷ οὐρανῷ ἐστι μὲν τῶν ἐπιφανῶν ἀστέρων. δοκεῖ δ' ὑπὸ Διὸς τιμηθῆναι τοῦτο τὸ ζῴδιον διὰ τὸ τῶν τετραπόδων ἡγεῖσθαι. τινὲς δέ φασιν, ὅτι Ἡρακλέους πρῶτος ἆθλος ἦν εἰς τὸ μνημο-

DXCIX. Eustath. Il. p. 895 DC. Etym. M. p. 561, 43 DCI. Tzetzes Lyc. 720 seq. DCII. Eratosthen. Catast. 12 *λέων τις* — exit. Nonn. II, 5

---

2 Post *πολέμιον* maiorem posituram, qua distinxerunt PV, sustuli 7 *Μυρσῖνος* PV. Cf. Müller IV, p. 459 14 *Λεύκου* P *Λευκοῦ* V

νευθῆναι· φιλοδοξῶν γὰρ μόνον τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξε. λέγει δὲ περὶ αὐτοῦ καὶ Πείσανδρος ὁ Ῥόδιος. ὅθεν καὶ τὴν δορὰν αὐτοῦ ἔχειν, ὡς ἔνδοξον ἔργον πεποιηκώς.

Ἄλλως. λέων τις ἦν τῇ Νεμέᾳ (χώρα δὲ αὕτη τῆς Πελοποννήσου) ἄτρωτος σιδήρῳ καὶ βολαῖς παντοίαις, ὃς τοὺς ἐν τῇ χώρᾳ ἀπεχθῶς ἐλυμαίνετο. Εὐρυσθεὺς οὖν βασιλεύων τῶν Μυκηνῶν καὶ μηνιῶν τῷ Ἡρακλεῖ, πέμπει αὐτὸν ἐπὶ ἀναιρέσει τοῦ λέοντος, καὶ ἐλθὼν ὁ Ἡρακλῆς ἀνεῖλεν αὐτόν. καὶ οἱ θεοὶ βουλόμενοι ἐπίδοξον ποιῆσαι τὸν ἀγῶνα τοῦ Ἡρακλέους, δι' ἄστρων ἐζωγράφησαν ἐν τῷ οὐρανῷ τὸν λέοντα, καὶ νῦν ἐστιν ὁ λέων ἐν ἄστροις.

DCIII. *Περὶ Λήδας.*

Λήδα ἐξ Αἰτωλῶν ἦν, Πλευρωνία, παῖς μὲν Θεστίου, Τυνδάρεω δὲ κατὰ τὸν ποιητὴν παράκοιτις, τοῦ ἐκ Λακεδαίμονος· ἧς παῖδες Κάστωρ καὶ Πολυδεύκης, περὶ ὧν ἀρκούντως ἐν τῷ περὶ Διοσκούρων εἴρηται.

277

DCIV. *Περὶ τῆς Λητοῦς.*

Λητώ, ἡ μήτηρ τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος, Διὸς δὲ παράκοιτις λεγομένη, ἄλλως πάντως λέγεται ἤπερ ἡ Ἥρα. λέγεται δὲ Λητὼ παρὰ τὸ λήθω τὸ λανθάνω· ἐπιληστικὴ γὰρ κακῶν ἡ θεός, ὡς Ἑλλη-

DCIII. Schol. Apoll. I, 146 (Similia narrat schol. Od. XI, 298) DCIV. Eustath. Il. p. 989 *ἄλλως — ἄλλαι* Eustath. Od. p. 1700 *Διὸς οὖν* — exit. Tzetzes Lyc. 401. Cf. Eud. p. 81

3 *Πίνδαρος* inepte PV consentiente F. Cf. Kinkel I, p. 250 8 *Μιννῶν* et mox *μηνίων* PV 10 *καὶ οἱ θεοί — λέοντα* absunt F 15 Od. XI, 297 17 Cf. p. 124

νες μυθολογοῦσιν. ὅτι ἀλληγορεῖται δὲ οὐ μόνον εἰς λήθην, ἀλλὰ καὶ εἰς νύκτα, τὴν τῷ ἀέρι Διῒ προσήκουσαν, ὅτι μὴ φωτὶ καταλάμπεται, οὐκ ἂν εἴη τις τῶν περὶ λόγους ἀγνοῶν.

Ἄλλως. ἡ Λητὼ παράκοιτις τοῦ Διὸς λέγεται ἄλλως πάντως, ἥπερ ἡ Ἥρα, καὶ καθὰ μνηστήρων ἀλόχους ὁ Ὅμηρός φησί που τὰς τοῦ Ὀδυσσέως δμωΐδας, οὕτω δὲ καὶ τῷ Πριάμῳ ἔτεκε μὲν παῖδας καὶ ἡ κατ' ἐξαίρετον γυνὴ Ἑκάβη, ἔτικτον δ' αὐτῷ καὶ γυναῖκες ἄλλαι. Διὸς οὖν συγγενομένου Λητοῖ καὶ ποιήσαντος αὐτὴν ἔγκυον, Ἄρτεμιν καὶ Ἀπόλλωνα, ζήλῳ τῆς Ἥρας μήτε ἐν γῇ, μήτε ἐν θαλάσσῃ ὑποδεχομένης τὴν Λητὼ πρὸς ἀπότεξιν, κελεύει τῷ Ποσειδῶνι Ζεὺς καὶ ἀνέδωκε τὴν Ὄρτυγα νῆσον, τὴν καὶ Ἀστερίαν λεγομένην, πρότερον κρυπτομένην τοῖς κύμασιν, ἔτι δὲ καὶ τρέμουσαν, καὶ ἐκ τοῦ φανῆναι αὐτὴν Δῆλον ὠνόμασεν. Ἀστερία γὰρ φεύγουσα φόβῳ τῆς Ἥρας τὴν μίξιν τοῦ Διός μετέβαλεν ἑαυτὴν εἰς ὄρτυγα καὶ ἥλατο εἰς τὴν θάλασσαν καὶ ἐγένετο νῆσος, ἥτις Ἀστερία καὶ Ὀρτυγία ἐκαλεῖτο. ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ καὶ δάφνης καὶ φοίνικος πρῶτον ἐκεῖ φανέντων ἁψαμένη τὴν Ἄρτεμιν γεννᾷ. ἡ δὲ ταύτην μαιεύει καὶ τίκτει τὸν Ἀπόλλωνα [καὶ Ἄρτεμιν]. καὶ Ἄρτεμις δὲ τὴν Δῆλον κατέλαβεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν.

DCV. *Περὶ τοῦ Λίνου.*

Λίνος, Οὐρανίας υἱός, ᾠδῆς τινος εὑρετής, ὃν

DCV. Eustath. Il. p. 1222 (Cf. Cramer, Anecd. Par. III, p. 289; Bergk. Poet. Lyr. p. 1297 seq.)

1 ὅτι ego ex F addidi 7 Od. XXII, 445

ἀνεῖλεν Ἀπόλλων, ἐπεὶ τὸν λίνον καταλύσας χορδαῖς ἐνέτεινεν ὄργανον. ὁμοίως καὶ Φιλόχορός φησιν ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι, διότι πρῶτος τὸν λίνον καταλύσας χορδῇ ἐχρήσατο εἰς μουσικῆς ὄργανον. ἐτάφη δὲ ἐν Θήβαις καὶ ἐτιμᾶτο ὑπὸ τῶν ποιητῶν θρηνώδεσιν ἀπαρχαῖς, εἰς ὃν καὶ ἐπίγραμμά ἐστι τοιοῦτον·

Ὦ Λίνε, πᾶσι θεοῖσι τετιμένε· σοὶ γὰρ ἔδωκαν
Ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀεῖσαι,
Ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σε θρήνεον αὐταὶ
Μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς.

278 καὶ Ἡσίοδος·

Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,
Ὃν δὴ ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί,
Πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε
Ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν.

ὁ μέντοι τὸν Ἡρακλέα διδάξας μουσικὸς Λίνος κατὰ τὴν παλαιὰν ἱστορίαν ἕτερος παρὰ τοῦτόν ἐστιν, οὗ Θεόκριτος μέμνηται ὁ καὶ ἱστορήσας, ὅτι τὸν Ἡρακλέα γράμματα Λίνος ἐξεδίδασκεν, υἱὸς Ἀπόλλωνος, περὶ οὗ ἐν τοῖς περὶ τῶν ποιητῶν μετ' οὐ πολὺ λέξομεν. φασὶ δὲ οἱ παλαιοὶ καὶ ὅτι, λίνῳ ἀντὶ χορδῆς τῶν παλαιῶν χρωμένων πρὸς τὴν κιθάραν, ὕστερον μείναντος τοῦ ὀνόματος, ἡ χορδὴ λίνον καλεῖται, ὥσπερ, φασί, καὶ λίθος ἡ ἄγκυρα, ἐπεὶ πάλαι ποτὲ λί-

---

2 *Φιλίχορος* P corr. V. Cf. Müller IV, p. 648 7 *πᾶσι θεοῖσιν τετιμένε* scripsi cum Bergkio, *πάντα θεοῖς τετιμημένε* PV *πάντα θεοῖσι τετιμένε* F 8 *ἀεῖσαι* Bergk. *ἀείδειν* FPV 10 *μυρόμεναι* F *μελπόμεναι* PV. Ceterum ad poema Orphicum, quod in animo habuerit Schol. Il. XVIII, 570, quattuor hos hexametros referendos esse recte Bergkius suspicatus est 11 fr. 132 14 Sic scribendum, *εἰλαπίναις ἠδὲ χοροῖσιν* PV 15 *λαλέουσιν* PV 18 Theocrit. XXIV, 105

θος εἰς ἄγκυραν ἐχρημάτισεν. Ἡρόδοτος δὲ λέγει, ὅτι παρ' Αἰγυπτίοις Λίνος τις ἀείδεται. καὶ θαυμάζειν ἐκεῖνός φησι τὸν Λίνον, ὁκόθεν ἔλαβε τὸ ὄνομα. λέγει δὲ καὶ ὅτι κατὰ Αἰγυπτίους βασιλέως παῖς ἐκεῖνος μονογενὴς ἦν. ἀποθανὼν δ' ἄωρος θρήνοις ὑπ' Αἰγυπτίων ἐτιμήθη, καὶ ἡ ἀοιδὴ αὕτη καὶ μόνη σφίσιν ἐγένετο. ἐντεῦθεν δὲ ἀναφαίνεται, ὅτι κυρίως αἴλινος ὁ ἐπὶ τοιούτῳ λίνῳ αἴαγμος, εἰ καὶ ἄλλως διφορεῖται τῇ σημασίᾳ κατὰ τὸν Ἀθήναιον εἰπόντα, ὡς „ἐν γάμοις μὲν ᾠδὴ ὑμέναιος, ἐν δὲ πένθεσιν ἰάλεμος.“ λίνος δὲ καὶ αἴλινος ἔν τε πένθεσι καὶ „ἐπ' εὐτυχεῖ μολπῇ“ κατ' Εὐριπίδην. ἡ δὲ ἱστορία καὶ τρεῖς παραδίδωσι Λίνους· τὸν τῆς Καλλιόπης καὶ τὸν τοῦ Ἀπόλλωνος καὶ Χαλκιόπης καὶ τὸν Νάρκισσον. παρασημειοῦνται δὲ οἱ παλαιοὶ καὶ ὅτι χορδὰς ἐπιστάμενος Ὅμηρος ὅμως λίνον καλεῖ, καθὰ καὶ χαλκᾶ ὅπλα τὰ ἐκ σιδήρου.

DXVI. *Περὶ τῶν Λιτῶν.*

Τὰς Λιτὰς ὁ ποιητὴς ἔφη Διὸς θυγατέρας εἶναι, χωλὰς μὲν οὔσας διὰ τὸ πίπτειν τοὺς γουνπετοῦντας, ἐπὶ παραστάσει δὲ τῆς ἀσθενείας αὐτῶν, πάλιν ῥυσσάς, παραβλῶπας δὲ τῷ παριδόντας τινὰς τινὰ ὕστερον ἀνάγκην ἴσχειν λιτανείας. ἔτι εἰδοποιεῖ τὰς Λιτὰς ὁ ποιητὴς ὡς δαίμονάς τινας. χωλὰς μὲν αὐτὰς κέ-

DCVI. Cornut. 12 *ἔτι εἰδοποιεῖ* — exit. Schol. Il. IX, 498, quae inde in Cornuti exemplaria translata sunt, ubi merito Osannus expunxit

---

3 *οἴκοθεν* PV. Cf. Herod. II, 79 9 Athen. XIV, p. 619 11 *εὐτυχεῖ* F *εὐτυχῇ* PV. Cf. Eurip. Herc. fur. 348 16 Il. XVIII, 570 18 Il. IX, 502

κληκε διὰ το βραδέως καὶ μόλις προσιέναι καὶ λιτανεύειν τούτους, οὓς ἂν προηδικηκότες ὦσι. ῥυσσὰς δὲ καὶ διαστρόφους τὰς ὄψεις, ἐπεὶ βαρέως καὶ οὐ γεγηθότι τῷ προσώπῳ προσορᾶν δύνανται τοὺς προηδικημένους, παρ᾽ ὧν αἰτοῦνται συγγνώμην. Διὸς δὲ θυγατέρας γενεαλογεῖ, ὥστε σεβασμίας εἶναι.

279 DCVII. Περὶ τοῦ Λοκροῦ.

Ἀμφικτύονος καὶ Χθονοπάτρας ἀπόγονος Φύσκος, οὗ Λοκρός. ὧν ἀπὸ μὲν Φύσκου Φύσκοι πρώτην, ἀπὸ δὲ τοῦ Λοκροῦ Λοκροὶ οἱ αὐτοὶ ὠνομάσθησαν. Λοκροῦ δὲ Ὀποῦς, πρὸς ὃν διενεχθεὶς ὁ πατὴρ Λοκρὸς ἐᾷ μὲν ἄρχειν ἐκεῖνον, αὐτὸς δὲ οἰκεῖ τὰς πρὸς ἑσπέραν τοῦ Παρνασσοῦ, ἔχων ὑφ᾽ ἑαυτὸν τοὺς ἐκεῖ. οἱ Ἑσπέριοί τε καὶ Ὀζόλαι ἐκαλοῦντο περὶ Αἰτωλίαν, ἐπὶ τῆς ἑτέρας, φασί, πλευρᾶς οἰκοῦντες, κατὰ Κρισσαῖον πεδίον· ἀφ᾽ ὧν ὕστερον καὶ ἀποικία εἰς Ἰταλίαν ἐστάλη, ἔνθα Λοκροὶ Ἐπιζεφύριοι, οὓς Πίνδαρος ἐπαινεῖ, ὡς εὐνομουμένους καὶ λογίους καὶ μαχίμους.

DCVIII. Περὶ Λυγδάμιδος τοῦ κατακαύσαντος τὸν ναὸν Ἀρτέμιδος.

Λύγδαμις ὄνομα. οὗτος ἔκαυσε τὸν ἐν Ἐφέσῳ ναὸν τῆς Ἀρτέμιδος. [ἡ δὲ Ἔφεσος πόλις Ἰώνων, ἡ

DCVII. Eustath. Il. p. 277 DCVIII. Hesych. Alex. ἡ δὲ Ἔφεσος — exit. Eustath. Dion. 823

---

2 ἂν addidi ex F om. PV 9 τοῦ om. F 11 οἰκεῖ recepi ex F εἰς inepte PV 13 Sic F οἵ τε Ἑσπέριοι PV 16 ὧν καὶ ὁ περιηγητὴς μέμνηται add. F Olymp. XI, 15 18 ἐν Ἐφέσῳ om. F 19 Haec ab interpolatore addita sunt, fabulam de Lygdamide altera Herostrati contaminante

καὶ Τραχεῖά ποτε κληθεῖσα καὶ Ὀρτυγία καὶ Πτελέα, κατὰ δὲ Ἡρόδοτον Λυδίας. ἣν καὶ παραλίαν λέγει καὶ μεγάλην πόλιν Ἀρτέμιδος, καὶ ναόν φησιν ἐκεῖ εἶναι, ὃν αἱ Ἀμαζόνες ἐποίησαν ἐν πρέμνῳ, ὅ ἐστιν ἐν κορμῷ πτελέας, μέγιστον καὶ θαυμασιώτατον. ὃν ὕστερον κατακαυθέντα πρός τινος θελήσαντος οὕτως ἑαυτῷ περιποιήσασθαι τὸ ἐπ' ὀνόματι ἀοίδιμον. κἂν οὐκ ἔσχε τυχεῖν ἐκεῖνος ὃ ἤθελεν· ἀραὶ γὰρ ἐτέθησαν, μηδένα τῶν ἁπάντων τὸ ἐκείνου περιφέρειν ὄνομα, ὡς ἂν ἐπιλησθείη παντάπασι καὶ μὴ ἔχοι ὃ βούλεται.]

DCIX. *Περὶ τοῦ Λυγκέως.*

Λυγκεὺς ὀξυδερκέστατος ἐλέγετο, ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. οὕτω μὲν μυθολογοῦσι. πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου ἐπινενοήται, ὅτι πρῶτος οὗτος ἤρξατο μεταλλεύειν χρυσὸν καὶ ἄργυρον καὶ χαλκὸν καὶ τὰ ἄλλα, ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν καὶ τὸν σίδηρον καὶ τὰ λοιπά. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ, καὶ καταδύνων ἀργύριον ἀναφέρει.

DCX. *Διὰ τί Λυκηγενὴς ὁ Ἀπόλλων.*

Λυκηγενὴς ὁ Ἀπόλλων λέγεται κατὰ τὸν μῦθον, οἱονεὶ λυκιηγενής, ὡς ἐν Λυκίᾳ γεγονώς, ἢ τῇ μεγάλῃ κατά τινας ἢ τῇ μικρᾷ, ἧς Πάνδαρος ἦρχεν, ἀφ' 280

DCIX. Palaeph. 10 (Arsen. Viol. p. 337). Cf. Append. Proverb. III, 71 DCX. Eustath. Il. p. 448

8 *οὐ ἠθ.* F 19 *ἀναφέρει* rectius F *περιφέρει* PV et Arsen. 21 *λυκιηγενής* F *λυκιγενής* PV 22 *περὶ ἧς καὶ ἡ Βοιωτία δηλοῖ* add. F

ἧς καὶ ὁ πατὴρ Λυκάων παρωνόμασται. εἰς ἣν φασι μετὰ τὸ γεννῆσαι ἀπηλλάγη ἡ Λητώ, τὴν τῆς Ἥρας ζηλοτυπίαν ἐκκλίνασα.

Καὶ ἄλλως. Λυκηγενὴς λέγεται, ὅτι λύκος, φασίν, ἐπεφάνη τῇ Λητοῖ ἐν τῷ τοκετῷ, ὅτε καὶ πτοηθεῖσα πτῷόν τε τὸν ἐξ αὐτῆς Ἀπόλλωνα ἐπωνόμασε καὶ Λυκηγενῆ. διὸ καὶ Ἀπόλλωνι κατὰ μῦθον ὁ λύκος ἀνεῖτο καὶ νομίσματι ἐνεχαράττετο. καὶ Λύκειος δὲ ἀπ' αὐτοῦ ἐκαλεῖτο αὐτός τε ὁ Ἀπόλλων καὶ ἀγορά τις ἐν τῷ Ἄργει.

Καὶ ἄλλως. ὥσπερ ὁ κύκνος ἱεροῦται τῷ Ἀπόλλωνι, ὡς ἡλίῳ, διὰ τὴν λευκότητα, καὶ ὁ κόραξ διὰ τὴν νυκτερινὴν μελανίαν, ἧς οἷα καὶ μητρὸς ἀπογεννᾶται, οὕτω καὶ λύκος ἀνάκειται αὐτῷ διὰ τὸ μέσοτ εἶναι ἀμφοῖν τὸ λύκειον χρῶμα. τεφρῶδες γὰρ καὶ οὔτε φαεινὸν οὔτε ἄκρως μέλαν, ἀλλ' οἷόν τι τὸ πρὸ τῆς κροκοπέπλου ὑπονύκτερον χρῶμα, ὃ καὶ λυκόφως ἡ καθωμιλημένη γλῶσσα καλεῖ.

DCXI. Περὶ τῆς λύρας τῆς ἐν οὐρανῷ.

Λύρα κεῖται ἐν τοῖς ἄστροις, ἔστι δὲ Μουσῶν. κατεσκευάσθη δὲ τὸ μὲν πρῶτον ὑπὸ Ἑρμοῦ ἐκ τῆς χελώνης καὶ τῶν Ἀπόλλωνος βοῶν, ἔσχε δὲ χορδὰς ἑπτὰ ἀπὸ τῶν Ἀτλαντηρίδων. μετέβαλε δὲ αὐτὴν Ἀπόλλων καὶ συναρμοσάμενος ᾠδὴν Ὀρφεῖ δέδωκεν,

DCXI. Eratosth. Catast. 24 Ἀρμενίδας — exit. Schol. Apoll. I, 740

5 Sic cum F scripsi, ὅθεν καὶ πτῷόν τε PV 6 ἐπωνόμασαν PV, iidem om. καὶ Λυκηγενῆ 14 ὡς ἀλλαχοῦ γέγραπται add. F 22 Ἀτλαντηρίδων PV, quod tuetur Bernhardy Eratosth. p. 119 Ἀτλαντίδων cum aliis Robert

ὃς Καλλιόπης υἱὸς ὤν, μιᾶς τῶν Μουσῶν, ἐποίησε τὰς χορδὰς ἐννέα ἀπὸ τοῦ τῶν Μουσῶν ἀριθμοῦ, καὶ προήγαγεν ἐπὶ πλέον ἐν τοῖς ἀνθρώποις δοξαζόμενος οὕτως, ὥστε καὶ ὑπόληψιν ἔχειν περὶ αὐτοῦ τοιαύτην, ὅτι καὶ τὰς πέτρας καὶ τὰ θηρία ἐκάλει διὰ τῆς ᾠδῆς. ὃς τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν. Ἀρμενίδας δέ φησι, δοθῆναι τὴν λύραν Ἀμφίονι ὑπὸ Μουσῶν, Διοσκορίδης δὲ ὑπὸ Ἀπόλλωνος καὶ Φερεκύδης δὲ ἐν τῇ δεκάτῃ ἱστοριῶν ὑπὸ Μουσῶν.

Ῥήτορες.

DCXII. *Περὶ Λαχάρους τοῦ ῥήτορος.*

Λαχάρης Λαχάρους, Ἀθηναῖος ῥήτωρ, μαθητὴς Ἡρακλέωνος, σοφιστοῦ Ἀθηναίου, διδάσκαλος δὲ πλείστων, ἐνδόξων τε Εὐστεφίου καὶ Νικολάου καὶ Ἀστερίου, ἀκμάσας ἐπί τε Μαρκιανοῦ καὶ Λέοντος τῶν βασιλέων. ἔγραψε περὶ κώλου καὶ κόμματος καὶ περιόδου, διαλέξεις, ἱστορίαν τὴν κατὰ Κορνοῦτον, ἐκλογὰς ῥητορικὰς κατὰ στοιχεῖον.

DCXIII. *Περὶ Λέοντος Ἀλαβανδέως.* 281

Λέων Ἀλαβανδεύς, ῥήτωρ. ἔγραψε Καρικῶν βιβλία τέσσαρα, Λυκιακὰ ἐν βιβλίοις β′, τέχνην περὶ στάσεων, τὸν ἱερὸν πόλεμον Φωκέων καὶ Βοιωτῶν.

DCXII et DCXIII. Hesych. (Suid.)

---

4 *οὕτω ὥστε καὶ* F *οὕτω καὶ* PV 5 *ἐκήλει* Robert 8 *Ἀρμενίδας*g legendum *Ἀντιμενίδας* PV. Cf. Müller IV, p. 339 9 Müller II ,p. 196 10 fr. 29 Sturz Post 11 *Λαχαρήτος* PV 13 *σοφιστής* S 14 *σοφιστοῦ* om. S, mox *ἐνδόξων τε* pro *ἐνδόξων δὲ*, quod libri offerunt, scripsi monitus ab Ervino Rohdio 16 Ad-

DCXIV. *Περὶ Λεωνᾶ.*

Λεωνᾶς σοφιστής, Ἴσαυρος τὸ γένος, εὐδοκιμῶν ἐν τῷ πλήθει τῶν ἐν Ἀλεξανδρείᾳ ὁμοτέχνων.

DCXV. *Περὶ Λιβανίου.*

Λιβάνιος Ἀντιοχεὺς σοφιστής, ἐπὶ τῶν τοῦ Ἰουλιανοῦ τοῦ παραβάτου χρόνων καὶ μέχρι Θεοδοσίου τοῦ πρεσβυτέρου. ἔγραψεν ἄπειρα, ἐν οἷς εἰς Κωνστάντιον τὸν βασιλέα ἐγκώμιον, ἕτερον εἰς Ἰουλιανόν, μελέτας ῥητορικὰς πλείστας καὶ ἐπιστολάς.

DCXVI. *Περὶ τοῦ Λουκιανοῦ.*

Λουκιανὸς Σαμοσατεὺς ἐπὶ Τραϊανοῦ Καίσαρος, τὸ πρὶν δικηγόρος ἐν Ἀντιοχείᾳ, δυσπραγήσας ἐν τούτῳ ἐπὶ τὸ λογογραφεῖν ἐτράπη. καὶ γέγραπται αὐτῷ ἄπειρα.

DCXVII. *Περὶ Λολλιανοῦ.*

Λολλιανὸς Ἐφέσιος σοφιστής, μαθητὴς Ἰσαίου τοῦ Ἀσσυρίου, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος. ἔγραψε πολλά.

DCXVIII. *Περὶ Λυκούργου.*

Λυκοῦργος Λυκόφρονος, Ἀθηναῖος ῥήτωρ. ἔγραψε λόγους πολλούς, ἐν οἷς οἱ σωζόμενοι γνήσιοι· κατὰ

DCXIV—DCXVIII. Hesych. (Suid.)

---

didit quaedam ex Damascio excerpta S (Cf. Phot. bibl. p. 341 b) 1 Hunc articulum ex Procli vita a Marino descripta Hesychio praesto fuisse editores observaverunt. Plura ex eodem Marini scripto Suidae fluxerunt 4 *βασιλέως* S, qui multo uberior est 5 *πρεσβύτου* S, quod displicuit Bernhardyo *Κωνσταντῖνον* PV 7 *πλείστας* om. S 8 Hic quoque uberior S, cuius lectionem *δικηγόρος* pro *δημηγόρος* recepi 15 Plura de eius vita dedit S

Ἀριστογείτονος, κατὰ Αὐτολύκου, κατὰ Λεωκράτους, κατὰ Λυκόφρονος δύο, κατὰ Πασικλέους, κατὰ Μεναίχμου, κατὰ Δημάδου, ἀπολογία πρὸς τὸν αὐτὸν ὑπὲρ τῶν εὐθυνῶν, πρὸς Ἰσχυρίαν, πρὸς τὰς μαντείας, περὶ τῆς διοικήσεως, περὶ τῆς ἱερείας, περὶ τῆς ἱερωσύνης, ἐπιστολαὶ καὶ ἄλλα τινά.

DCXIX. *Περὶ τοῦ Λυσίου.*

Λυσίας Κεφάλου, Συρακούσιος ῥήτωρ, μαθητὴς Τισίου καὶ Νικίου, εἷς τῶν μετὰ Δημοσθένους δέκα ῥητόρων. λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τʹ, καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξούμενοι. τῷ δὲ καθαρῷ τῆς φράσεως οὐδένα ἔσχε μιμητὴν πλὴν Ἰσοκράτους. ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας, 282 *ἐγκώμιά τε καὶ ἐπιταφίους καὶ ἐπιστολὰς ζʹ, μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς.*

Ποιηταί.

DCXX. *Περὶ Λεσχίδου τοῦ ποιητοῦ.*

Λεσχίδης ἐπῶν ποιητής, ὃς συνεστράτευσεν Εὐμενεῖ τῷ βασιλεῖ, ὃς ἦν ἐπιφανέστατος τῶν ποιητῶν. συνῆν τούτῳ καὶ Πυθίας ὁ συγγραφεὺς καὶ Μένανδρος ὁ ἰατρός.

DCXIX et DCXX. Hesych. (Suid.)

---

1 *Ἀριστογείτωνος* PV 2 *Πασικλέου* PV, mox iidem *Μενέχμου* 3 *ἀπολογία* accessit ex S om. PV 5 *ἱερατείας* PV 9 Plura invenies in S 10 *τούτους* perperam PV 14 *ὧν αἱ πέντε πρὸς μειράκια* add. S Post 14 titulum *ποιηταί* addidi ex P om. V 17 *Πυθώας* PV

DCXXI. Περὶ Λεύκωνος.

Λεύκων Ἄγνωνος, γεγονὼς ἐν τοῖς Πελοποννησιακοῖς. τῶν δραμάτων αὐτοῦ εἰσι ταῦτα· Ὄνος ἀσκοφόρος, Φράτορες.

DCXXII. Περὶ Λίνου.

Λίνος Χαλκιδεύς, Ἀπόλλωνος καὶ Τερψιχόρης, οἱ δὲ Ἀμφιμάρου καὶ Οὐρανίας, οἱ δὲ Ἑρμοῦ καὶ Οὐρανίας. λέγεται δὲ πρῶτος οὗτος ἀπὸ Φοινίκης γράμματα εἰς Ἕλληνας ἀγαγεῖν, γενέσθαι δὲ καὶ Ἡρακλέους διδάσκαλος γραμμάτων, καὶ τῆς λυρικῆς μούσης πρῶτος γενέσθαι ἡγεμών.

Ἔστι δὲ καὶ ἕτερος Λίνος Θηβαῖος, νεώτερος ποιητής.

DCXXIII. Περὶ Λυσιμάχου.

Λυσίμαχος, οὗ μὲν Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν μνημονεύει, Ἀριστείδου ἦν υἱὸς τοῦ δικαίου, οὗ δὲ Λυκοῦργος μελοποιὸς ἦν εὐτελής.

DCXXIV. Περὶ Λυσίππου.

Λύσιππος τραγικός. τῶν δραμάτων αὐτοῦ ἐστι Βάκχαι καὶ ἕτερα αὐτοῦ δράματα.

DCXXI—DCXXIV. Hesych. (Suid.)

---

1 *Ἁγνὸς* PV exhibent aeque mendosum, atque *ἁγνὼς* vel *ἁγνός*, quod Suidae libri praebent. Certe cum Bernhardyo *Ἀγνὸς* olim legebatur pro *Ἄγνωνος*, quod postea compendio male intellecto mutatum est 2 *ὄνος, ἀσκόφορες* PV 8 *διδάσκαλον* et infra *πρῶτον — ἡγεμόνα* PV 11 *ποιητής* om. S 12 Haec Hesychium vel Suidam ex lexico Harpocrationis hausisse apparet. Fortasse in Violario cum omnia ad verbum cum Suidae glossa conspirent, interpolatoris curae debemus. *μὲν* scripsi cum S om. PV 13 *ἀδελφῶν* inepte PV 16 *ὡς Ἀθήναιος λέγει ἐν γ' Δειπνοσοφιστῶν καὶ ἐν τῷ η'* add. S, qui in fine

Γραμματικοί.

DCXXV. *Περὶ Λουπέρκου τοῦ γραμματικοῦ.*

Λούπερκος, Βηρύτιος γραμματικός, γεγονὼς μικρῷ πρὸ τῶν Κλαυδίου τοῦ δευτέρου Καίσαρος χρόνων. ἔγραψε περὶ τοῦ ἄν βιβλία τρία, περὶ τοῦ ταώς, περὶ τῆς καρίδος, περὶ τοῦ παρὰ Πλάτωνι ἀλεκτρυόνος, κτίσιν τοῦ ἐν Αἰγύπτῳ Ἀρσινοήτου, Ἀττικὰς λέξεις, τέχνην γραμματικήν, περὶ γενῶν ἀρσενικῶν, θηλυκῶν καὶ οὐδετέρων βιβλία ιγ', ἐν οἷς πολλὰ κατευδο- 283
κιμεῖ Ἡρωδιανοῦ.

DCXXVI. *Περὶ Λυγκέως.*

Λυγκεύς, Σάμιος γραμματικός, Θεοφράστου γνώριμος, ἀδελφὸς Δούριδος τοῦ ἱστοριογράφου, τοῦ καὶ τυραννήσαντος Σάμου, σύγχρονος Μενάνδρου τοῦ κωμικοῦ. καὶ ἀντεπεδείξατο κωμῳδίας καὶ ἐνίκησε.

Φιλόσοφοι.

DCXXVII. *Περὶ Λέοντος.*

Λέων, Βυζάντιος φιλόσοφος, περιπατητικὸς καὶ σοφιστής, μαθητὴς Πλάτωνος, ἤ, ὥς τινες, Ἀριστοτέλους. ἔγραψε τὰ κατὰ Φίλιππον καὶ τὸ Βυζάντιον βιβλία ἑπτά, Τευθραντικόν, περὶ Βησαίου, τὸν ἱερὸν πόλεμον, περὶ στάσεων, τὰ κατὰ Ἀλέξανδρον.

DCXXV—DCXXVII. Hesych. (Suid.)

---

articuli laudat comoediam *Θυρσοκόμος*, de qua omnino nihil constare alii viderunt 3 *βιβλία* om. S 5 *κτίσιν τοῦ* S *κτῆσιν τῶν* PV 8 *Ἡροδιανοῦ* PV 10 *Θούριδος* PV 11 *δὲ γέγονε* add. S 16 *βιβλίοις* S *Τευθραντικόν* S *Τευθρανικόν* PV, qui mox *Βησάλου* exhibent 17 Hic S compilavit praeter Hesychii epitomen Philostrat. Vit. I, 2 et historiam

DCXXVIII. *Περὶ Λεσβώνακτος.*

Λεσβῶναξ, Μιτυληναῖος φιλόσοφος, ἐπὶ Αὐγούστου γεγονώς, πατὴρ Ποτάμωνος τοῦ φιλοσόφου. ἔγραψε πλεῖστα φιλόσοφα.

DCXXIX. *Περὶ Λογγίνου.*

Λογγῖνος ὁ Κάσσιος, φιλόσοφος, διδάσκαλος Πορφυρίου τοῦ φιλοσόφου, πολυμαθὴς καὶ κριτικὸς γενόμενος. ἦν δὲ ἐπὶ Αὐρηλιανοῦ τοῦ Καίσαρος καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ, ὡς σύμπνους Ζηνοβίᾳ, τῇ Ὀδηνάθου γυναικί. ἔγραψε περὶ τοῦ κατὰ Φειδίου, ἀπορήματα Ὁμηρικά, εἰ φιλόσοφος Ὅμηρος, προβλήματα Ὁμήρου καὶ λύσεις ἐν βιβλίοις β', τίνα παρὰ τὰς ἱστορίας οἱ γραμματικοὶ ὡς ἱστορικὰ ἐξηγοῦνται, περὶ τῶν παρ' Ὁμήρῳ πολλὰ σημαινουσῶν λέξεων ἐν βιβλίοις δ', Ἀττικῶν λέξεων ἐκδόσεις β' (εἰσὶ δὲ κατὰ στοιχεῖον), λέξεις Ἀντιμάχου καὶ Ἡρακλέωνος καὶ ἄλλα.

Ἱστορικοί.

DCXXX. *Περὶ Λαμπρίου τοῦ ἱστορικοῦ.*

Λαμπρίας, Πλουτάρχου τοῦ Χαιρωνέως υἱός, ἔγραψε πίνακα ὧν ὁ πατὴρ αὐτοῦ ἔγραψε περὶ πάσης Ἑλληνικῆς καὶ Ῥωμαϊκῆς ἱστορίας.

DCXXVIII—DCXXX. Hesych. (Suid.)

Byzantinam Hesychii Milesii   1 *Λεσβόναξ* ubique PV. Ceterum in hac vita duos Lesbonactes, philosophum et rhetorem, ab Hesychio confusos esse docuit E. Rohde, Geschichte d. griech. Rom, p. 342 not.   7 *Ὀδυμνάμου* PV   8 *καταφειδίου* perverse PV   9 Haec problemata non diversa fuisse ab *ἀπορήματα* suspicatus est Lehrsius Arist. p. 223   12 *ἐν βιβλίοις* om. S   14 *πολλά* add. S

DCXXXI. *Περὶ Λύκου.* 284

Λύκος, ὁ καὶ Βουθήρας, Ῥηγῖνος ἱστορικός, πατὴρ Λυκόφρονος τοῦ τραγικοῦ, ἐπὶ τῶν διαδόχων γεγονὼς καὶ ἐπιβουλευθεὶς ὑπὸ Δημητρίου τοῦ Φαληρέως. οὗτος ἔγραψεν ἱστορίαν Λιβύης καὶ περὶ Σικελίας.

DCXXXII. *Περὶ Μακαρίας τῆς τοῦ Ἡρακλέους.*

Μακαρία Ἡρακλέους θυγάτηρ, ἥτις ἑαυτὴν ἐπέδωκεν εἰς σφαγὴν ὑπὲρ τῆς τῶν λοιπῶν πατριωτῶν σωτηρίας, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, διὸ καὶ οἱ Ἀθηναῖοι πολυτελῶς αὐτὴν ἔθαψαν. ὅθεν καὶ τὸ „βάλλ' ἐς Μακαρίαν," οἷον εἰς Ἅιδου, ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων λέγεται.

DCXXXIII. *Περὶ τῆς τῶν μάγων θυτικῆς προγνώσεως.*

Οἱ μάγοι διὰ τῶν θυσιῶν ἔλεγον τὰς προγνώσεις, διὰ τῆς ἡπατοσκοπίας. θύοντες γὰρ καὶ ἀνατέμνοντές τινας σημεῖα ἐθεώρουν ἐν τοῖς τομίοις καὶ ἐν τοῖς ἥπασι καὶ ἐν τοῖς ἄλλοις, δι' ὧν ἔλεγον τὰ συμβησόμενα. γένος δὲ Περσικὸν οἱ μάγοι, ἐξ ὧν οἱ ἡπατοσκόποι ἐξῆλθον. λέγεται δέ, ὅτι τὸ θύειν θεοῖς οἱ Χαλδαῖοι ἐξεῦρον ἢ οἱ Κύπριοι· διφορεῖται γὰρ ἡ ἱστορία. Χαλ-

DCXXXI. Hesych. (Suid.) DCXXXII. Schol. Ar. Equ. 1148 (Suid.; Arsen. Viol. p. 136). Cf. Eud. p. 76 DCXXXIII. Pars consentit cum Suida v. *ἧπαρ, λέγεται* — exit. Nonn. I. 70

---

1 *Βουθύρας* PV 2 Sic S *Λυκοφάνους* PV 8 *πολυτελῶς* P *παντελῶς* V

δαῖοι δὲ καὶ αὐτοὶ ἔθνος Περσικόν, καὶ ὅτι τὴν μαγείαν εὗρον Μῆδοι. διαφέρει δὲ μαγεία γοητείας, καὶ γοητεία φαρμακείας, ὅτι ἡ μὲν μαγεία ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινος σύστασιν, ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα δι' ἀγαθὸν γεγόνασι. γοητεία δέ ἐστιν ἐπίκλησις δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους εἰλουμένων ἐπὶ κακοῦ τινος σύστασιν (γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων). φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου δοθῇ τινι ἢ πρὸς φίλτρον ἢ καὶ ἄλλως πως διὰ στόματος.

285 DCXXXIV. *Περὶ Μαίρας.*

Μαῖρα Προίτου καὶ Αἰτείας θυγάτηρ, βασιλέως Ἄργους, καλὴ τὸ εἶδος, παρθενίαν ἑλομένη συνῆν Ἀρτέμιδι. ἐπεὶ δὲ συνῆλθε Διΐ, ἐξ ὧν Λοκρός, ὁ τὰς Θήβας συνοικίσας Ζήθῳ καὶ Ἀμφίονι, τοξεύεται ὑπ' Ἀρτέμιδος. ἕτεροι δέ φασι, τὴν Μαῖραν παρθένον ἀποθανεῖν.

DCXXXV. *Περὶ Μαριανδυνοῦ.*

Μυθεύεται παῖς Τιτίου ὁ Μαριανδυνός, ὃς τὴν ὀδυρτικὴν αὐλῳδίαν ηὔξησε καὶ ἐδίδαξε τὸν Μαρσύου τοῦ αὐλητοῦ πατέρα, ἐξ οὗ καὶ Μαριανδυνοὶ αὐλοὶ

DCXXXIV. Eustath. Od. p. 1688   DCXXXV. Eustath. Dion. 787

11 ἢ ipse addidi, om. PV. In F haec leguntur: *ὅταν διά τινος σκευασίας θανατηφόρου ἢ πρὸς φίλτρον δοίη ἢ καὶ ἄλλως πως προσαχθῇ τινι διὰ στόματος*   19 *Τιτίου* F *Τιτυοῦ* PV 20 *Μαρσύου* F *Μάρσου* PV

ἐπιτήδειοι τοῖς θρηνοῦσιν. οὗτος κυνηγετῶν, φασίν, ἀπώλετο, καὶ οἱ Μαριανδυνοὶ ἀκμῇ θέρους ἐθρήνουν αὐτόν.

DCXXXVI. *Περὶ Μαρπήσσης.*

Μάρπησσα, θυγάτηρ Εὐήνου, γαμετὴ δὲ Ἴδου, ἧς τὸ φίλανδρον περιᾴδεται. διὸ καὶ ὁ μῦθος λέγει, ὅτι πολλά τε ἔκλαυσεν, ὅτε ὑπὸ Ἀπόλλωνος ἡρπάγη, καὶ ὅτι αἵρεσιν ἔσχε, προελέσθαι Ἀπόλλωνος τὸν αὐτῇ συγγηράσαντα θνητὸν Ἴδαν, περὶ ὧν ἐν τῷ περὶ Ἴδου ἀρκούντως εἴρηται.

DCXXXVII. *Περὶ Μαρσύου.*

Ὁ Μαρσύας ἀγροῖκος ἦν. γίνεται δὲ οὕτω μουσικός. ἐμίσησεν Ἀθηνᾶ τοὺς αὐλούς· οὐκ ὀλίγον γὰρ ἀφῃροῦντο τοῦ κάλλους. ἡ δὲ πηγὴ τὴν εἰκόνα δεξαμένη τὸ συμβὰν ἐδίδαξεν. οὕτω δὲ ἐρριμμένων τῶν αὐλῶν ὁ Μαρσύας ὑφίσταται. προσάπτει οὖν τοῖς χείλεσιν ἀνελὼν αὐτοὺς ὁ ποιμήν. οἱ δὲ ᾖδον, φασί, θείᾳ δυνάμει καὶ ἄκοντος τοῦ χρωμένου. τέχνην ὁ Μαρσύας ἐνόμισεν εἶναι τὴν δύναμιν, καὶ χωρεῖ μὲν κατὰ Μουσῶν, χωρεῖ δὲ κατὰ Ἀπόλλωνος, λέγων, οὐδὲ θέλειν εἶναι λοιπόν, ἂν μὴ πλεονεκτήσῃ τοῦ δαίμονος. ἐν ἐκείνῃ τῇ φιλονεικίᾳ νικᾶται, καὶ τὸ δέρμα μετὰ τὴν ἧτταν ἐκδύεται. ἔστι δὲ καὶ ποταμὸς ἐν Φρυγίᾳ Μαρσύας καλούμενος. οἱ δὲ Φρύγες,

DCXXXVI. Cf. CCCLVII DCXXXVII. Palaeph. 48 (Arsen. Viol. p. 348)

9 Cf. p. 237 10 *οὕτω* F *οὗτος* PV 12 *δὲ* recepi ex F om. PV 22 *εἶδον ἐγὼ ποταμὸν ἐν Φρυγίᾳ* F

ὥς φασι, δοξάζουσι τὸ ῥεῦμα τοῦ ποταμοῦ ἐξ αἵματος εἶναι τοῦ Μαρσύου.

286 DCXXXVIII. *Περὶ Μαυσωλοῦ τοῦ Καρός.*

Μαυσωλὸς Καρίας γέγονε τύραννος, ὃς ἔκτισεν ἑαυτῷ τάφον πολυανάλωτον ἐν χώματί τινι καὶ ἐν λιμναζούσῃ λίμνῃ, ἔνδον κειμένου τοῦ τάφου. γράφεται δὲ καὶ ὁ Καρικὸς τάφος, ἵνα ᾖ κτητικός, γράφεται δὲ καὶ Καρός, ἵνα ᾖ ἐθνικὸς τοῦ Μαυσωλοῦ τοῦ Καρός. οὕτω δὲ καὶ αἱ Πυραμίδες θαύματός εἰσιν ἄξιαι ἐν τῇ Αἰγύπτῳ ἐκτισμέναι, πολυανάλωτοι καὶ αὗται, ἅς τινας Χριστιανοὶ μὲν λέγομεν εἶναι τὰ ὡρεῖα τοῦ Ἰωσήφ, Ἕλληνες δὲ τάφους βασιλέων τινῶν, ὧν ἐστι καὶ Ἡρόδοτος. ὡς δὲ εἰκός, μετὰ τοὺς χρόνους τοῦ Ἰωσὴφ καὶ τὴν ἔξοδον τοῦ Ἰσραὴλ ἐποιήσαντο αὐτὰς τάφους βασιλέων οἱ Ἕλληνες.

DCXXXIX. *Περὶ τῆς Μεγάρας τοῦ Ἡρακλέους.*

Μεγάρα, Κρέοντος θυγάτηρ, βασιλέως Θηβῶν, Ἡρακλεῖ γημαμένη ἔσχε παῖδας τρεῖς. Ἡρακλέους δὲ σταλέντος τὴν εἰς Κέρβερον, ἐκάκου τοὺς Ἡρακλείδας τούτους Λύκος, βασιλεὺς τηνικαῦτα Θηβῶν. Ἡρακλῆς δὲ ἄνω γενόμενος ἀνεῖλεν ἐκεῖνον αὐτῇ γυναικὶ καὶ τέκνοις. Ἥρας δὲ χόλῳ εἰς μανίαν συνελαθεὶς διεχειρίσατο καὶ τοὺς παῖδας, ὧν χάριν ἀνεῖλε τὸν Λύ-

DCXXXVIII. Nonn. Laud. fun. 13 (Cosm. p. 221 seq.) DCXXXIX. Compilavit Apollod. II, 4, 12 Nonn. II, 28 (Cosm. p. 317) *ὡς δέ τινες* — exit. Tzetzes Lyc. 38

---

5 Sic etiam Cosmas, *κείμενος* Nonnus et PV *γράφεται — κτητικός* om. Nonnus, praebet Cosmas, qui absurdius legit *ἵνα ᾖ ἐθνικὸν τοῦ Μαυσώλου τοῦ κάρος ὁ καρικὸς τάφος* 10 Pro *ὡρεῖα* legitur *σιτοβολῶνες* apud Cosmam

κον. διὸ καὶ τεκνορραίστης κεῖται παρὰ Λυκόφρονι. ὡς δέ τινες φασί, καὶ τὴν Μεγάραν διεχειρίσατο. μέλλων δέ, φασί, καὶ τὸν ἀδελφικὸν Ἰφικλέα διαθέσθαι τὰ ὅμοια, ἐκωλύθη, φθάσαντος ἐκείνου κατὰ φύσιν θανεῖν.

DCXL. *Περὶ τοῦ Μελάμποδος.*

*Μελάμπους ὁ μαντικώτατος ἀδελφὸς Βίαντος, ὅντινα οὕτως γενεαλογοῦσιν· Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Διὸς καὶ Δωρίππης, γίνεται Μελάμπους, ὥς φησι Διευχίδας. κληθῆναι δέ φησιν οὕτως διὰ τὸ τεκοῦσαν τὴν μητέρα ἐκθεῖναι αὐτὸν εἰς σύνδενδρον τόπον καὶ ὑπὸ τοῦ ἡλίου τοὺς πόδας μελανθῆναι, διὰ τὸ εἶναι ἀσκίους. ἐν δὲ ταῖς καλουμέναις μεγάλαις Ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους, φίλος ὢν τῷ Ἀπόλλωνι, ἀποδημήσας κατέλυσε παρὰ Πολυφάντῃ. βοῦν δὲ αὐτῷ θύοντι δράκων ἀνερπύσας κατέφαγε τὸν τοῦ Πολυφάντου θεράποντα. χαλεπήνας δὲ ὁ βασιλεὺς ἀποκτείνει τὸν δράκοντα. Μελάμπους δὲ ἐκεῖνον μὲν θάπτει, τὰ δὲ ἔκγονα αὐτοῦ ἐκτρέφει, κἀκεῖνα περιλείχοντα τὰ ὦτα αὐτοῦ ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν. κλέπτοντα δὲ τὸν Μελάμποδα τὰς βοῦς τοῦ Ἰφίκλου καὶ συλλη- 287
φθέντα ὑπ' αὐτοῦ, ἐπειδὴ τὸ στέγος ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας, κατανενοηκότα ὑπὸ μαντι-*

DCXL. Schol. Apoll. I, 121 *ἐν δὲ ταῖς — ἀφίκετο κλέψαι* Schol. Apoll. I, 118 *οὗτος ὁ Μελάμπους* — exit. Nonn. I, 45

---

1 Alex. 38 9 *Διρυχίδας* FPV corr. Bast. ep. crit. p. 231. Cf. Müller IV, p. 390 13 fr. 117, in quo recte legitur *Πολυφάντῃ* pro *Πολυφάτῃ*, quod PV praestant. Idem mendum infra occurrit

κῆς, ἐν δεσμωτηρίῳ κατεχόμενον εἰπεῖν τῇ θεραπαίνῃ τοῦ Ἰφίκλου, παρ' ἧς Ἴφικλος μαθὼν τὸ πρόρρημα αὐτός τε ἀπαλλάττεται τοῦ δεινοῦ καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφίκετο κλέψαι. οὗτος ὁ Μελάμπους ἐξέφηνε τὰ ἐν Αἰγύπτῳ ἱερὰ τοῖς Ἕλλησιν, διὸ καὶ ἱεροφάντης ἐλέγετο, ἅπερ ἐμιμήσαντο Ἕλληνες. ἦν δὲ τῶν μεταμορφουμένων, ὡς αὐτὸς ὢν μαντομάγος, ὥσπερ καὶ ὁ Πρωτεύς. οἱ γὰρ τοιοῦτοι ἄνθρωποι εἶχον φύσει τοιαύτην δύναμιν πάρεδρον, ὥστε μεταμορφοῦσθαι εἰς ὃ ἂν θέλωσιν, ὥστε μὴ γινώσκεσθαι παρὰ τῶν πρὸς αὐτοὺς διαλεγομένων.

DCXLI. *Περὶ τοῦ Μελεάγρου.*

Μελέαγρος υἱὸς Οἰνέως ἦν, ὅν τινά φασι περιγενόμενον τοῦ Καλυδωνίου συὸς καὶ ἀποδείραντα δοῦναι τὴν αὐτοῦ κεφαλὴν καὶ τὸ δέρμα τῇ ἐρωμένῃ Ἀταλάντῃ· καὶ γὰρ καὶ αὐτὴ συνεκυνήγησεν. οἱ δὲ Θεστίου παῖδες, Πλευρώνιοι μὲν ὄντες, μήτρωες δὲ Μελεάγρου, ὅ ἐστι θεῖοι τὰ πρὸς μητρός, ἀγανακτήσαντες αὐτὰ τῆς Ἀταλάντης ἀφείλοντο βίᾳ καὶ Μελεάγρῳ ἐπεβούλευον. ὁ δὲ μαθὼν τούτους ἀπέκτεινεν, ἐφ' οἷς καὶ τὴν μητέρα λελύπηκε. τῶν δὲ Πλευρωνίων διὰ ταῦτα Καλυδωνίοις πολεμούντων, ὁ Μελέαγρος ἐξ ἀρχῆς μὲν οὐ συνεμάχει τοῖς ἐν Καλυδῶνι συμπολίταις, ἀγανακτῶν πρὸς μητέρα καταρωμένην. πεισθεὶς δὲ ὕστερον τῇ γυναικὶ Κλεοπάτρᾳ ἀπεσόβη-

DCXLI. Eustath. Il. p. 774 (Arsen. Viol. p. 401)

---

14 *Οἰταίου* F 23 Sic F *ἐξ αὐτῆς* inepte PV

σεν ἐκ τῆς πόλεως τοὺς Κουρῆτας. οἱ δ' αὐτοὶ νεώτεροι προσιστοροῦσι καὶ ὡς ἡ μήτηρ ἔτι μηνιῶσα τῷ υἱῷ Μελεάγρῳ διὰ τοὺς ἀδελφοὺς τὸν παρὰ Μοιρῶν αὐτῇ δοθέντα δαλὸν, ὅρον ὄντα τῆς τοῦ υἱοῦ ζωῆς, κατέφλεξε, τελευτήσαντος δὲ παραχρῆμα αὐτοῦ, μεταμεληθεῖσα ἑαυτὴν κατέκαυσεν ἐπὶ τῇ τοῦ παιδὸς πυρᾷ. αἱ δὲ τοῦ Μελεάγρου ἀδελφαὶ ἀπαύστως θρηνοῦσαι εἰς ὄρνεις, τὰς λεγομένας μελεαγρίδας, μετεβλήθησαν. ὁ δὲ Γεωγράφος λέγει, ὅτι, ὡς τὸ εἰκός, περὶ μέρους τῆς χώρας ἐμάχοντο Κουρῆτες καὶ Αἰτωλοί, καὶ ὅτι Θέστιος, Ἀλθαίας πατήρ, Κουρήτων ἄρχων, πενθερὸς Οἰνέως, κρατῶν Πλευρῶνος καὶ ὡς πόλεμος τοῖς Θεστιάδαις πρὸς Οἰνέα καὶ Μελέαγρον.

DCXLII. *Περὶ τῆς Μεδούσης.* 288

Μέδουσα Φόρκυνος καὶ Κητοῦς θυγάτηρ ἦν, ἥτις πρὸς κάλλος τῇ Ἀθηνᾷ ἀντήριξεν. Ἀθηνᾶ δὲ τὸν Περσέα κατ' αὐτῆς ἔπεμψεν, ὑπογράψασα καὶ ὑποδείξασα τούτῳ ἐν ζωγραφίαις αὐτὴν τὴν καὶ Γοργόνα καλουμένην, μίαν οὖσαν ἐκείνων, περὶ πόλιν τῆς Σάμου Δεικτήριον κληθεῖσαν, ὑπὸ τοῦ ὑποδεχθῆναι ταῦτα αὐτῷ. ἐλθὼν δὲ περὶ τὰς Φορκίδας πρῶτον τήν τε Πεφριδὼ καὶ τὴν Ἐνυώ, τὰς ἐκ γενετῆς γραῦς, ἀδελφὰς δὲ τῶν Γοργόνων, ἔλαβε παρ' αὐτῶν τὸν ἕνα ὀφθαλμὸν καὶ τὸν ἕνα ὀδόντα, ὃν μόνον εἶχον κατ' ἀμοιβήν, καὶ οὐ πρότερον αὐταῖς ταῦτα ἔδωκεν, ἕως ὡδήγησαν αὐτὸν εἰς Νύμφας, καὶ λαβὼν τὰ πτερωτὰ

DCXLII. Tzetzes Lyc. 838 (Cf. Eud. p. 104 seq.)

1 *δ' αὐτοὶ* F *δὲ αὖ* PV 8 *ὄρνις* F 9 Strabo X, p. 466
17 *Γοργόνην* PV 18 *μία* P corr. V

τῶν Νυμφῶν πέδιλα καὶ κισσύβιον, ἤτοι πήραν καὶ κιβωτόν, καὶ τὴν κυνέαν τοῦ Ἅιδου καὶ παρ' Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, ἔχων παρὰ τῆς Ἀθηνᾶς κάτοπτρον, πετόμενος ἦλθεν ἐπὶ τὰς Γοργόνας, ἐπ' Ὠκεανὸν οὔσας περὶ πόλιν Ἰβηρίας τὴν Ταρτησσόν· αἵτινες δρακοντοφολίδας εἶχον, κεφαλὰς συῶν, μεγάλους ὀδόντας, χεῖρας χαλκᾶς καὶ πτέρυγας, αἷς ἐπέτοντο. οὕτω γοῦν πετόμενος, ἐπ' αὐτὰς ἐλθὼν καὶ κοιμωμένας εὑρὼν καρατομεῖ τὴν Μέδουσαν, ἐν τῷ κατόπτρῳ βλέπων, οὐ πρὸς αὐτήν· ἢ γὰρ ἀπελιθώθη ταύτην ἰδών. αἱ δὲ λοιπαὶ αὐτῆς ἀδελφαὶ θρῆνον μὲν ἐκώκυον, ἐκ τῶν πολλῶν ὀφιωδῶν αὐτῶν κεφαλῶν ἐκπέμπουσαι συρισμόν, ἐξ ὧνπερ Ἀθηνᾶ κατὰ Πίνδαρον τὸν αὐλητικὸν καλούμενον πολυκέφαλον εὗρε νόμον. Περσεὺς δὲ τῇ πήρᾳ τὴν κεφαλὴν θεὶς καὶ κατὰ νώτων φέρων αὐτὴν ἐπορεύετο. τὰ δὲ τῶν Νυμφῶν πέδιλα καὶ τὴν Ἅιδου κυνῆν Ἑρμῆς παρ' αὐτοῦ λαβὼν τοῖς ἰδίοις δεσπόταις παρέδωκε, τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Περσεὺς παρέσχε τῇ Ἀθηνᾷ. ἡ δὲ πρὸς τὸ μέσον τῆς ἰδίας ἀσπίδος ταύτην ἐνέπηξεν. οἱ δέ φασιν, ὅτι ἐπὶ τοῦ κόσμου, ὃν περὶ τὸ στῆθος εἶχε, ταύτην ἐνέπηξεν, ὅθεν ἀπὸ τῆς Γοργόνος καὶ ὁ ἐπιστήθιος ἐκεῖ τῆς Ἀθηνᾶς κόσμος, Γοργόνιον ἐκλήθη.

DCXLIII. *Περὶ Μέμνονος.*

Ὁ Μέμνων Αἰθίοψ περιᾴδεται καὶ δοκεῖ διὰ τὸ κάλλος Ἡμέρας εἶναι υἱός. ὡς δὲ καὶ Τιθωνοῦ ἦν

DCXLIII. Eustath. Od. p. 1697

1 *πέδηλα* P corr. V, mox *κυβωτὸν* PV 11 *ἐκώλυον* PV 12 *συριγμόν* PV 13 Pyth. XII, 23 20 Ita correxi, *ὅτι* om., *οὗ* pro *ὃν* PV

υἱὸς καὶ ὡς ἐξ Αἰθιόπων ἐπικουρήσων ἦλθεν εἰς Τροίαν καὶ ὡς Ἀχιλλεὺς αὐτὸν κατέρριψε κρατερῶς ἀνθιστάμενον τοῖς Ἀχαιοῖς, τοῖς ἱστοροῦσι τεθρύλληται. ὅτι δὲ ὁ τοιοῦτος Μέμνων καὶ τὸν καλὸν ἀνεῖλε Νεστορίδην Ἀντίλοχον, ἡ ἱστορία δηλοῖ.

DCXLIV. *Περὶ Μενοικέως.* 289

Μενοικεὺς Κρέοντος ὑπῆρχεν υἱός, βασιλέως Θηβῶν, οὗτινος τῆς ἰδίας πατρίδος τῶν Θηβῶν πολεμουμένης ὑπὸ τῶν ἑπτὰ στρατηγῶν, ἐχρησμῴδησε Τειρεσίας ὁ μάντις, παραυτίκα παύσειν τὸν πόλεμον καὶ ἔσεσθαι αὐτοῖς νίκην, εἰ τοῦ βασιλικοῦ γένους τῶν αὐτοχθόνων τῶν ἀναδοθέντων ἐκ τῶν ὀδόντων τοῦ δράκοντός τις ἑαυτὸν δῷ πρὸς ἀναίρεσιν. δίχα τοῦ πατρὸς αὐτοῦ Κρέοντος τοῦτο μαθὼν ὁ Μενοικεὺς ἑαυτὸν σφάξας ἀπὸ τῶν τειχῶν πέπτωκε καὶ τὸν πόλεμον ἔπαυσεν.

DCXLV. *Περὶ Μερόπης καὶ Κλεοθήρας.*

Μερόπη καὶ Κλεοθήρα θυγατέρες Πανδαρέου ἦσαν. μυθεύονται δὲ ἁρπαγῆναι ἀέλλαις διὰ τὸ ὁπωσοῦν ἀφανές, Ἐριννύσι δὲ παραδοθῆναι ἀμφιπολεύειν.

DCXLVI. *Περὶ Μετάβου.*

Μέταβος υἱὸς Ἀλύβαντος. λέγεται δέ, τὸν Ἡρακλέα ἐπὶ τὰς Γηρυόνου βοῦς ἀπιόντα ξενισθῆναι παρὰ

DCXLIV. Nonn. I, 9 (Cosm. p. 257) DCXLV. Eustath. Od. p. 1875 et p. 1883. Cf. Eud. p. 326 (Phavorin.) DCXLVI. Etym. M. p. 579, 28

---

9 *παραυτίκα* Nonnus *ὧν παρ' αὐτὰς* Cosmas *παρ' αὐτὰ* PV 13 *τοῦτο — Μενοικεὺς* addidi ex F, librarii neglegentia exciderunt in PV 16 *Κλαιοθήρα* PV 19 *Ἀλίβαντος* PV

Ἀλύβαντι, καὶ τότε γεννηθῆναι τὸ παιδίον καὶ διὰ τοῦτο Μέταβον προσαγορευθῆναι, ἐπεὶ μετὰ τοὺς βοῦς τοῦ Γηρυόνου ἴει.

DCXLVII. *Περὶ τῆς Μηδείας.*

Μήδεια, ἡ θυγάτηρ Αἰήτου, ἀφεῖσα τὴν Ἀττικήν, ἀπῆρεν εἰς Κόλχους, ὅτε καὶ τῇ χώρᾳ τῶν Μήδων τὸ ἀπ᾽ αὐτῆς δέδωκε κληθῆναι, διὰ τὸ τὸν Αἰγέα φεύγειν, ὅτε λυγρὰ φάρμακα τῷ αὐτοῦ υἱῷ Θησεῖ ἐβουλεύσατο. ὅθεν, φασίν, ἀπὸ ταύτης, οἷα σοφῆς φαρμακουργοῦ, ἔτι οἱ Μῆδοι πολυφάρμακοί εἰσι. τῷ ὄντι δὲ οὐχ ἑκοῦσα, οὐδὲ δι᾽ αἰδῶ, ὥς τινες, ἀλλὰ πρὸς βίαν ἔλιπε τὰς Ἀθήνας, διωχθεῖσα ὑπὸ τοῦ Αἰγέως, διότι τῷ Αἰγείδῃ Θησεῖ, ὡς εἴρηται, ἐπεβούλευσε κερασαμένη θανάσιμα φάρμακα, ὁπηνίκα ἐκεῖνος ἐκ Τροιζῆνος χρόνιος ἐλθὼν μετὰ τοῦ ξίφους καὶ τῶν πεδίλων τῶν πατρικῶν, ἃ καὶ ὁ Λυκόφρων ἱστορεῖ, ἐνεφανίσθη μὲν ἀγνοοῦντι τῷ πατρὶ Αἰγεῖ παῖς καλὸς καὶ πρέπων εἰς βασιλείαν, μικροῦ δὲ ἂν λαθὼν ὑπὸ τῆς Μηδείας ἀπώλετο, εἰ μὴ ὁ πατὴρ γνωρίσας τὸν ἐκ πολλοῦ ἐπὶ διαδοχῇ τῆς βασιλείας ποθούμενον παῖδα περιεσώσατο καὶ τὸν διαδεξόμενον εὑρηκὼς ἀπώσατο τὴν Μήδειαν, ἣν διὰ ἔρωτα παιδοποιΐας ἐπεισηγάγετο.

Φασὶ δὲ αὐτὴν δυναστεύσασαν ἐν Μήδοις καὶ
290 *ἐπικρυπτομένην τὴν ὄψιν, ὁπηνίκα προέρχοιτο, καταδεῖξαι τὸ θηλυστολεῖν τε τοὺς ἐκεῖ καὶ ἐν ταῖς προ-*

DCXLVII. Eustath. Dion. 1017 *διὸ καὶ ἐμυθεύθη* — exit. Palaeph. 44

---

consentiente F 8 *διὸ* et mox *ἐκείνης* F 9 Post *εἰσι* quaedam add. F 15 Alex. 1324

ὅδοις κατηρεφεῖς εἶναι τοῖς σκεπάσμασι. λέγεται δὲ καὶ ὅτι πάντας τοὺς φαρμακουργοὺς ὑπερήκοντισεν ἡ Μήδεια. διὸ καὶ ἐμυθεύθη ὡς ἀφέψουσα τοὺς πρεσβυτέρους νέους ἐποίει· ἐγένετο δὲ τοιοῦτον. ἡ Μήδεια ἄνθος τι πρώτη εὗρε δυνάμενον καὶ τὰς λευκὰς τρίχας ποιῆσαι μελαίνας· τοὺς οὖν γέροντας ἐκ πολιῶν μελαίνας τρίχας ἔχοντας ἐποίει φαίνεσθαι. πυρίαν οὖν πρώτη Μήδεια ἐξεῦρεν, ἐπυρία δὲ τοὺς βουλομένους οὐκ ἐν τῷ προφανεῖ, ἵνα μή τις μάθῃ τῶν ἰατρῶν· ὄνομα δὲ ἦν τῷ πράγματι παρέψησις. οἱ γοῦν ἄνθρωποι ταῖς πυριάσεσιν ἐγίνοντο κουφότεροι καὶ ὑγιεινότεροι. ἐκ δὴ τούτου ὁρῶντες τὴν παρασκευήν, λέβητας καὶ ξύλα καὶ πῦρ, ἐνόμισαν, ὡς ἕψει τοὺς ἀνθρώπους. ὁ δὲ Πελίας, ὅν φασιν ὑπὸ τῆς ἑψήσεως τῆς Μηδείας τελευτῆσαι, ἄνθρωπος γέρων καὶ ἀσθενὴς ὤν, πυρίᾳ χρώμενος ἐτελεύτησεν.

DCXLVIII. *Περὶ τοῦ Μίδου τοῦ χρυσομανοῦς.*

Μίδας, βασιλεὺς ὢν Φρυγίας πλουσιώτατος, φιλάργυρος καὶ χρυσομανής τις γέγονεν, ὡς τὸ ἔργον ἐδήλωσεν. ηὔξατο καὶ γὰρ τοῖς θεοῖς, ὥς φασιν, οὗ ἐὰν ἅψηται ἢ χειρὶ ἢ στόματι, ἵνα χρυσὸς γένηται. εἰσηκούσθη οὖν οὗτος, καὶ οὗ ἐὰν ἥψατο, χρυσὸς ἐγένετο, καὶ οὕτω πάντα μὲν ἦν αὐτῷ χρυσός. φαγεῖν

DCXLVIII. Cosmas p. 245 seq. *ἐλέγετο γὰρ* — exit. Schol. Ar. Plut. 289 (Suid.)

1 *σκεπάσμασιν* PV *λέγεται — Μήδεια* om. F 4 *τοιοῦτο* PV 5 Restitui lectionem, quae in F comparet *καὶ λευκὰς ποιῆσαι τὰς τρίχας καὶ μέλανας· τοὺς οὖν χαίροντας ἐκ τοῦ πολιὰς ἔχειν μέλανας τρίχας* PV 14 *ὅν φασιν — τελευτῆσαι* om. F

δὲ μὴ δυνάμενος ἀπώλετο, καὶ γὰρ ἡ τροφὴ ἡ διδομένη αὐτῷ διὰ τοῦ στόματος ἐπεχρυσοῦτο· ἐφθάρη οὖν τῷ λιμῷ. ἱστοροῦσι δὲ καί τινες, ὅτι χρησμὸν λαβὼν ἔζησεν· ἦν δὲ ὁ χρησμός, διελάσαι ἅρματα καὶ ὅπου ἂν ἐπισχεθῇ, τὸ ἅρμα στῆναι καὶ κτίσαι πόλιν, καὶ ἐποίησεν οὕτως καὶ κτίζει τὴν Ἄγκυραν τῆς Γαλατίας (ἄγκυρα γὰρ σιδήριον πλοίου ποταμίου ἐπέσχε τὸ ἅρμα καὶ ἔστιξε τὸν Μίδαν), καὶ οὕτως ἐκτίσθη ἡ πόλις καὶ ἐκλήθη Ἄγκυρα. ἐλέγετο δὲ καὶ παροιμιωδῶς ἐπὶ τοῦ Μίδου, ὅτι ὄνου ἔσχεν ὦτα διὰ τὸ ἔχειν πολλοὺς ὠτακουστάς, ὡς πάντα ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ' αὐτοῦ χώρᾳ λεγόμενά τε καὶ πραττόμενα, ἢ ὅτι κώμην Φρυγίας κατέσχεν, ἥτις Ὦτα ὄνου ἐλέγετο. οἱ δέ φασιν, ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον, ἢ ὅτι τοὺς τοῦ Διονύσου παριόντας ἠδίκησε, διὸ ὀργισθεὶς ὁ θεὸς ὦτα ὄνου αὐτῷ περιῆψεν. οἱ δέ, ὅτι ὦτα μεγάλα φύσει εἶχε. λέγεται οὖν ἡ παροιμία ἐπὶ τῶν μηδὲν λανθανόντων.

291 DCXLIX. *Περὶ τῆς τοῦ Μίθρου κολάσεως.*

Ὁ Μίθρας νομίζεται παρὰ Πέρσαις εἶναι ὁ ἥλιος, καὶ θυσιάζουσιν αὐτῷ πολλὰς θυσίας καὶ τελοῦσί τινας τελετὰς εἰς αὐτόν. οὐδεὶς δὲ δύναται εἰς αὐτὸν τελεσθῆναι, εἰ μὴ πρότερον διὰ τῶν βαθμῶν πασῶν τῶν κολάσεων παρέλθοι καὶ δείξοι τινὰ ἀπαθῆ καὶ ὅσιον. βαθμοὶ δέ εἰσι κολάσεων τὸν μὲν ἀριθμὸν ὀγδοήκοντα, ἔχοντες δὲ ὑπόβασιν καὶ ἀνάβασιν. κολά-

DCXLIX. Nonn. I, 6 et 47 Sanct. Lum. 9 (Clarke p. 49). Initium articuli descripsit Suidas v. *Μίθρου*.

8 Sic F, *ἔστησε* PV 18 Diogen. VI, 73

ζονται γὰρ πρῶτον τὰς ἐλαφροτέρας, εἶτα τὰς δραστικωτέρας, καὶ εἶθ' οὕτως μετὰ τὸ παρελθεῖν διὰ πασῶν τῶν κολάσεων τότε τελεῖται ὁ τελούμενος. αἱ δὲ κολάσεις εἰσὶ τοιαῦται. πρότερον ἐλίμωττον αὐτοὺς τοὺς τελουμένους ἐπὶ πεντήκοντα ἡμέρας, εἰ τύχοι, εἶτα εἰ ἦγε καρτερικῶς, ἐποίουν αὐτὸν διανήξασθαι ἐπὶ πολλὰς ἡμέρας ὕδωρ, εἶτα εἰς τὸ πῦρ ἐμβαλεῖν ἑαυτόν, ἔπειτα πάλιν εἰς χιόνα ποιῆσαι εἴκοσιν ἡμέρας, εἶτα ἐποίουν αὐτὸν πάλιν ξεσθῆναι ἐπὶ δύο ἡμέρας, εἶτα ἐν ἐρήμῳ διατεθῆναι καὶ ἀσιτῆσαι, καὶ ἄλλα τινὰ ἄχρις οὗ, ὡς εἴπομεν, τὰς ὀγδοήκοντα κολάσεις παρέλθοι. καὶ εἰ ὁ τελούμενος καρτερῶν ἐφαίνετο, τότε λοιπὸν ὁ τελούμενος ἐτελεῖτο τὰ τελεώτατα.

DCL. *Περὶ Μίλωνος τοῦ Κροτωνιάτου.*

Μίλων ὁ Κροτωνιάτης ἐπιφανέστατος καὶ ῥωμαλεώτατος ἀθλητὴς ἦν, ὃς καὶ βοῦν ἄρας ἐν μέσῳ θεάτρῳ ποτὲ ὕστερον τὸν αὐτὸν ἐθοινήσατο, κατὰ τὸν βουθοίναν Ἡρακλέα τοῦτό γε ἀνδρισάμενος. μέμνηται αὐτοῦ Θεόκριτος καὶ Ἀριστοτέλης, ὃν καὶ πολύφαγόν φησι καὶ ἀνδρεῖον. ἀλλὰ τὰ μὲν τῆς ζωῆς εὐκλεῆ τοῦ ἀνδρός, τὰ δὲ περὶ θάνατον οἴκτιστα. ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βάλλοντας ἐν μέσῳ τοῦ ξύλου, θέλων αὐτὸς ἐκβαλεῖν τὸν σφῆνα, ἐν τῷ τῆς οἰκείας ῥώμης πειρᾶσθαι ἀπεσφηνώθη τῷ δένδρῳ τὰς χεῖρας καὶ οὕτω σφιγκτῷ θανάτῳ τὸν βίον μετήλλαξεν.

DCL. Schol. Theocrit. IV, 6 (Similiter Athen. X, p. 412)

---

4 *εἰσὶν* PV 11 *εἴπωμεν* PV 18 Id. IV, 6

DCLI. *Περὶ τοῦ Μίνωος.*

Ὁ Μίνως λέγεται υἱὸς εἶναι Διός, ἀφ' οὗ καὶ τὴν νομοθετικὴν ἐδέξατο. νομοθέτης γὰρ καὶ βασιλεὺς ἐγένετο Κρήτης, ὃς πρῶτος τὴν νῆσον ἐξημέρωσε νόμοις καὶ πολιτείαις καὶ πόλεων συνοικισμοῖς. μετὰ ταῦτα δὲ θαλαττοκρατήσας καὶ Κάρας καὶ Φοίνικας 292 *τοὺς τότε λῃστὰς ἐξελάσας, πασῶν τῶν νήσων ἐκράτησε, διὸ καὶ Μινωΐδας τὰς Κυκλάδας λέγουσιν. ἐκράτησε δὲ καὶ Σικελίας αὐτῆς ὕστερον, ἐν ᾗ καὶ τέθνηκε· τὰ δὲ ὀστᾶ αὐτοῦ μετεκομίσθη ἐν Κρήτῃ. οὗτος ἐγέννησε Δευκαλίωνα, ἐξ οὗ Ἰδομενεὺς ὁ κατὰ Τροίας στρατεύσας. κατὰ τὴν μυθολογίαν δὲ ὁ Μίνως καὶ ὁ ἀδελφὸς αὐτοῦ Ῥαδάμανθυς κριταὶ τῶν ἐν Ἅιδου ὑπὸ τοῦ πατρὸς αὐτῶν Διὸς κατεστήσαντο. λέγει δὲ καὶ αὐτὸς ὁ Πλάτων περὶ τούτων, ὅτι τούτους ἀποθανόντας οὐχὶ δέχεται σκότος, ἀλλὰ αἱ Μακάρων νῆσοι καὶ τὸ Ἠλύσιον πεδίον.*

DCLII. *Περὶ τῆς Μορμοῦς.*

Μορμὼ κατὰ τοὺς μυθολόγους δαιμόνιόν τι ἄγριόν ἐστι καὶ ἐκπληκτικόν, ὃ τὰ βρέφη δεδείττεται καὶ ὁ κωμικὸς δὲ τὸ θηριῶδες ἐκδεικνύμενος „μορμὼ τοῦ θράσους" φησίν, ὡς εἴπερ εἶπεν· ὦ τοῦ θράσους. καὶ πάλιν „τῆς σῆς μορμόνος" παρὰ τὴν μορμὼ καὶ τὴν

DCLI. Schol. Apoll. II, 516 *ἐκράτησε* — exit. Nonn. II, 13 DCLII. Schol. Ar. Pac. 474 (fortasse etiam Equ. 693 et Thesmoph. 424). Eadem narravit Tzetzes Chil. V, 717 seq.

---

13 *αὐτῶν* P *αὐτῶν* V 19 Equ. 693 20 *φεῦ τοῦ θράσους* invenies apud Schol. Equ. 693 21 Servavi lectionem Ar. Pac. 473, *μορμόνος τῆς σῆς* PV

Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος ἐπίσημον. οὕτω δὲ ἔλεγον τὸ ἐκφόβητρον καὶ τὰ προσωπεῖα αἰσχρὰ μορμολύκεια, ἀφ' οὗ τραγικὰ καὶ κωμικά. καὶ ἐν Ἀμφιαράῳ· „ἀφ' οὗ τὸ κωμῳδικὸν μορμολύκειον ἔγνων“.

DCLIII. *Περὶ τῶν Μολιονίδων.*

Γυνή τις ἦν περὶ τὴν Θρᾴκην Μολιόνη καλουμένη, ἥτις ἔσχε δύο υἱούς, τὸν ἕνα Ὦτον καὶ τὸν ἕτερον Ἐφιάλτην. οὗτοι κατ' ἐνιαυτὸν ηὐξάνοντο κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα, κατὰ δὲ τὸ πλάτος σπιθαμὴν μίαν. γεγόνασι δὲ οὗτοι ὑβρισταὶ καὶ ὑπερήφανοι καὶ τοσοῦτον ἐφύβρισαν, ὥστε βουλεύσασθαι ἀντᾶραι τοῖς οὐρανίοις θεοῖς. τὴν οὖν Ὄσσαν τῷ Ἄθῳ ἐβουλεύσαντο ἐπιθεῖναι καὶ δι' αὐτῶν ἀνελθεῖν εἰς τὸν οὐρανόν. ἡ δὲ Ὄσσα καὶ ὁ Ἄθως δύο ὄρη εἰσὶ περὶ τὴν Θρᾴκην. ὁ οὖν Ζεὺς ὀργισθεὶς καὶ κεραυνὸν ἐπαφεὶς ἐκεραύνωσεν αὐτούς, καὶ ἀπώλοντο. ἦν δὲ πρότερον περὶ τῆς κεραυνώσεως αὐτῶν χρησμὸς δοθεὶς τῇ μητρὶ αὐτῶν, ὅτι διὰ τὴν ὑπερηφανίαν αὐτῶν κεραυνωθήσονται.

DCLIV. *Περὶ τῶν Μοιρῶν.*

Μοῖρα καὶ ὁ Ζεύς, ὥς φασιν, ἐστὶ διὰ τὸ μὴ ὁρωμένη διανέμησις εἶναι τῶν ἐπιβαλλομένων ἑκάστῳ, ἐντεῦθεν ἤδη τῶν ἄλλων μερίδων, μοιρῶν ὠνομασμένων. αἶσα δέ ἐστιν ἡ ἄϊστος καὶ ἄγνωστος αἰτία τῶν γινομένων. ἐμφαίνεται δὲ νῦν ἡ τῶν κατὰ μέρος

DCLIII. Cosmas p. 224 (Cf. Eud. p. 441 seq.) DCLIV. Cornut. 13

---

4 τὸ inserui cum Meinekio II, 2 p. 958 9 *μίαν* om. F 14 *καὶ* om. P add. V

ἀδηλία, ἤ, ὡς οἱ πρεσβύτεροι, ἡ ἀεὶ οὖσα. εἱμαρμένη
293 δέ ἐστι καθ' ἣν μεμοίραται καὶ συνείληπται πάντα ἐν τάξει καὶ στοίχῳ μὴ ἔχοντι πέρας γινόμενα, ἅπερ ἡ πρώτη συλλαβὴ περιέχει, καθάπερ καὶ ἐν τῷ εἱρμῷ. ἀνάγκη δέ ἐστιν, ἣν ἄξαι καὶ ἧς περιγενέσθαι οὐκ ἔστιν, ἢ ἐφ' ἣν πάντα, ἃ ἂν γένηται, τὴν ἀναγωγὴν λαμβάνει. κατ' ἄλλον δὲ τρόπον τρεῖς Μοῖραι παρεισάγονται κατὰ τὸ τρισσὸν τῶν χρόνων, καὶ Κλωθὼ μὲν ὠνόμασται μία ἀπὸ τοῦ κλώσει ἐρίων ἐοικέναι τὰ γινόμενα, ἄλλων ἄλλοις ἐμπιπτόντων, καθὸ καὶ νήθουσαν αὐτὴν πρεσβυτάτην διατυποῦσιν. Λάχεσις δ' ἄλλη ἀπὸ τοῦ τῇ κατὰ κλήρους λήξει τὰ ἀποδιδόμενα ἑκάστῳ προσεοικέναι. Ἄτροπος δὲ ἡ τρίτη διὰ τὸ ἀτρέπτως ἔχειν τὰ κατ' αὐτὴν διατεταγμένα. ἡ δ' αὐτῶν δύναμις οἰκείως ἂν δόξαι τῶν τριῶν προσηγοριῶν τυγχάνειν. αὕτη δέ ἐστι καὶ Ἀδράστεια, ἤτοι παρὰ τὸ ἄφευκτος καὶ ἀναπόδραστος εἶναι ὠνομασμένη, ἢ παρὰ τὸ ἀεὶ δρᾶν τὰ κατ' αὐτήν, ὡσανεὶ ἀειδράστεια οὖσα, ἢ τοῦ στερητικοῦ μορίου νῦν τὸ πολὺ ἐπιδηλοῦντος, ὡς ἐν τῇ „ἀξύλῳ ὕλῃ“· πολυδράστεια γάρ ἐστι. Νέμεσις δὲ ἀπὸ τῆς νεμέσεως προσηγορεύθη. Ὄπις δὲ ἀπὸ τοῦ λανθάνειν ὄπισθεν καὶ παρατηρεῖν τὰ πραττόμενα ὑφ' ἡμῶν καὶ κολάζειν τὰ κολάσεως ἄξια.

---

3 Sic scripsi Osannum secutus, *στοιχείου μὴ ἔχοντος* PV 8 Sic F *τῷ χρόνῳ* PV 9 *ἐρίων* F *ἔργων* PV 11 Sic F *νήθειν αὐτὴν οἱ πρεσβύτατοι* PV *ἄλλην δὲ Λάχεσιν* PV 17 *ἀνέκφευκτος* F 20 *ἄξυλος ὕλη* PV 22 *λανθάνουσαν — παρατηροῦσαν — κολαστηρίοις* F

DCLV. *Περὶ τῶν Μουσῶν.*

Τὰς Μούσας ὁ Ζεὺς ἐκ Μνημοσύνης γεννῆσαι λέγεται, ἐννέα νύκτας συγκαθεύδων αὐτῇ ἐν Πιερίᾳ. αἳ γεννηθεῖσαι μὲν ἐν Πιερίᾳ παρὰ τὸν Ἑλικῶνα χορεύουσι καὶ τὸν αὑτῶν πατέρα γεραίρουσιν. ὁ Ζεὺς δὲ αὐτὰς ἐγέννησεν, ἐπειδὴ καὶ τῶν κατὰ παιδείαν μαθημάτων εἰσηγητὴς ἐγένετο, ἃ δὴ καὶ ἐκ μελέτης καὶ κατοχῆς ἀναλαμβάνεσθαι πέφυκε καὶ ὡς ἀναγκαιότατα πρὸς τὸ εὖ ζῆν ὄντα. καλοῦνται δὲ Μοῦσαι ἀπὸ τῆς μώσεως, ὅ ἐστι ζητήσεως, παρὰ τὸ ὑπὸ πάντων ἢ τῶν πλειόνων ζητεῖσθαι, ἢ παρὰ τὸ περὶ πολλῶν ζητεῖν καὶ πολυπραγμονεῖν καὶ πάντα ἀνευρίσκειν τῇ ἑαυτῶν ἀγχινοίᾳ. ἐννέα δ' εἰσὶ διὰ τὸ τετραγώνους, ὥς φησί τις, καὶ περὶ τοὺς προσήκοντας αὐταῖς ἀποτελεῖν (τοιοῦτος γάρ ἐστιν ὁ τῶν ἐννέα ἀριθμός, συνιστάμενος κατὰ τὸ ἐφ' ἑαυτὸν γεννᾶσθαι καὶ τὸ τοῦ πρώτου ἀπὸ τῆς τελειότητος κατά τινας μετέχειν δοκοῦν ἀριθμοῦ), ἢ ὅτι τετράγωνος καὶ στερεὸς ὁ ἔνvατός ἐστιν ἀριθμός, τοιαῦται δὲ καὶ αἱ γνώσεις, διότι ὁ ἐννέα πολλάκις πολλά ἐστιν (ὁ τρία γὰρ ἀριθμὸς ἀρχὴ πλήθους, ὁ δὲ ἐννέα τρὶς τρεῖς, ἤγουν πολλάκις πολλά· κἂν ἡ καθόλου γνῶσις μονοειδής ἐστι καὶ ἁπλῆ, ἀλλ' οὖν ταῖς κατὰ μέρος περιγνώσεσί τε καὶ

DCLV. Cornut. 14 *ἐννέα — γεραίρουσιν* Schol. Hes. Oper. 1 (p. 29 Gaisf.) *ὁ Ζεὺς — ζητήσεως* Cornut. 14 *παρὰ τὸ — ἀγχινοίᾳ* Schol. l. c. *ἐννέα — ἀριθμοῦ* Cornut. l. c. *ἢ ὅτι τετράγωνος — Ῥοδίαν* Schol. *καὶ τρεῖς — πεπαιδεῦσθαι* Cornut. *τινὲς δὲ τὰς Μούσας — ἐννέα λεγόμεναι* Schol. *σύνεισι καὶ συγχορεύουσι* — exit. Cornut.

8 *ζῆν εὖ* PV 17 *ἔνατος* P corr. V

294 ἐφευρέσεσιν εἰς ἄπειρον παρεκτείνεται· αἱ γὰρ ἐν ἀνθρώποις γνώσεις ἀμυδραί τε καὶ μετρικώταται καὶ οὐχ οἵα παρὰ τῷ θεῷ ἑνιαία τε καὶ ὁλόκληρος). γεννῶνται δὲ αἱ παρ' ἡμῖν αὗται γνώσεις αἱ Μοῦσαι ἐν τῇ Πιερίᾳ τῷ τοῦ Διός, ἤγουν τοῦ νοός, οἰκητηρίῳ, τῷ περὶ τὴν κεφαλὴν ἡμῶν τόπῳ, ἔνθα τὰ πίονα καὶ πιμελῆ καὶ ἀγχινούστατα ῥέουσι, τοῦ Διὸς ἐννέα νύκτας μιγέντος τῇ Μνημοσύνῃ, τουτέστι τοῦ νοὸς πολλάκις ἀναπολήσαντος καὶ μνημονεύσαντος, ἃ ἀνέγνωκε. γεννηθεῖσαι δ' αἱ γνώσεις ἐν τῇ τοιαύτῃ Πιερίᾳ ἐν τῷ Ἑλικῶνι χορεύουσι, τὸν αὐτῶν πατέρα Δία ὑμνοῦσαι, τουτέστιν ἐγγραφεῖσαι ταῖς βίβλοις ἑλίσσονται καὶ περιφέρονται πανταχοῦ δίκην χορείας, κηρύττουσαι τὸν αὐτὰς γεννησάμενον νοῦν. οὕτω τὸ τοῦ νοὸς οἰκητήριον Πιερίαν δύναταί τις καλεῖν, τὰς δὲ βίβλους Ἑλικῶνα, ἐν αἷς περιχορεύουσιν αἱ Μοῦσαι, γνώσεις καὶ τὰ συγγάμματα. ἀλλ' Εὔμηλος μὲν ὁ Κορίνθιος τρεῖς φησιν εἶναι τὰς Μούσας καὶ θυγατέρας Ἀπόλλωνος· Κηφισοῦν, Ἀπολλωνίδα, Βαρυσθενίδα. Ἄρατος δὲ ἐν τῇ πέμπτῃ τῶν Ἀστρικῶν τέσσαρας λέγει, Διὸς τοῦ αἰθέρος καὶ Πλουσίας νύμφης· Ἀρχήν, Μελέτην, Θελξινόην καὶ Ἀοιδήν. τινὲς δὲ καὶ δύο μόνον εἶναί φασιν. Ἐπίχαρμος δὲ ἐν τῷ τῆς Ἥβης γάμῳ ἑπτὰ λέγει, θυγατέρας Πιέρου καὶ Πιμπληΐδος νύμφης· Νειλοῦν, Τριτώνην, Ἀσωποῦν, Ἑπταπόλην, Ἀχελωΐδα, Τιπόπλουν καὶ Ῥοδίαν. καὶ τρεῖς μὲν λέγονται διὰ τὴν προειρημένην τῆς τριάδος τε-

---

8 ἡμέρας F 9 ἀνέγνω F 15 ἐγὼ καλῶ ex more suo Tzetzes in Prolegomenis Hesiodi 17 Kinkel I, p. 195 20 Buhle II, p. 456 26 *Πακτωλοῦν* pro *Τιπ.* coni. Hermann.

λειότητα, ἢ διὰ τὸ τρία γένη σκεμμάτων εἶναι, δι' ὧν ὁ κατὰ φιλοσοφίαν λόγος |συμπληροῦται. τέσσαρες δὲ καὶ ἑπτὰ τάχα διὰ τὰ παλαιὰ τῶν μουσικῶν ὀργάνων τοσούτους φθόγγους ἐσχηκέναι. δύο δὲ ἀπὸ τοῦ θεωρεῖν τε καὶ πράττειν τὰ δέοντα καὶ ἐν δυσὶ τούτοις συνίστασθαι τὸ πεπαιδεῦσθαι. τινὲς δὲ τὰς Μούσας πέντε φασὶν εἶναι καὶ ὀνόματα ἔχειν τῶν πέντε αἰσθήσεων. παρὰ δὲ Ἡσιόδῳ καὶ τοῖς πλείοσιν ἐννέα λέγονται εἶναι· Κλειώ, Θάλεια, Εὐτέρπη, Τερψιχόρη, Ἐρατώ, Πολύμνια, Μελπομένη, Οὐρανία καὶ Καλλιόπη. τινὲς δὲ ἕτεροι ταύτας τὰς ἐννέα φασὶ πρώτας Μούσας γεγονέναι· Καλλιχόρην, Εὐτέρπην, Εὐκελάδην, Δῖαν, Ἐνόπην, Ἑλίκην, Εὐνίκην, Θελξινόην καὶ Τερψιχόρην. καὶ αἱ μὲν τρεῖς εὗρον τοὺς μουσικοὺς τρεῖς τόνους, τὸν ἁδρόν, μέσον καὶ ἰσχνόν, τὰς τρεῖς προσῳδίας, ὀξεῖαν, βαρεῖαν καὶ περισπωμένην, τοὺς τρεῖς χρόνους, ἐνεστῶτα, παρεληλυθότα καὶ μέλλοντα, καὶ τὰ τρία πρόσωπα, πρῶτον, δεύτερον, τρίτον, καὶ τοὺς τρεῖς ἀριθμοὺς καὶ τὸ τρίγωνον τῶν ἀστέρων καὶ πολλὰ τοιαῦτα, ὅσα ὑπὸ τὰ τρία ἀνάγονται. αἱ δὲ τέσσαρες τὰς τέσσαρας διαλέκτους, Ἰάδα, 295
Ἀτθίδα, Δωρίδα, Αἰολίδα καὶ πολλὰ τῶν ὑπὸ τὰ τέσσαρα. αἱ δὲ πέντε τὰς πέντε εὗρον αἰσθήσεις καὶ ὅμοια ἄλλα πλεῖστα. αἱ δέ γε ἑπτὰ τὴν ἑπτάχορδον

6 In sequentibus ordinem, quo a scholiasta Hesiodeo haec tradita sint, prorsus inversum esse patet, cum quae in Violario deinceps se excipiunt, in scholiis (ed. Gaisford.) p. 26, 25, 27, 26, 28 legantur. Eudociam autem ipsam pristinum ordinem tali modo excessisse non veri simile est, potius Iohannem Tzetzam, qui ex scholiorum Prolegomenis suos commentarios deprompsit et composuit, multis in locis a scholiis aberasse putaverim

λύραν καὶ τὰς ἑπτὰ ζώνας καὶ τοὺς ἑπτὰ ἀστέρας καὶ τὰ ἑπτὰ πρὸς τούτοις φωνήεντα καὶ τὰ ὅμοια. αἱ δ' ἐννέα εὗρον Κλειὼ ἱστορίαν, Θάλεια φυτουργίαν, Εὐτέρπη αὐλούς, Μελπομένη ᾠδήν, Τερψιχόρη χορείαν, Ἐρατὼ γαμικὰ καὶ ὄρχησιν, Πολύμνια γεωργίαν, Οὐρανία ἀστρολογίαν, Καλλιόπη ποίησιν, ὅθεν καὶ διὰ τὰς τοιαύτας εὑρέσεις θεὰς αὐτὰς ἐμυθεύσαντο. καὶ νῦν δὲ πᾶς ἀνὴρ καὶ πᾶσα γυνή, ζητητικοί τινων καὶ ἐφευρετικοί, μουσικοὶ καὶ μοῦσαι λεχθήσονται, ὥσπερ καὶ πᾶς τέχνης μουσικῆς ἐπιμελούμενος. καὶ γὰρ τῷ φιλογεώργῳ ἐκείνῳ Διονύσῳ Ὀσίριδι συνείποντο τὴν γέωργίαν διδάσκοντι αὐλητρίδες ἐννέα μουσικὸν ᾄδουσαι, ἅσπερ Μούσας ἐκάλουν. πολλὰς μὲν οὖν πολλοὶ καὶ διαφόρους ἔφασαν εἶναι τὰς Μούσας, τοῖς ἔργοις καὶ τοῖς ὄνομασι. καὶ περὶ μὲν τῶν λοιπῶν Μουσῶν, ὧνπέρ φασιν, ἴσθι γυναῖκας ταύτας εὑρετικὰς γενέσθαι τεχνῶν καὶ βιωφελεστάτων τινῶν, καὶ διὰ τοῦτο Μούσας κληθῆναι ἀπὸ τοῦ ὡς ἀληθῶς μούσης τῆς γνώσεως, ὅθεν καὶ μυριάδας μυρίας μούσας ἄν τις καλέσειε καὶ οὐ μόνας, ὅσας ἐκεῖνοι, εἴπερ εὑρίσκει τινὰς εὑρετίδας βιωφελῶν τινῶν καὶ τεχνῶν. αἱ δὲ παρ' Ἡσιόδῳ ἐννέα λεγόμεναι σύνεισι καὶ συγχορεύουσιν ἀλλήλαις, πρὸς παράστασιν τοῦ τὰς ἀρετὰς ἀχωρίστους αὐτῶν καὶ ἀδιαζεύκτους εἶναι. περὶ τοὺς τῶν θεῶν δὲ ὕμνους καὶ τὴν θεράπειαν κατασχολοῦνται μάλιστα, ἐπειδὴ στοιχεῖον καὶ ἀρχὴ παιδείας ἐστὶ τὸ ἀφορᾶν

---

11 φιλογεώργῳ F φιλοέργῳ PV 22 Haec in scholiis sic desinunt: λεγόμεναι οὔτε γυναῖκες φθαρταὶ ἢ θεαί, ἀλλ' οὐδὲ παῖδες τίκτειν ἠπίσταντο, quae E. omisit pergens ad Cornuti allegorias 24 διαζεύκτους P corr. V

πρὸς τὸ θεῖον, καὶ τοῦτο ὑπόδειγμα τοῦ βίου ποιησαμένους ἀνὰ στόμα ἔχειν δεῖ. συγχορεύει δὲ αὐταῖς καὶ ὁ Ἀπόλλων διὰ τὴν κοινωνίαν τῆς μουσικῆς. ἐν δὲ τοῖς ὄρεσί φασι θηρεύειν, ἐπειδὴ καὶ χρείαν ἔχουσι τοῦ μεμονωμένως καὶ συνεχῶς εἰς τὴν ἠρεμίαν ἀναχωρεῖν οἱ φιλοσοφοῦντες, „ἧς χωρὶς οὐδὲν σεμνὸν ἐξευρίσκεται," κατὰ τὸν Κωμικόν. τούτου δ' ἕνεκεν καὶ ἐννέα λέγεται νύκτας ὁ Ζεὺς συγγενόμενος τῇ Μνημοσύνῃ γεννῆσαι αὐτάς· καὶ γὰρ τῆς ἐν νυκτὶ ζητήσεως δεῖ πρὸς τὰ κατὰ παιδείαν. Εὐφρόνην γὰρ οἱ ποιηταὶ οὐ δι' ἄλλο τι τὴν νύκτα ἐκάλεσαν ἢ διὰ τὸ εὖ φρονεῖν ἐν αὐτῇ, ὡς καὶ Ἐπίχαρμος· „αἴτε τι [φησί,] ζητεῖ σοφόν τις, [τῆς] νυκτὸς ἐνθυμητέον", καὶ „πάντα τὰ σπουδαῖα νυκτὸς μᾶλλον ἐξευρίσκεται." τινὲς δ' Οὐρανοῦ καὶ Γῆς ἔφασαν αὐτὰς φῦναι, ὡς ἀρχαιότατα ἡγεῖσθαι τὸν περὶ τούτων λόγον δέοντος. καὶ θήλειαι δὲ παρήχθησαν τῷ τὰς ἀρετὰς καὶ τὴν παιδείαν θηλυκὰ ὀνόματα ἐκ τύχης ἔχειν, πρὸς σύμβολον τοῦ ἐνδομενείας καὶ ἑδραιότητος τὴν πολυμά- 296
θειαν περιγίνεσθαι. ἔστι δ' εἰπεῖν καὶ διὰ τὸ γόνιμον, ὃ ψυχῆς διαγνώσει γίνεται. στεφανοῦνται δὲ φοίνικι, ὡς μέν τινες νομίζουσι, διὰ τὴν ὁμωνυμίαν, ἀπὸ τοῦ τῶν Φοινίκων δοκεῖν εὕρημα εἶναι τὰ γράμ-

---

2 Hic quoque ordinem, quo hodie haec omnia in Cornuti libro leguntur, non servatum apparet, cum ea quae iam sequuntur in Osanni editione p. 52, 48, 55, 49 etc. invenias 4 *ἔχωσι* PV 5 *συνεχθῶς* PV 6 *φιλομαθοῦντες* F 7 *εὑρίσκεται* PV. Cf. Osann.: Comici vero locum indagare adhuc non contigit *ἕνεκε* PV 12 *εἴτε* PV 13 *φησὶ* et infra *τῆς* ante *νυκτός* expunxi cum F, *ζητεῖς* pro *ζητεῖ* PV, *τις* post *σοφόν* om. PV 14 *νυκτὸς* et *ἐξευρίσκεται* F *νυκτὶ* et *εὑρίσκεται* PV 16 *δεόντως* PV 19 Sic F *τοῦτο ἑδραιότατον τοῦ τὴν* PV 23 *τοῦ* inserui cum F *εὑρήματα* PV

ματα, ὡς δ' εὐλογώτερόν ἐστι, διὰ τὸ τρυφερὸν καὶ εὐερνὲς καὶ ἀείζωον καὶ δυσανάβατον καὶ γλυκύκαρπον τοῦ φυτοῦ. καὶ Κλειὼ μὲν ἡ μία αὐτῶν ἐπονομάζεται ἀπὸ τοῦ κλέους τυγχάνειν τοὺς πεπαιδευμένους καὶ τοὺς ἑτέρους κλεΐζειν· Εὐτέρπη δὲ ἀπὸ τοῦ τὰς ὁμιλίας αὐτῶν εὐτερπεῖς καὶ εὐαγώγους εἶναι· Θάλεια δὲ ἤτοι διὰ τὸ θάλλειν τὸν βίον αὐτῶν, ἢ διὰ τὸ ἔχειν αὐτοὺς καὶ τὴν συμποτικὴν ἀρετήν, ἐπιδεξίως καὶ ἐμμούσως ἀναστρεφομένους ἐν ταῖς θαλείαις· Μελπομένη δὲ ἀπὸ τῆς μολπῆς καὶ τῆς γλυκείας τινὸς φωνῆς μετὰ μέλους οὔσης (μέλπονται γὰρ οἱ ἀγαθοὶ ἀπὸ πάντων καὶ μέλπουσι καὶ αὐτοὶ τοὺς θεοὺς καὶ τοὺς πρὸ αὐτῶν γεγονότας)· Τερψιχόρη δὲ διὰ τὸ τέρπεσθαι καὶ χαίρειν αὐτῇ τὸ πλεῖστον μέρος τοῦ βίου, ἢ καὶ διὰ τὸ ἀπὸ τοῦ ὁρᾶσθαι παρέχειν τέρψιν τοῖς προσπελάζουσιν αὐτῇ, ἑνὸς στοιχείου πλεονάζοντος ἐν τῷ ὀνόματι, τάχα δέ, ἐπεὶ καὶ χόρους ἔστησαν οἱ παλαιοὶ τοῖς θεοῖς, συντεθέντων αὐτοῖς τὰς ᾠδὰς τῶν σοφωτέρων· ἡ δ' Ἐρατὼ πότερον ἀπὸ τοῦ ἔρωτος λαβοῦσα τὴν ὀνομασίαν, τὴν περὶ πᾶν εἶδος φιλοσοφίον παρίστησιν, ἢ τῆς περὶ τὸ ἔρεσθαι καὶ ἀποκρίνεσθαι δυνάμεως ἐπίσκοπός ἐστιν, ὡς δὴ διαλεκτικῶν ὄντων καὶ τῶν σπουδαίων· Πολύμνια δέ ἐστιν ἡ πολυύμνητος ἀρετή, ἢ μᾶλλον ἡ πολλοὺς ὑμνοῦσα καί, ὅσα περὶ τῶν προγενεστέρων ὑμνεῖται, παρειληφυῖα καὶ τῆς ἔκ τε τῶν ποιημάτων καὶ τῶν ἄλλων συγγραμμάτων ἱστορίας ἐπιμελουμένη· Οὐρα-

---

2 εὐεργὲς PV 5 Εὐτέρπεια PV 8 ἐπαξίως PV 21 φιλοσοφίας ἐπιστροφὴν F 22 ἐπίσκοπος scripsi ad Osanni exemplum, ἐπίσημος PV 24 ἢ om., ἴσως post μᾶλλον add. F

νία δέ ἐστιν ἡ περὶ τὰ οὐράνια καὶ τὴν τῶν ὅλων φύσιν ἐπιστήμη (τὸν γὰρ ὅλον κόσμον οὐρανὸν ἐκάλουν οἱ παλαιοί)· Καλλιόπη δὲ ἡ καλλίφωνος καὶ καλλιεπὴς ῥητορική, δι' ἧς πολιτεύονται καὶ δήμοις προσφωνοῦσιν ἄγοντες πειθοῖ καὶ οὐ βίᾳ, ἐφ' ὅτι ἂν προαιρῶνται, δι' ἣν αἰτίαν ταύτην μάλιστά φασι

„βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖν".

ἀποδίδοται δὲ αὐτῇ ποικίλα ἔργα ἐμφαίνοντος ἑκάστου, ὅτι ἥρμοσται καὶ σύμφωνος αὐτῷ αὐτὸς καὶ ὁμολογούμενος ὁ τῶν ἀγαθῶν βίος ἐστί.

DCLVI. *Περὶ τῶν ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς μυστηρίων.*

Μυστήρια δύο ἐτελεῖτο ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς τοῦ ἐνιαυτοῦ, μεγάλα τε καὶ μικρά. καὶ ἦν τὰ μικρὰ ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων. 297
μὴ ὄντων δὲ πρότερον μικρῶν, ἐλθόντος Ἡρακλέους καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμος ἦν Ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τὴν αὐτοῦ ἀρετὴν καὶ ὅτι φίλος τε ἦν πόλεως καὶ υἱὸς τοῦ Διός, ἐποίησαν μικρὰ μυστήρια, ἐν οἷς αὐτὸν ἐμυήσαν. ἦσαν δὲ τὰ μὲν μεγάλα τῆς Δήμητρος, τὰ δὲ μικρὰ Περσεφόνης, τῆς αὐτῆς θυγατρός, τῆς καὶ Κόρης λεγομένης. ὁ δὲ μυούμενος τὸ ἱμάτιον, ὃ ἐφόρει ἐν τῇ μυήσει, οὐδέποτε ἀπεδύετο, μέχρις ἂν τελέως ἀφανισθῇ διαρρυέν. Ἀριστοφάνης· „μῶν οὖν ἐμυήθης"; παίζει ὁ ποιητὴς παρὰ τὸν Ἐλευσίνιον νόμον· ἔθος γὰρ ἦν, ὡς ἔφην,

DCLVI. Schol. Ar. Plut. 845

---

4 καὶ add. F 7 Hes. Theog. 80 8 ἀποδέδοται et mox ἐμφαίνουσα PV 23 Plut. 845

ἐν οἷς τις ἱματίοις μυηθείη εἰς θεοῦ τινος, ταῦτα ἀνατιθέναι. ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ περὶ Μυστηρίων· „πάτριόν ἐστι ταῖς θεαῖς ἀνιεροῦν καὶ τὰς στολὰς τοὺς μύστας, ἐν αἷς τύχοιεν μυηθέντες.“

DCLVII. *Περὶ τῶν Μυρμιδόνων.*

Αἴγινα νῆσός ἐστι πρὸ τῆς Ἐπιδαυρίας ἐνδοξοτάτη, κύκλον σταδίων ρπʹ, κλυζομένη τῷ τε Κρητικῷ πελάγει καὶ τῷ Μυρτώῳ, τῷ μεταξὺ Κρήτης καὶ Ἀργείας καὶ Ἀττικῆς, ἐν βάθει μὲν γεώδης, ἐπιπολῆς δὲ πετρώδης, διὸ καὶ ψιλή ἐστι, κριθοφόρος δὲ ἱκανῶς, Οἰνώνη ποτὲ ὀνομαζομένη· ἐξ αὐτῆς ἦν ὁ Αἰακός. οἱ δὲ ἐν αὐτῇ πρῶτοι Μυρμιδόνες ἐκλήθησαν, οὐχ ὅτι, κατὰ τὸν μῦθον λοιμοῦ τῇ νήσῳ συμπεσόντος καὶ τῶν ἐκεῖ ἐκτριβέντων τῇ νόσῳ, οἱ μύρμηκες ἄνθρωποι ἐγένοντο, Αἰακοῦ εὐξαμένου, ἀλλ' ὅτι μυρμήκων δίκην τὴν ἀγαθὴν γῆν κάτω οὖσαν ὑπορύττοντες ἐπέφερον ταῖς πέτραις, ἵνα τὴν μὲν ἔχωσι γεωργεῖν, ἐν δὲ τοῖς ὀρύγμασι κατοικεῖν, φειδόμενοι τοῦ πλινθοποιεῖν, ἵνα ἔχωσι γῆν. Δωριεῖς δὲ ἀνέκαθεν οἱ Αἰγινῆται ἀπὸ Ἐπιδαύρου κατὰ τὸν Ἡρόδοτον.

Καὶ ἄλλως. Μυρμιδόνες πόθεν μυθικῶς λέγονται, πᾶσι δῆλον. οἱ δὲ τὸν μῦθον θεραπεύοντες ἱστορικῶς, γεωρύχους τοὺς Αἰγινήτας φασί, κοιλαίνοντας τὴν γῆν δίκην σπηλαίων καὶ ὑπὸ μὲν τὰς καταδύσεις

DCLVII. Eustath. Dion. 511 *Μυρμιδόνες* — exit. Eustath. Il. p. 77

---

2 Müller IV, p. 444 qui *τοὺς μύστας* pro *τοῖς μύσταις* exhibet. Ceterum postrema verba ipsius Melanthii esse non vidit Villoisonus 9 *ψιλή* F *ὑψηλή* PV 19 VIII, 46

οἰκοῦντας, τὸ δὲ ἀναβαλλόμενον χῶμα εἰς εὔχρηστον καρποῖς γῆν διαπεταννύοντας, διὰ τὸ τὴν νῆσον τὰ μὲν ἄνω τραχεῖαν εἶναι, ἀγαθὴν δὲ τὰ ἔνερθεν. δια τοῦτο τοίνυν τοὺς ταῦτα ποιοῦντας μύρμηξιν εἰκάζοντες οἱ ἰδόντες διὰ τὸ τῆς διαίτης, ὡς εἰπεῖν, μυρμηκόβιον Μυρμιδόνας ἐπεκάλουν αὐτούς. ἐκεῖθεν δὲ ὕστερον τῷ Αἰακῷ συμμετοικισθέντες τινὲς εἰς Φθίαν συναπήγαγον ἑαυτοῖς καὶ τὴν κλῆσιν· καὶ τοὺς μὲν πατριώτας νησιώτας Αἰγινήτας ἀφῆκαν καλεῖσθαι, τοὺς δὲ 298 Φθιώτας ἐξ αὐτῶν εἰς Μυρμιδόνας μετέθεντο. καὶ οὕτω μὲν ταῦτα. ἕτεροι δὲ ἀγαθὸν εἶναι τὸν Αἰακὸν ἱστοροῦντες τὰ εἰς τὸ ἄρχειν φασίν, ἀπὸ πολλῆς ὅτι μάλιστα λειπανδρίας τὴν ὑπ' αὐτῶν γῆν εἰς πολυανθρωπίαν ἐπαυξηθῆναι, κἀντεῦθεν διαδοθῆναι τὸν μῦθον, ὡς ὅτιπερ οἱ κατὰ χώρας μύρμηκες ἄνδρες τῷ Αἰακῷ ἐγένοντο κατ' εὐχήν. εἴωθε δὲ ἡ παροιμία καὶ ἐν ἄλλοις τὸ πολὺ τῆς εὐτυχίας ἀπὸ μυρμήκων λαλεῖν, ὡς ὅτε μυρμηκιάν φησιν ἀγαθῶν. συντελεῖ δέ τι ἐνταῦθα καὶ Θεόκριτος εἰπὼν „μύρμακες ἀνάριθμοι" ἐπὶ πολυπληθείας λαοῦ.

DCLVIII. *Περὶ Μύρρας.*

Μύρρα Θείαντος θυγάτηρ ἐγένετο. αὕτη ἐρασθεῖσα τοῦ πατρὸς καὶ λάθρα μιγεῖσα αὐτῷ καὶ ἔγκυος γενομένη, αἰσθομένου τοῦτο τοῦ πατρός, ηὔξατο τοῖς θεοῖς εἰς ἑτέραν φύσιν μεταλλαγῆναι, ὅθεν καὶ εἰς δένδρον

DCLVIII. Tzetzes Lyc. 829

4 *μύρμιξιν* P corr. V 16 Zenob. I, 11 20 *μύρμακες ἀνάριθμοι* restitui ex Theocrit. XV, 45 *μύρμηκες ἄριθμοι* PV *μ. ἀνάριθμοι* F

αὐτὴν μετέβαλον, τὸ ἀπ' αὐτῆς λεγόμενον μύρραν, ἤτοι σμύρναν Αἰολικῶς. μὴ γὰρ ὡς οἱ μωροὶ καὶ σὺ τὴν μύρραν μυρίνην, ἤτοι μυρσίνην, νοήσῃς· οὕτω δὲ Ἀριστοφάνης παίζων λέγει. αὐτῆς τοίνυν οὕτω μεταβληθείσης εἰς μύρραν, ἐφεστῶτος τοῦ χρόνου τοῦ τοκετοῦ, διαρραγέντος τοῦ φλοιοῦ ἀπεκύησε τὸν Ἄδωνιν, ὃν ἰδοῦσα ἡ Ἀφροδίτη ἐφίλησε καὶ ἀνδρωθέντος ἐραστὴν ἔσχηκεν.

Ἱστορικοί.

DCLIX. *Περὶ Μαρσύου τοῦ ἱστορικοῦ.*

Μαρσύας Περιάνδρου Πελλαῖος ἱστορικός. οὗτος πρότερον γραμματοδιδάσκαλος ἦν καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως. ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις δέκα (ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων καὶ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου μετὰ τὴν Ἀλεξανδρείας κτίσιν), Ἀττικὰ ἐν βιβλίοις ιβ', καὶ αὐτοῦ Ἀλεξάνδρου ἀγωγήν.

Εἰσὶ δὲ καὶ ἄλλοι δύο ἱστορικοί· ὁ μὲν Κριτοφήμου Φιλιππεὺς νεώτερος, ὁ δὲ Μάρσου Ταβηνός, ὃς καὶ ἀρχαιολογίαν ἔγραψεν ἐν βιβλίοις ιβ', μυθικὰ ἐν βιβλίοις ζ' καὶ ἕτερά τινα περὶ τῆς ἰδίας πατρίδος.

DCLIX. Hesych. (Suid.)

---

1 *μετέβαλλον* PV 2 *ὡς* addidi ex F om. PV 3 *οὕτω — λέγει* om. F 4 Vesp. 861 etc. 12 *Μακεδόνων* om. S 17 *ἀγωγήν* ex S recepi *διαγωγήν* PV

DCLX. Περὶ Μαναίχμου. 299

Μάναιχμος Σικυώνιος, υἱὸς Ἀλκιβίου ἢ Ἀλκιβιάδου, ἱστορικός, γέγονεν ἐπὶ τῶν διαδόχων. ἔγραψεν ἱστορίαν τῶν κατὰ τὸν Μακεδόνα Ἀλέξανδρον.

DCLXI. Περὶ Μενάνδρου.

Μένανδρος προκτίκτωρ ἱστορικός. ἔγραψε [τὰ] μετὰ τὴν ἀποβίωσιν τοῦ Ἀγαθίου, ἤτοι διάδοχος τῆς ἐκείνου ἱστορίας.

Ἰατροί.

DXLXII. Περὶ Μαρκέλλου τοῦ ἰατροῦ.

Μάρκελλος Σιδήτης, ἰατρός, ἐπὶ Μάρκου Ἀντωνίνου. οὗτος ἔγραψε δι' ἐπῶν ἡρωϊκῶν βιβλία ἰατρικὰ δύο πρὸς τοῖς τεσσαράκοντα, ἐν οἷς καὶ περὶ λυκανθρώπου.

DCLXIII. Περὶ Μενεκράτους.

Μενεκράτης Συρακούσιος ἰατρός. οὗτος μὲν μισθὸν οὐδένα ἐκομίζετο τῆς θεραπείας (ἐθεράπευε γὰρ τὴν ἱερὰν νόσον), δούλους δὲ αὐτοῦ ὁμολογεῖν τοὺς θεραπευομένους ἀπῄτει, καὶ Δία ἑαυτὸν ἐκάλει, θεοὺς δὲ τοὺς ἰαθέντας ὑπ' αὐτοῦ, τιθεὶς ἑκάστῳ προσηγορίαν, τῷ μὲν Ἑρμοῦ, τῷ δὲ Ἀπόλλωνος.

DCLX—DCLIII. Hesych. (Suid.)

---

3 τῶν S τὴν PV 4 Suidas ipsius Menandri orationem uberiorem hic compilavit, quae his verbis terminatur: ἄρξασθαι μετὰ τὴν ἀποβίωσιν Ἀγαθίου καὶ τῆς ἱστορίας ποιήσασθαι τὴν ἀρχήν (an διαδοχὴν Bekkerus) 5 ἦν δὲ ? Post 6 titulum Ἰατροὶ addidi ex P om. V 7 Σιδήτης S Σιδίτης PV 9 Λυκάνου compendio non intellecto PV 11 Idem Athen. VII, p. 289 uberius narravisse monuerunt editores οὗτος δὲ μισθὸν μὲν S 15 ἰασθέντας PV

[DCLXIV. *Περὶ Μέτωνος.*

Μέτων ἰατρὸς ἄριστος καὶ μαθηματικός, ἀστρονόμος. τούτου ἐστὶν ὁ λεγόμενος Μέτωνος ἐνιαυτός.]

Φιλόσοφοι.

DCLXV. *Περὶ Μαναίχμου τοῦ φιλοσόφου.*

Μάναιχμος Ἀλωπεκοννήσιος, φιλόσοφος Πλατωνικός. ἔγραψε φιλόσοφα καὶ εἰς τὴν Πλάτωνος πολιτείαν βιβλία τρία.

DCLXVI. *Περὶ Μαξίμου τοῦ Τυρίου.*

Μάξιμος Τύριος, φιλόσοφος, διέτριψεν ἐν Ῥώμῃ ἐπὶ Κομόδου. ἔγραψε πολλοὺς φιλοσοφικοὺς λόγους, ὧν πρῶτος, τίς ὁ θεὸς κατὰ Πλάτωνα, περὶ Ὁμήρου καὶ τίς ἡ παρ' αὐτῷ ἀρχαία φιλοσοφία, εἰ καλῶς Σωκράτης οὐκ ἀπελογήσατο καὶ ἄλλα τινὰ φιλόσοφα ζητήματα.

300 DXLVII. *Περὶ Μαξίμου τοῦ Ἠπειρώτου.*

Μάξιμος Ἠπειρώτης ἢ Βυζάντιος φιλόσοφος, διδάσκαλος Ἰουλιανοῦ Καίσαρος τοῦ Παραβάτου. ἔγραψε περὶ ἀλύτων ἀντιθέσεων, περὶ καταρχῶν, περὶ ἀριθμῶν, ὑπόμνημα εἰς Ἀριστοτέλην καὶ ἄλλα τινὰ πρὸς τὸν αὐτὸν Ἰουλιανόν.

DCLXIV. Suid. (Schol. Ar. Av. 998) DCLXV—DCLXVII. Hesych. (Suid.)

---

1 Hanc vitam ab initio illius articuli, quem ex scholio Aristophaneo descripsit Suidas, interpolator mutuatus est (cf. Unters. p. 57). Post 2 titulum *Φιλόσοφοι* addidi ex P om. V 3 *κατὰ δέ τινας Προικοννήσιος* add. S 4 *τὰς — πολιτείας* S 7 *ἔγραψε — Πλάτωνα* om. S. Cf. Bernhard. praef. p. XXXI 10 *ἀπολογήσατο* PV

DCLXVIII. *Περὶ Μαρίνου τοῦ Νεαπολίτου.*

Μαρῖνος Νεαπολίτης, φιλόσοφος καὶ ῥήτωρ, μαθητὴς Πρόκλου τοῦ φιλοσόφου καὶ διάδοχος. ἔγραψε βίον Πρόκλου τοῦ αὐτοῦ διδασκάλου καὶ καταλογάδην καὶ ἐπικῶς καὶ ἄλλα τινὰ φιλοσόφων ζητήματα.

DCLXIX. *Περὶ Μουσωνίου Καπίτωνος.*

Μουσώνιος Καπίτωνος, Τυρρηνὸς πόλεως Βουλσινίου, διαλεκτικὸς φιλόσοφος καὶ Στωϊκός, γεγονὼς ἐπὶ Νέρωνος, γνώριμος Ἀπολλωνίου τοῦ Τυανέως.

DXLXX. *Περὶ Μυροῦς τῆς φιλοσόφου.*

Μυρώ, Ῥοδία φιλόσοφος. ἔγραψε χρείας γυναικῶν βασιλίδων καὶ μύθους, νόμους μαιῶν καὶ διαταγὰς αὐτῶν, ἐπαοιδάς τε καὶ ἰατρίας ἐντεινούσας ταῖς λεχοῖς καὶ μητρικῶν στρόφων θεραπείας.

Ῥήτορες.

DCLXXI. *Περὶ Μαίωρος τοῦ ῥήτορος.*

Μαΐωρ Ἀράβιος σοφιστής. ἔγραψε περὶ στάσεων βιβλία ιγ'. συνεχρόνισε δὲ Ἀψίνῃ καὶ Νικαγόρᾳ ἐπὶ Φιλίππου τοῦ Καίσαρος καὶ ἐπάνω.

DCLXVIII—DCLXXI. Hesych. (Suid.)

---

5 *Βουασινίου* PV 7 His plura adiunxit S 9 *νόμους* — *θεραπείας* om. S. Cf. Bernhard. p. XXXI, qui integriorem narrationem Eudociam servasse intellexit. Forte autem haec errori librarii alicuius debentur, cum scripta, quae hic afferuntur, non ad philosophum, sed ad medicum videantur spectare 13 *δὲ* addidi ex S om. PV, infra *Νικαγώρᾳ* P corr. V

DCLXXII. *Περὶ Μάλχου τοῦ Βυζαντίου.*

Μάλχος Βυζάντιος σοφιστής. ἔγραψεν ἱστορίαν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου καὶ ἕως Ἀναστασίου, ἐν ᾗ τὰ κατὰ Ζήνωνα καὶ Βασιλίσκον καὶ τὸν ἐμπρησμὸν τῆς δημοσίας βιβλιοθήκης καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουσταίου καὶ ἄλλα τινὰ διεξέρχεται, μάλα σεμνῶς καὶ τραγῳδίας δίκην ἀποθρηνῶν αὐτά.

301 DCLXXIII. *Περὶ Μαρκέλλου.*

Μάρκελλος Περγαμηνὸς ῥήτωρ. ἔγραψε βιβλίον Ἀδριανὸς ἢ περὶ βασιλείας.

DCLXXIV. *Περὶ Μαρψίου.*

Μαρψίας [ὄνομα κύριον] ῥήτωρ φλύαρος καὶ θορυβώδης. Ἀριστοφάνης· „πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;“

DCLXXV. *Περὶ Μελησέρμου.*

Μελήσερμος Ἀθηναῖος σοφιστής. ἔγραψεν ἐπιστολῶν ἑταιρικῶν βιβλία ιδ´ καὶ ἀγροικικῶν ἕν, μαγειρικῶν ἐπιστολῶν ἕν, συμποσιακῶν βιβλίον ἕν.

DCLXXVI. *Περὶ Μελήτου.*

Μέλητος Λάρου, Ἀθηναῖος ῥήτωρ. οὗτος ἐγράψατο Σωκράτην μετὰ Ἀνύτου. πεποίηνται δὲ αὐτῷ καὶ τραγῳδίαι. κατελιθώθη δὲ ὑπὸ τῶν Ἀθηναίων.

DCLXXII—DCLXXVI. Hesych. (Suid.)

---

2 *καὶ* accessit ex S om. PV   8 *Ἀδριανὸν* S   9 Haec sine dubio ex Suidae lexico lector benevolus inseruit, fortasse totam vitam transposuit. Totum articulum ex Schol. Ar. Acharn. 702 fluxisse consentaneum est   14 *στρατηγικῶν βιβλίων ἕν* add. S   15 *Μέλιτος* PV   16 *πεποίηται* PV

[ἔγραψε περὶ τοῦ ὄντος. ἦν ἐπὶ Ζήνωνος καὶ Περικλέους καὶ Σοφοκλέους.]

DCLXXVII. *Περὶ Μενάνδρου.*

Μένανδρος Λαοδικεύς, τῆς παρὰ Λύκῳ τῷ ποταμῷ, σοφιστής. ἔγραψεν ὑπόμνημα εἰς τὴν Ἑρμογένους τέχνην καὶ Μινουκιανοῦ προγυμνάσματα καὶ ἄλλα.

DCLXXVIII. *Περὶ Μητροφάνους.*

Μητροφάνης Εὐκαρπίας τῆς Φρυγίας, σοφιστής. ἔγραψε περὶ τῆς Φρυγίας αὐτῆς βιβλία δύο, περὶ ἰδεῶν λόγου, περὶ στάσεων, εἰς τὴν Ἑρμογένους τέχνην ὑπόμνημα, εἰς τὸν Ἀριστείδην ὑπόμνημα.

Καὶ ἕτερος Μητροφάνης Κορνηλιανοῦ ῥήτορος Λεβαδεύς (πόλις δὲ Βοιωτίας ἡ Λεβάδεια), σοφιστής. περὶ τῶν χαρακτήρων Πλάτωνος ἔγραψε πάνυ καλῶς, Ξενοφῶντός τε καὶ Νικοστράτου, μελέτας, λόγους πανηγυρικοὺς καὶ ἄλλα.

DCLXXIX. *Περὶ Μινουκιανοῦ.*

Μινουκιανὸς Νικαγόρου τοῦ σοφιστοῦ, Ἀθηναῖος σοφιστής, γεγονὼς ἐπὶ Γαλιηνοῦ. ἔγραψε τέχνην ῥητορικὴν καὶ προγυμνάσματα καὶ λόγους διαφόρους.

DCLXXVII—DCXXLIX. Hesych. (Suid.)

---

2 Haec non ad Meletum verum ad Melissum pertinere viderunt editores (cf. Diogenes Laert. IX, 24), sed neque Suidam, qui eadem uberius narravit, neque Eudociam vitas perturbasse putaveris, sed ipsum Hesychii epitomatorem vel codicis librarium   8 *λόγων* PV   12 *ἔγραψε πάνυ καλῶς* et infra *καὶ ἄλλα* om. S   16 *Γαλιηνοῦ* corr. Harles, *Γαληνοῦ* more suo PV

DCLXXX. *Περὶ Μάγνητος τοῦ κωμικοῦ.*

Μάγνης Ἰκαρίου πόλεως, ἀρχαίας κωμῳδίας ποιητής. ἐδίδαξε κωμῳδίας ἐννέα, νίκας εἷλε β΄. ἔγραψε καὶ Λυδοὺς καὶ ψῆνας καὶ βατράχους ὁμοίως καὶ Γαλεομυομαχίαν. ποικίλας δ' ἐμιμεῖτο φωνὰς οὗτος.

DCLXXXI. *Περὶ Μελανιππίδου.*

Μελανιππίδης Κρίτωνος, γεγονὼς κατὰ τὴν ξε΄ Ὀλυμπιάδα, Μήλιος. ἔγραψε διθυράμβων βιβλία πλεῖστα καὶ ποιήματα ἐπικὰ καὶ ἐπιγράμματα καὶ ἐλεγεῖα καὶ ἄλλα πλεῖστα.

Καὶ ἕτερος Μελανιππίδης, θυγατριδοῦς τούτου, παῖς Κρίτωνος λυρικοῦ καὶ αὐτοῦ, ὃς ἐν τῇ τῶν διθυράμβων μελοποιΐᾳ ἐκαινοτόμησε πλεῖστα. ἔγραψε καὶ αὐτὸς ᾄσματα λυρικὰ καὶ διθυράμβους.

DCLXXXII. *Περὶ Μενάνδρου.*

Μένανδρος Ἀθηναῖος κωμικὸς ἀρχαῖος.

Καὶ ἕτερος Ἀθηναῖος, Διοπείθους καὶ Ἡγεστράτης, περὶ οὗ πολὺς παρὰ πᾶσιν ὁ λόγος. ἔστι δὲ τῆς νέας κωμῳδίας, στραβὸς τὰς ὄψεις, ὀξὺς δὲ τὸν νοῦν καὶ περὶ γυναῖκας ἐκμανέστατος. γέγραφε κωμῳδίας ρη΄ καὶ

DCLXXX—DCLXXXII. Hesych. (Suid.)

---

3 Verba *ὁμοίως καὶ Γαλεομυομαχίαν* in PV post *φωνὰς οὗτος* extant, unde transposui 7 *ἐλέγους* S. De verbis *ἄλλα πλεῖστα* cf. D. Volkmann. Symbol. Bonn. p. 727 9 *τοῦ πρεσβύτου* S. Ceterum de poeta Melanippide cf. quae argute exposuit Rohde in Mus. Rhen. XXXIII, p. 213 seq., qui unum poetam Melanippidem fuisse certis conclusit argumentis 14 *Ἡγησιστράτης* PV

ἐπιστολὰς πρὸς Πτολεμαῖον τὸν βασιλέα καὶ λόγους ἑτέρους πλείστους καταλογάδην.

DCLXXXIII. *Περὶ Μενελάου.*

Μενέλαος Αἰγαῖος ἐποποιός. ἔγραψε Θηβαΐδα ἐν βιβλίοις ιβ' καὶ ἄλλα.

DCLXXXIV. *Περὶ Μενίππου.*

Μένιππος κωμικός. τῶν δραμάτων αὐτοῦ Κέρκωπες, Ὄφεις καὶ ἄλλα.

DCLXXXV. *Περὶ Μεσομήδους.*

Μεσομήδης Κρής, λυρικὸς ἐπὶ Ἀδριανοῦ. ἔγραψεν εἰς Ἀντίνουν ἔπαινον καὶ ἄλλα διάφορα μέλη.

DCLXXXVI. *Περὶ Μεταγένους.* 303

Μεταγένης Ἀθηναῖος δούλου παῖς, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Αὖραι, Μαμμάκυθος, Θουριοπέρσαι, Φιλοθύτης, Ὅμηρος ἢ Ἀσκηταί.

DCLXXXVII. *Περὶ Μιμνέρμου.*

Μίμνερμος Λιγυρτιάδου, Κολοφώνιος ἢ Σμυρναῖος ἢ Ἀστυπαλαιεύς, ἐλεγειοποιός. γέγονε δὲ ἐπὶ τῆς λζ' Ὀλυμπιάδος, ὡς προτερεύειν τῶν ἑπτὰ σοφῶν. τινὲς δὲ αὐτοῖς καὶ συγχρονεῖν λέγουσιν. ἐκαλεῖτο δὲ καὶ

DCLXXXIII—DCLXXXVII. Hesych. (Suid.)

---

4 *ια'* S 6 *Ὄφεις* om. PV 7 *Μεσειμήδης* PV corr. Harles *ἀπελεύθερος αὐτοῦ καὶ ἐν τοῖς μάλιστα φίλοις* add. S 8 *ὃς ἦν Ἀδριανοῦ παιδικά* add. S paullo ante *Ἄντινον* inepte PV 10 *μαμμάκουθος* P *μαρμάκουθος* V 11 *ὁμέρης* PV 12 *Μίμερμνος* constanter PV 15 prius *καὶ* recepi ex S om. PV

Λιγυαστάδης διὰ τὸ ἐμμελὲς καὶ λιγύ. ἔγραψε βιβλία πολλά.

DCLXXXVIII. *Περὶ Μνησιμάχου.*

Μνησίμαχος ποιητὴς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἱπποτρόφος, Βούσιρις, Φίλιππος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

[DCLXXXIX. *Περὶ Μορσίμου.*

Μόρσιμος, Φιλοκλέους τραγικοῦ υἱός, ποιητὴς ψυχρός. ἦν δὲ καὶ ἰατρὸς ὀφθαλμῶν, μικρός, ὑπόψυχρος.]

DCXC. *Περὶ τοῦ Μουσαίου.*

Μουσαῖος Ἐλευσίνιος ἐξ Ἀθηνῶν, υἱὸς Ἀντιφήμου τοῦ Εὐφήμου, τοῦ Ἐκφάντου, τοῦ Κερκυόνος (ὃν κατεπολέμησεν ὁ Θησεὺς) καὶ τῆς Ἑλένης γυναικός, μαθητὴς Ὀρφέως, ἐποποιός, μᾶλλον δὲ πρεσβύτερος. ἤκμαξε δὲ κατὰ τὸν δεύτερον Κέκροπα. ἔγραψεν ὑποθήκας Εὐμόλπῳ τῷ υἱῷ καὶ ἄλλα.

DCLXXXVIII. Hesych. (Suid.)   DCLXXXIX. Suid. (Schol. Ar. Equ. 400 et Ram. 151)   DCXC. Hesych. (Suid.)

---

2 Haec absurda esse neminem fugit, melius S *ἔγραψε βιβλία ταῦτα πολλά*, neque placet coniectura Bernhardyi *βιβλία ἐρωτικὰ τὰ πολλά* proponentis. Certe aut in *πολλά* carminum numerus latet, velut *πα´* et pro *βιβλία* corrigendum est *ᾄσματα* vel *ποιήματα*, aut, id quod melius videtur, cum D. Volkmanno (Symbol. Bonn. p. 727) ad pristinam Mimnermi librorum copiam referendum est   3 *μέσης* legendum. Cf. Meinekii Quaest. Scen. III, p. 57, *νέας* PV   4 *Βάσιρις* PV. Ceterum cf. Athen. VIII, p. 359, IX, p. 402   6 De hoc poeta tragico in duobus articulis Suidas egerat, quos Eudociam conflasse suspicatus est Bernhardy. Sed certe interpolatori haec vita debetur, non Eudociae. Cf. Unters. p. 57   9 *Κερκυῶνος* PV   10 *ὑπὲρ* PV, *καὶ* scripsi Bernhardyo obtemperans, ad cuius exemplum uncos quoqueantea admisi   13 *ἔπη δ´* mox *πλεῖστα* add. S

Καὶ ἕτερος Θηβαῖος, Θαμύρα υἱὸς τοῦ Φιλάμμωνος, μελοποιός, γεγονὼς πρὸ τῶν Τρωϊκῶν πολλῷ. ἔγραψε μέλη καὶ ᾄσματα.

Καὶ ἄλλος Ἐφέσιος ἐποποιὸς τῶν εἰς τοὺς Περγαμηνοὺς καὶ αὐτὸς κύκλους. ἔγραψε Περσηΐδος βιβλία δέκα καὶ εἰς Εὐμένη καὶ Ἄτταλον.

DCXCI. *Περὶ Μυίας.*

Μυῖα Θεσπιακὴ λυρική. μέλη πρὸς λύραν ἁρμόζοντα.

Καὶ Μυῖα Σπαρτιᾶτις ποιήτρια εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν ὕμνων.

Καὶ ἄλλη Σαμία, Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς.

DCXCII. *Περὶ Μυροῦς.* 304

Μυρὼ Βυζαντία, ποιήτρια ἐπῶν καὶ ἐλεγείων καὶ μελῶν, Ὁμήρου τοῦ τραγικοῦ θυγάτηρ, γυνὴ Ἀνδρομάχου τοῦ ἐπικληθέντος φιλολόγου.

DCXCIII. *Περὶ Μυρτίλου.*

Μυρτίλος Ἀθηναῖος κωμικός, υἱὸς μὲν Λύσιδος, ἀδελφὸς δὲ Ἑρμίππου τοῦ κωμικοῦ. δράματα αὐτοῦ Τιτανοπάνες, Ἔρωτες.

DCXCI—DCXCIII. Hesych. (Suid.)

---

5 In hac vita verborum ordinem perversum vocabulumque *κύκλους* mutilum esse perspexit D. Volkmann. Quaest. nov. p. VIII, qui hoc modo restituit: — *Ἐφέσιος, ἐποποιὸς καὶ αὐτός, ἔγραψε Περσηίδος βιβλία ι καὶ εἰς Εὐμένη καὶ Ἄτταλον τοὺς Περγαμηνοὺς ἐπινίκους*, vel *ἐποποιπὸς καὶ αὐτὸς κυκλικός* 7 Thespiensem poetriam a Corinna non diversam esse perspexit Welcker. in Creuzer. Melet. II, p. 13 *ἁρμόζουσα* PV 9 *Σπαρτιάτης* PV 14 Pro *θυγάτηρ*, quod in PV legitur, hoc loco *μήτηρ* substituendum esse monuerunt editores Suidae 16 *Μυρτῖλος* PV 18 *τετανοπάνες* PV

Γραμματικοί.

DCXXIV. Περὶ Μιθαίκου τοῦ γραμματικοῦ.

Μίθαικος γραμματικός. ἔγραψεν ὀψαρτυτικά, κυνηγετικὰ καὶ ἄλλα.

DCXCV. Περὶ Μόσχου.

Μόσχος Συρακούσιος, γραμματικός, Ἀριστάρχου γνώριμος. οὗτός ἐστιν ὁ δεύτερος ποιητὴς μετὰ Θεοκριτον τὸν τῶν βουκολικῶν ποιητήν.

DCXCVI. Περὶ Ναννάκου.

Νάνναχος, παλαιός, ἀνὴρ πρὸ Δευκαλίωνος. τοῦτόν φασι βασιλέα γενέσθαι πρὸ τοῦ Δευκαλίωνος, ὃς προειδὼς τὸν μέλλοντα κατακλυσμόν, συναγαγὼν πάντας εἰς τὸ ἱερὸν μετὰ δακρύων ἱκέτευσε. καὶ παροιμία ἀπὸ Ναννάκου ἐπὶ τῶν σφόδρα παλαιῶν καὶ ἀρχαίων.

DCXCVII. Περὶ τοῦ Ναρκίσσου.

Νάρκισσος υἱὸς μὲν ἦν Κηφισσοῦ, ποταμοῦ Φωκικοῦ, καὶ Λειριοέσσης νύμφης. κάλλος δὲ ἔχων ἀμύθητον, ἐπικύψας πηγῇ τινι καὶ τῆς ἑαυτοῦ σκιᾶς ἐρασθεὶς ἔρριψεν ἑαυτὸν ἐκεῖ καὶ ἐνεπνίγη τῷ ἐνόπτρῳ ὕδατι. καὶ ἡ γῆ ἀνέδωκε φυτὸν ὁμώνυμον τῷ νεανίᾳ.

DCXCIV et DCXCV. Hesych. (Suid.) DCXCVI. Zenob. VI, 10 (Suid.) DCXCVII. Eustath. Il. p. 266

---

1 *ὀψαρτικά* PV 5 *δραμάτων* et infra *ἔγραψε καὶ αὐτός* add. S 15 *ἐναπεπνίγη* F

DCXCVIII. *Περὶ τῆς γινομένης τιμῆς τῷ Νείλῳ παρὰ τῶν Αἰγυπτίων.* 305

Νεῖλος ποταμός ἐστιν ἐν τῇ Αἰγύπτῳ, ὃς ὑπερεκχυνόμενος διὰ τὰς αἰτίας, ἅς φησιν ὁ Ἡρόδοτος, τιμᾶται παρὰ τῶν Αἰγυπτίων. ἐν γὰρ τῇ ἀναβάσει τιμῶσιν αὐτὸν ὡς θεὸν καὶ εὐφημοῦσιν ὡς εὐφορίας αἴτιον, νομίζοντες τὸ ὕδωρ τὸ αὐξανόμενον εἶναι θεόν. περὶ δὲ ταύτης τῆς ἱστορίας Ἡρόδοτος οὐδὲν λέγει, ἀνέγνων δὲ παρὰ Ἀρισταινέτῳ τῷ ῥητορικῷ, ὅτι ἑορτάζουσιν αὐτῷ οἱ Αἰγύπτιοι ἑορτὴν πανδημεί, πάντες καὶ πᾶσαι ἐρχόμεναι περὶ τὰ θέατρα τῶν πόλεων, κἀκεῖσε θοινῶνται ἕκαστος καὶ ἑκάστη ὃ ἔχει. χοροὺς δὲ συστησάμενοι ᾄδουσι τῷ Νείλῳ ᾠδάς, ἃς τῷ Διῒ ᾄδονται, ὡς τοῦ Νείλου τὸ τοῦ Διὸς ἔργον ποιοῦντος καὶ ἄρχοντος τῆς χώρας. ἀνδρογύνων δὲ δοκεῖ λέγειν τιμὰς τῷ πανδημεὶ τοὺς ἄρρενας μετὰ τῶν γυναικῶν ἐκβακχεύεσθαι καὶ πολλάκις ὡς ἐν μέθῃ καὶ ἀσελγαίνειν.

DCXCIX. *Περὶ Νεοπτολέμου.*

Νεοπτόλεμος ὁ υἱὸς τοῦ Ἀχιλλέως ἐπεκλήθη, διότι νέος ὢν εἰς πόλεμον ἤχθη τῷ Ὀδυσσεῖ. τὸ δὲ ἄλλως κύριον αὐτοῦ Πύρρος ἐστίν, ὡς ὑποδηλοῖ ὁ Σοφοκλῆς· ᾧπερ ὁμώνυμος καὶ ὁ ὕστερον Ἠπειρώτης δια-

DCXCVIII. Nonn. Sanct. Lum. 12 *περὶ δὲ ταύτης* — exit. Nonn. II, 32 (Cosm. p. 179) DCXCIX. Eustath. Od. p. 1696. Haec ex Ptolemaei Hephaestionis historiis fluxisse docuit Hercher in Annal. Philol. Supplem. I, p. 289

---

7 Müller IV, p. 319. Ex hoc loco, quo forte *ἱστορικῷ* ex *ῥητορικῷ* emendari necesse est, vita Aristenaeti fluxit, quam Eudocia p. 67 enarravit 13 *ἄρδοντος* Cosmas 15 *ἀσελγαίνοντας* PV 17 *τοῦ* addidi ex P om. V

στελλόμενος τῇ βαρυτονήσει τοῦ πυρροῦ, ὅπερ ἐστὶ πυρσοῦ. ἰστέον δέ, ὅτι Ὁμήρου καὶ τῶν πλειόνων ἕνα παῖδα λεγόντων Δηϊδαμείας καὶ Ἀχιλλέως τὸν Νεοπτόλεμον, Δημήτριος ὁ Ἰλιεὺς δύο ἱστορεῖ, Ὀνειρόν τε καὶ Νεοπτόλεμον, ὃν ἀνελών, φησίν, ἐν Φωκίδι Ὀρέστης ἀγνοίᾳ, ὕστερον δὲ γνούς, τάφον αὐτῷ ἐποίησε περὶ Δαυλίδα. καὶ ἀναθεὶς τὸ ξίφος, ᾧ ἀνεῖλεν αὐτόν, ἀπῆλθεν εἰς τὴν Λευκὴν νῆσον, ἣν ὁ Λυκόφρων „φαληριῶσαν σπῖλον“ καλεῖ. καὶ τὸν Ἀχιλλέα ἐξιλεώσατο.

DCC. Περὶ τοῦ Νηλέως.

Νηλεύς, ὁ τοῦ Νέστορος πατήρ, υἱὸς ἦν Ποσειδῶνος καὶ Τυροῦς, θέσει δὲ Κρηθέως κατὰ τὸν μῦθον. ἔγημε Χλῶριν τὴν τοῦ Ἀμφίονος. τούτου παῖδες Νέστωρ, Χρόμιος καὶ Περικλύμενος. ἀνηρέθη δὲ ὑφ' Ἡρακλέους δι' αἰτίαν τοιήνδε. Εὔρυτος, ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίᾳ βασιλεύς, προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένῳ, ἤ, ὥς τινες, τοὺς παῖδας· παρὰ γὰρ Ἀπόλλωνος
306 εἰλήφει τὴν τοξικήν. Ἡρακλέους δὲ διαγωνισαμένου, ἀγανακτήσας ὁ Εὔρυτος οὐκ ἀπεδίδου τὴν κόρην. ὀγισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, τὴν δὲ Ἰόλην αἰχμάλωτον ἤγαγεν, οὐδὲ τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ Ἴφιτον τὸν Εὐρύτου εἰς Τίρυνθα παραγενόμενον ἐπὶ ζήτησιν ἵππων ξενίσας ἀπέκτεινε. φεύγων δὲ τὸ τοῦ φόνου μῖσος παρεγένετο πρὸς Νηλέα,

DCC. Schol. Apoll. I, 152 *ἀνηρέθη* — exit. Plut. Parall. 13

2 Od. III, 188 4 Müller IV, p. 382 9 Alex. 188 14 *Πολυκλύμενος* PV

καθάρσεως τευξόμενος. τῶν δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι, ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς ἐπεξενώθη Δηϊφόβῳ, τῷ τῶν Ἀρκάδων βασιλεῖ. καὶ οὕτως ἐκαθάρθη τοῦ φόνου, καὶ ὕστερον ἐπιστρατεύσας Νηλεῖ, οὐ μόνον τὴν Πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν Νηλεῖ συμμαχοῦσαν ἔτρωσαν, αὐτὸν δὲ Νηλέα τοῖς παισὶν ἅμα κτείνει, δίχα τοῦ νεωτέρου Νέστορος. οὗτος γὰρ ἐν Γερήνοις ἀνετρέφετο, διόπερ ἐσώθη· ὅθεν αὐτὸν Γερήνιον ὁ ποιητὴς προσηγόρευσεν.

DCCI. Περὶ τοῦ Νηρέως.

Νηρεὺς μυθικῶς μέν ἐστι δαίμων θαλάσσιος, οὗ καὶ Δωρίδος, τῆς Ὠκεανοῦ θυγατρός, αἱ Νηρηΐδες. ἀλληγορικῶς δὲ ἡ θάλασσά ἐστι, τοῦτον ὠνομασμένη τὸν τρόπον ἀπὸ τοῦ νεῖσθαι δι' αὐτῆς. μυθολογοῦσι δὲ αὐτὸν Πόντου καὶ Γῆς υἱὸν καὶ γέροντα προσαγορεύουσι διὰ τὸ ὥσπερ πολιὸν ἐπανθεῖν τοῖς κύμασι τὸν ἀφρόν. καὶ γὰρ ἡ Λευκοθέα τοιοῦτόν τι ἐμφαίνει, ἥτις λέγεται θυγάτηρ Νηρέως εἶναι, δηλονότι τὸ λευκὸν τοῦ ἀφροῦ.

DCCII. Περὶ τῶν Νηρηΐδων.

Νηρηΐδες πᾶσαι αἱ τοῦ Νηρέως θυγατέρες. παραδέδοται δὲ ἄλλως, ὅτι ἐν ὑπομνήματι Βακχυλίδου τοῦ λυρικοῦ διαφορὰ Νηρεΐδων φέρεται καὶ Νηρέως θυγατέρων οὕτως· εἰσὶν οἵ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν τοῦ Νηρέως θυγατέρων. καὶ τὰς μὲν ἐκ Δωρί-

DCCI. Cornut. 23 DCCII. Eustath. Od. p. 1951

21 fr. 10 Bergk.

δος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι, τὰς δὲ ἐξ ἄλλων κοινότερον Νηρεΐδας καλεῖσθαι. πιθανὸν οὖν, τὰς μὲν ἐκ μιᾶς τῆς Δωρίδος, γνησιωτέρας τῶν ἄλλων οὔσας, Νηρέως θυγατέρας λέγεσθαι, Νηρεΐδας δὲ τὰς συνεισάκτους. καὶ ὅρα ἐν τούτοις τὸ Νηρεΐδας κοινὸν ὂν ἢ καὶ Ἀττικόν· τὸ γὰρ Νηρηΐδας ἰωνικώτερον, ἐκ τῆς Νηρῆος γενικῆς.

DCCIII. *Περὶ τῆς Νιόβης.*

Νιόβην οἱ μὲν Ταντάλου, οἱ δὲ Πέλοπος κατάγουσι, καὶ γυναῖκα μέν τινες Ζήθου φασίν, οἱ δὲ Ἀμφίονος, ἕτεροι δὲ Ἀλαλκομενέως. καὶ ἡ συμφορὰ
307 *δὲ αὐτῆς κατὰ μέν τινας ἐν Λυδίᾳ, κατὰ δέ τινας ἐν Θήβαις γενέσθαι φασί. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῆς ἐν Θήβαις ἀπολέσθαι φησίν, αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν. ὁ δὲ τῶν παίδων αὐτῆς ἀριθμὸς Ὁμήρῳ μὲν κατὰ ἑξάδα μετρεῖται θυγατέρων καὶ ἑξάδα υἱῶν, προτεθεισῶν ἐν τῷ μέτρῳ τῶν θηλειῶν, ἢ ἁπλοϊκῶς, ὡς Ὁμήρῳ ἔδοξεν, ἢ καὶ συνδιατιθεμένης τῆς ποιήσεως, ἐπεὶ προσπαθέστερον ἡ μήτηρ εἶχεν αὐταῖς. Εὐριπίδης δὲ θυγατέρας ἑπτὰ Νιόβης ἱστορεῖ. τῶν δὲ ἔτι νεωτέρων οἱ μὲν τεσσαρεσκαίδεκα τὰς παῖδας εἶπον, οἱ δὲ εἴκοσι. δοκεῖ δὲ ὁ τῶν παίδων τῆς Νιόβης θάνατος ἐξ αἰτίας λοιμώδους γενέσθαι ἢ καὶ ἄλλως ἀπὸ αἰφνιδίου πάθους τινός, ὅθεν Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἀνάπτεται, οἳ τοῦ τοιούτου θανάτου εἰσὶν*

DCCIII. Eustath. Il. p. 1506 *διό φασιν* — exit. Palaeph. 9 (Arsen. Viol. p. 367)

12 fr. 405 Nauck 15 Il. XXIV, 602 seq. 18 *προπαθέστερον* PV 19 Phoen. 159

αἴτιοι, τόξοις λεγόμενοι βάλλειν τοὺς οὕτω θνήσκοντας. διό φασιν, ὅτι ἡ Νιόβη ζῶσα ἀπελιθώθη ἐπὶ τῷ τύμβῳ τῶν παίδων. ἀλλ' ἡ ἀλήθεια οὕτως ἔχει. ἡ Νιόβη, ἀποθανόντων τῶν παίδων [αὐτῆς], ποιήσασα ἑαυτῇ εἰκόνα λιθίνην ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων. ὅθεν καὶ ἀπολελιθῶσθαι αὐτὴν ἐμυθεύσαντο.

DCCIV. *Περὶ τῶν Νυμφῶν.*

Νύμφαι εἰσὶ τὰ ἐν γυναικείῳ σχήματι ἐν τοῖς ὄρεσι φαινόμενα δαιμόνια, αἵ τινες Δρυάδες καὶ Ἁμαδρυάδες καὶ Ὀρεστιάδες καλοῦνται, ὥσπερ καὶ Νηρηΐδες αἱ ἐν τῇ θαλάσσῃ καὶ Νηΐδες αἱ ἐν ταῖς λίμναις. τῶν Νυμφῶν γὰρ αἱ μέν εἰσιν οὐράνιαι, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ἐπιποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. καὶ καθόλου τὸ τῶν Νυμφῶν γένος εἰς πολλὰ διήρηται, ὥς φησι Μνησίμαχος. λέγονται δὲ Νύμφαι διὰ τὸ κατὰ τὸ νέον, ὅ ἐστι κατὰ τὸ ἔαρ, μάλιστα ἐκφαίνεσθαι, Διὸς δὲ θυγατέρες, ὅ ἐστιν ἀέρος καὶ αἰθέρος, διὰ τὴν ἄνωθεν ἑπομένην αὐταῖς ὑγρότητα καὶ θερμότητα. ἐστέον δέ, ὅτι καθάπερ ὁμώνυμος γυναικὶ κόρῃ, τουτέστι παρθένῳ, ἡ μυθευομένη τῆς Δήμητρος Κόρη, ἣ καὶ Περσεφόνη, οὕτω καὶ αἱ μυθικαὶ νύμφαι ὁμωνυμοῦσι ταῖς παρ' ἀνθρώποις. ἔτι δὲ καθάπερ παρθένοι

DCCIV. Schol. Apoll. IV, 1412 *λέγονται δὲ* — exit. Eustath. Il. p. 516

---

2 *λίθος ἐγένετο* F 3 *ὅστις δὲ πείθεται ἐκ λίθου γενέσθαι ἄνθρωπον, ἢ ἐξ ἀνθρώπου λίθον, εὐήθης ἐστί* add. F 4 *τῶν ἑαυτῆς παίδων* vulg. *τῶν παίδ. αὐτῆς* P *τῶν παίδων αὐτῆς* V. Amplexus sum lectionem Westermanni 6 *ὅθεν* seq. om. F 8 *Ἀδριάδες* PV mox *Ἁμαδριάδες* V 12 *ποτάμιοι* PV 13 *διαιρεῖται* PV. Cf. Müller III, p. 453 18 *δὲ* recepi ex F 23 *δὲ* iterum addidi ex F, paullo post etiam *τὸν* ante *γάμον*, utrum-

κόραι καὶ μετὰ τὸν γάμον κόραι καὶ κοῦραι λέγονται διὰ το νεάζειν, ὡς καὶ Ὅμηρος οἶδε, οὕτω καὶ αἵ τοῦ μύθου νύμφαι, ὧν πολὺ πλῆθος ἐν τῇ ποιήσει, καὶ γάμῳ ὑποπεσοῦσαι καὶ τεκοῦσαι Νύμφαι καλοῦνται κατά τινα κυριωνυμίαν.

308 Φιλόσοφοι.

DCCV. Περὶ Νεοκλέους.

Νεοκλῆς Ἀθηναῖος φιλόσοφος, ἀδελφὸς Ἐπικούρου. ἔγραψε περὶ τῆς ἰδίας αἱρέσεως. καὶ Νεοκλέους ἐστὶ τὸ λάθε βιώσας.

DCCVI. Περὶ Νικολάου.

Νικόλαος Δαμασκηνὸς φιλόσοφος περιπατητικὸς ἢ Πλατωνικός. ἔγραψεν ἱστορίαν καθολικὴν ἐν βιβλίοις ὀγδοήκοντα καὶ τοῦ βίου Καίσαρος ἀγωγήν, φίλτατος Καίσαρι Αὐγούστῳ.

DCCVII. Περὶ Νικομάχου.

Νικόμαχος Σταγειρίτης φιλόσοφος, υἱὸς μὲν Ἀριστοτέλους τοῦ φιλοσόφου, μαθητὴς δὲ Θεοφράστου. ἔγραψεν ἠθικῶν βιβλία ἓξ καὶ περὶ τῆς φυσικῆς ἀκροάσεως τοῦ πατρὸς αὐτοῦ.

DCCVIII. Περὶ Νουμηνίου.

Νουμήνιος, Ἀπαμεὺς ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξ-

DCCV—DCCVIII. Hesych. (Suid.)

---

que om. PV 2 οὕτω om. PV 11 De librorum numero magna inter viros doctos disceptatio est, cf. Bernhardyi comm. βίου del. Bernhardy 12 Haec copiosius exposuit S 17 Vitam N. attulit etiam Pseudo-Hesych. p. 40

ελέγξας διάνοιαν, ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν. καὶ διὰ τοῦτό φησι· τί γάρ ἐστι Πλάτων ἢ Μωϋσῆς ἀττικίζων;

Ἰατροί.

DCCIX. Περὶ Νικάνδρου.

Νίκανδρος ὁ ἰατρὸς ὁ καὶ ποιητὴς Αἰτωλὸς τὸ γένος ἦν καὶ ἱερεὺς Κλαρίου Ἀπόλλωνος, ἐκ προγόνων τὴν ἱερωσύνην δεξάμενος, ἔσχε δὲ πατέρα Δαμναῖον. χρόνῳ δὲ ἐγένετο κατὰ τὸν Ἄτταλον, τελευταῖον ἄρξαντα Περγάμου, ὃς κατελύθη ὑπὸ Ῥωμαίων. διέτριψε δὲ ἐν Αἰτωλίᾳ τοὺς πλείονας χρόνους, ὡς φανερὸν ἐκ τῶν περὶ Αἰτωλίας συγγραμμάτων καὶ τῆς ἄλλης ποιήσεως, ποταμῶν τε τῶν περὶ Αἰτωλίαν καὶ τόπων τῶν ἐκεῖσέ τε καὶ ἄλλων διαφόρων διηγήσεως, ἔτι δὲ καὶ φυτῶν ἰδιότητος, ἀέρος τε καὶ εὐκρασίας.

DCCX. Περὶ Νικομάχου. 309

Νικόμαχος ἰατρός, Σταγειρίτης, Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός, ἐξ οὗ κατήγετο Νικόμαχος, ὁ πατὴρ Ἀριστοτέλους τοῦ φιλοσόφου καὶ αὐτὸς ἰατρός. ἔγραψεν ἰατρικῶν βιβλία ἓξ καὶ φυσικῶν ἕν.

DCCIX. Excerptum vitae Nicandri apud Schneider. Ther. p. 3 (Westerm. p. 61) DCCX. Hesych. (Suid.)

---

1 οὗτός — exit. interpolata videntur 12 διηγήσεων PV, quod errore librarii ortum 13 ἀέρος τε καὶ εὐκρασίας auctor vitae uberioris omisit 14 καὶ αὐτός add. S

Ἱστορικοί.

DCCXI. Περὶ Νύμφιδος.

Νύμφις Ξεναγόρου, Ἡρακλεώτης ἐκ Πόντου, ἱστορικός. ἔγραψε περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία τέσσαρα πρὸς τοῖς εἴκοσι, περὶ Ἡρακλείας βιβλία δεκατρία (ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ μετὰ τοὺς Ἐπιγόνους καὶ μέχρι τοῦ τρίτου Πτολεμαίου).

Ῥήτορες.

DCCXII. Περὶ Νεάνθους τοῦ ῥήτορος.

Νεάνθης Κυζικηνὸς ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ Μιλησίου. ἔγραψε περὶ κακοζηλίας ῥητορικῆς καὶ λόγους πολλοὺς πανηγυρικούς.

DCCXIII. Περὶ Νικαγόρου.

Νικαγόρας Μνησαίου ῥήτορος, Ἀθηναῖος σοφιστής. γέγονε δὲ κατὰ Φίλιππον τὸν Καίσαρα. ἔγραψε βίους ἐλλογίμων, περὶ Κλεοπάτρας τῆς ἐν Τρωάδι, πρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα.

DCCXIV. Περὶ Νικολάου τοῦ ῥήτορος.

Νικόλαος ῥήτωρ, γνώριμος Πλουτάρχου καὶ Πρόκλου (Πλουτάρχου δὲ λέγω τοῦ ἐπίκλην Νεστορίου). ἔγραψε προγυμνάσματα καὶ μελέτας ῥητορικὰς καὶ ἄλλα τινά. ἤκμαζεν ἐπὶ Λέοντος βασιλέως τοῦ πρεσβυτέρου καὶ ἕως Ζήνωνος καὶ Ἀναστασίου.

DCCXI—DCCXIV. Hesych. (Suid.)

1 Νύμφιδος inepte add. S 8 ἔγραψε — πανηγυρικούς om. S, cf. Bernhard. praef. p. XXXI 17 πρεσβύτου PV

DCCXV. *Περὶ Νικολάου τοῦ σοφιστοῦ.*

Νικόλαος, Μύρων τῆς Λυκίας, ἀδελφὸς Διοσκορίδου γραμματικοῦ καὶ ὑπάρχου καὶ ὑπάτου Πατρικίου, σοφιστεύσας καὶ αὐτὸς ἐν Κωνσταντίνου πόλει, μαθητὴς 310 *γεγονὼς Λαχάρους. ἔγραψε τέχνην ῥητορικήν.*

DCCXVI. *Περὶ Νικοστράτου.*

Νικόστρατος Μακεδὼν ῥήτωρ. ἐτάχθη δὲ ἐν τοῖς κριθεῖσιν ἐπιδευτέροις δέκα ῥήτορσι, σύγχρονος Ἀριστείδου καὶ Δίωνος τοῦ Χρυσοστόμου· ἦν γὰρ ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε Δεκαμυθίαν, Εἰκόνας, Πολυμυθίαν, Θαλαττουργοὺς καὶ ἄλλα πλεῖστα, καὶ ἐγκώμια εἴς τε τὸν Μάρκον καὶ ἄλλους.

DCCXVII. *Περὶ τοῦ Νουμηνίου.*

Νουμήνιος ῥήτωρ. ἔγραψε περὶ τῶν τῆς λέξεως σχημάτων, ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους, χρειῶν συναγωγήν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.

Ποιηταί.

DCCXVIII. *Περὶ Ναυσικράτους.*

Ναυσικράτης κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Ναύκληροι, Περσίς.

DCCXV—DCCXVIII. Hesych. (Suid.)

---

1 *τῆς* om. PV 2 Sic S *Ἱππάρχου καὶ Ὑπάτου* PV *καὶ ὑπάτου* in suspicionem adduci posse credidit Bernhardy 4 *καὶ Μελέτας* add. S 5 *Μακεδόνων* inepte PV 6 *ἐπὶ δευτέροις* PV 8 *Ἀντωνίου* PV Post 14 titulum *Ποιηταί* add. ex P om. V

DCCXIX. *Περὶ Νεοφῶντος.*

Νεοφῶν, Σικυώνιος τραγικός, οὗ φασιν εἶναι τὴν τοῦ Εὐριπίδου Μήδειαν, ὃς πρῶτος εἰσήγαγε παιδαγωγοὺς καὶ οἰκετῶν βάσανον. ἐδίδαξε τραγῳδίας ρκ΄. συνῆν δὲ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ, σὺν ἐκείνῳ καὶ αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.

DCCXX. *Περὶ Νέστορος.*

Νέστωρ, Λαρανδεὺς ἐκ Λυκίας, ἐποποιός, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως, Ἰλιάδα γράψας λειπογράμματον, ἤτοι ἀστοιχείωτον, (ὁμοίως δὲ αὐτῷ καὶ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν)· ἔστι γὰρ ἐν τῷ α μὴ εὑρίσκεσθαι α, καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης ἐκλιμπάνει στοιχεῖον. ἔγραψε δὲ μεταμορφώσεις, ὥσπερ καὶ Παρθένιος ὁ Νικαεὺς καὶ ἄλλα.

DCCXXI. *Περὶ Νικομάχου.*

Νικόμαχος, Ἀλεξανδρεὺς τῆς Τρωϊκῆς, τραγικός, γράψας τραγῳδίας ια΄, ὧν καὶ αἵδε· Ἀλέξανδρος, [ἢ]
311 *Ἐριφύλη, Γηρυόνης, Ἀλετίδης, Εἰλείθυια, Νεοπτόλεμος, Μυσοί, Οἰδίπους, Περσίς, [ἢ] Πολυξένη, Τριλογία, Μετεκβαίνουσαι, Τυνδάρεως ἢ Ἀλκμαίων, Τεῦκρος.*

DCCXIX—DCCXXI. Hesych. (Suid.)

---

1 *Νεόφρων ἢ Νεοφῶν* S 2 *τοῦ* addidi ex S om. PV 4 *τὰ* post *δὲ* add. S 7 *Νέστωρ — στοιχεῖον* ex Suida descripsit Pseudo-Hesych. p. 42 12 *ἐκλιμπάνειν* PV 14 *ἄλλοι* ? 16 *ἢ* delevit Bernhardy, cum melioribus Suidae libris absit 17 *Γυριόνης* PV *Εἰλήθυια* PV 18 *ἢ* expunxit Bernhardy, qui idem post *Τυνδάρεως* auferendum suspicatus est

Καὶ ἕτερος Νικόμαχος Ἀθηναῖος, τραγικός, ὃς παραδόξως Εὐριπίδην καὶ Θέογνιν ἐνίκησε. τῶν δραμάτων αὐτοῦ ἐστιν Οἰδίπους.

DCCXXII. *Περὶ Νικοστράτου.*

Νικόστρατος κωμικός. μέμνηται αὐτοῦ Ἀθήναιος ἐν τρίτῳ. λέγει δράματα αὐτοῦ Πάνδροσος ὁ καὶ Ἄντυλλος, εἰ καὶ Φιλεταίρου δοκεῖ εἶναι, καὶ Ἱεροφάντης, καὶ Κλεινή, ἔτι δὲ Ἅβρα καὶ Ἡσίοδος καὶ Διάβολος καὶ Ἀντερῶσα καὶ Ἑκάτη, Μάγειρος, Ὦτις, Πλοῖτος, Σύρος, Ἀπελαυνόμενος, Ψευδοστιγματίας καὶ Τοκιστής.

DCCXXIII. *Περὶ Νικοφῶντος.*

Νικοφῶν Θήρωνος, Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριστφάνους τοῦ κωμικοῦ, τῶν δραμάτων αὐτοῦ Ἐξ Ἅιδου ἀνιών, Ἀφροδίτης γοναί, Πανδώρα, Ἐγχειρογάστορες, Σειρῆνες.

DCCXXIV. *Περὶ Νικοχάρητος.*

Νικοχάρης Φιλωνίδου τοῦ κωμικοῦ, Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριστοφάνους. τῶν δραμάτων αὐτοῦ Ἀμυμώνη, Πέλοψ, Γαλάτεια, Ἡρακλῆς γαμῶν, Ἡρακλῆς χορηγός, Κρῆτες, Λάκωνες, Λήμνιαι, Κένταυροι, Χειρογάστορες.

DCCXXII—DCCXXIV. Hesych. (Suid.)

---

4 III, p. 108, 118, 110   5 *Πάνδροσος* ex Athenaeo reponendum, *Πάνδαρος* PV   9 *καὶ Τοκιστής* add. P om. V. Post haec *ταῦτα ἐν παραθήκῃ εὗρον κείμενα* add. S, quae verba controversiam inter viros doctos moverunt, de qua cf. quae exposuit D. Volkmann. Quaest. nov. p. XI, not. 19   11 *Νικοφῶν* cum Bernhardyo scribendum *Νικόφρων* PV   12 *καὶ ταῦτα* post *αὐτοῦ* add. S

DCCXXV. Περὶ Νόννου.

Νόννος Πανοπολίτης ἐξ Αἰγύπτου, λογιώτατος, ὁ καὶ τὸν παρθένον Ἰωάννην παραφράσας δι᾽ ἐπῶν.

Γραμματικοί.

DCCXXVI. Περὶ Νικάνορος.

Νικάνωρ ὁ Ἑρμείου, Ἀλεξανδρεὺς γραμματικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ὅτε καὶ Ἕρμιππος ὁ Βηρύτιος. ἔγραψε περὶ στιγμῆς τῆς παρ᾽ Ὁμήρῳ καὶ τῆς ἐξ αὐτῶν διαφορᾶς ἐν τῇ διανοίᾳ, περὶ στιγμῆς τῆς καθόλου βιβλία ἕξ, ἐπιτομὴν τούτων βιβλίον ἕν, περὶ στιγμῆς τῆς παρὰ Καλλιμάχῳ, κωμῳδούμενα, περὶ ναυστάθμου, περὶ τοῦ ὦναξ, [περὶ στιγμῆς] καὶ ἄλλα. [ἐφ᾽ ᾗ πραγματείᾳ σκωπτόμενος πρός τινων Στιγματίας ἐκαλεῖτο· οὐ γὰρ δήπου ὡς δοῦλος οὕτως ἐσκώπτετο].

---

312 DCCXXVII. Περὶ τοῦ Ὀδυσσέως.

Ὀδυσσεὺς υἱὸς Λαέρτου καὶ Ἀντικλείας τῆς Αὐτολύκου. Σιληνὸς δὲ ὁ Χῖος κατὰ τὴν ἱστορίαν ἐν δευτέρῳ βιβλίῳ τῶν Μυθικῶν δασύνει τὸ τοῦ Ὀδυσσέως ὄνομα, λέγων ὡς, Ἀντικλείας ὁδευούσης παρὰ τὸ Νήριτον, ὗσεν ὁ Ζεύς (Νήριτον δὲ ὄρος Ἰθάκης ἐπι-

DCCXXV. Hesych. ? DCCXXVI. Hesych. (Suid.) DCCXXVII. Eustath. Od. p. 1871. Cf. Eud. p. 43 et 394

---

1 Nonni vitam nescio qua de causa Suidas praetermisit; cf. Unters. p. 49 9 περὶ στιγμῆς expunxi cum S 10 Haec ab interpolatore adscripta sunt nescio unde desumpta (an ex Etym. M. p. 727, 52) 17 Νήριτον — ἐπιφανὲς om. F

φανές), τὴν δὲ ὑπὸ ἀγωνίας ἐκεῖ πεσοῦσαν τεκεῖν, καὶ τὸ γεννηθὲν κληθῆναι Ὀδυσσέα παρὰ τὸ ἐν τῇ ὁδῷ ὗσαι. Αὐτόλυκος δὲ παρ' Ὁμήρῳ τῇ δούλῃ μὴ προσεσχηκὼς ἐξ ἐκείνων, οἷς ἐκέκαστο, ἐθέλει ὀνομάσαι τὸν παῖδα ἐκ τοῦ μίσους δηλαδή, ὃ εἶχεν ἐκ πολλῶν διὰ τὴν κλεπτοσύνην· δῆλον γάρ, ὡς ὠδύσαντο αὐτῷ ἐκεῖνοι, ὃ δὴ τίθησιν ὄνομα τῷ ἐγγόνῳ. φασὶ δέ τινες, τὸν Ὀδυσσέα αὐξηθέντα ἐξ Ἐφυρῶν τοῦ Ἰσθμοῦ λαβεῖν ἀνδροφόνα φάρμακα, λέγοντες φαρμακοφόρον ποτὲ γενέσθαι αὐτὴν διὰ τὸ ἐκεῖ κατοικῆσαι τὴν Μήδειαν· ὅθεν καὶ ἡ τοῦ Αὐγείου θυγάτηρ, φασί, τοῦ βασιλέως τῶν Ἐπειῶν, ἡ ἐν Ἰλιάδι κειμένη Ἀγαμήδη φαρμακὶς ἦν. ἄλλοι δὲ ἀπὸ τῆς Θεσπρωτικῆς Ἐφύρης φάρμακα λαβεῖν τὸν Ὀδυσσέα φασί, γενομένης καὶ αὐτῆς ποτε πολυφαρμάκου διὰ τὴν Μήδειαν, οἰκήσασαν καὶ ἐκεῖ πρὸς καιρόν.

DCCXXVIII. *Περὶ τοῦ Οἰδίποδος.*

Οἰδίπους, ὁ καὶ Οἰδιπόδης ποιητικῶς λεγόμενος, ἐκλήθη οὕτω διὰ τὸ οἴδημα, ὃ ἔπαθε τρυπηθεὶς τοὺς ἀστραγάλους τῶν ποδῶν, ὅτε βρέφος ὢν ἐξετέθη, ὡς ἱστοροῦσιν οἱ τραγικοί. ὅτι δὲ ἄλλως καὶ ἄλλως τὰ κατὰ τὸν Οἰδίποδα καὶ τὸν Λαΐον λέγεται, δῆλον μὲν καὶ ἐξ ἄλλων, οὐχ ἥκιστα δὲ καὶ ἐκ τοῦ ἱστορήσαντος, ὅτι Σφὶγξ γυνή τις ἦν εἰδεχθὴς περί που Βοιω-

DCCXXVIII. Eustath. Od. p. 1684 ἀλλ' ὁ μὲν Ἐτεοκλῆς — ἐλεήσας Argum. Eur. Phoen. οἱ δέ φασιν, ὅτι — exit. Schol. Il. IV, 376

2 Ὀδυσσέα scripsi 3 Od. XIX, 409 seq. 12 Il. XI, 740 22 οὐχήκιστα P consentiente F

τίαν ληστρικὴ καὶ φονία, ὡς καὶ Παλαιφάτῳ δοκεῖ. Οἰδίπους δὲ ἀνεῖλεν αὐτὴν προσποιησάμενος φιλίαν καὶ συμμαχίαν, ὅθεν ἐτιμήθη ἄγαν ὑπὸ Θηβαίων. ἐφ' οἷς φθονήσας Λάϊος ἐπέξεισι καὶ θνήσκει ἐν τῇ μάχῃ, καὶ τότε ἡ μήτηρ λαμβάνει αὐτόν. ὡς δὲ ἔγνω ἀποβάντα τὸν πάλαι τῷ Λαΐῳ δεδομένον χρησμόν, ἐξετύφλωσεν ἑαυτόν. γήμας τοιγαροῦν τὴν μητέρα Ἰοκάστην ἔσχεν ἐξ αὐτῆς Ἐτεοκλέα καὶ Πολυνείκην καὶ Ἰσμήνην καὶ Ἀντιγόνην, ὅθεν Ἐτεοκλῆς καὶ Πολυνείκης καὶ ἀδελφοὶ καὶ υἱοὶ ἦσαν Οἰδίποδος. ἀλλ' ὁ μὲν Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν
313 ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην. φυγὰς δὲ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου· κατελθὼν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος καὶ πείσας τὸν πενθερὸν συνήθροισεν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ καὶ εἰς Θήβας ἐλήλυθεν. ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη ἐποίησεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς. δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα οὐκ ἠδύνατο πρὸς φιλίαν. Πολυνείκης δὲ ὡς πρὸς πολέμιον λοιπὸν παραταξάμενος ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην θέσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα. ὁ δὲ νεανίσκος ἐβούλετο, καὶ τοῦ πατρὸς

1 καὶ om. F. Cf. Palaeph. 7 14 κατελθεῖν FPV, δὲ om. F 16 ἀξιόχρεων F ἐπὶ Θήβας κατὰ τ. ἀδ. F ἐλήλυθεν om. F 18 ἔπεισεν F 23 πόλεμον PV

αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀποσφάξαι, καὶ δὴ καὶ ἔπραξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς ἀνεῖλεν ἑαυτήν. ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν, οἵ τε Ἀργεῖοι νικηθέντες τῆς μάχης, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν, Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν, Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ' ὧν μὲν φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ' ὧν δὲ τὴν ὀργὴν λογοποιήσας οὐδὲ περὶ τὴν δυστυχίαν ἐλεήσας. οἱ δέ φασιν, ὅτι Οἰδίπους ἀποβαλὼν Ἰοκάστην ἐπέγημεν Ἀστυμέδουσαν, ἥτις διέβαλε τοὺς προγόνους ὡς πειράσαντας αὐτήν. ἀγανακτήσας δὲ ἐκεῖνος ἐπηράσατο αὐτοῖς δι' αἵματος παραλαβεῖν τὴν χώραν καὶ παρέδωκε τὴν βασιλείαν τῷ Ἐτεοκλεῖ, ὃς ἐξέβαλε Πολυνείκην, τὸν ἀδελφὸν αὐτοῦ, ὡς πρεσβύτερος. παραγενόμενος δὲ οὗτος εἰς Ἄργος εὗρε Τυδέα φυγάδα· βοηθῶν γὰρ κἀκεῖνος τῷ πατρὶ καὶ τὸν ἐναντιούμενον ἀποκτείνας ἀνεψιὸν ἔφυγεν. Ἄδραστος δὲ θεασάμενος αὐτοὺς ἠμφιεσμένους θηρῶν δοράς, Τυδέα μὲν συός, Πολυνείκην δὲ λέοντος, συνέβαλε τὸν χρησμόν. ἦν γὰρ αὐτῷ δεδομένος κάπρῳ καὶ λέοντι ζεῦξαι τὰς θυγατέρας, καὶ δίδωσι Τυδεῖ μὲν Διϊπύλην, Ἀργείαν δὲ Πολυνείκει. πέμψας δὲ εἰς Μυκήνας συμμαχίαν

1 ἀπέσφαξε perperam PV 5 ἔσφαξεν F 11 πατρῴας F 17 αὐτῶν PV 18 τ. βασίλειαν αὐτοῖς. Ἐτεοκλῆς δέ, ὁ υἱὸς αὐτοῦ, ἐξέβαλε κ. τ. λ. F 23 δορὰς recepi ex F δοραῖς PV

ἤτει ἐπὶ Θηβαίους. Θυέστης μὲν οὖν ἑτοίμως ἐδίδου, σημεῖα δὲ αὐτὸν ἐκώλυσε φαῦλα. ἐπελθόντες οὖν εἰς τὰς Θήβας Ἀργεῖοι πέμπουσι πρεσβευτὴν Τυδέα, ὃς καταλαβὼν γυμνικὸν ἀγῶνα καί, συμμαχούσης Ἀθηνᾶς, νικᾷ τὰ πάντα, ὑποστρέφων δὲ πεντήκοντα νεανίας
314 ἐνεδρεύοντας συλλαβεῖν αὐτὸν ἀναιρεῖ.

DCCXXIX. *Περὶ Οἰνομάου.*

Οἰνόμαος, Ἄρεως ὢν υἱὸς καὶ Ἁρπίνης τῆς Ἀσωποῦ ἢ Εὐρυθόης τῆς Δαναοῦ, θυγατέρα ἔσχεν Ἱπποδάμειαν. λαβὼν δὲ χρησμόν, ὅτι ἀναιρεθήσεται ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτήν, εἰ μὴ τῷ νικήσαντι αὐτὸν δι' ἵππων. προέκειτο δὲ αὐτοῖς ἀφετηρία μὲν Κλάδεος ποταμός, τέρμα δὲ ὁ ἰσθμός, καὶ ἀνεῖλε τρεῖς καὶ δέκα μνηστῆρας, ὡς Πίνδαρος ἱστορεῖ. οἵπερ εἰσὶν οὗτοι· Μέρμης, Ἱππόθοος, Πέλοψ ὁ Ὀπούντιος, Ἀκαρνάν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Παρθάονος, Ἀριστόμαχος, Κρόκαλος. τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολλυμένων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυρεῖ. τινὲς δέ φασι πεντεκαίδεκα, προστιθέντες Ἱππόστρατον καὶ Λυκοῦργον. ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια

DCCXXIX. Schol. Apoll. I, 752 *οἵπερ εἰσίν — Λυκοῦργον* Schol. Pind. Ol. I, 127 *ἐλθόντος* — exit. Schol. Apoll. I, 752

---

1 *προθύμως* PV 6 *αὐτὸν* om. F 11 *πρόκειτο* PV 12 *Ἰσθμοῖ* F 13 Ol. I, 127 15 Sic scripsi cum F, *Πόντιος* PV 17 *Πορθάονος* PV. Cf. Kinkel I, p. 142. De Epimenide cf. Müller IV, p. 405 20 *Λυκοῦργον* ex F recepi, *Λυκούριον* PV

Πέλοπος πείθει Μυρτίλον τὸν υἱὸν μὲν Ἑρμοῦ, ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, ἐμβαλόντα κήρινον ἔμβολον ἐπὶ τοῦ ἀκραξονίου, ἢ οὐδ' ὅλως ἐμβαλόντα τὸν ἔμβολον, ὡς Φερεκύδης ἱστορεῖ· οὗ γενομένου, Οἰνόμαός τε ἐκκυλισθεὶς τοῦ τροχοῦ ἀπέθανε καὶ Ἱπποδάμειαν Πέλοψ ἔλαβεν. αἱ δὲ τοῦ Οἰνομάου ἵπποι Ψύλλα καὶ Ἅρπιννα. ὁ δὲ Μυρτίλος Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναοῦ θυγατρῶν Φαεθούσης, οἱ δὲ ἐκ Κλυμένης ἢ Μυρτοῦς, μιᾶς τῶν Ἀμαζόνων.

DCCXXX. *Περὶ Οἰνώνης.*

Οἰνώνη θυγάτηρ Κεβρῆνος. ταύτην πρὸ Ἑλένης εἶχεν Ἀλέξανδρος, ἐξ ἧς καὶ υἱὸς αὐτῷ Κόρυθος, ὃν Κόρυθον ὀνειδιζομένη παρὰ τοῦ Πριάμου, διὰ τὸν ψόγον καὶ τὴν μομφὴν τοῦ ἀνδρὸς αὐτῆς καὶ διὰ τοὺς ἐπεισάκτους γάμους τῆς Ἑλένης ἀγριωθεῖσα ἔπεμψεν ἡγησάμενον τοῖς Ἕλλησι τοῦ εἰς Τροίαν πλοῦ. φασὶ δέ, ὅτι ἡ Οἰνώνη φαρμακουργὸς οὖσα, βουλομένη θεραπεῦσαι Ἀλέξανδρον ἐκωλύθη παρὰ τοῦ πατρὸς αὐτῆς. τελευτήσαντος δὲ ἐκείνου, ἑαυτὴν συναναιρεῖ, ἢ κατὰ Κόϊντον ἑαυτὴν ἐμβαλοῦσα εἰς τὴν Ἀλεξάνδρου πυράν, ἢ ἀπαχθεῖσα, ἢ κατὰ τὸν Λυκόφρονα καταπεσοῦσα τοῦ πύργου. οὐκ ἰάσιμον δὲ τὸ ἕλκος, ἢ ὅτι τεθνηκὼς ἦν ὁ Ἀλέξανδρος καὶ ἰαθῆναι οὐκ ἠδύνατο, ἢ ὅτι κεχρισμένα ἦν τὰ βέλη Φιλοκτή-

DCCXXX. Tzetzes Lyc. 57 et 61. Cf. Eud. p. 329

4 fr. 10 Sturz 7 *Ψίλλα* PV, mox *ἐκ* ante *Κλυμένης* addidi ex F om. PV, infra *Ἀμαζονίδων* PV 10 *Σκεβρῆνος* PV *ἢ Οἰνέως* add. F 11 *καὶ υἱὸς* addidi ex F om. PV, mox *παρὰ τοῦ πατρὸς αὐτῆς* add. F 19 Quint. Smyrn. X, 467 20 Alex. 61

του, οἷς Ἀλέξανδρος ἐτοξεύθη, τῷ ἰῷ τῆς Ὕδρας. ἡ γὰρ Οἰνώνη ἰατρικὴν καὶ μουσικὴν ἤσκει.

DCCXXXI. *Περὶ τοῦ ὀϊστοῦ τοῦ ἐν οὐρανῷ.*

Ὁ ὀϊστὸς οὗτος βέλος ὑπερμέγεθες Ἀπόλλωνος, ᾧ ἐχρήσατο κατὰ Κυκλώπων, τῶν ἐργασαμένων Διῒ τὸν κεραυνόν, δι' οὗ ἀπέκτεινεν Ἀσκληπιόν. ἔκρυψε δὲ αὐτὸ ἐν Ὑπερβορέοις, οὗ καὶ ὁ ναὸς ὁ πτέρινος.

DCCXXXI. *Περὶ Ὀμφάλης.*

Τῇ Ὀμφάλῃ λέγεται ὅτι Ἡρακλῆς λατρεύει. ὁ δὲ λόγος μυθώδης. ἐξὸν γὰρ κἀκείνης καὶ τῶν ὑπαρχόντων αὐτῇ δεσπόζειν. ἐγένετο δὲ τοιόνδε τι. Ὀμφάλη ἦν Ἰορδάνου θυγάτηρ, Λυδῶν βασιλέως, αὕτη ἀκούσασα τὴν ἰσχὺν Ἡρακλέους προσεποιήθη ἐρᾶν αὐτοῦ. Ἡρακλῆς δὲ πλησιάσας ἔρωτι ἑάλω αὐτῆς. γεννᾷ τοιγαροῦν ἐξ αὐτῆς υἱὸν Λαομήδην. ἡδόμενος δ' αὐτῇ ἐποίει ὅτι προστάττει ἡ Ὀμφάλη, διὸ ὑπέλαβον λατρεύειν αὐτὸν αὐτῇ.

DCCXXXIII. *Περὶ τῆς ὀνειρομαντείας.*

Οἱ ἐκ Τελμισσοῦ (πόλις δὲ αὕτη Παμφυλίας παλαιοτάτη ἐπὶ τῶν χρόνων Κροίσου) πρῶτοι λέγονται τοὺς ὀνείρους εὑρεῖν διακρίνειν. ἔλεγον γάρ, εἰ γέγονέ τι παράδοξον, ὅτι τόδε σημαίνει, καὶ πάντως ὅσα ἂν εἶπον, συνέβαινεν ἐξέρχεσθαι. λέγουσι δέ, ὅτι οἱ ὀνει-

DCCXXXI. Eratosth. Catast. 29 (neglexit Robert) DCCXXXII. Palaeph. 45 (Arsen. Viol. p. 382) DCCXXXIII. Nonn. I, 71

---

5 *οὓς ἀπέκτεινε δι' Ἀσκληπιόν* F *ᾧ τ. Κ. ἀπ. δ. Ἀσκ.* Robert 6 *αὐτὸν — Ἡπρέϊνος* PV 8 *μάταιος* F 14 *προστάττοι* F 16 *Τελμισοῦ* PV

ροι πρὸς τὴν ἠῶ μᾶλλον ἀληθεῖς, ὡς ἤδη πεττομένων τῶν σιτίων καὶ τοῦ λογιστικοῦ νήφοντος καὶ μὴ ἐπιπροσθουμένου ταῖς ἐκ τῶν βρωμάτων ἀτμίσιν. ἀναπλάττονται δὲ καὶ πτερωτοὶ οἱ ὄνειροι, ὅτι Ὅμηρος εἶπεν „ὄνειρος ᾤχετο ἀποπτάμενος“. διὸ καὶ Εὐριπίδης τὴν γῆν „μελανοπτερύγων μητέρα ὀνείρων“ καλεῖ.

[DCCXXXIV. *Περὶ τῆς οἰωνικῆς.*

Τῆς οἰωνικῆς τὸ μέν ἐστιν ὀρνεοσκοπητικόν, ὃ ἐξεῦρον Φρύγες, τὸ δὲ οἰκοσκοπητικόν, τὸ δὲ ἐνόδιον, τὸ δὲ χειροσκόπιον, τὸ δὲ παλματικόν. ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν, πετομένου τοῦδε ἢ τοῦδε ὄρνιθος ἢ ἔμπροσθεν ἢ ὀπίσω ἢ δεξιὰ ἢ ἀριστερά, εἴπωμεν, ὅτι τόδε σημαίνει. λέγεται δὲ τοῦτο εὑρηκέναι πρῶτος Τηλέγονος. οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσηται καὶ εἴπῃ, τόδε σημαίνει, ἐπειδή, φησίν, ἐν τῇ στέγῃ ἐφάνη γαλῆ ἢ ὄφις ἢ μῦς ἢ ἐκενώθη ἔλαιον ἢ μέλι ἢ οἶνος ἢ ὕδωρ 316 *ἢ τέφρα ἢ ἄλλο τι, ὅτι τόδε σημαίνει. ταῦτα δὲ συνεγράψατο Ξενοκράτης. ἐνόδιον δέ ἐστιν, ὅταν ἐξηγήσηται τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα, ὅτι, ἐὰν ὑπαντήσῃ τις τόδε βαστάζων, τόδε σοι συμβήσεται, ἐὰν δὲ ὁ δεῖνα, τόδε. ὅπερ συνεγράψατο Πόλλης. χειροσκόπιον δέ ἐστιν, ὅταν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν καὶ διὰ τῶν*

DCCXXXIV. Nonn. I, 72 (Suid.). Cf. Eud. p. 41

---

5 Od. XI, 222 et mox Eur. Hec. 71 7 Cum verbo tenus haec omnia, quae Eudocia alio loco narravit, iterentur ordoque alphabeticus (*ὀνειρομαντεία, ὁ ὄνος*) moleste perturbetur, interpolatorem adscripsisse consentaneum est. Forte priorem articulum *περὶ ὀνειρομαντείας* explere studebat 21 *Πόλλης* F *Πόλλις* PV

ῥυτίδων εἴπωμεν, ὅτι τόδε αὐτὸν μένει, ἢ ὅτι μνηστεύεται ἢ ὅτι παιδοποιεῖ ἤ τι τοιοῦτον, ὃ συνεγράψατο Ἕλενος. παλματικὸν δέ ἐστι τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον, οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει, ἢ ὁ μηρὸς ἢ ὁ ὦμος ἤ τι τῶν τοῦ σώματος. ὃ συνεγράψατο Ποσειδώνιος.]

DCCXXXV. Ὁ ὄνος διὰ τί ἐν τῷ οὐρανῷ τιμᾶται.

Ὁ ὄνος τιμᾶται ἐν τῷ οὐρανῷ δι' αἰτίαν τοιάνδε. ὅτε ἐπὶ γίγαντας ἐστρατεύοντο οἱ θεοί, λέγεται Διόνυσον καὶ Ἥφαιστον καὶ Σατύρους ἐπὶ ὄνων πορεύεσθαι. οὔπω δὲ ὁρωμένων αὐτοῖς τῶν Γιγάντων, πλησίον ὄντες ὠγκήθησαν οἱ ὄνοι, οἱ δὲ Γίγαντες ἀκούσαντες τῆς φωνῆς ἔφυγον. διὸ ἐτιμήθησαν ἐν τῷ Καρκίνῳ εἶναι ἐπὶ δυσμάς.

DCCXXXVI. Περὶ τοῦ Ὀρέστου.

Ὀρέστης υἱὸς Ἀγαμέμνονος καὶ Κλυταιμνήστρας. ἀγαγὼν δὲ ὁ πατὴρ αὐτοῦ ναῦς εἰς Ἴλιον καὶ ἐκπορθήσας αὐτήν, ὑποστρέψας τε οἴκαδε ἀναιρεῖται αὐτὸς ὁ Ἀγαμέμνων ὑπὸ Αἰγίσθου τοῦ Θυέστου δόλῳ ἐπ' εὐωχίᾳ (οὗτος γὰρ περὶ τὸν καιρὸν τῆς ἀποδημίας ἐμοίχευε τὴν Ὀρέστου μητέρα). κατὰ δὲ τοὺς τραγικοὺς αὐτὴ ἡ Κλυταιμνήστρα ἀνεῖλεν αὐτὸν χιτῶνι

DCCXXXV. Eratosth. Cataster. 11 DCCXXXVI. Schol. Il. I, 7. Cf. Eud. p. 23. Ὀρέστης δὲ ταῦτα — exit. Argum. Eurip. Orest.

---

10 ἑωραμένων Robert 12 ἀκούσαντες inserui ex F om. PV 13 Καρκίνου εἴδει cum Struvio Robert 15 Sic correxi, ἀγαγόντος δὲ τοῦ πατρὸς inepte PV

μὴ ἔχοντι ἔκδυσιν τραχήλου. Ὀρέστης δὲ ταῦτα μὴ φέρων, ἐκδικησόμενος τὸν φόνον τοῦ πατρός, ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν. μητροκτονῆσαι δὲ τολμήσας παραχρῆμα τὴν δίκην ἔδωκεν ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνῃρημένης κατηγορήσαντος αὐτοῦ, ἔμελλον κοινὴν Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τούτου, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλεν εἰς τὸ Ἄργος, μεθ᾽ ἡμέραν δὲ αὐτὸς ἦλθε, καὶ παρακαλούμενος ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. * * * συνὼν δὲ τούτοις ὁ Πυλάδης, ὁ φίλος αὐτοῦ, 317
συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην, ὡς ὁ μῦθος, ἁρπασάντων. τὴν δὲ Ἑρμιόνην δείξας ὁ Ἀπόλλων ἔδωκεν εἰς χεῖρας αὐτοῖς, οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπ᾽ αὐτῶν, ἐπεβάλετο τὰ βασίλεια πορθεῖν, οἱ δὲ φθάσαντες ὑφάψειν ἠπείλουν. ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τοῦ φόνου Ἄργους ἄρχειν.

6 κατ᾽ αὐτοῦ F 11 αὐτῷ P corr. V 14 Hic lacunam indicavit Nauck 18 ὡς ὁ μῦθος om. F 19 Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν F 21 τέκνον στερούμενον F τέκνων ἐστερημένον P τέκνων ἐστερημένων V 24 Ὀρέστην PV 25 συνοικῆσαι PV, mox καθαρθέντα PV

DCCXXXVI[b]. *Ὀρέστου γενεαλογία.*

Ζεὺς γεννᾷ Τάνταλον ἐκ τῆς Πλουτοῦς,

Τάνταλος

Πέλοπα, οὗ ἐκ τῆς Ἱπποδαμείας κατὰ Πίνδαρον, λαγέται ἕξ, ἤγουν ἡγεμόνες, Ἀτρεύς, Θυέστης, Πιτθεύς, Ἀλκάθους, Πλεισθένης, Χρύσιππος.

οὗ Πέλοπος

Ἀτρεύς,	Θυέστης,	Πλεισθένης.
οὗ	οὗ	Ἡσίοδος υἱὸν
Ἀγαμέμνων, Μενέλαος,	Αἴγισθος.	Πλεισθένους
οὗ Ὀρέστης, οὗ Ἑρμιόνη		τὸν Ἀγαμέ-
(οὗ Τισάμενος) ἐξ Ἑλένης.		μνονα οἶδεν.
Ἠλέκτρα,		
Ἰφιγένεια,		
Χρυσόθεμις,		
Λαοδίκη.		

Φασὶ δὲ τὸν Ὀρέστην φιλίαν τοσαύτην ἐσχηκέναι πρὸς τὸν Πυλάδην καὶ Πυλάδην πρὸς τὸν Ὀρέστην, ὥστε καί, ἀποθανόντος Πυλάδου, συγκατελθεῖν Ὀρέστην μέχρι τοῦ Ἅιδου.

DCCXXXVII. *Περὶ ὄρνιθος τοῦ ἐν οὐρανῷ.*

Ὄρνις οὗτος ὁ Ζεύς ἐστιν, εἰς κύκνον μεταβληθείς, ὅτε Νεμέσεως ἤρα, πᾶσαν μορφὴν ἀμειβούσης, ἐπὶ τῷ τὴν παρθενίαν φυλάξαι. καταπτὰς τοίνυν εἰς Ῥαμνοῦντα τῆς Ἀττικῆς ἔγνω Νέμεσιν. ἡ δ' ᾠὸν τί-

DCCXXVVI[b]. Schol. Pind. Ol. I, 144. Reliqua ex variis fontibus, velut ex Apollod. III, 11. 1 compilata sunt
DCCXXXVII. Eratosth. Catast. 25 (neglexit Robert)

---

1 Ὀρέστου P Ὀρέστους V Πλώτης P V 3 λεγέται P corr. V
8 fr. 105

κτει, ἐξ οὗ τὴν Ἑλένην ἐκκολαφθῆναι Κρατῖνός φησιν ὁ ποιητής. ἱπτόμενος δὲ οὕτω ἀνέδραμεν εἰς οὐρανόν, διὸ καὶ οὕτω γράφεται. οἱ δὲ πλείονες ἐπὶ τῇ Λήδᾳ ταῦτα ἐμυθεύσαντο.

DCCXXXVIII. *Περὶ τοῦ Ὀρφέως.* 318

Ὁ Ὀρφεὺς γέγονε μουσικός, Θρᾷξ τὸ γένος, ὃς λέγεται ὅτι οὕτω προσηνῶς ᾖδεν, ὥστε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ, μᾶλλον δὲ τῇ μαγείᾳ αὐτοῦ, τὰς δρῦς καὶ τῶν ζώων τὰ ἄλογα καὶ τοὺς λίθους καὶ τοὺς ποταμούς. δοκεῖ δὲ ταῦτα Βάκχαι μανεῖσαι, αἵ τινες πρόβατα διέσπασαν ἐν τῇ Πιερίᾳ. πολλὰ δὲ καὶ ἄλλα βιαίως εἰργάζοντο, τρεπόμεναί τε εἰς τὸ ὄρος, ὅθι καὶ διέτριβον τὰς ἡμέρας. ὡς δὲ ἔμειναν οἱ πολῖται, δεδιότες περὶ τῶν γυναικῶν καὶ θυγατέρων, μεταπεμψάμενοι τὸν Ὀρφέα, ἐδέοντο μηχανᾶσθαι, ὃν τρόπον καταγάγοι αὐτὰς ἐκ τοῦ ὄρους. ὁ δὲ συνταξάμενος τῷ Διονύσῳ ὄργια κατάγει αὐτὰς βακχευούσας κιθαρίζων. αἱ δὲ νάρθηκας τότε πρῶτον ἔχουσαι κατέβαινον ἐκ τοῦ ὄρους καὶ κλῶνας δένδρων παντοδαπῶν. τοῖς δ' ἀνθρώποις θαυμαστὰ τότε θεασαμένοις ἐνεφαίνετο πρῶτον τὰ ξύλα καταγόμενα, καὶ ἔφασαν, ὅτι Ὀρφεὺς κιθαρίζων ἄγει τὴν ὕλην ἐκ τοῦ ὄρους

DCCXXXVIII. Nonn. I, 77 (Cosm. p. 149) *δοκεῖ δὲ — προσανεπλάσθη* Palaeph. 34 *φασὶ δὲ — ἔγραψε* Suidas *ποιήματα — δημουργοί* Nonnus l. c. *τριασμούς* — exit. Suid.

---

1 *Κρατῖνος* coni. Valcken. ad Eur. Phoen. p. 166. Cf. Meinekii fr. com. II, 1 p. 81 *Κράτης* PV 11 *τερπόμεναι* PV 18 Verborum ordinem hic paullulum inversum esse observavit Brunnerus

καὶ ἐκ τούτου ὁ μῦθος προσανεπλάσθη. φασὶ δὲ Οἰάγρου καὶ Καλλιόπης υἱὸν τὸν Ὀρφέα καὶ πρὸ τῶν Τρωϊκῶν γεγονέναι καὶ μαθητὴν Λίνου, βιῶναι δὲ γενεὰς ἐννέα, οἱ δὲ ια΄. ἔγραψε ποιήματα, ἅτινα ὡς θεολογίας ἔχουσιν Ἕλληνες. ἐν δὲ τούτοις τοῖς ποιήμασι διὰ μυθικῶν συμβόλων λέγει τὰς τῶν θεῶν τάξεις τε καὶ σειράς, καὶ τίνων τίνα ἔργα, καὶ ποῖα τίνων τελέσματα, καὶ τίνες τίνων δημιουργοί. [τριασμούς, λέγονται εἶναι Ἴωνος τοῦ τραγικοῦ. ἐν δὲ τούτοις τὰ ἱεροστολικὰ καλούμενα, κλίσεις κοσμικάς, νεοτευκτικά, ἱεροὺς λόγους ἐν ῥαψῳδίαις κδ΄, λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου, χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον. τελετάς, ἃς καὶ αὐτὰς εἰς Ὀνομάκριτον ἀναφέρουσί τινες· περὶ λίθων γλυφῆς, ἥτις ὀγδοηκοντάλιθος ἐπιγράφεται· σωτήρια, ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου καὶ Περσίνου τοῦ Μιλησίου λέγεται· κρατῆρας, ταῦτα Ζωπύρου φασί· θρονισμοὺς μητρῴους καὶ Βακχικά, ταῦτα Νικίου τοῦ Ἐλεάτου φασίν· εἰς Ἅιδου κατάβασιν, ταῦτα Ἡροδίκου τοῦ Περινθίου· πέπλον καὶ δίκτυον, καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροντίνου· ὀνομαστικὸν ἔπη ͵ασ, ἀστρονομίαν, ἀμοκοπίαν, θυηπολικόν, ᾠοθυτικὰ ἢ ᾠοσκοπικὰ ἐπικῶς, καταζωστικόν, ὕμνους, κορυβαντικὸν καὶ φυσικά, ἃ Βροντίνου φασίν.]

---

4 *φασίν* add. S   8 *τριαγμούς* coni. Kuesterus. Ceterum verba *τριασμός* — exit. interpolator addidit Suidam compilans. Cf. Untersuchungen p. 85   10 *κοσμικάινας* PV, mox *νεοτευτευτικά* PV   17 *Ἡεργίνου* PV contulit Bernhardy Polluc. IX, 93   22 *Βροτίνου* PV paullo post *ὀνομαστικά* PV   *θεογονίαν ἔπη ͵ασ* add. S   23 *ἀμμοκοπίαν* PV

DCCXXXIX. *Περὶ τοῦ Ὀσίριδος.* 319

Ὄσιρις βασιλεὺς ὑπάρχων Αἰγύπτου παρ' Αἰγυπτίοις ἐνομίσθη θεός, καὶ οἱ μὲν λέγουσιν αὐτὸν τὸν αὐτὸν εἶναι τῷ Διονύσῳ, οἱ δὲ ἕτερον. τοῦτον οὖν τὸν Ὄσιριν ὑπὸ τοῦ Τυφῶνος (δαίμων δέ ἐστιν οὗτος) καὶ τῶν συνόντων ἐσπαράχθαι φασὶ καὶ κατατμηθῆναι μεληδόν, καὶ μέγα πένθος γενέσθαι τοῖς Αἰγυπτίοις, ὥστε ἐπὶ πάντα χρόνον μνήμην ποιεῖσθαι τοῦ σπαραγμοῦ τοῦ Ὀσίριδος. ὥσπερ δέ φασι, τὸν Διόνυσον ὑπὸ τῶν Τιτάνων ἐσπαράχθαι, οὕτω καὶ τὸν Ὄσιριν ὑπὸ τοῦ Τυφῶνος. [Ἶσις δέ, ἡ καὶ Δήμητρα, γυνὴ Διονύσου, μετὰ Ὥρου τοῦ υἱοῦ αὐτοῖ τὸν Τυφῶνα καὶ πάντας τοὺς ἐκείνων φονεῖς ἀναιρεῖ. τὰ δὲ τοῦ Διονύσου μέλη καὶ μόρια συλλέξασα, ἑκάστῳ ναὸν καὶ ἱεροὺς ᾠκοδόμησεν ἐν Φηγάλαις. Φηγάλη δέ, πόλις Αἰγύπτου, τὸ μέγιστον ἦν τῶν ἱερῶν, ὃς καὶ μέγας ὅρκος τοῖς Αἰγυπτίοις ἐτύγχανε· μὰ τὸν ἐν Φηγάλῃ ἢ Ὄσιριν. πάντα γοῦν εὑροῦσα τὰ μόρια, ὡς ἔφην, καὶ δειμαμένη πάντας ναούς, τὰ δὲ παιδογόνα μόρια μὴ εὑροῦσα, τοὺς δερματίνους φαλλοὺς ἐπενοήσε κρεμαννύειν ἕκαστον ἑαυτῷ καὶ σὺν τούτοις ὀρχεῖσθαι.]

DCCXXXIX. Cosmas p. 179 (Clarke p. 50) *καὶ οἱ μὲν λέγουσι* — *Ὀσίριδος* Suidas (v. *Ὄσιρις*) *ὁ Ὄσιρις δὲ* — exit. Tzetzes Lyc. 212

---

3 Cum Eudocia consentit Bodleianus, *εἶναι τὸν Διόνυσον* Cosmas 9 *ἐσπαράχθαι* recepi ex F *διασπαραχθῆναι* PV 10 Haec usque ad finem seclusi utpote ex Tzetzae commentariis intempestive et neglegentissime adscripta. Pleraque igitur ad Mülleri textum emendavi. *ὁ Ὄσιρις δὲ καὶ ἡ Δήμητρα* — *Ὡραίου* — *μία τῶν ἐν Φηγάλῃ ἡ Ὄσιρις* — *δημαμένη* PV

DCCXL. *Περὶ τοῦ Ὀφιούχου.*

Ὁ Ὀφιοῦχος ὁ Ἀσκληπιὸς λέγεται εἶναι, ὁ τῆς ἰατρικῆς ἔφορος. σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγήρω, λέγεται γὰρ ἀποδύεσθαι ὁ ὄφις τὸ γῆρας καὶ ἀνανεοῦσθαι. ἐπεὶ οὖν ὁ Ἀσκληπιὸς διὰ τῆς ἰατρικῆς ἀνανεοῖ τὰ ἀνθρώπινα σώματα, ποιοῦσιν αὐτὸν ἀμφοτέροιν τὸν ὄφιν κατέχειν καὶ τῷ ὄφει ἐφεστηκέναι. θέλοντες οὖν οἱ θεοὶ ἀντὶ ἀγάλματος αὐτὸν ἀνιερῶσαι, δι' ἄστρων αὐτὸν ἐν τῷ οὐρανῷ ἀνιέρωσαν. [*καὶ γὰρ ὑπ' αὐτῶν φθονηθεὶς ἰατρικώτατος οὕτως ὑπάρχων, ὡς καὶ τοὺς ἤδη τεθνηκότας ἐγείρειν, κεραυνοῦται. οἱ δέ φασι διὰ τοῦ ὀϊστοῦ τοῦ Ἀπόλλωνος ἀναιρεθῆναι, ᾧ ἐχρήσατο κατὰ Κυκλώπων τῶν ἐργασαμένων Διῒ τὸν κεραυνόν.*]

Ποιηταί.

DCCXLI. *Περὶ Ὀρφέως τοῦ Κικοναίου καὶ τῶν ἄλλων.*

Ὀρφεύς, Κικοναῖος ἢ Ἀρκάς, ἐκ Βισαλτίας τῆς Θρᾳκικῆς, ἐποποιός. γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου, δύο γενεαῖς πρεσβύτερος ὢν τῶν Τρωϊκῶν. ἔγραψε μυθοποιίαν, ἐπιγράμματα, ὕμνους.

DCCXL. Nonn. II, 6 (Clarke p. 44) *καὶ γὰρ ὑπ' αὐτῶν* — exit. ex Eratosth. Catast. 24 compilata sunt. Cf. Eud. p. 315   DCCXLI. Hesych. (Suid.)

Pro *Φηγάλαι* vel *Φηγάλη* in aliis Tzetzae libris *Φήλαι* legitur, quam scripturam altera inferiorem esse Müllerus suspicatus est   8 Haec a prioribus seiunxi utpote male iterata ex DCCXXXI.

Καὶ ἕτερος Ὀδρύσης, ἐποποιός. Διονύσιος δὲ 320 *τοῦτον οὐδὲ γεγονέναι λέγει. ὅμως ἀναφέρονται εἰς αὐτόν τινα ποιήματα.*

Καὶ ἄλλος, Κροτωνιάτης ἐποποιός, ὃν Πεισιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ἕκτῳ βιβλίῳ τῶν γραμματικῶν. ἔγραψε Δεκαετηρίδα, Ἀργοναυτικὰ καὶ ἄλλα τινά.

Καὶ ἄλλος, Καμαριναῖος ἐποποιός, οὗ φασιν εἶναι τὴν εἰς Ἅιδου κατάβασιν τοῦ Θρᾳκὸς Ὀρφέως.

DCCXLII. *Ὅτι Αἰγύπτιος ὁ Ὅμηρος.*

Ὁ Ὅμηρος υἱὸς Αἰγυπτίων, Δμασαγόρου καὶ Αἴθρας Ἀλεξάνδρῳ τῷ Παφίῳ ἱστόρηται. τροφὸς δὲ αὐτοῦ προφῆτίς τις, θυγάτηρ Ὥρου, ἱερέως Ἴσιδος, ἧς ἐκ τῶν μαστῶν μέλι ῥεῦσαί ποτε εἰς τὸ στόμα τοῦ παιδίου, καὶ τὸ βρέφος ἐν νυκτὶ φωνὰς ἐννέα προέσθαι· χελιδόνος, ταῶνος, περιστερᾶς, κορώνης, πέρδικος, πορφυρίωνος, ψαρός, ἀηδόνος καὶ κοττύφου· εὑρεθῆναί τε τὸ παιδίον μετὰ περιστερῶν ἐννέα παῖζον ἐπὶ τῆς κλίνης· εὐωχουμένην δὲ παρὰ τοῖς τοῦ παιδὸς τὴν Σίβυλλαν, ἐμμανῆ γεγονυῖαν ἔπη σχεδιάσαι, ὧν ἀρχή·

Δμασαγόρα πολύνικε,

ἐν οἷς καὶ μεγακλεῆ καὶ στεφανίτην αὐτὸν προσειπεῖν,

DCCXLII. Eustath. Od. p. 1713. Sed fontem Eustathii fuisse Ptolemaei Hephaestionis historias docuit Hercher in Annal. Philol. Supplem. I, p. 287

---

1 *Ὀδρύσης* S *ὁ Δρύσης* PV 5 *φησὶ* PV 6 *δεκαετηρίαν* PV 10 *Μαιαγόρου* proposuit Nietzschius. Cf. Hesiodi Carm. ed. Goettling-Flach p. 358

καὶ ναὸν κτίσαι κελεῦσαι ἐννέα πελειῶν, ἐδήλου δὲ τὰς Μούσας, τὸν δὲ καὶ τοῦτο ποιῆσαι καὶ τῷ παιδὶ ἀνδρωθέντι ἐξειπεῖν τὸ πρᾶγμα, καὶ τὸν ποιητὴν οὕτω σεμνῦναι τὰ ζῶα, οἷς βρέφος ὢν συνέπαιζε, καὶ ποιῆσαι αὐτὰ τῷ Διῒ τὴν ἀμβροσίαν κομίζοντα.

DCCXLIII. *Περὶ τῆς ἐν Ἀρκαδίᾳ τελευτῆς τοῦ Ὁμήρου.*

Ὅμηρος περὶ τὴν Ἀρκαδίαν γεγονὼς (χώρα δὲ αὕτη τῆς Πελοποννήσου) περιέτυχεν ἁλιεῦσι φθειριζομένοις καὶ ἠρώτα αὐτούς· „ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἦ ῥ' ἔχομέν τι;“ οἱ δὲ ἁλιεῖς ἀπεκρίναντο τοῦτο τὸ ἔπος·

„Ὅσσ' ἕλομεν λιπόμεσθα, τὰ δ' οὐχ ἕλομεν φερόμεσθα“.

ὁ δὲ νοῦς τοῦδε τοῦ ἔπους τοιοῦτος· ὅτι οὓς μὲν φθεῖρας ἐθηρεύσαμεν, ἀπεκτείναμεν ἐνταῦθα, οὓς δὲ οὐκ ἰσχύσαμεν θηρεῦσαι, φέρομεν ἐν τοῖς ἱματίοις. οὐκ ἐνόησε δέ, φασίν, Ὅμηρος τοῦτο τὸ ἔπος, καὶ μικρὸν ἐκεῖσε γενόμενος ἀπέθανεν ἀπὸ λύπης. λέγουσι δὲ εἶναι καὶ χρησμὸν τὸν χρησμῳδηθέντα Ὁμήρῳ, ὅτι,

DCCXLIII. Nonn. I, 33 (Cosm. p. 198; Clarke p. 52; Mon. 490). Similiter historiam narrat Proclus in Westphal. Metr. p. 231 (cf. Tzetzes Exeg. Il. p. 37).

---

1 *πεγριδῶν* legitur in margine P et in F, *πελειῶν* P in textu V 4 *συνέπαιξε* PV 8 Sic reposui ex codice Laurentiano Certaminis Homeri et Hesiodi. Cf. Goettling-Flach p. 370. *ὦ ἄνδρες Ἀρκάδιοι, ἁλιεῖς τὴν τέχνην, ἆρα ἐθηρεύσαμέν τι* PV, ex Laurentiano etiam alterum versum restitui, *οὓς ἕλομεν λιπόμεσθ', οὓς δ' οὐχ ἕλομεν φερόμεσθα* PV Proclus, eundem sic prodidit Tzetzes: *οὓς μὲν εἵλομεν, οὔκ ἔχομεν, οὓς δ' οὐχ εἵλομεν, φερόμεσθα* 17 *ἐκεῖ συγγενόμενος* PV

ὅταν αὐτῷ προτεθείη ζήτημά τι καὶ μὴ εὕροι, τότε ἀποθανεῖται.

DCCXLIV. Περὶ τοῦ Παλαμήδους. 321

Παλαμήδης ὁ Ναυπλίου καὶ Πλημίτης, Εὐβοεὺς τὸ γένος (Εὔβοια δὲ νῆσος ἀπαντικρὺ τῆς Ἀττικῆς), σοφώτατος ὤν, εὗρε τὸ ἀριθμεῖν καὶ αὐτὸ τὸ ταβλίζειν κεχρῆσθαι καὶ ἄλλαις πολλαῖς μεθόδοις. οὗτος εἷς ἐστι τῶν συστρατευμένων περὶ τὸ Ἴλιον. ἀπέθανε δὲ ἐν Τροίᾳ κατ' ἐπιβουλὴν τοῦ Ὀδυσσέως· Ὀδυσσέα γὰρ εἶχεν ἐχθρὸν διὰ τοιαύτην αἰτίαν. τοῦ Ἀγαμέμνονος προτρεπομένου τὸν Ὀδυσσέα ἐπὶ τὴν περὶ Τροίαν ἔξοδον, καὶ μὴ θέλων ἀπελθεῖν ὁ Ὀδυσσεὺς καὶ μανίαν προσποιησάμενος καὶ βαλὼν ὄνον καὶ δῆθεν ἀροτριῶν ἐν μανίας προσποιήσει, ὁ Παλαμήδης ἤλεγξεν, ὅτι δὴ οὐ μαίνεται, ἤλεγξε δὲ αὐτὸν οὕτως. Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προσθεὶς πρὸ τοῦ ἀρότρου, εἶτα φθάσας ὁ Ὀδυσσεὺς περὶ τὸ πεδίον ἐπῆρε τὸ ἄροτρον, ἵνα μὴ πλήξῃ τὸ παιδίον καὶ ἐγνώσθη, ὅτι νηφάλιός ἐστι. ταύτην οὖν τὴν μῆνιν μηνιῶν ὁ Ὀδυσσεὺς ἐν τῇ Τροίᾳ ποιεῖται πλαστὴν ἐπιστολήν, ὡς ἀπὸ Πριάμου [ὡς] πρὸς τὸν Παλαμήδην περὶ προδοσίας τῶν Ἑλλήνων καὶ ὑποτίθησιν ἐν τῇ τοῦ Παλαμήδους σκηνῇ. ὕστερον δὲ κατηγορίας ὑπ' αὐτοῦ γενομένης κατὰ Παλαμήδους ὡς προδότου, εὑρέθη ἡ

DCCXLIV. Nonn. I, 62 (Cosm. p. 312; Mon. 420). Cf. Eud. p 400. γέγονε δὲ — exit. Tzetzes Lyc. 384

---

2 ζήτημά τι F τι om. PV 16 Sic scripsi cum Nonno, παιδίον PV consentiente Cosma 19 Τροίᾳ F Τρωάδι PV 20 ὡς ut supervacaneum seclusi

ἐπιστολὴ κατακρίνουσα αὐτόν, καὶ τέθνηκεν ὑπὸ Ἀγαμέμνονος καὶ πάντων τῶν Ἑλλήνων λιθοβοληθείς. γέγονε δὲ ἐν Λεποτύμνῳ, ὄρει Μηθύμνης, ἱερὸν τοῦ ἀνδρός. τότε μαθὼν τὴν τούτου ἀναίρεσιν ὁ τούτου πατὴρ Ναύπλιος ἔπλευσε πρὸς τοὺς Ἕλληνας καὶ τὴν παιδὸς ἀπήτει ποινήν. ἄπρακτος δὲ ὑποστρέψας, πάντων χαριζομένων τῷ βασιλεῖ Ἀγαμέμνονι, μεθ' οὗ Παλαμήδην ἀνεῖλεν Ὀδυσσεύς, παραπλέων λοιπὸν τὰς Ἑλληνικὰς χώρας παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι· Κλυταιμνήστραν Αἰγίσθῳ, Αἰγιάλειαν τῷ υἱῷ Σθενέλου, Μήδαν δὲ τοῦ Ἰδομενέως ὑπὸ Λεύκου, ἣν καὶ ἀνεῖλε Λεῦκος καὶ Κλησυδήραν τὴν θυγατέρα αὐτῆς, ἐν τῷ ναῷ καταφευγούσας. καὶ δέκα πόλεις τῆς Κρήτης ἀποσπάσας ἐτυράννησε καὶ μετὰ τὸν Τρωϊκὸν πόλεμον καὶ τὸν Ἰδομενέα τῇ Κρήτῃ καταίροντα ἐξήλασε. ταῦτα πάντα ταῖς τοῦ Ναυπλίου γέγονε συσκευαῖς. ὕστερον δὲ ἀκούσας τὴν τῶν Ἑλλήνων ἐπάνοδον ἐπὶ τὴν πατρίδα ἧψε φρυκτὸν ἐπὶ τὰ κοῖλα τῆς Εὐβοίας, Καφηρέα λεγόμενα, νῦν δὲ Ξυλοφάγον καλούμενον, ὅπου πλεύσαντες οἱ Ἕλληνες δι' αὐτοῦ δοκεῖν λιμένα εἶναι διεφθάρησαν.

322 DCCXLV. *Περὶ τοῦ Παλλαδίου.*

Παλλάδιον ζῴδιον ἦν μικρὸν ξύλινον, ἐν Τροίᾳ διοπετές, ἤγουν ἐξ ἀέρος ἄνωθεν οὐρανόθεν πεσόν. φασὶ δὲ αὐτὸ ἀνδρὸς δορὰν ἠμφιέσθαι, στέμμα τε

DCCXLV. Suidas *διοπετές, ἤγουν — δεξιᾷ*, Eustath. Il. p. 627

2 *λιθοβοληθείς* om. F. Altero quoque loco hoc vocabulum Eudocia iteravit 21 *δι'* inserui 23 *ἤγουν* P *οἷον* V 24 *ἀμφίεσθαι* PV

ἔχειν καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πῖλον καὶ δόρυ ἐν τῇ δεξιᾷ, καὶ τετελεσμένον εἶναι ἔλεγον φυλάττον τὴν βασιλείαν τῆς Τροίας. διὸ καὶ Ὀδυσσεὺς λάθρα εἰσελθὼν αὐτὸ κέκλοφε.

DCCXLVI. *Περὶ τῆς Παλλάδος.*

Παλλὰς ἡ Ἀθηνᾶ παρὰ τὸ πάλλειν τὰ ὅπλα (πολεμικὴ γὰρ καὶ ἐν τῷ γεννᾶσθαι ἀπὸ τῆς τοῦ Διὸς κεφαλῆς ἐξέθορε τὰ ὅπλα κινοῦσα, ὡπλισμένη γὰρ ἡ φρόνησις λέγεται διὰ τὸ καταπληκτικον καὶ ἔπανδρον καὶ τὸ σταθηρόν), ἢ παρὰ τὸ παλλομένην τὴν τοῦ Διονύσου καρδίαν ἀνενεγκεῖν τῷ Διὶ (Διόνυσον γὰρ τὸν Ζαγρέα καλούμενον, υἱὸν Διὸς καὶ Περσεφόνης ὑπάρχοντα, μεληδὸν οἱ Τιτᾶνες ἐσπάραξαν, οὗ τὴν καρδίαν ἔτι παλλομένην ἀνήνεγκεν), ἢ ὅτι ἐν τῇ συμβολῇ τῆς μάχης τῶν Γιγάντων καὶ τῶν θεῶν Πάλλαντα ἕνα τῶν Γιγάντων ἀνεῖλεν, ἢ Πάλλαντα τὸν ἴδιον πατέρα, πτερωτὸν ὑπάρχοντα καὶ βιάζοντα ταύτην ὡς θέλοντα αὐτῇ συγγενέσθαι, ἡ τὴν παρθενίαν τιμῶσα τοῦτον ἀνεῖλε καὶ τὸ δέρμα αὐτοῦ ὡς αἰγίδα περιεβάλλετο, καὶ τὰ πτερὰ τούτου τοῖς ποσὶ ταύτης προσήρμοσεν. ὅθεν αὐτὴν ἐθεοποίησαν οἱ Ἕλληνες, καθάπερ καὶ τὴν πολεμικωτάτην Ἀθηνᾶν, Ἰτωνίου μὲν ὑπάρχουσαν θυγατέρα, Ἰοδάμου δὲ ἀδελφήν, ἣν Ἰοδάμας ἀντιπολεμοῦσαν ἀνεῖλεν, ὥς φησι Σιμωνίδης ὁ γενεαλόγος * * *

DCCXLVI. Tzetzes Lyc. 355

7 *ὁπλισμένη* P corr. V 11 *Ζαγκρέα* F 13 *ταῖς συμβολαῖς* PV 17 *αὐτῇ* addidi ex F om. PV 21 *Ἰτωνίδου* PV (sed fortasse cum Pausan. IX, 34, 1 al. rectius *Ἰτώνου* legitur) 24 Deesse videntur verba *καὶ ὁ Ἀπολλώνιος*, quae

Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
Ἔργον Ἀθηναίης Ἰτωνίδος ἠδὲ καὶ αὐτοὺς
Ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.

Φερεκύδης δὲ παλλάδια λέγει τὰ ἀχειροποίητα μορφώματα καὶ πᾶν τὸ ἐξ οὐρανοῦ εἰς γῆν παλλόμενον καὶ τὸ Παλλάδιον δὲ τῆς Ἀθηνᾶς τοιοῦτον ἦν τρίπηχυ ξύλινον, ἐξ οὐρανοῦ καταπεσόν, ὥς φασιν, ἐν Πεσινοῦντι τῆς Φρυγίας, ὅθεν ὁ Διόδωρος καὶ Δίων τὸν τόπον κληθῆναί φασιν. ἕτερος δέ τις ἱστορικὸς οὕτω λέγει κληθῆναι τὸν τόπον ἀπὸ τοῦ πολλοὺς ἐκεῖ πεσεῖν ἐν τῇ συμβολῇ τοῦ πολέμου, ὁπότε διὰ τὴν ἁρπαγὴν Γανυμήδους ἐμάχοντο Τάνταλος, ὁ ἐραστὴς Γανυμήδους, καὶ Ἶλος, ὁ ἀδελφὸς αὐτοῦ. Ἰωάννης δὲ ὁ Ἀντιοχεὺς οὐκ ἐξ οὐρανοῦ λέγει πεσεῖν τὸ Παλλάδιον, Ἄσιον δέ τινα φιλόσοφον μαθηματικὸν τοῦτο
323 *ποιῆσαι ὡροσκόπον κάλλιστον, ἀπόρθητον εἶναι τὴν πόλιν ἐκείνην, ἔνθα ἂν τοῦτο μείνῃ πεφυλαγμένον καὶ ἄσυλον, χαρίσασθαι δὲ τὸ τοιοῦτον παλλάδιον τῷ Τρωΐ. Ἀπολλόδωρος δὲ λέγει, μετὰ τὸ κτίσαι Ἶλον τὴν Ἴλιον, τῇ βοΐ ἀκολουθήσαντα εὔξασθαι ἰδεῖν ση-*

---

supplevit Müllerus; citantur enim Arg. I, 550 seq. De Simonide cf. Müller II, p. 42   1 *Πηλιάδες* F *Πηλιάδης* PV, *κορυφῇσιν* ex F addidi, mox *εἰσορόωντες* inepte PV   2 *Ἰτωνίδος* P *Ἰδωνίδος* V   3 *ἐπικραδάοντας ἐρετμά* F *ἐπικρατέοντας ἐρετῶν* PV   4 fr. 57 Sturz   *χειροποίητα* PV   5 *παλλόμενον* F *βαλλόμενον* PV   8 *Πεσινοῦντι* F *Πεσιμοῦντι* PV   9 *κληθῆναί φασιν — τόπον* addidi ex F om. PV propter *τόπον* bis positum   14 *οὐκ* accessit ex F. Cf. Müller IV, p. 551, infra *τοῦτο*, utrumque om. PV   16 *ὡροσκοπίᾳ καλλίστῃ* PV   18 *χαρίσασθαι* F *χαρίσαντα* PV   19 Hic verba genuino certe de loco mota exhibet F: *τὰς δὲ ἀλληγορίας καὶ τὸ ἔτι ἐπεκτεῖναι τὴν ἱστορίαν ἐατέον, οὗτος γάρ, ὡς μυριάκις ἔφην, μυθικῶς γράφει,* quae Müllerus uncis seclusit   Apoll. III, 12, 3

μεῖον, καὶ τότε πεσεῖν τὸ Παλλάδιον, ὃ τρίπηχυ ἦν τῷ μεγέθει, τοῖς δὲ ποσὶ συμβεβηκός, τῇ δεξιᾷ δόρυ ἔχον, τῇ λαιᾷ ἠλακάτην καὶ ἄτρακτον. ἡ δὲ περὶ τοῦ παλλαδίου ἱστορία τοιάδε φέρεται. φασὶ γάρ, Ἀθηνᾶν παρὰ τῷ Τρίτωνι τρέφεσθαι, ᾧ θυγάτηρ ἦν Παλλάς, ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ πόλεμον εἰς φιλονεικίαν ἐλθεῖν. μελλούσης δὲ πλήσσειν τῆς Παλλάδος, φοβηθεὶς ὁ Ζεὺς ἀνέτεινε τὴν αἰγίδα, τρωθεῖσα ὑπὸ τῆς Ἀθηνᾶς πίπτει. Ἀθηνᾶ δὲ περίλυπος γενομένη, ξόανον ἐκείνης ὅμοιον κατασκευάσασα περιέθετο τοῖς στέρνοις, ὃ λέγουσιν αἰγίδα, καὶ ἐτίμα ἱδρυσαμένη παρὰ τῷ Διΐ. ὕστερον δὲ ἡ Ἠλέκτρα τοῦτο προσεγγίσασα ἔρριψεν εἰς τὴν Ἴλιον [τῆς μισονύμφου, τοῦτο δηλοῦσα, ὅτι ἡ τιμῶσα παρθενίαν τὰς νυμφευθείσας μισεῖ].

DCCXLVII. [Περὶ τοῦ Πανός.

Πηνελόπην, τὴν τοῦ Ὀδυσσέως γυναῖκα, τούτου πλανωμένου [τὴν πλάνην, ἣν ἐπλανήθη] μετὰ τὸν Τρωϊκὸν πόλεμον, πολλοί τινες ἦλθον μνηστευσόμενοι. ἡ δὲ ἡμέραν ἐξ ἡμέρας ἀνεβάλλετο, μηδενὶ θέλουσα γαμηθῆναι διὰ τὸ περιμένειν αὐτὴν τὸν Ὀδυσσέα τὸν ἄνδρα αὐτῆς. πάντες οὖν δραξάμενοι συγγεγόνασιν

DCCXLVII. Nonn. I, 40 λέγουσι — Μένδητα Nonn. II, 34 ἕτεροι — αὐτόν Nonn. I, 40 Ἐπιμενίδης δὲ — τοὺς ἀνέμους Schol. Theocrit. I, 3 ὁ Πὰν ὁ αὐτός — exit. Cornut. 27

3 ἡ δὲ — φέρεται recepi ex F om. PV, mox περὶ P παρὰ V 6 ἀμφοτέρους διδασκάλους PV φιλίαν PV 7 πλήσσειν recte P πλάσσειν V 11 ἣν ἔδεισεν F 13 Verba τῆς μισονύμφου — μισεῖ inepte ex sequente lemmate et scholio ad Lyc. 356 adscripta esse patet 17 τὴν — ἐπλανήθη om. F lector aliquis ineptus addidit 21 συμφρασάμενοι F impetu facto vertit Billius

αὐτῇ, καὶ ἐγκυμονήσασα ἔτεκε τὸν Πᾶνα, διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. λέγουσι δὲ οἱ Αἰγύπτιοι, αὐτῆς τῆς μίξεως εἶναι ἔφορον τὸν Πᾶνα, ἔνθεν καὶ τραγοσκελῆ αὐτὸν ποιοῦσι διὰ τὸ κατωφερῆ εἶναι τὸν τράγον, ὃν καλοῦσιν οἱ Αἰγύπτιοι Μένδητα. ἕτεροι δὲ λέγουσιν, ὅτι πάνυ εὔμορφος καὶ σώφρων ἦν ἡ Πηνελόπη, καὶ διὰ τοῦτο ἠράσθη αὐτῆς ὁ Ἑρμῆς καὶ μετεβλήθη εἰς τράγον, καὶ ἐκνοσήσασα αὕτη μανίαν ἠράσθη τοῦ τράγου, καὶ ὀχευθεῖσα ὑπ' αὐτοῦ συνέλαβεν ἐξ αὐτοῦ καὶ ἔτεκε τὸν Πᾶνα, καὶ ἐθεοποίησεν αὐτόν. Ἐπιμενίδης δὲ ἐν τοῖς αὐτοῦ ποιήμασι Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα διδύμους φησίν, Ἀρίστιππος δὲ ἐν τῷ α' Ἀρκαδικῶν Διὸς καὶ Νύμφης Οἰνηΐδος. οἱ δὲ λέγουσι διὰ τοῦτο Πάν, ὅτι τῆς ὥρας ἐστὶ σημεῖον, τουτέστι τοῦ παντός, ὅθεν κυρίως προσαγορεύεται Πάν. συνοικειοῦται γὰρ ἡ μορφὴ τοῦ θεοῦ τῷ περιέχοντι, καὶ τὸ μὲν τῶν κεράτων ἀπομίμημα ἡλίου καὶ σελήνης καὶ μηνίσκους φασὶν εἶναι, τὸ δὲ πάρδαλιν ἐνῆφθαι τῆς γῆς φαντασίας ἕνεκα, τὰ δὲ κάτω λάσια τῶν τῆς γῆς μερῶν
324 καὶ τῶν ἐν αὐτῇ πεφυκότων, τὴν σύριγγα τῶν ἐν τῷ κόσμῳ πνευμάτων μίμησιν εἶναι, τὸ δὲ αἰγωπὸν τῶν καταιγίδων, τὰς αἰφνιδίους ταραχὰς καὶ τῶν ἀπὸ νεφῶν γινομένων περὶ τὸν ἀέρα μεταβολῶν καὶ τὰ κάτω, τουτέστι τοὺς μηροὺς δασεῖς, σημαίνοντας τοὺς ὑλώδεις τόπους, καὶ τὰ κάτω τραχέα σημαίνοντα τῶν ὀρῶν

6 λέγουσι PV, mox εὐμορφοτάτη PV 8 καὶ ἐκνοήσας αὐτὴν μαγείᾳ εἰς ἔρωτα αὐτοῦ ἐκίνησε F 11 fr. 12 13 Sic corr. Toup. ἐν τῷ Ἀρκαδικῷ PV. Cf. Müller IV, p. 327 19 ἐνῆφθαι corr. Hemsterh. et Valcken. εἰλῆφθαι PV 23 αἰφνιδιακὰς F 26 βραχέα PV

τὰ τραχέα. ἔχει καὶ τῇ μιᾷ χειρὶ τὸ δρέπανον, σημαῖνον τὴν ἐργασίαν, τῇ δὲ ἄλλῃ τὴν σύριγγα σημαίνουσαν τοὺς ἀνέμους. καὶ ἄλλως. ὁ Πὰν ὁ αὐτός ἐστι τῷ παντί, καὶ τὰ μὲν κάτω λάσια καὶ τραγώδη διὰ τὴν τῆς γῆς τραχύτητα ἔχειν, τὰ δ' ἄνω ἀνθρωπόμορφα διὰ τὸ ἐν τῷ αἰθέρι τὸ ἡγεμονικὸν εἶναι τοῦ κόσμου, ὅ δὴ λογικόν ἐστι. λάγνον δὲ καὶ ὀχευτὴν αὐτὸν παρεισάγουσι διὰ τὸ πλῆθος τῶν σπερματικῶν λόγων, οὓς εἴληφε, καὶ τῶν κατὰ σύμμιξιν ἐξ αὐτῶν γινομένων. ἐν ταῖς ἐρήμοις δὲ διατρίβειν, μάλιστα τῆς μονότητος αὐτοῦ διὰ τούτου παρισταμένης, εἷς γὰρ καὶ μονογενὴς ὁ κόσμος ἐστί. τὰς δὲ Νύμφας διώκει, ἐπειδὴ χαίρει ταῖς ἐκ γῆς ὑγραῖς ἀναθυμιάσεσιν, ὧν χωρὶς οὐδ' οἷον τὸ ὅλον ἐμφαίνειν. τὸ δὲ σκιρτητικὸν αὐτοῦ καὶ πηδητικὸν τὴν ἀεὶ κίνησιν τῶν ὅλων ἐμφαίνει. νεβρίδα δὲ ἢ πάρδαλιν αὐτῷ ἐνῆφθαι διὰ τὴν ποικιλίαν τῶν ἄστρων καὶ τῶν ἄλλων χρωμάτων, ἃ θεωρεῖται ἐν αὐτῷ. συρικτὴν δὲ εἶναι τάχα μὲν διὰ τὸ ὑπὸ παντοίων ἀνέμων διαπνεῖσθαι, τάχα δ' ἐπεὶ τὴν ἐκμέλειαν ἀγριοφανῆ καὶ αὐστηράν, ἀλλ' οὐ πρὸς ἐπίδειξιν ἔχειν. τὸ δ' ἐν τοῖς ὄρεσιν αὐτὸν καὶ τοῖς σπηλαίοις διαιτᾶσθαι καὶ τὸ τῆς πίτυος στέμμα ἐπηκολούθησεν, ὄρειόν τι καὶ μεγαλοπρεπὲς ἔχοντος τοῦ φυτοῦ, ἔτι δὲ τὸ Πανικὰς λέγεσθαι ταρα-

---

4 τοῦ παντός PV 5 τὸ τῆς γῆς PV 6 τὸ τὸν αἰθέρα PV 8 παρεισάγουσιν PV 11 τὴν μονότητα — παριστάμενοι PV 13 ἐκ τῶν ὑγρῶν PV 14 τὸ δὲ σκιρτητικὸν — ἐμφαίνει addidi ex F propter ἐμφαίνω bis usurpatum om. PV 17 ἄλλων pro ἄστρων perperam PV 18 συρικτὴν scripsi cum F συρτὸν PV 21 ἔνδειξιν PV 22 πίτεως PV 24 πανικὸν PV

χὰς τὰς ἀφνιδίους καὶ ἀλόγους. οὕτω γάρ πως καὶ αἱ ἀγέλαι καὶ τὰ αἰπόλια πτοεῖται, ψόφου τινὸς ἐξ ὕλης ἢ τῶν ὑπάντρων καὶ φαραγγωδῶν τόπων ἀκούσαντα. οἰκείως δὲ καὶ τῶν ἀγελαίων θρεμμάτων αὐτὸν ἐπίσκοπον ἐποιήσαντο, τάχα μὲν διὰ τοῦτο καὶ κεράστην καὶ διχηλὸν πλάττοντες, τάχα δὲ τὸ διττὸν τῶν ἐξεχόντων αὐτῷ ὤτων αἰνιττόμενοι. ἴσως δ' ἂν οὗτος καὶ ὁ Πρίαπος εἴη, καθ' ὃν πρόεισιν εἰς φῶς πάντα, τῶν ἀρχαίων δεισιδαιμόνως καὶ ἁδρῶς αὐτόν, δι' ἃ ἐφρόνουν περὶ τῆς τοῦ κόσμου φύσεως, παριστάντων. ἐμφαίνει γοῦν τὸ μέγεθος τῶν αἰδοίων τὴν πλεονάζουσαν ἐν τῷ θεῷ σπερματικὴν δύναμιν, ἡ δ' ἐν τοῖς κόλποις αὐτοῦ παγκαρπία τὴν δαψίλειαν τῶν ἐν ταῖς οἰκείαις ὥραις ἐντὸς τοῦ κόλπου φυομένων καὶ ἀναδεικνυμένων καρπῶν. παρεισάγεται δὲ καὶ αὐτὸς φύλαξ τῶν τε κήπων καὶ τῶν ἀμπέλων, ἐπειδὴ κατὰ τὸν γεννῶντά ἐστι καὶ τὸ σῴζειν, ἃ γεννᾷ, καὶ τοῦ Διὸς ἐντεῦθεν σωτῆρος εἶναι λεγομένου. καὶ τὸ
325 μὲν πολύφορον καὶ καθαρὸν αἱ ἄμπελοι παριστᾶσι, μάλιστα δὲ τὸ ποικίλον καὶ τὸ ἐπιτερπὲς καὶ ῥᾳδίαν τὴν γένεσιν ποιούμενον οἱ κῆποι, τοιαύτην ὡς ἐπίπαν αὐτοῦ καὶ τὴν ἐσθῆτα ἔχοντος. δρέπανον δὲ ἐν τῇ δεξιᾷ χειρὶ προτείνει, πότερον ἐπεὶ τούτῳ χρῶνται πρὸς τὴν κάθαρσιν τῶν ἀμπέλων, ἢ ἐπεὶ κατὰ τὸν τηροῦντά τί ἐστι καὶ καθωπλίσθαι πρὸς ἀσφάλειαν αὐτοῦ, ἢ ὡς τῆς αὐτῆς δυνάμεως μετὰ τὸ ἐνεγκεῖν

---

4 *αὐτὸν* addidi ex F om. PV 9 Sic F *δ' εἰσὶ δαιμόνων καὶ ἁδροὶ* PV 12 *θεῷ* F *αἰδοίῳ* PV 13 *πάγκαρπος* PV 19 Sic F *πολύφωνον* PV *παριστῶσι* PV 24 *διακάθαρσιν* F 25 *καθώπλισται* et mox *τοιαύτης* PV

τὰ ὄντα, ἐκτεμνούσης αὐτὰ καὶ διαφθειρούσης. ἀγαθὸς δὲ δαίμων, ἤτοι πάλιν ὁ κόσμος ἐστὶ βρίθων καὶ αὐτὸς τοῖς καρποῖς ἢ ὁ προεστὼς αὐτοῦ λόγος, καθ' ὅσον δατεῖται καὶ διαμερίζει τὸ ἐπιβάλλον, ἀγαθὸς διαιρέτης ὑπάρχων. προστάτης δὲ καὶ σωτὴρ τῶν οἰκείων ἐστὶ τῷ σώζειν καλῶς τὸν ἴδιον οἶκον καὶ ὑπόδειγμα παρέχειν ἑαυτὸν καὶ τοῖς ἄλλοις. τὸ δὲ τῆς Ἀμαλθείας κέρας οἰκεῖον αὐτῷ φόρημά ἐστιν, ἐν ᾧ ἅμα πάντα ἀλδήσκει τὰ κατὰ τοὺς οἰκείους καιροὺς φυόμενα, ἀλλ' οὐ περὶ ἕν τι αὐτῷ γινόμενα, περὶ πολλὰ δ' ἀθρόως. καὶ ποικίλλει καὶ ἐμπεριόδως ἀμαλδύνει ἢ πάλιν κεραΐζει πάντα διὰ τὴν γενομένην ἐξ αὐτοῦ πρὸς τὸ πονεῖν προτροπήν, ὡς τῶν ἀγαθῶν τοῖς μὴ μαλακιζομένοις προσγινομένων.

DCCXLVIII. *Περὶ τοῦ Πανδάρεω.*

Πανδάρεω, ᾧ πατὴρ Μέροψ ὁ Μιλήσιος, κοῦραι Μερόπη, Κλεοθήρα καὶ Ἀηδών. τούτων ἡ πρεσβυτάτη Ἀηδὼν Ζήθῳ τῷ Ἀμφίονος ἀδελφῷ γαμηθεῖσα ἔσχεν υἱὸν ἕνα τὸν Ἴτυλον. φθονοῦσα δὲ τῇ τοῦ δαέρος Ἀμφίονος πολυτεκνίᾳ (συχνοὶ γὰρ αὐτῷ ἐγίνοντο παῖδες ἐκ Νιόβης τῆς Ταντάλου ἢ Ἱππομεδούσης), ἐπεὶ ἑώρα τὸν υἱὸν Ἴτυλον συναθύροντα ἐκείνοις καί ποτε καὶ συνανακλινόμενον, παραγγέλλει κατα καιρὸν τῷ παιδὶ ἰδίᾳ κοιτασθῆναι, ἢ κατά τινας τὴν

DCCXLVIII. Eustath. Od. p. 1875

---

4 *δεῖται* PV 5 Sic F *τεχνίτης* PV 8 *φρόνημα* perperam PV 9 *ἀλδήσκει* F *διώκει* PV 10 *αὐτὸν γινόμενον* PV 11 *ποικιλία* et *ἀμαλθύνει* omisso *καὶ* ante *ἐμπεριόδως* PV 16 *Κλαιοθήρα* F

ἐνδοτέρω κοίτην ἑλέσθαι, ὡς ἂν ἀωρὶ νυκτὸς αὐτὴ ἐπελθοῦσα τὸν πρῶτον ἀποσφάξῃ τῶν Ἀμφίονος παίδων, ὁ δὲ ἦν Ἀμαλεύς. τοῦ δὲ Ἰτύλου ἐκλαθομένου ἢ ἄλλως μὴ ὑπακούσαντος, ἐπεισφρήσασα νυκτὸς ἡ Ἀηδὼν ἀποσφάττει τὸν παῖδα Ἴτυλον, εἰς τὸν Ἀμαλέα δοκοῦσα βάπτειν τὸ ξίφος. ὡς δὲ τοῦ φθόνου κακὸν οὕτω κατέσκηψεν εἰς τὸν Ἴτυλον, κάτοχος ἡ μήτηρ γενομένη τῷ πένθει αἰτεῖ θεοὺς ἐξ ἀνθρώπων γενέσθαι, καὶ ἀλλαγεῖσα εἰς ἀηδόνα τὴν φαινομένην τὸ τοῦ Ἰτύλου πένθος ὅμως οὐ μετήλλαξεν, ἀλλ' ἐπὶ στόματος ἔχει αὐτὸ ᾄδουσα. ἄλλοι δὲ τὴν ἄνθρωπον Ἀηδόνα οὐκ ἀγνοοῦσάν φασι τὸν Ἴτυλον ἀνελθεῖν, ἀλλὰ ἑκοῦσαν· κτείνασα γάρ, φασί, τὸν τοῦ Ἀμφίονος Ἀμαλέα, εἶτα δὴ φόβῳ τῆς ἐκείνου γυναικὸς καὶ τὸν ἴδιον Ἴτυλον ἐπέσφαξε, φθάνουσα τὴν ἐλπιζομένην
326 ἐκ τῆς δυσμενοῦς κόλασιν. καὶ τάδε περὶ Ἀηδόνος ὑπὸ τῶν περὶ τὸν Ποιητὴν ἱστορεῖται. τὰ δὲ κοινῶς γραφόμενα περὶ αὐτῆς ὑπὸ τῶν μεθ' Ὅμηρον ἐν τῷ περὶ Πανδίονος λεχθήσεται. [καὶ ἄλλως. Πανδαρέου δύο κούρας τοκέων λειφθείσας ἐκόμισεν Ἀφροδίτη. ὡραίας δὲ γάμου γενομένας ἀνηρείψαντο Ἅρπυιαι καὶ παρεδόθησαν Ἐριννύσιν ἀμφιπολεύειν. ἴσως γὰρ περικαλλεῖς μὲν οὖσαι, δι' ὀρφανίαν δὲ δυσπραγοῦσαι καὶ εἰς ὑποδύσκολον καὶ οἷον εἰπεῖν ἐριννυῶδες ἦθος μεταβληθεῖσαι τῇ λύπῃ ᾤχοντο ἀνώνυμοι, καὶ διὰ τοῦτο ἀνέμοις ἐπαχθῆναι καὶ Ἐριννύσι παραδοθῆναι

---

2 ἀποσφάζῃ PV   10 ἐπὶ τὸ στόμα F, paullo post αὔτὸν F utrumque nostra lectione deterius   17 Od. XIX, 518   19 Haec usque ad finem articuli ex Eustathio postea addita esse suspicor   20 τοκέας — Ἀφροδίτη PV   λειφθείσας P ληφθείσας V

μυθεύονται. ἡ δὲ Πηνελόπη παρ' Ὁμήρῳ ἐν υ' εὔχεται ταῖς τοῦ Πανδαρέου θυγατράσιν ὁμοιωθῆναι, κατά γε τὸ ἁρπαγῆναι θυέλλαις προφερούσαις εἰς ἠερόεντα κέλευθα. περὶ δὲ τοῦ ῥηθέντος Πανδαρέου φέρεται λόγος, ὅτι κύνα κλέψας χρυσοῦν ἐν Κρήτῃ, Ἡφαίστου ἔργον ἔμψυχον, ἐκ τοῦ Διὸς τεμένους, παρεκάθετο Ταντάλῳ. Διὸς δὲ ἀπαιτοῦντος τὸ κλέμμα δι' Ἑρμοῦ, ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν, καὶ Ζεὺς μὲν τὸν κύνα, Ἑρμοῦ ὑφελομένου, ἀπολαβὼν κατέστρεψε τῷ Ταντάλῳ τὸ Σίπυλον. ὁ δὲ Πανδάρης ἢ Πανδάρεως φυγὼν εἰς Ἀθήνας, ἐκεῖθεν εἰς Σικελίαν διέβη, ἔνθα διεφθάρη, φασί, μετὰ τῆς γυναικὸς Ἁρμοθόης.]

DCCXLIX. *Περὶ Πανδάρου.*

Πάνδαρον λέγει ὁ Ποιητὴς ἐξ αὐτοῦ τοῦ Ἀπόλλωνος λαβεῖν τὸ τόξον, ἤγουν τὴν τοξείαν, ὅ ἐστι τὴν τοξικὴν ἐπιστήμην. καὶ ἔστι, φασίν, ὁ τρόπος μετωνυμία. ἔθος δὲ ποιηταῖς ἱστορεῖν, τοὺς περί τινα τέχνην δεξιοὺς θεόθεν ἔχειν τὰ ὄργανα. οὕτω καὶ ἄλλως τις αὐλῶπιν ἔχει τρίπτυχον,

τήν οἱ πόρε Φοῖβος Ἀπόλλων.

καὶ κίθαριν δέ τις καὶ ἕτερος λύραν, καὶ ἄλλος ἀσπίδα, ἤ τι ἀλλοῖον ὅπλον ἐκ θεῶν λαβεῖν μεμύθευται. τὰς γὰρ εἰς ἄκρον, φασίν, εὐεξίας, θεοῖς ἀνατιθέασιν οἱ ποιηταί.

DCCXLIX. Eustath. Il. p. 355

---

1 *υ'* recte P *γ'* pessime V. Cf. Od. XX, 66 6 *τεμένοις* P corr. V *παρακατέθετο* F 12 Sic F *Ὁρμοθόης* PV 13 Il. II, 827 19 Il. XI, 353

DCCL. *Περὶ Πανδίονος.*

Πανδίων γεννᾷ Τεύθραν (οὗ Θεσπιάδης, οὗ κτίσμα Θέσπεια, πόλις Βοιωτίας), Πρόκνην (ἧς Ἴτυς), Φιλομήλαν.

327 *Πανδίονος, Ἀττικοῦ τυράννου, γίνεται Πρόκνη καὶ Φιλομήλα. τούτων ἡ Πρόκνη γαμεῖται Τηρεῖ τῷ Θρᾳκί, καὶ γίνεται τῷ μετοικισμῷ ἐξ Ἀττικῆς γυναικὸς Θρᾳκική. μέλλοντα δέ ποτε ἐκ Θρᾴκης Ἀθήναζε τὸν Τηρέα ἥκειν ἱκέτευσεν ἡ γυνὴ τὴν ἀδελφὴν Φιλομήλαν ἐν τῷ ἐπανήκειν συνενέγκασθαι. ὁ δὲ ποιεῖ μὲν τοῦτο, περὶ δὲ τὴν ὁδὸν ἐν Αὐλίδι τῆς Βοιωτίας βιάζεται τὴν κόρην καὶ φθείρας γλωσσοτομεῖ, ὡς ἂν μὴ ἔχοι τῇ ἀδελφῇ ἐκλαλῆσαι τὸ πάθος. ἀλλ' ἡ Φιλομήλα εἰς Θρᾴκην ἐλθοῦσα ἐν ἱστῷ ἐξυφαίνει τὴν βίαν, καὶ ἐπεὶ μὴ εἶχε τῇ γλώττῃ, ἐμφαίνει τῇ χειρί. καὶ ἡ Πρόκνη τὴν τῆς ἀδελφῆς γλῶτταν ἀντισταθμεῖται τοῦ παιδός, καὶ ἀνελοῦσα τὸν υἱὸν Ἴτυν παραβάλλει τῷ ἀνδρὶ φαγεῖν. ὁ δὲ παθὼν τὴν βρῶσιν ἀλλ' ὕστερον γνωρίζει τὸν παῖδα λειψάνοις μικροῖς τεκμηράμενος καὶ διώκει τὰς ἀδελφάς, τῷ παιδὶ συγκαταθύσων αὐτάς. αἱ δὲ φεύγουσι καὶ τοὺς κρείττονας αἰτησάμεναι πτερύσσονται, εἰς χελιδόνα μὲν ἡ Πρόκνη,*

DCCL. Eustath. Od. p. 1875 sed auctius Violarium Eustathio

---

1 De hac genealogia cf. Steph. Byz. s. *Θέσπεια* et Eustath. Il. p. 266 5 *Φιλομήλα* in F omnibus locis legitur, quibus *Πρόκνη* PV offerunt, et *Πρόκνη*, quibus illi *Φιλομήλα*. Eandem lectionis diversitatem invenies in fabula *περὶ Ἴτυος*, quam Eudocia p. 240 tradidit 7 *ἐκ Θρᾴκης* om. F 10 *ἐν Αὐλίδι τῆς Βοιωτίας* om. F 13 *εἰς Θρᾴκην ἐλθοῦσα* om. F 15 Sic correxi, *ἀντισταθμᾶται* F *ἀντισταθμοῦται* PV

Φιλομήλα δὲ εἰς ἀηδόνα. τινὲς δὲ τὴν Φιλομήλαν γαμετὴν Τηρέως εἶναι οἴονται εἰς ἀηδόνα μεταμορφωθεῖσαν, Πρόκνην δὲ τὴν βιασαμένην καὶ εἰς χελιδόνα ἀπωρνεομένην. διὸ τραχύφωνος μέν ἐστιν ἡ χελιδὼν καὶ ἀηδὴς τὸ μέλος, οἷα κολουσθεῖσα τῆς γλώττης, καὶ συχνὰ τὸν Τηρέα ὑποτραυλίζουσα κατὰ στόμα προφέρει „Τηρεύς με," λέγουσα, „ἐβίασεν"· ἀηδὼν δὲ τὸν Ἴτυν τοῦ μέλους προβάλλεται „Ἴτυ, Ἴτυ" ἐλεεινῶς φθέγγουσα. Τηρεὺς δὲ εἰς ἔποπα μορφωθεὶς „ποῦ ποῦ ἄρα εἰσίν," ἀναφωνεῖ συχνά, „αἵ μοι τὸν παῖδα πρὸς εὐωχίαν παρέθηκαν." Ὅμηρος τοίνυν τὸν Ἴτυν Ἴτυλον λέγει, καὶ οὔτε μέμνηται Πανδίονος, εἰ μὴ ἄρα διώνυμος ἐκεῖνος ἦν Πανδάρεός τε καὶ Πανδίων καλούμενος, οὔτε Πρόκνης, οὔτε Τηρέως.

DCCLI. *Περὶ Πανδώρας.*

Πανδώρα, τῷ Ἡφαίστῳ πυρὶ καὶ γῇ ἀναπλασθεῖσα, ἀνεδόθη καὶ ἐπεκοσμήθη γυνή, ἤγουν ἡ πάντα δωρουμένη τῷ βίῳ συναγωγὴ τῶν τεχνῶν, ἢ ἡ ἐκ πάντων τῶν θεῶν καὶ τῶν ψυχικῶν δυνάμεων καθ' Ἡσίοδον συγκεκραμένη καὶ δῶρα λαβοῦσα, ἐκ μὲν γὰρ πυρὸς Ἡφαίστου τὰ ὑλικὰ καὶ ὀργανικά, ἐκ δὲ τῆς φρονήσεως Ἀθηνᾶς τὸ κατασκευαστικὸν καὶ ἀγχίνουν, ἐκ δὲ τῆς Ἀφροδίτης, ἤγουν τῆς συγκράσεως, τὸ ὡραῖον,

DCCLI. Schol. Hes. Oper. 56 (p. 79 Gaisf.)

---

1 *τινὲς δὲ — ἀπωρνεομένην* om. F 7 *Τηρεύς — ἐβίασεν* om. F 8 *Ἴτυ — φθέγγουσα* om. F 10 *αἵ μοι — παρέθηκαν* om. F 13 *Πανδάρεος* P *Πανδάρεως* V. Cf. Od. XIX, 522 15 Talia ipse tentavi, *πυρὶ ἐπλάσθη* breviter F *πυρὶ τῆς γῆς ἀναπλασθείσης* PV 19 Oper. 81 21 *ἀγχίνουν* P *ἀρχίνουν* V

τὸ δ' ἀναιδὲς καὶ δραστήριον καὶ περὶ τὰς ἐμπορίας αἱμύλον ἐκ τοῦ Ἑρμοῦ, ἤτοι τοῦ προφορικοῦ λόγου. ἐπεὶ δ' ἐκ πυρὸς καὶ φρονήσεως ἡ γυνή, ἤγουν τὸ κόσμιον, ἐφάνη τῶν τεχνῶν, καὶ ὁ πολυστήμων ἱστὸς καὶ ἡ σύστασις πασῶν τῶν τεχνῶν ἐδιδάχθη κατὰ πι-
328 *κρὰν εἱμαρμένην καὶ τοῖς μεταγενεστέροις ἐδόθησαν. καὶ οὕτως ὁ βίος συμφοραῖς ἐπεπλήμμυρεν. ἡ ὀργὴ δὲ τοῦ Διός, ἤγουν τῆς εἱμαρμένης, καὶ ὁ χόλος καὶ αἱ λαλιαὶ καὶ τὰ λοιπά, ἅπερ προσωποποϊκῶς οἱ ποιηταὶ μυθεύονται, ἐφθέγξατο ἄν, εἰ ἦν αἴσθησις καὶ φωνὴ τῇ εἱμαρμένῃ, ὅτι προβουλότεροι ἐξ ἀπλάστων γεγονότες οἱ ἄνθρωποι τὸ πῦρ κατέσχον καὶ τὰς τέχνας ἐπεχείρουν διὰ τούτου εὑρίσκειν. καὶ εἶπεν ἂν ἐπιγελάσασα τὸ σαρδόνιον, ὅτι ὑμεῖς ὄψεσθε· δώσω γὰρ ὑμῖν, ὃ ποθεῖτε, ἐκ τοῦ πυρὸς εὑρεθῆναι τὰς τέχνας, ὑφ' ὧν ἁβρότης μὲν καὶ ὡραιότης καὶ πᾶν τερπνὸν τῷ βίῳ γενήσεται, ἀλλ' οὐ χωρὶς ὀδυνῶν καὶ διηνεκῶν μυρίων πόνων καὶ περιστάσεων.*

DCCLII. *Περὶ τῆς ἐν τῷ οὐρανῷ παρθένου.*

Τὴν παρθένον Ἡσίοδος [ἐν Θεογονίᾳ] Διὸς καὶ Θέμιδος λέγει, καλεῖσθαι δὲ Δίκην, ἣ πρότερον ἀνθρώποις ἐπὶ γῆς συνῆν, ὕστερον μέντοι μισήσασαν δι' ἀδικίαν ἐσχάτην εἰς οὐρανοὺς ἀνελθεῖν. οἱ δὲ

DCCLII. Eratosth. Cataster. 9

9 Haec in F sic leguntur: *καὶ τὰ λοιπὰ προσωποποιία εἰσί. παρεισάγει γὰρ τὴν εἱμαρμένην, ὡς διά τινα ταῦτα δρῶσαν. τοῦτο δὲ παρὰ τοῖς ῥήτορσι τὸ καθ' ὑπόθεσιν σχῆμα καλεῖται. οὕτω γὰρ ὤφειλεν εἰπεῖν· εἰ ἦν αἴσθησις εἱμαρμένῃ, ἐφθέγξατο ἂν καὶ ὠργίσθη,* quae certe Tzetzae verba sunt. Retinui lectionem, quam PV exhibent 14 *ἐπεγγελάσασα* F 19 *ἐ. Θ.* removit Schaubach. Theog. 901 20 Oper. 256

Ἀστραίου θυγατέρα, τοῦ πρώτου τὴν ἀστέρων εὑρόντος ὀνομασίαν. οἱ δὲ Δήμητρα εἶναι διὰ τὸ στάχυν ἐν χειρὶ κατέχειν, ἐνδεικνυμένην τὴν γεωργίαν. οἱ δὲ Ἶσιν, οἱ δὲ Ἀταργάτιν, οἱ δὲ Τύχην. διὸ καὶ ἀκέφαλον αὐτὴν σχηματίζουσιν.

DCCLIII. *Πάριδος γενεαλογία.*

Ζεὺς γεννᾷ ἐκ τῆς Ἠλέκτρας, τῆς Ἄτλαντος θυγατρός,

Δάρδανον (ἐξ οὗ Δαρδανία ἡ Τροία),
οὗ Ἐριχθόνιος,
οὗ Τρὼς (ἐξ οὗ ἡ Τροία),
οὗ Ἀσσάρακος, Ἶλος (ἐξ οὗ καὶ Ἴλιον), Γανυμήδης,
οὗ Λαομέδων,
οὗ Ἱκετάων, Κλύτιος, Πρίαμος, Τιθωνός, Λάμπων,
οὗ
Πάρις, Ἕκτωρ (οὗ Ἀστυάναξ), Ἕλενος, Πολύδωρος,
Εὔφορβος, Κασσάνδρα, Πολυξένη καὶ ἄλλοι.

[Κατὰ γαστρὸς ἔχουσα τὸν Πάριν ἡ μήτηρ Ἑκάβη ὄναρ ἐθεάσατο, ὅτι ἔτεκε δαλόν, ἀφ' οὗ κατεφλέ- 329
χθη πᾶσα ἡ πόλις καὶ ἡ ἑστῶσα ἐν τῇ Ἴδῃ ὕλη. τοῦτο δὲ το ἐνύπνιον ἀκούσαντες οἱ μάντεις καὶ οἱ περὶ τοὺς ὀνείρους δεινοὶ εἶπον, τὸ τεχθὲν παιδίον εὐθέως μικρὸν ὂν ῥιφῆναι θηρσὶ βοράν. τεχθέντα τοιγαροῦν τὸν Ἀλέξανδρον ἐξέθηκαν ἐν τῇ Ἴδῃ, Ἀρχελάῳ οἰκέτῃ παραδιδόντες, ὃν ἄρκτος ἐκκείμενον

DCCLIII. Compilavit Apollod. III, 12, 1 seq. Sequentia pluries repetita ex p. 34, 35, 126, 314, 394 sunt, quibus locis omnes narrationum fontes indagare licet

1 Haec usque ad *ὀνομασίαν* om. F *εὑρόντα* PV 4 *Ἀταργανητὴν* et *ἀνέφελον* PV *οἱ δὲ* add. ex F

πέντε ἡμέρας, φασίν, ἐθήλαζεν. εἶτα πάλιν ὁ Ἀρχέλαος ἑωρακὼς ὄντα εὐειδέστατον, ἀνελόμενος ἀπὸ τῶν χωρίων ὡς ἴδιον ἔτρεφεν, Πάριν κατονομάσας, ὅτι τὸν μόρον παρῆλθεν. ὕστερον δὲ καὶ Ἀλέξανδρος ἤκουσεν, ὅτι τῇ πατρίδι ἠλέξησεν, ὅ ἐστιν ἐβοήθησε, πολέμου ἐπελθόντος. ἱστοροῦσι δὲ αὐτὸν ἥδιστον τὸ εἶδος γεγονέναι, ἐπίχαρίν τε τὴν φωνὴν καὶ τὸ ἦθος, ἅτε τῇ Πελοποννήσῳ ἐπιμίξαντα, καὶ Τρωσὶ μὲν ἀπηχθῆσθαι πᾶσι, κακὸν δ' οὐκ εἶναι τὰ πολέμια, ἀλλὰ μάχεσθαι πάντας τρόπους καὶ τὴν ἐπιστήμην, ὁπόση τόξων, μὴ λείπεσθαι τοῦ Πανδάρου. Ὅμηρος μέντοι, ὡς δηλόν, ἐλάφῳ αὐτὸν εἰκάζει, τοιοῦτον γὰρ τὸ ζῶον. ὅτι δὲ φιλῳδὸς ἦν ὁ αὐτὸς Ἀλέξανδρος, δηλοῖ καὶ ἡ κιθάρα, ἣν αὐτῷ Ἕκτωρ ὀνειδίζει. ἔστιλβε δὲ καὶ τοὺς ὄνυχας τῶν χειρῶν καὶ ὑπόγρυπος ἦν καὶ λευκὸς καὶ τὸ ὄμμα ἐγέγραπτο. ἡ δὲ ἑτέρα ὀφρὺς ὑπερῆρε τοῦ ὄμματος. ἀλλὰ καὶ κόσμου ἕνεκεν περιήθρει μὲν ἑαυτόν, περιεσκόπει δὲ τὰ ὅπλα, δορὰς δὲ παρδάλεων ἐνῆπτο τοῖς ὤμοις. αὐχμὸν δὲ προσιζάνειν ταῖς κόμαις, οὐδὲ ὁπότε μάχοιτο, ἠνείχετο. φασὶ δὲ αὐτὸν εἰς τὴν Ἑλλάδα ἔφηβον πλεῦσαι, ὅτε δὴ ξένον τοῦ Μενελάου γενέσθαι αὐτὸν καὶ τὴν Ἑλένην ἑλεῖν τῷ εἴδει. Στησίχορος δέ φησιν, ὅτι διερχομένου Ἀλεξάνδρου δι' Αἰγύπτου, ὁ Πρωτεὺς Ἑλένην ἀφελόμενος, εἴδωλον Ἑλένης αὐτῷ ἔδωκε, καὶ οὕτως ἔπλευσεν εἰς Τροίαν. τοῦτον Φιλοκτήτης τοξεύσας βάλλει πρῶτον κατὰ χεῖρα λαιάν, εὐθὺς δὲ δεύτερον ὀϊστὸν ἀφεὶς ἐκκόπτει τούτου τὸν δεξιὸν ὀφθαλμόν, καὶ τρίτῳ βέλει

---

3 κατωνομάσας PV

κατὰ σφυρὸν πείρας, αὐτὸν ἀναιρεῖ οὔπω τριακοντούτην. φασὶ δέ, ὅτι ἡ Οἰνώνη, Κεβρῆνος θυγάτηρ, φαρμακουργὸς οὖσα καὶ βουλομένη θεραπεῦσαι Ἀλέξανδρον ἐκωλύθη παρὰ τοῦ πατρὸς αὐτῆς. τελευτήσαντος δὲ ἐκείνου, ἑαυτὴν συναναιρεῖ· ἢ κατὰ Κόϊντον, ἑαυτὴν ἐμβαλοῦσα εἰς τὴν Ἀλεξάνδρου πυράν, ἢ ἀπαχθεῖσα, ἢ κατὰ τὸν Λυκόφρονα καταπεσοῦσα τοῦ πύργου. οὐκ ἰάσιμον δὲ τὸ ἕλκος, ἢ ὅτι τεθνηκὼς ἦν ὁ Ἀλέξανδρος καὶ ἰαθῆναι οὐκ ἠδύνατο, ἢ ὅτι κεχρισμένα ἦν τὰ βέλη τοῦ Φιλοκτήτου, οἷς Ἀλέξανδρος ἐτοξεύθη, τῷ ἰῷ τῆς Ὕδρας. ταύτην καὶ γὰρ τὴν Οἰνώνην πρὸ Ἑλένης εἶχεν Ἀλέξανδρος, ἐξ ἧς αὐτῷ Κόρυθος·
ὃν Κόρυθον ὀνειδιζομένη παρὰ τοῦ Πριάμου διὰ 330
τὸν ψόγον καὶ τὴν μομφὴν τοῦ ἀνδρος αὐτῆς καὶ διὰ τοὺς ἐπεισάκτους γάμους τῆς Ἑλένης ἀγριωθεῖσα ἔπεμψεν ἡγησόμενον τοῖς Ἕλλησι τοῦ ἐπὶ Τροίαν πλοῦ. οἱ δέ φασιν, ὅτι τὰ πρῶτα ἐπιστρατεύσαντες τῇ Τροίᾳ οἱ Ἕλληνες ἥμαρτον τῆς ὁδοῦ καὶ τὴν μηδὲν αὐτοῖς εἰς τιμωρίαν προσήκουσαν γῆν ἐληΐζοντο, ἡ δὲ ἦν ἡ ὑπὸ Τηλέφῳ Μυσία. ὁ δὲ Τήλεφος ἀντικαταστὰς ἐποίησέ τι κακὸν καὶ ἔπαθε. πέπονθε μὲν τραῦμα δεινὸν ὑπ' Ἀχιλλέως, ἀμπέλου ἕλικι συμποδισθέντος αὐτῷ τοῦ ἵππου κατὰ Διονύσου πρόνοιαν καὶ πεσόντος εἰς γῆν, ἐποίησε δὲ τὸ ἀπράκτους ὑποχωρῆσαι τοὺς Ἕλληνας. ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον, ἐμαντεύσατο, καὶ ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλούμενον, ὡς ἄρα ὁ τρώσας ἰάσεται. πλέει γοῦν τὴν ταχίστην ἐπ' Ἀχιλλέα καὶ συμβαίνει τὸν μὲν [ἰάσασθαι τὴν

---

2 *Σκεβρῆνος* PV   16 *ἡγησάμενον* PV

ὠτειλήν, τὸν δὲ δοῦναι μισθὸν τῆς ὑγείας, τὴν εἰς Τροίαν ὁδηγίαν. ὡς οὖν ἅπαξ ποτὲ τὴν ἀρχὴν ἐπλανήθησαν, οὕτω, φασί, τὸ δεύτερον δέδιεν Ἀχιλλεύς, μὴ πάλιν πλαγχθῶσι, καὶ οὕτω μέν τινες ἀκολουθοῦντες καὶ τῷ Γεωγράφῳ εἰπόντι, ὅτι ὁ τοῦ Ἀγαμέμνονος στόλος Μυσίαν, ὡς Τρωάδα, πορθῶν, ἐπαλινδρόμησεν αἰσχρῶς. ἄλλοι δὲ οὐκ ἀρεσκόμενοί φασιν, ὅτι οὔτε τὸ πάλιν ὅλως ἐπὶ τοῦ ἐκδευτέρου κεῖταί που παρὰ τῷ Ποιητῇ καὶ οὐδὲ φαίνεται ὁ Ποιητὴς Τηλέφῳ ἢ ἑτέρῳ τινὶ ἀνατιθεὶς τὴν ὁδηγίαν τὴν εἰς τὴν Ἴλιον, ἀλλὰ ἢ τῷ μάντει Κάλχαντι. λέγει γάρ, ὅτι ὁ Κάλχας διὰ τὴν αὐτοῦ μαντοσύνην ἡγήσατο ταῖς τῶν Ἀχαιῶν νηυσὶν εἰς τὴν Ἴλιον.]

DCCLIV. Περὶ τῆς Πασιφάης.

Πασιφάη ἡ Ὀδυσσέως ἐκ τῆς Κίρκης, γαμετὴ δὲ Μίνωος, μυθεύεται ὅτι ἠράσθη ταύρου νεμομένου, Δαίδαλον δὲ ποιῆσαι βοῦν ξυλίνην καὶ ἐγκλεῖσαι τὴν Πασιφάην εἰς αὐτήν, οὕτω τε τὸν ταῦρον ἐπιβάντα μιγῆναι τῇ γυναικί, τὴν δὲ κυῆσαι παῖδα τὸν καλούμενον Μινώταυρον, ἔχοντα μὲν σῶμα ἀνδρός, κεφαλὴν δὲ βοός. [ἡ δὲ ἱστορία οὕτως ἔχει. Μίνωά φασιν ἀλγοῦντα τὰ αἰδοῖα θεραπευθῆναι ὑπὸ Πρόκριδος τοῦ Πανδίονος. κατ' ἐκεῖνον δὲ τὸν τῆς θεραπείας καιρὸν ἠκολούθει τῷ Μίνωϊ νεανίας εὐειδής, ὀνόματι Ταῦρος, οὗ Πασιφάη ἔρωτι ἁλοῦσα, μίγνυται αὐτῷ

DCCLIV. Palaeph. 2. Cf. Eud. p. 101 seq.

---

5 Strabo I, p. 10 20 *ἡ δ' ἱστορία* usque ad finem articuli absurde hic iterantur, quapropter uncis circumsepsi 21 *Κριδός* ex solito errantes PV

καὶ γεννᾷ παῖδα. Μίνως δ' ἐπιλογισάμενος τὸν χρόνον τῆς ἀλγηδόνος τῶν αἰδοίων καὶ γνούς, ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ὁ παῖς διὰ τὸ μὴ συγκοιμᾶσθαι αὐτὸν τῇ Πασιφάῃ, ἔγνω ὡς ἐκ τοῦ Ταύρου ἐστὶ τὸ κυηθέν. ἀποκτεῖναι μὲν οὐκ ἤθελε τὸν παῖδα διὰ τὸ δοκεῖν ἀδελφὸν εἶναι τῶν ἑαυτοῦ παίδων, ἀποπέμπει 331
δὲ αὐτὸν εἰς ὄρος, ὡς ἐν θεράποντος μοίρᾳ ὑπάρχειν τοῖς ποιμέσιν. ὁ δὲ οὐχ ὑπετάσσετο τοῖς βουκόλοις. πυθόμενος δὲ ὁ Μίνως τὰ κατ' αὐτὸν ἐκέλευσεν αὐτὸν παρὰ τῶν πολιτῶν κρατηθῆναι, καὶ εἰ μὲν ἕποιτο, λελυμένον ἐλθεῖν, εἰ δὲ μή, δέσμιον. αἰσθόμενος δὲ ὁ νεανίας ἀφίσταται εἰς τὰ ὄρη, καὶ ἁρπάζων βοσκήματα οὕτω διέζη. πέμψαντος δὲ Μίνωος καὶ ἕτερον ὄχλον πλείονα διὰ τὸ συλλαβεῖν αὐτόν, ὁ νεανίας ὄρυγμα ποιήσας βαθὺ καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο, ἔνθα ὄντος τοῦ Ταύρου, εἴ ποτε παρὰ τοῦ Μίνωος ἐκρατήθη τις ἀδικῶν, παρὰ τὸν Ταῦρον ἐπέμπετο, ὡς ὁ Ταῦρος αὐτὸν τιμωρήσαιτο, καὶ λαβὼν οὖν ποτε Μίνως τὸν Θησέα πολέμιον, ἐπὶ τὸν Ταῦρον ἀπέστειλεν, ὡς ἀποθανούμενον. γνοῦσα δὲ τοῦτο ἡ Ἀριάδνη προεισπέμπει ξίφος εἰς τὴν εἱρκτήν, δι' οὗ ὁ Θησεὺς ἀναιρεῖ τὸν Μινώταυρον.]

DCCLV. *Περὶ τοῦ Πατρόκλου.*

Πάτροκλος, ὁ καὶ Πατροκλῆς, ὁ τοῦ Μενοιτίου, φίλτατος ἦν τοῦ Ἀχιλλέως, διὸ καὶ τοῖς πιστοῖς φίλοις καταριθμεῖται, οἵτινες παροιμιακῶς τοῖς πᾶσι τεθρύλληνται, οἵτινές εἰσιν οὗτοι· Πυλάδης καὶ Ὀρέστης,

DCCLV. Eustath. Il. p. 113

Πειρίθοος καὶ Θησεύς, Πυθίας καὶ Δάμων, Ἀχιλλεὺς καὶ Πάτροκλος. ὃν ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι λέγουσα, ὅτι Ἡσίοδός φησι Μενοίτιον, τὸν Πατρόκλου πατέρα, Πηλέως εἶναι ἀδελφόν, ὡς εἶναι αὐτανεψιοὺς οὕτως ἀμφοτέρους ἀλλήλοις. ἄλλοι δέ φασιν, ὅτι Διὸς Μυρμίδων, οὗ Ἄκτωρ, ὃς Αἴγιναν γήμας μετὰ τὸ τεκεῖν τὸν ἐκ Διὸς Αἰακὸν ποιεῖται Μενοίτιον, οὗ Πάτροκλος. τούτῳ τοίνυν τῷ λόγῳ Αἰγίνης παῖδες ἀμφιπάτορες, Αἰακὸς καὶ Μενοίτιος. καὶ οὕτω πάλιν γνησία συγγένεια τῷ Πατρόκλῳ καὶ τῷ Ἀχιλλεῖ.

DCCLVI. *Διὰ τί πατρῷος ὁ Ζεὺς καὶ ὁ Ἀπόλλων καλεῖται.*

Πατρῷος Ζεὺς καὶ πατρῷος Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται· ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι, μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν, οἵτινες ταύτῃ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν· Ἀπόλλων δέ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες, ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον.

Ἄλλως. οὕτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πα-
332 *τρῷος καὶ Ἀπόλλων, διὰ τὸ πρώτους ὑποδέξασθαι τὼ θεὼ εἰς τὴν χώραν καὶ θυσίας συντελέσαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας μόνους ἀλλήλων.*

DCCLVI. Schol. Ar. Nubes 1470

---

3 fr. 74   18 *ἐτίμων* F *ἐτίμα* PV

DCCLVII. Περὶ τοῦ Πέλοπος.

Πέλοψ υἱὸς γέγονε Ταντάλου, Φρυγίας βασιλέως. ὁ Τάνταλος δὲ οὗτος πόλεμον ἐσχηκὼς μετὰ Ἴλου, τοῦ κτίσαντος τὸ Ἴλιον τὸ ἐπὶ Τροίας, καὶ φοβούμενος τὴν ἧτταν ἐπέτρεψε τῷ Πέλοπι τῷ ἰδίῳ παιδὶ λαβόντι χρήματα ἀπᾶραι ἐπὶ τὴν Ἤπειρον, εἰπὼν ταῦτα, ὅτι ἐὰν μὲν νικήσω, ὑποστρέψεις πάλιν εἰς τὴν Φρυγίαν, ἐπὰν δὲ ἡττηθῶ, μένε εἰς τὴν Εὐρώπην. λαβὼν οὖν ὁ Πέλοψ χρήματα ἦλθεν εἰς τὴν Ἑλλάδα ἐν χώρᾳ Ἀπίᾳ καλουμένῃ, ἥτις Ἀπία χώρα βασιλέα εἶχε τὸν Οἰνόμαον, ἔχοντα θυγατέρα Ἱπποδάμειαν τοὔνομα. εἶτα ἀγωνισάμενος ἐνταῦθα ὁ Πέλοψ ἱππικὸν ἀγῶνα μετὰ Οἰνομάου καὶ νικήσας ἔλαβε γυναῖκα τὴν τοῦ Οἰνομάου θυγατέρα Ἱπποδάμειαν καὶ κατέσχε τὴν χώραν, καὶ ἀντὶ Ἀπίας ἐκάλεσεν αὐτὴν Πελοπόννησον, ὅ ἐστιν ἡ τοῦ Πέλοπος νῆσος. πάντες οὖν οἱ ἀπὸ τοῦ Πέλοπος καλοῦνται Πελοπίδαι, οἷον Ἀτρεύς, Θυέστης, Ἀγαμέμνων, Μενέλαος καὶ τελευταῖος Ὀρέστης. τινὲς δὲ καὶ μυθικῶς τοῦτό φασιν, ὅτι Πέλοψ ἦλθεν ἔχων ἵππους ὑποπτέρους εἰς Πίσαν, μνηστευσόμενος Ἱπποδάμειαν. ἄλλοι δὲ πάλιν τοῦτο ἀναιροῦντές φα-

DCCLVII. Nonnus Laud. Bas. 1 (Mon. 490) *τινὲς δὲ καὶ μυθικῶς — προσανεπλάσθη* Palaeph. 30 *μυθεύεται δὲ — ἐλεφάντινον* Cosmas p. 146 (Mon. 490). Cf. Eud. p. 392 *λέγεται δὲ* — exit. Tzetzes Lyc. 54. Cf. Eud. p. 400

---

3 *τὸ* addidi ex F om. PV 6 *ὑποστρέψεις* P *ὑποστρέφεις* V 13 *τὴν Οἰνομάου θυγατέρα. ἐγὼ δὲ τὰ αὐτὰ λέγω καὶ περὶ τοῦ Πέλοπος, ἅπερ καὶ περὶ τοῦ Πηγάσου. εἰ γὰρ Οἰνόμαος ᾔδει ὑποπτέρους ὄντας τοὺς τοῦ Πέλοπος ἵππους, οὐκ ἂν δὴ τὴν θυγατέρα αὐτοῦ ἔδωκεν ἐπὶ τὸ ἅρμα αὐτοῦ ἀναβιβάσαι. ῥητέον οὖν, ὅτι καὶ Πέλοψ ἦλθεν κ. τ. λ.* F

σιν, ὅτι Πέλοψ ἦλθεν ἔχων πλοῖον. ἐπεγέγραπτο δὲ ἐπὶ τοῦ πλοίου „ἵπποι ὑπόπτεροι.“ ἁρπάσας δὲ τὴν κόρην ᾤχετο φεύγων, ὅθεν ὁ μῦθος προσανεπλάσθη. μυθεύεται δὲ καὶ ὅτι ποτὲ τῷ Ταντάλῳ ἐπεξενώθησαν οἱ θεοί, καὶ ξενίσαι βουλόμενος αὐτοὺς ἔθυσε τὸν υἱὸν αὐτοῦ τὸν Πέλοπα καὶ ἑψήσας παρέθετο αὐτοῖς. οἱ οὖν θεοὶ θαυμάσαντες ἅμα καὶ ἐλεήσαντες Τάνταλον, συναγαγόντες τὰ κρέα συνέθηκαν τὸν Πέλοπα, καὶ ἀνεβίω καὶ εὑρέθη ζῶν. εἷς δὲ τῶν θεῶν ἐκ τοῦ ὤμου φαγὼν ἐκ τῶν κρεῶν τοῦ Πέλοπος, ἐν τῇ συνθέσει τοῦ σώματος ἐλεφάντινόν τι ἐνέθηκε κατὰ τοῦ ὤμου. καὶ οὕτως ἦν ὁ Πέλοψ ἀναβιώσας ἔχων τὸν ὦμον ἐλεφάντινον, καὶ πάντες οἱ Πελοπίδαι ἐκ τοῦ ὤμου ἐγινώσκοντο, εἶχον γὰρ οἱ ἀπόγονοι τὸ μέρος τοῦ ὤμου ἐλεφάντινον. λέγεται δὲ καὶ ὅτι οἱ Ἕλληνες χρησμὸν ἔλαβον, μὴ πρότερον τὴν Ἴλιον πορθῆναι, εἰ μὴ τὰ Πέλοπος ὀστᾶ μετενεχθῶσιν ἀπὸ Ἤλιδος εἰς τὴν Ἰλιάδα, καὶ Νεοπτόλεμον τὸν Ἀχιλλέως υἱὸν καὶ τὰ τόξα τοῦ Ἡρακλέους, ἅπερ εἶχεν ὁ Φιλοκτήτης εἰς τὴν Ἰλιάδα. εἰ μὴ γὰρ οὕτω γένηται, οὐκ ἂν πορθηθείη τὸ Ἴλιον.

---

1 ἐπεγέγραπτο F ἐπέγραπτο PV. Sequentia paullo aliter narravit Cosmas: οἱ δ' ἄλλοι θεοὶ ἐλεοῦντες τὸν Τάνταλον καὶ θαυμάσαντες, ὅτι τοῦ παιδὸς αὐτοῦ κατεφρόνησε, συντιθέασι τὰ κρέα καὶ ἀποτελοῦσι σῶον τὸν Πέλοπα. ἦν δὲ παρὰ τὸ σαρκίον ἐκεῖνο, ὃ ἔφαγεν ἐκ τοῦ ὤμου ἡ Δημήτηρ. προσθέντες οὖν ἐλεφάντινόν τι κατὰ τὸν ὦμον ἐπλήρωσαν σῶον τὸν Πέλοπα. οὕτω λοιπὸν ἅπαν τὸ γένος τῶν Πελοπιδῶν ἐκ τούτου ἦν ἐπίσημον, ἐχόντων πάντων ἐν τοῖς ὤμοις τὸν ἐλεφάντινον τόπον 18 Ἰλιάδα hic et infra corr. Unger. ep. crit. p. XXIV, Ἑλλάδα bis PV 19 Ἡρακλέως PV

DCCLVIII. *Περὶ Περικλυμένου.* 333

Περικλύμενος υἱὸς Νηλέως. ὅτι δὲ οὕτως ἔχει, μαρτυρεῖ ὁ Ποιητὴς λέγων·

Νέστορά τε Χρόμιόν τε Περικλύμενόν τ'
ἀγέρωχον.

τοῦτον ἔγγονον ὄντα Ποσειδῶνος ἄλλοις τε ἐκόσμησε καὶ ἔδωκεν αὐτῷ εἰς πάντα μεταβάλλεσθαι, ὥς φησιν Εὐφορίων·

Ὅς ῥά τε πᾶσιν ἔϊκτο, θαλάσσιος ἠΰτε Πρωτεύς.

ἐν δὴ τῷ πρὸς Πυλίους πολέμῳ ἀναιρεῖται ὑφ' Ἡρακλέους, εἰς μυῖαν μεταβληθείς. τῷ ῥοπάλῳ γὰρ αὐτὸν πλήξας κατὰ συμβουλὴν Ἀθηνᾶς, ἐμπαγέντα ὥσπερ μέλιτταν τῷ κέντρῳ, οὕτως ἀπέκτεινεν. Ἡσίοδος δέ φησι, μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ζυγῷ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωϊ, τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης. φησὶ δὲ οὕτως Ἡσίοδος·

Περικλύμενόν τ' ἀγέρωχον,
Ὄλβια ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων,
Παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
Αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο θαῦμα ἰδέσθαι,
Μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,

DCCCLVIII. Schol. Apoll. I, 156

2 Od. XI, 286 8 fr. 77 Meinekii, quocum scripsi *ὅς ῥά τε* pro *ὃς δὴ* et *θαλάσσιος* pro *θαλάσσῃ*, positura post *ἔϊκτο* facta 11 *συμβουλὴν* P *συμβολὴν* V 14 *ζηγῷ* P corr. V *βουλόμενος* PV 17 fr. 44, unde reposui in v. 3 *γὰρ* pro *τε*, v. 4 *πελέσκετο* pro *πολέσκετο*, v. 5 *μελισσέων* pro *μελισσάων*, v. 6 *δῶρα* pro *αὐτὸς*, v. 8 *βουλῇ* pro *ἐν βουλῇσιν*

Ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα Παντοῖ', οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσεν Βουλῇ Ἀθηναίης.

DCCLVIII[b]. *Περικλυμένου γενεαλογία.*

Κρόνος γεννᾷ ἐκ τῆς Ῥέας
Ποσειδῶνα,
οὗ ἐξ Ἀμφιτρίτης,
Νηλεύς, Τρίτων.
οὗ ἐκ τῆς Χλώριδος [ἐκ τῆς Φάρης,]
Νέστωρ, Ταῦρος,
Περικλύμενος, Ἀστέριος,
Χρόμιος. Πυλάων,
Εὐρύβιος,
Δηίμαχος,
Ἐπιλέων,
Φράσις,
Ἀντιμένης,
Εὐαγόρας.

Ὅμηρος·
Δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν.

334 DCCLIX. *Περὶ τοῦ Περσέως.*

Περσεὺς Δανάης ἦν υἱὸς ἐκ τοῦ Διός. ἐρασθεὶς γὰρ ὁ Ζεὺς τῆς παιδός, ὡς ὁ μῦθος, καὶ εἰς χρυσόν,

DCCLVIII[b]. Schol. Apoll. I, 152 DCCLIX. Schol. Apoll. IV, 1091. Cf. Eud. p. 32 et 103. ὁ δὲ Πολυδέκτης — Ἀλέ-

---

9 Nomina Νέστωρ, Ταῦρος, Πυλάων, Δηίμαχος, Ἐπιλέων ex F emendavi pro Νέστορ, Σκῦρος, Λυκάων, Δόμαχος, Ἐπιμής, quae in PV leguntur. In nonnullis discrepat Apoll. I, 9, 9
19 γὰρ pro μὲν et ἀμύμονος pro μύμονες correxi ex Il. XI, 692

ὡς ληροῦσι, μεταστρέψας, ἀχθεὶς διὰ τοῦ ὀρόφου ἐμίγη αὐτῇ. τῶν δὲ γίνεται Περσεύς. καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη καὶ ἡ τροφός, κρύπτουσαι Ἀκρίσιον τὸν αὐτῆς πατέρα. οὗτος καὶ γὰρ σιδηροῦν ποιήσας θάλαμον ἐνέκλεισεν αὐτήν, ὅπως τὸν τρόπον τοῦτον μείνῃ παρθένος. χρωμένῳ γὰρ αὐτῷ περὶ ἄρσενος παιδὸς ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην, ἐκ δὲ τῆς θυγατρός, πρὸς οὗ αὐτὸν δεῖ ἀναιρεθῆναι. ὁ δὲ παρελθὼν εἰς Ἄργος τὸν χαλκοῦν ποιεῖ θάλαμον ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ, ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς μὴ γένηται. ἀλλ' ὁ Ζεὺς πάντα δύναται. ὅτε δὲ ὁ Περσεὺς τετραετὴς ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος ὁ Ἀκρίσιος, καὶ διὰ τῶν θεραπόντων τὴν Δανάην σὺν τῇ τροφῷ μετακαλεσάμενος τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν τοῦ Ἑρκίου Διὸς βωμόν. μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς, ἡ δὲ ἔφη, ἐκ Διός. ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ξυλίνην ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδὸς καὶ κλείσας καταποντοῖ. καὶ φερόμενοι ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον, ἧς ἐβασίλευε Πολυδέκτης, υἱωνὸς Ποσειδῶνος, ἀδελφὸν ἔχων Δίκτυν. οὗτος δὲ δικτύῳ ἁλιεύων κατὰ τύχην αὐτοὺς ἐξέλκει, καὶ ἀνοίξας τὴν λάρνακα καὶ μαθών, τίνες εἰσίν, ἄγει εἰς τὸν αὐτοῦ οἶκον, καὶ τρέφει ὡς ἴδιον παῖδα τὸν

ξανδρος Schol. Apoll. IV, 1515 τροπικώτερον δὲ — exit. Tzetzes Lyc. 17

1 λυροῦσι PV 12 ἐφύλασεν PV 14 αὐτοῦ bis legitur in P corr. V 26 αὐτοῦ P αὐτοῦ V

Περσέα καὶ ἐπαιδαγώγει καὶ τῆς Δανάης ἐπεμελεῖτο. ὁ δὲ Πολυδέκτης, ὁ ὁμομήτριος Δίκτυος, ἰδὼν τὴν Δανάην ἠράσθη αὐτῆς. ἠπόρει δὲ συγγενέσθαι αὐτῇ, τοῦ Περσέως ἤδη πρὸς ἥβην ἐλαύνοντος. ποιήσας δὲ ἄριστον, καλεῖ ἄλλους τε πολλοὺς ἐπὶ τοῦτο καὶ αὐτὸν τὸν Περσέα. παραγενόμενος δὲ ὁ Περσεὺς πυνθάνεται τοῦ Πολυδέκτου, ἐπὶ τίνι εἴη ὁ ἔρανος εὐωχεῖσθαι, τοῦ δὲ Πολυδέκτου εἰπόντος ἐπὶ ἵππῳ, ὁ Περσεὺς ἐπὶ τῇ τῆς Γοργόνος ἔφη κεφαλῇ. τῇ δὲ ἑξῆς ἡμέρᾳ ἕκαστος τῶν ἐρανιστῶν τὸν ἵππον ἐκόμιζε, καὶ δὴ Περσεύς. Πολυδέκτης δὲ οὐκ ἐδέχετο, εἰπὼν ὅτι οὐχ ἵππον ὑποσχέσθαι δώσειν αὐτόν, ἀλλὰ τὴν Γοργόνος κεφαλήν, καὶ ἐὰν μὴ κομίσῃ, ἔφη λήψεσθαι Δανάην τὴν αὐτοῦ μητέρα. Περσεὺς δὲ ἀνιασθεὶς καὶ ἀμηχανῶν, ὅτι δράσει, ἀπέρχεται εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ ἐντυχὼν αὐτῷ πύνθανεται παρ' αὐτοῦ τὴν
335 αἰτίαν τῆς λύπης. ὁ δὲ εἰπὼν θαρρεῖν, πρῶτον μὲν ἡγεῖτο αὐτῷ παρὰ τὰς τοῦ Φόρκου Γραίας, Πεφριδὼ καὶ Ἐνυὼ καὶ Δεινώ, καὶ Ἀθηνᾶς φρασάσης, ἀφαιρεῖται αὐτῶν τὸν ἕνα ὀφθαλμὸν καὶ ὀδόντα, ὃν ἐκ διαδοχῆς ἀλλήλαις ὤρεγον. αἱ δὲ βοῶσαι ἱκετεύουσι, ζητοῦσαι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα· ἕνα γάρ, ὥς φημι, ὀφθαλμὸν καὶ ἕνα ὀδόντα ἔχουσαι αἱ τρεῖς ἐκ διαδοχῆς ἐχρῶντο. Περσεὺς δὲ ὑπισχνεῖται ἀποδώσειν, ἐὰν ἐκεῖναι ὑποδείξωσιν αὐτῷ τὰς Νύμφας, αἵτινες ἔχουσι τὰ ὑπόπτερα πέδιλα καὶ τὴν Ἄϊδος κυνέην καὶ τὴν κίβισιν. ὡς δὲ ὑπέδειξαν, ἐκείναις μὲν ἀπέδωκε τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα. οἱ δέ φασιν, ὅτι ἀφ-

---

14 αὐτοῦ P αὐτοῦ V   19 Ἐνυὼ καὶ Δεινώ F Ἐντὼ καὶ Ἐνυώ PV, sequens καὶ inserui   27 κίβησιν omnibus locis PV

αρπάσας αὐτὰ ῥίπτει εἰς τὴν Τριτωνίδος λίμνην. σὺν Ἑρμῇ δὲ εἰς τὰς Νύμφας πορευθεὶς λαμβάνει παρ' αὐτῶν τὰ πέδιλα καὶ τὴν κυνῆν καὶ τὴν κίβισιν, καὶ ὑποδεσμεῖται μὲν τὰ πέδιλα, περιβάλλεται δὲ κατὰ τοὺς ὤμους τὴν κίβισιν, καὶ τῇ κεφαλῇ περιτίθησι τὴν κυνῆν, δι' ὧν ἀέριος ἐφέρετο. δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φορκίσι φησίν, ὁ τῶν τραγῳδιῶν ποιητής. ἄλλοι δὲ αὐτὸν τὸν Ἑρμῆν τήν τε κυνῆν καὶ τὰ πέδιλα αὐτῷ παρεσχηκέναι φασίν. οὕτως οὖν ὁ Περσεὺς καθωπλισμένος ὑπόπτερος ἀφικνεῖται εἰς τὸν Ὠκεανὸν καὶ τὰς Γοργόνας, συμπαρεπομένης αὐτῷ τῆς Ἀθηνᾶς. καταλαμβάνει δὲ τὰς Γοργόνας κοιμωμένας. ὑποτίθεται δὲ αὐτῷ Ἀθηνᾶ, ὅπως χρὴ τὴν κεφαλὴν τῆς Γοργόνος ἐκτεμεῖν, ἀπεστραμμένον δὴ κάτοπτρον ἔχοντα, ὅπερ ἔλαβε παρὰ τῆς Ἀθηνᾶς. δείκνυσι δὲ αὐτῷ ἐν τῷ κατόπτρῳ τὴν Μέδουσαν, ἥτις μόνη τῶν Γοργόνων ἦν θνητή. πλησιάσας οὖν αὐταῖς ἀπεστραμμένος, ἵνα μὴ ἀπολιθωθῇ, ἰδὼν αὐτὰς καὶ ἐν τῷ κατόπτρῳ ὁρῶν τὴν Μέδουσαν κατ' ἀνάκλασιν, τῇ ἅρπῃ καρατομεῖ αὐτὴν καὶ θεὶς τὴν κεφαλὴν εἰς τὴν κίβισιν φεύγει. ἡ δὲ Σθενὼ καὶ Εὐρυάλεια βοῶσι, καὶ διώκουσαι διὰ τὸ μὴ ὁρᾶν οὐχ οἷαί τε ἐγένοντο καταλαβεῖν. Περσεὺς δὲ ἀφικόμενος εἰς Σέριφον, ἔρχεται παρὰ Πολυδέκτην καὶ κελεύει αὐτόν συναθροῖσαι τὸν λαόν, ἵνα δείξῃ αὐτοῖς τὴν τῆς Γοργόνος κεφαλήν, εἰδώς, ὅτι ἀπολιθωθήσεσθαι ἔμελλον. ὡς δὲ Πολυδέκτης συναθροίσας τὸν

---

8 Φορκίσι F Φόρκυσι PV τραγῳδῶν PV. Ceterum verba δοκεῖ δὲ — ποιητής ex Eratosth. Catast. 22 deprompta absunt scholio Apollonii. Cf. Aesch. fr. 255 Nauck

λαὸν ἐκέλευε δεικνύναι, ὁ Περσεὺς ἀποστραφεὶς τὴν κεφαλὴν τῆς κιβίσεως δείκνυσιν· οἱ δ' εὐθὺς λίθοι ἐγένοντο. Ἀθηνᾶ δὲ λαβοῦσα παρὰ Περσέως τὴν Γοργόνος κεφαλὴν ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα. τὰ δὲ πέδιλα καὶ τὴν κυνῆν καὶ τὴν κίβισιν ἀποδίδωσιν ὁ Περσεὺς ταῖς Νύμφαις. ταῦτα ἱστορεῖ Φερεκύδης ἐν τῇ β'. ἄλλοι δέ φασι, τὸν Περσέα καρατομήσαντα
336 *τὴν Γοργόνα πετασθῆναι ἐπανερχόμενον διὰ τῆς Λιβύης, ἐκ δὲ τῶν κατενεχθεισῶν σταγόνων τοῦ αἵματος θηρία ἀνέφυσαν πολλὰ καὶ δεινά, καὶ διὰ τοῦτο τὴν Λιβύην πολύθηρον λέγουσιν, ὥς φησι καὶ ἐν τῇ Ἀλεξάνδρᾳ Λυκόφρων. τροπικώτερον δὲ περὶ τοῦ Περσέως οὑτωσὶ τερατεύονται. καὶ γὰρ αὐτὸν εἶναι τὸν ἥλιόν φασι καὶ τὴν ὀξυκίνητον τοῦ οὐρανοῦ κίνησιν, Ἀθηνᾶν δὲ τὸν ἀέρα καὶ τὴν ἀναθυμίασιν τὴν κινοῦσαν τὸν οὐρανόν, ἐξ ἀναθυμιάσεων γὰρ κινεῖται. Περσεὺς δὲ λέγεται παρὰ τὸ περισσῶς σεύεσθαι καὶ ὁρμᾶν. τοῦτον ἡ ἀερώδης ἀναθυμίασις αὐτὴ πέμπει ἐπὶ τὰς Γοργόνας, ἤτοι τὴν θάλασσαν καὶ τὸ σύστημα τῶν ὑγρῶν Γοργόνας λέγομεν, διὰ τὴν ταύτης κατάπληξιν (γοργὸν γὰρ τὸ καταπληκτικόν). πέμπει δὲ τοῦτον ἀνελεῖν τὴν Μέδουσαν, τὴν λεπτομερεστέραν οὐσίαν, ὡς ἐξισουμένην αὐτῇ, καὶ γὰρ ἡ πᾶσα θάλασσα ἀερώδης ἐστί, τὸ γὰρ λεπτότερον αὐτῆς εἰς ἀέρα μεταβάλλει. ὁ γοῦν Περσεύς, ὁ ἥλιος οὕτω καλούμενος, κινούμενος τῇ οὐρανίῳ φορᾷ, τὴν μὲν Σθε-*

---

6 fr. 10 Sturz 11 *λέγουσιν* P *λέγουσι* V *καὶ Ἀλέξανδρος* vitiose PV scripsi cum Keilio *καὶ ἐν τῇ Ἀλεξάνδρᾳ Λυκόφρων* cf. Alex. 835 16 *κατά τινας* add. F 17 Eadem etiam Schol. Hes. Theog. 276 narravit 18 *ἀερόδης* PV 20 *Γοργόνη λεγομένη* PV

νῷ καὶ τὴν Εὐρυάλειαν, ἤτοι τὸ δυνατὸν καὶ κατὰ μήκη πέλαγος τῆς θαλάσσης ἐκτεταμένον, οὐκ ἀναιρεῖ, ἤγουν οὐ μετατρέπει, οὐδὲ ἀνιμᾶται ὡς ἀθάνατος, ὡς μὴ μετατραπῆναι δυνάμενον. τὴν δὲ Μέδουσαν μόνην ὡς θνητὴν ἀναιρεῖ πλήττων τῷ ξίφει, βασιλικώτατον καὶ λεπτὸν τῇ ὀξείᾳ κινήσει μεταποιεῖ καὶ ἀνιμᾶται. τῇ δὲ καρατομήσει ἐκ τοῦ τραχήλου ὁρμᾷ Χρυσάωρ καὶ Πήγασος. ἀνιμωμένων γὰρ τοῦ ἡλίου καὶ τοῦ ἀέρος, τὸ κεφαλαιῶδες, ὡς ἔφην, καὶ λεπτότερον καὶ ἀτμῶδες συμβαίνει τὸ βαρύτερον καὶ ἀναφερόμενον κάτω πηγάζειν καὶ χέεσθαι, ἃ καὶ Πήγασον ὠνομάκασι διὰ τὸ κατωφερές, κατωφερῆ γὰρ τὰ ἄλογα. τὸ δὲ λεπτομερέστερον καὶ ἔτι εἰς τὸ πυρῶδες μεταβάλλει, ὅπερ καὶ Χρυσάορα κεκλήκασι. τούτῳ γοῦν τῷ ἐξ ὕδατος ἀναφερομένῳ Πηγάσῳ, τῇ κινήσει τοῦ οὐρανοῦ τῇ ἡλιακῇ ἀνιμήσει ἐποχουμένῃ συναναφέρεται ἡ ἡμέρα. σφαιροειδὴς γάρ ἐστιν ὁ οὐρανὸς καὶ κινεῖται ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς, συμπεριφέρων αὑτῷ καὶ τὸν ἥλιον. οὗπερ ἡλίου δύναντος εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον, γίνεται νύξ· ἀπὸ δὲ τοῦ ὑπὸ θάλασσαν καὶ γῆν εἰς τὸ ἄνω ἀναδραμόντος ἡμισφαίριον, ὅθεν καὶ τοὺς πηγάσους ἀτμοὺς ἀνασπᾷ, καὶ ἡμέραν ἐργάζεται.

---

2 *ἀναιρεῖται ἢ οὐ* PV   7 *καρατομίᾳ ἐκείνης* F   12 *ὠνομάκασι* P *ὠνομάκασιν* V   14 *Χρυσήορα* PV   20 Haec in Violario nimis perverse legebantur, cum oculis propter vocabulum *ἡμισφαίριον* bis lectum a linea aberrantibus verba *γίνεται νύξ. ἀπὸ δὲ τοῦ ὑπὸ θάλασσαν καὶ γῆν εἰς τὸ ἄνω ἀναδραμόντος ἡμισφαίριον, ὅθεν καὶ* Eudocia vel librarius omiserit. Pro *ὅθεν καὶ* praebent *ἔνθεν* PV   22 *λεχθέντας* add. F

DCCLX. *Περὶ τῆς Περσεφόνης.*

Περσεφόνη θυγάτηρ ἦν Δήμητρος καὶ Διός, ἥντινα ἐκάλουν καὶ Κόρην. ταύτης ἠράσθη ὁ Πλούτων, καὶ ἐρασθεὶς ἥρπασε καὶ κατῆλθεν ἐν τῷ Ἅιδῃ. ἡ οὖν Δημήτηρ περιήει ζητοῦσα τὴν Κόρην καὶ πολλὰ πλανηθεῖσα ἦλθεν ἐν τῇ Ἀττικῇ. ἐλθοῦσα δὲ τὸν μὲν τόπον, ἐν ᾧ ἦλθεν, ἐκάλεσεν Ἐλευσῖνα παρὰ τὸ
337 *ἐληλυθέναι. ἔμαθε δὲ παρὰ τοῦ Κελεοῦ καὶ τοῦ Τριπτολέμου, ὅτι ἡ Κόρη ἡρπάγη ὑπὸ τοῦ Πλούτωνος καὶ ἔστιν ἐν τῷ Ἅιδῃ. μαθοῦσα οὖν ἡ θεὸς ταῦτα ἔληξε τῆς πλάνης. ἀμειβομένη δὲ τοὺς ἄνδρας ὑπὲρ τῆς χάριτος ταύτης δέδωκεν αὐτοῖς τὰ σπέρματα, οἷον σῖτον, κριθὴν καὶ ὄσπριον· λέγεται γὰρ τῶν σπερματικῶν καρπῶν εἶναι ἔφορος ἡ Δημήτηρ. δοῦσα δὲ τὰ σπέρματα, δέδωκε καὶ δράκοντας καὶ ἅρματα πτερωτὰ πρὸς τὸ περιελθεῖν καὶ δοῦναι πᾶσι τὸν σῖτον καὶ τὴν κριθήν. οὔπω γὰρ ᾔδεσαν οἱ ἄνθρωποι ἐσθίειν ἄρτον ἢ χρῆσθαι σίτῳ, ἀλλὰ νομαδικὸν βίον ἔζων. οὐ μόνον δὲ τὸν σῖτον, ἀλλὰ καὶ πάντας τοὺς σπερματικοὺς καρποὺς δέδωκε, καὶ τὰ μυστήρια ἐτέλεσεν αὐτοῖς, καὶ ἔδειξε, πῶς δεῖ τελεῖν καὶ τελεῖσθαι. ἐκάλεσαν¦ δὲ Περσεφόνην τὴν τῆς Δήμητρος θυγατέρα διὰ τὸ ἐπίπονον εἶναι καὶ πόνων οἰστικὴν τὴν ἐργασίαν, ἢ τῷ ἐκ πόνων ὑπομονὴν φέρεσθαι. καὶ ἁρπά-*

DCCLX. Nonn. I, 67 (Clarke p. 48; Mon. 490). Cf. Eud. p. 397 *ἐκάλεσαν* — exit. Cornut. 28

---

23 Sic cum F scripsi, *ἐκ πάντων ὑπομονῆς* PV, *τὴν* ante *ἐργασίαν* ex F addidi Haec in Cornuto paullo antea leguntur

σαι αὐτὴν ὁ Ἅιδης ἐμυθεύθη διὰ τὸν γινόμενον ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν.

DCCLXI. Περὶ τοῦ Πηγάσου.

Τῆς Παταρικῆς χιμαίρας ἀναφυείσης καὶ λυμαινομένης τὴν χώραν τῶν Λυκίων καὶ τοῦ Προίτου βασιλεύοντος τῆς Λυκίας, προσετάχθη ὁ Βελλεροφόντης ἀποκτεῖναι τὴν χίμαιραν. ἦν δὲ τὸ θηρίον τοιοῦτον· πρόσθε μὲν λέων, ὄπισθεν δὲ δράκων, μέσον δὲ χίμαιρα, ἐξ ἧς χιμαίρας τὸ πῦρ ἀνεδίδοτο· καὶ ἦν δυσάλωτον τὸ θηρίον. ὁ δὲ Βελλεροφόντης τὸν ἵππον τὸν Πήγασον εὑρών, ὃς ἐλέγετο ἔχειν πτερὰ καὶ ὕδωρ ἀπὸ τῶν ὀνύχων ἀποστάζειν, ἦλθε σύμμαχον ἔχων τὴν πτῆσιν τοῦ ἵππου, διὰ τὸ εἶναι πτερωτόν, ὡς εἶπον, καὶ σφαῖραν μολίβδου περιθεὶς ἐν τῷ ἄκρῳ τοῦ δόρατος αὐτὸς ὁ Βελλεροφόντης, ἐνέβαλεν εἰς τὸ στόμα τῆς χιμαίρας. καὶ ἀπὸ τοῦ πυρὸς διελύθη ὁ μόλιβδος καὶ ἀνεῖλε τὴν χίμαιραν. λέγεται δὲ ὁ Πήγασος γεννηθῆναι τοιῶσδε. σταλεὶς Περσεὺς εἰς τὰς Γοργόνας προστάξει τῆς Ἀθηνᾶς τὴν μὲν Σθενὼ καὶ Εὐρυάλειαν, ἀθανάτους οὔσας, παρέδραμε, καρατομεῖ δὲ τὴν Μέδουσαν. ἐκ τοῦ τραχήλου δὲ ταύτης ὁ Πήγασος ἵππος ἀνέθορεν ὑπόπτερος ὤν. λέγεται δὲ Ἵππου κρήνη ἀναδοθῆναι ἐκ τῆς ὁπλῆς τοῦ Πηγάσου. ἐν γὰρ τῷ ὄρει διψήσαντος τοῦ Βελλεροφόντου, ὁ Πήγασος τῷ

DCCLXI. Nonn. Laud. Bas. 7 λέγεται δὲ — ὠνόμασαν Schol. Hes. Theog. 2 Ἄρατος — exit. Eratosthenes Catast. 18 (neglexit Robert)

15 καὶ ἀπὸ τοῦ πυρὸς διελύθη ὁ μόλιβδος καὶ ἀνεῖλε τὴν χίμαιραν add. P om. V 23 ὄρει emendavi (cf. Hesiod. Scholien p. 90) Ἄργει scholiorum libri

Πήγασος τῷ ποδὶ τὴν γῆν πατάξας ἐξέβαλεν ὕδωρ καὶ ἐκλήθη Ἵππου κρήνη, οἱ δὲ Πηγασίαν αὐτὴν ὠνόμασαν. περὶ δὲ τοῦ καταστερισμοῦ αὐτοῦ οὕτω λέγουσι κατὰ διάφορον δόξαν. οἱ μὲν γὰρ τὸν Πήγασον εἶναί φασι τὸν εἰς τὰ ἄστρα ἀναπτάντα ὕστερον τῆς τοῦ Βελλεροφόντου πτώσεως ἕνεκεν, διὰ τὸ μὴ ἔχειν
338 *πτέρυγας. Ἄρατος δέ φησιν, εἶναι τὸν ἐπὶ τοῦ Ἑλικῶνος τῇ πληγῇ τῆς ὁπλῆς πηγὴν ἐκβλύσαι ποιήσαντα, ἀφ' οὗ καὶ καλεῖσθαι κρήνη Ἵππου. Εὐριπίδης δέ φησι, Μελανίππην εἶναι τὴν Χείρωνος θυγατέρα ὑπὸ Αἰόλου φθαρεῖσαν ἐξ ἀπάτης, διὸ φυγεῖν ὠδύνουσαν, διωκομένην δὲ ὑπὸ τοῦ πατρός, πρὸς ἵππον εὐξαμένην μεταμορφωθῆναι, ὑπὸ δὲ Ἀρτέμιδος καταστερισθῆναι δι' εὐσέβειαν αὐτῆς τε καὶ τοῦ Χείρωνος. διὰ τοῦτο καὶ γράφεται μέσον ὁρωμένη Κενταύρῳ, ἀφανῆ τε αὐτῆς τὰ ἀπ' ὀμφαλοῦ ὀπίσθια, πρὸς τὸ μὴ αἰσχύνεσθαι, θήλεια οὖσα.*

DCCLXII. *Περὶ τοῦ Πηλέως.*

Πηλεὺς ὁ τοῦ Αἰακοῦ σωφρονέστατος ἐγένετο, καί ποτε Ἱππολύτης, τῆς γυναικὸς Ἀκάστου, ἐρασθείσης αὐτοῦ καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτήν, ὁ Ἄκαστος μαθὼν καὶ μὴ βουλόμενος κτεῖναι ὃν καθῆρεν, ἀλλὰ λαβὼν αὐτὸν εἰς ἐρημίαν καὶ τῶν ὅπλων γυμνώ-

DCCLXII. Schol. Ar. Nubes 1059 *οἱ δὲ καὶ τοῦτο προστιθέασι* — exit. Tzetzes Lyc. 175 (paucis mutatis)

---

3 *τῆς κατηστερήσεως* PV *λέγουσιν* PV 10 Sic F *Μελανόπην* PV *ἐν Μελανίππῃ Ἵππην* coni. Valcken. scripsit Robert Cf. Euripid. fr. 492 Nauck

σας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν εἰπὼν „εἰ δίκαιος εἶ, σωθήσῃ.“ ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο ἡφαιστότευκτον δι' Ἑρμοῦ, καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. οἱ δέ φασιν, ὅτι αὐτὸν ἦγεν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν καὶ τὴν μάχαιραν ὑπὸ τὸν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν, ἤμελλεν ἀπόλλυσθαι καταληφθεὶς ὑπὸ τῶν Κενταύρων, σώζεται δὲ ὑπὸ Χείρωνος, ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ. ἐκαθάρθη δὲ ὁ Πηλεὺς ὑπὸ Ἀκάστου δι' αἰτίαν τοιάνδε. Φῶκον τὸν ἀδελφὸν κατὰ τὴν πατρίδα σὺν Τελαμῶνι δολοφονήσας φεύγει εἰς Φθίαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ἀφ' οὗ καὶ καθαίρεται. ἐκεῖθεν δὲ ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθὼν Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται καὶ καθαίρεται ὑπ' αὐτοῦ. οἱ δὲ καὶ τοῦτο προστιθέασιν, ὅτι ἐν κυνηγεσίῳ ἄκων ἀνεῖλε καὶ Ἄκτορα τὸν Ἀκάστου υἱόν. ἔπεμψε δὲ Ἀκάστῳ ἄποινα τοῦ φόνου τοῦ παιδός, βόας καὶ πρόβατα, ἃ λύκος διέφθειρεν, ὃν Θέτις ἀπελίθωσεν. ἄλλοι δέ φασι τοῦτο γενέσθαι, ὅτε Τελαμὼν καὶ Πηλεὺς τὸν αὐτοῦ ἀδελφὸν Φῶκον, υἱὸν δὲ Ψαμάθης τῆς Νηρηΐδος ὄντα, φθονοῦντες ἀνεῖλον. ἡ γοῦν Ψαμάθη ἔπεμψε τοῖς βουσὶ τοῦ Πηλέως καὶ τοῖς ποιμνίοις λύκον, ὃς ἐκεῖνα ἐλυμαίνετο. Θέτιδος δὲ δεηθείσης, ἀπελίθωσε τοῦτον πάλιν ἡ Ψαμάθη.

---

9 ἀπολλύσθαι PV

339 DCCLXIII. *Περὶ Πλειάδων.*

Πλειάδες θυγατέρες ἐγένοντο Πληιόνης, θυγατρὸς μὲν Ὠκεανοῦ, γυναικὸς δὲ Ἄτλαντος, ἀφ' ἧς καὶ Πλειάδες λέγονται. ἦσαν δὲ δώδεκα τὸν ἀριθμὸν καὶ υἱοὶ Ὕας, ὃν ἐν Λιβύῃ κυνηγετοῦντα ὄφις ἔκτανε. τῶν δὲ ἀδελφῶν αἱ μὲν πέντε διὰ τὸ ἐπὶ τῷ θανόντι πένθος οὐκέτι ἦσαν οὐδὲ αὐταί, ἀλλὰ καταστερισθεῖσαι ἐπωνομάσθησαν τῷ ἀδελφῷ Ὑάδες, ἐξ αὐτοῦ παρονομασθεῖσαι. ἔπαθον δὲ τὰ αὐτὰ μετὰ ταῦτα καὶ αἱ ἑπτά. διὸ καὶ Πλειάδες εἴρηνται, ὡς τοῖς πολλοῖς δοκεῖ, διὰ τὸ πλείους εἶναι τῶν πέντε, ἢ ὅτι πλείους ὁμοῦ κεῖνται, ἅς τινας καὶ βότρυν ἐκάλεσαν, ἢ ὅτι πλησίον ἀλλήλαις εἰσίν, ἢ ὅτι πλείω τινὰ δι' αὐτῶν ἐπισημαίνονται, ἢ ὅτι πλειῶνα σημαίνουσι, τὸν ἐνιαυτόν, ὡς καὶ Ἡσίοδος. Πληιάδων Ἀτλαγενάων καὶ τὰ ἑξῆς. φασὶ δέ τινες, κατηστερίσθαι αὐτὰς ἐπὶ τῇ Ἄτλαντος δυστυχίᾳ, ὃς ἀχθοφορεῖ τοὺς μυθευομένους κίονας, ἑπτὰ δὲ οὐσῶν, ἀμαυρός ἐστιν ὁ ἕβδομος ἀστήρ. μυθεύονται δὲ συνελθεῖν μὲν ἐξ αὐτῶν Ταϋγέτην μὲν καὶ Μαῖαν καὶ Ἠλέκτραν Διΐ, ἐξ ὧν Ταϋγέτης μὲν Λακεδαίμων, Μαίας δὲ Ἑρμῆς, Ἠλέκτρας δὲ Δάρδανος, τὴν Ἀλκυόνην δὲ μιγῆναι τῷ Ποσειδῶνι, τὴν Στερόπην δὲ τῷ Ἄρει, ὧν Οἰνόμαος, τὴν δὲ Μερόπην Σισύφῳ, ἐξ ὧν Γλαῦκος. οἱ δὲ παρθένους φα-

DCCLXIII. Etym. M. p. 675, 34 *ἦσαν δὲ — ἑξῆς* Eustath. Il. p. 1211 *φασὶ δέ — καλοῦσι* Eratosthenes Catast. 23 (cf. Robert. p. 249) *λέγει — τέλος* Etym. M. p. 675, 36 *κεῖνται δὲ* — exit. Eustath. Il. p. 1211

---

1 *Πληιόνης* F *Πληόνης* PV 3 *υἱὸς Ὕας* F *υἷος υἷες* PV 15 Oper. 383 18 *Ταυτηγέτη* bis PV

σὶν εἶναι τὰς ἑπτὰ καὶ συγκυνηγετεῖν τῇ Ἀρτέμιδι. Ὠρίωνος δὲ διώκοντος κατ' ἔρωτα, παρακαταλήπτους γενομένας μεταλαβεῖν δι' εὐχῆς εἰς Πλειάδας, εἶτα καὶ καταστερισθῆναι, ὅθεν καὶ Πλειάδας κληθῆναι, οἱονεὶ Πελειάδας κατὰ συγκοπήν, διὸ καὶ πολλοὶ τῶν ποιητῶν πελειάδα τὸ ἄστρον τοῦτο καλοῦσι. λέγει δὲ καὶ Πίνδαρος περὶ τοῦ καταστερισμοῦ αὐτῶν, ὅτι τῆς Πληιόνης πορευομένης μετὰ τῶν θυγατρῶν κατὰ τὴν Βοιωτίαν, συναντῆσαι αὐτῇ Ὠρίωνα. εἶτα ἐρασθεὶς ὥρμησε πρὸς τὸ ἁρπάσαι, τὴν δὲ φεύγουσαν μετὰ τῶν θυγατρῶν Ὠρίων ἐδίωκε, γενέσθαι δὲ αὐτῶν τὸν δρόμον πέντε ἔτη ἀδιάλειπτον, τὸν δὲ Δία διὰ την κακοπάθειαν αὐτῶν οἱονεὶ μνήματα καταστερίσαι τὰς Πλειάδας φευγούσας τὸν Ὠρίωνα, ὅς ἐστιν ἐνιαυτός. σημαντικαὶ δὲ καὶ θέρους καὶ χειμῶνος αὗται, ἢ παρὰ τὸ πλεῖον, ὃ σημαίνει τὸ πλῆρες (γίνεται καὶ πλειὼν ἐξ αὐτῶν ὁ ἐνιαυτός, οἷον ὁ πλήρης χρόνος), ἢ ἀπὸ τοῦ πλείονας χρόνους περιέχειν ἐν ἑαυτῷ, ἢ παρὰ τὸ πολεῖν καὶ διέρχεσθαι κατὰ τοὺς τεταγμένους χρόνους καὶ ἐν τῷ αὐτῷ τόπῳ ἀναστρέφεσθαι, πολειὼν καὶ συγκοπῇ πλειών, ἢ παρὰ τὸ πλειὰς γίνε- 340
ται. καὶ γὰρ αἱ πλειάδες σημαντικαί εἰσι τοῦ ἐνιαυτοῦ, δύνουσαι μὲν γὰρ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ δηλοῦσιν, ἀνατέλλουσαι δὲ τὸ τέλος. κεῖνται δὲ κατὰ τὴν οὐρὰν τοῦ Ταύρου. τὴν δὲ ἑβδόμην Ἠλέκτραν, ἣν καὶ ἀμαυράν φασιν, οὐκ ἀνεσχομένην Ἰλίου ἅλωσιν ἰδεῖν, μεταστῆναι τῆς ἀδελφικῆς ἀλληλουχίας μυθεύονται καὶ ἀμαυρωθῆναι. καὶ ἄλλως. Πληιάδες

7 fr. 52   11 τῶν θυγατρῶν F τῆς θυγατρός PV   13 Sic scripsi κατηστερεῖσθαι PV   17 αὐτῆς PV

ἑπτὰ ἀστέρες εἰσί, κείμενοι ἐπὶ τὴν πλευρὰν τοῦ Ταύρου, ὁ γὰρ Ταῦρος σῶος οὐκ ἀνιστόρηται, ἀλλ' ἕως τῶν ἰσχίων. αὗται δέ εἰσιν Ἄτλαντος, ἑνὸς τῶν γιγάντων καὶ Πληϊόνης τῆς Ὠκεανοῦ θυγατέρες, ὧν τὰ ὀνόματα Μαῖα, Ταϋγέτη, Κελαινώ, Μερόπη, Ἀλκυόνη. τὴν παρθενίαν δὲ ἀγαπήσασαι συνεκυνήγουν τῇ Ἀρτέμιδι. θεασάμενος δὲ Ὠρίων ἠράσθη καὶ ἐδίωκεν αὐτάς, μιγῆναι βουλόμενος. αἱ δὲ περικατάληπτοι γιγνόμεναι θεοῖς ηὔξαντο μεταβαλεῖν τὴν φύσιν. Ζεὺς δὲ ἐλεήσας αὐτὰς πελειάδας ἐποίησε καὶ δι' αὐτῶν ἄστρον κατηστέρισεν. ὠνομάσθησαν δὲ Πληιάδες ἀπὸ Πληιόνης, τῆς μητρὸς αὐτῶν. φασὶ δὲ Ἠλέκτραν οὐ βουλομένην τὴν Ἰλίου πόρθησιν θεάσασθαι, τὸ κτίσμα τῶν ἀπογόνων, καταλιπεῖν τὸν τόπον, ἔνθα κατηστέριστο. διόπερ οὔσας πρότερον ἑπτὰ γενέσθαι ἕξ. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς.

DCCLXIV. *Περὶ Πολυβώτου.*

Πολυβώτης εἷς ἦν τῶν γιγάντων, ὃς ὑπὸ Διὸς βληθεὶς ἠνείχετο. Ποσειδῶν δὲ ἐπ' αὐτὸν ἀφεὶς τὴν τρίαιναν τοῦ μὲν ἥμαρτε, γέγονε γὰρ νῆσος τὸ βληθέν, ἣ Νίσυρος ἐκαλεῖτο καὶ Πορφυρὶς ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων.

DCCLXV. *Περὶ Πολυγνώτου.*

Πολύγνωτος οὗτος ζωγράφος μὲν ἦν τὴν τέχνην, Θάσιος δὲ τὸ γένος, υἱὸς δὲ καὶ μαθητὴς Ἀγλαο-

DCCLXIV. Compilavit Apollod. I, 6, 2 et Strabon. X p. 489
DCCLXV. Harpocrat. (Suid.)

13 πόρθωσιν PV   20 ἣ inserui

φῶντος, τυχὼν δὲ τῆς Ἀθηναίων πολιτείας, ἢ ἐπεὶ τὴν Ποικίλην στοὰν ἔγραψε προῖκα, ἢ ὡς ἔνιοι, τὰς ἐν τῷ Θησαυρῷ καὶ τὰς ἐν Ἀνακείῳ γραφάς.

DCCLXVI. *Περὶ Πολυζήλου.*

Πολύζηλος πηρωθείς, ὡς φάσμα μεσημβρινὸν θεασάμενος μεῖζον ἢ ὥστε τοῖς ὀφθαλμοῖς ἐνεγκεῖν τῷ Πανί, κρύπτων τὴν ἀσπίδα, ὕστερον ἐμάχετο ὡς ὁρῶν, χάριτος μεγάλης ἀξιωθείς, καὶ διέκρινε τῇ φωνῇ τοὺς ἰδίους καὶ τοὺς πολεμίους. φασὶ δὲ τὸν Πᾶνα σύμμαχον αὐτῷ γενέσθαι.

DCCLXVII. *Περὶ τῆς Πολυξένης.* 341

Πολυξένη ἦν θυγάτηρ Πριάμου, ἧς ὁ Ἀχιλλεὺς ἐρασθεὶς καὶ βουληθεὶς γῆμαι αὐτὴν εἰσῆλθεν ἐν τῇ Τροίᾳ καὶ κατὰ λόχον τινὰ τοξεύεται ὑπὸ Πάριδος ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ναῷ καὶ θνήσκει. ἐν ὑστέρῳ δὲ χρόνῳ μετὰ τὴν Ἰλίου πόρθησιν ἀνδρωθέντι Πύρρῳ, τῷ υἱῷ αὐτοῦ, ἐφάνη κατ' ὄναρ, δεῖν αὐτῷ τυθῆναι τὴν Πολυξένην, δι' ἣν ἀπώλετο· δι' ὃ οἱ ἥρωες ἐπὶ τῷ τάφῳ αὐτοῦ διὰ Νεοπτολέμου, τοῦ καὶ Πύρρου τοῦ παιδός, ἐκείνην σφαγιάζουσιν, ὡς ἐν Ἑκάβῃ Εὐριπίδης φησίν. ὁ δὲ Φιλόστρατος ὁ Φλάϊιος μόνην τὴν Πολυξένην φησὶν ἐξελθεῖν τῆς Τροίας, ἔτι

DCCLXVI. Plutarch. Parallel. min. 1 ? (Suid. v. *Ἱππίας*)
DCCLXVII. Nonn. I, 8. Cf. Eud. p. 84

---

2 *ἔγραψε* corr. Valcken. Adon. p. 374 *ἀνέγραψε* PV 3 *Ἀνακείῳ* F *Ἀκείῳ* PV 4 *συμβληθείσης δὲ τῆς παρατάξεως Πολύζηλος μὲν ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος τὴν ὅρασιν ἀπέβαλε καὶ τυφλὸς ἐγένετο* Pseudo-Plutarchus l. c. 17 *ἐπὶ* addidi 19 Hecub. 40 *Φιλόστρατος ὁ Φλάυιος* corr. Harles laudans Philostrat. Heroic. XIX, 11 *Φιλόστρατος Φάλιος* PV

μὴ πορθηθείσης, καὶ ἀποσφάξαι ἑαυτὴν ἐπὶ τῷ τάφῳ αὐτοῦ, πόθῳ κατεχομένην τοῦ ἥρωος καὶ δικαίως λογισαμένην, ὡς οὐχ ἑτέρου τοιούτου εὐμοιρήσει ἀνδρὸς καὶ νυμφίου.

DCCLXVIII. *Περὶ Πολυφήμου.*

Πολύφημος κατὰ Ἀπολλώνιον Ἐλάτου παῖς ἦν, κατὰ δὲ Ἰσοκράτην καὶ Εὐφορίωνα Ποσειδῶνος. οὗτος ἐν Μυσίᾳ ἔκτισε πόλιν Κίον, τὴν οὕτως ὀνομασθεῖσαν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. μαχόμενος δὲ πρὸς Χάλυβας ἐτελεύτησεν, ὥς φησι Νυμφόδωρος. ὅτι δὲ οὗτος τὴν Κίον ἔκτισεν, αὐτὸ Χάραξ ἐν πρώτῳ Χρονικῶν μαρτυρεῖ.

DCCLXIX. *Περὶ τοῦ Ποσειδῶνος.*

Ποσειδῶνα Κρόνου καὶ Ῥέας υἱὸν οἱ παλαιοὶ ἔφασαν εἶναι, διὰ τὸ ἐκ τῆς μεταβολῆς τὸ ὕδωρ γίνεσθαι, δηλονότι τῆς ῥεύσεως, ἥτις λέγεται ἡ Ῥέα, Κρόνου δὲ διὰ τὴν ἐπιφερομένην τῇ γῇ ῥύσιν. Ποσειδῶν καὶ γάρ ἐστιν ἡ ἀπεργαστικὴ ἐν τῇ γῇ καὶ περὶ τὴν

DCCLXVIII. Schol. Apoll. I, 40 *οὗτος — exit.* Schol. Apoll. IV, 1470 DCCLXIX. Cornut. 4 *ἔθνον — ἐφιεμένη* Eustath. Od. p. 1676 *δίδωσι δ' αὐτῷ — μέμνηται* Eustath. Il. p. 918 *προείρηται — εὐλόγως* Cornut. 22 *διὸ καὶ περὶ τῆς Σικελίας — ποιητής* Eustath. Dion. 476 *ὑπό τινων — βλαπτικὴν ἔχει* Cornut. 22 *πολυγλώχινα — σπάνιον* Eustath. Dion. 476 *καλεῖται — εἶναι* Cornut. 22 *λέγεται δὲ — Πρίαμος* Tzetzes Lyc. 34

---

6 *Σωκράτην* corr. Toupius; cf. Meinek. Anal. p. 149 7 *ὠνομασθεῖσαν* PV 9 Müller II, p. 380 10 *αὐτὸ Χάρις* F *Αὐτόχαρις* PV *αὐτὸ Χάρων* et *χρονικῶν* coni. Spitzner, *αὐτὸ Χάραξ* scripsit Keilius e coni. Hering. misc. observ. nov. VIII, p. 949. Idem vir doctus infra scripsit *χρονικῶν* pro *χρόνων*, quod libri praebent

γῆν ὑγροῦ δύναμις, ἤτοι ἀπὸ τῆς πόσεως οὕτω κληθεῖσα καὶ τοῦ διδόναι ταύτην, ἢ καθ' ἕτερον λόγον Ποσειδῶν ὠνόμασται διὰ τὴν παραχθησομένην αὐτοῦ ἰδιότητα. ἔθυον δ' αὐτῷ οἱ πάλαι ἀρνειὸν διὰ τὸ πρᾷον τῆς θαλάσσης, ὅτε ἠρέμα πορφύρει γαλήνιον, ταῦρον δὲ διὰ τὸ τῆς κατὰ σφοδρότητα κινήσεως πληκτικόν, ἔτι καὶ διὰ τὸ μυκητικὸν καὶ διὰ τὰς ἐν τῷ ὕδατι καμπὰς δίκην κεράτων, κάπρον δὲ διὰ τὸ τοῦ ὑγροῦ γόνιμον, συνουσιαστικὸν γὰρ ὁ ἄρρην κάπρος, ὅθεν καπρᾶν τὸ οὕτως ὀρέγεσθαι, καὶ καπρῶσα γυνὴ ἡ οὕτως ἐφιεμένη. δίδωσι δ' αὐτῷ ὁ μῦθος καὶ ἵππους Ἐριώλην καὶ Γλαῦκον ἢ Ἐγκέλαδον καὶ Σθένοντα, τοῦτο μὲν διὰ τὸ σθεναρὸν τοῦ ἐννοσιγαίου, 342 *παρ' ὃν καὶ Δυναμένη μία τῶν Νηρηΐδων πέπλασται, Εγκέλαδον δὲ διὰ τὸν κελάδοντα πόντον, Γλαῦκον δὲ διὰ τὴν γλαυκὴν θάλασσαν, ἧς καὶ δαίμονα Γλαῦκον οἶδεν ἡ ποίησις τὸν Ἀνθηδόνιον καὶ Γλαύκην Νηρηΐδα, Ἐριώλην δὲ διὰ τοὺς ὑγροὺς ἀνέμους, ὧν καὶ ἡ σφοδρὰ καὶ καταιγιδώδης Ἐριώλη, ἧς καὶ ὁ Κωμικὸς μέμνηται. προείρηται μέν, ὅτι αὐτός ἐστι τῇ τεταγμένῃ κατὰ τὸ ὑγρὸν δυνάμει. νῦν δὲ παραμυθητέον τοῦτο. πρῶτον μὲν οὖν φυτάλιον αὐτὸν ἐπωνόμασαν, ἐπειδὴ τοῦ φύεσθαι τὰ ἐκ τῆς γῆς γινόμενα ἡ ἐν αὐτῇ δηλονότι ἰκμὰς παναίτιός ἐστι, εἶτα ἐννοσίχθονα καὶ ἐννοσίγαιον καὶ σεισίχθονα καὶ τινάκτορα γαίας, ὡς οὐ παρ' ἄλλην αἰτίαν τῶν σεισμῶν γινομένων ἢ παρὰ τὴν εἰς τὰς ἐν τῇ*

---

13 *στεναρὸν* P corr. V   18 *ὑγρὸν ἀέντας* F   19 Equ. 511 Vesp. 1148   22 *φυτάλμιον* PV   24 *εἶτα* addidi ex F om. PV   25 *τινακτοραγαίην* perperam PV   26 Servavi eam lectionem, quae in F invenitur, *παρὰ τὸ τοὺς ἐν τῇ γῇ* PV

γῇ σήραγγας ἔμπτωσιν τῆς θαλάσσης καὶ τῶν ἄλλων ὑδάτων [δέχεσθαι], στενοχωρούμενα γὰρ τὰ ἐν αὐταῖς πνεύματα καὶ ἔξοδον ζητοῦντα κλονεῖσθαι καὶ ῥήγνυσθαι αὐτὴν ποιεῖ, ἀποτελουμένων ἔσθ' ὅτε καὶ μυκημάτων κατὰ τὴν ῥῆξιν. εὐλόγως [διὸ καὶ περὶ τῆς Σικελίας λέγεται, ὅτε ποτὲ Χερρόνησος ἦν συνεχὴς κατὰ τὸν ἰσθμὸν τῇ τῶν Αὐσόνων γῇ. σεισμοῦ δέ τινος ἐξαισίου συμπεσόντος καὶ τοῦ ἰσθμοῦ διασχόντος, εἰσπεσεῖν τὴν παρίσθμιον θάλασσαν καὶ μεσολαβήσασαν θέσθαι νῆσον τὴν Σικελίαν, οὐ πολὺ δια τοῦτο τῆς χέρσου διέχουσαν. ὅθεν καὶ μῦθος φέρεται, τὸν Ποσειδῶνα οἷα ἐπιστατοῦντα τοῖς σεισμοῖς ἀποτεμεῖν τὸν ἰσθμὸν ἀονίῳ πολυγλώχινι σιδήρῳ καὶ παρεισαγαγεῖν τὴν ἑκατέρωθεν ζωννύουσαν αὐτὸν θάλασσαν καὶ οὕτω νῆσον ποιῆσαι τὴν τέως Χερρόνησον, χαριζόμενον Ἀκάστῳ τῷ τοῦ Αἰόλου παιδί, ὡς ἂν ἔχοι ταύτην οἰκεῖν ἀσφαλῶς. ἀπὸ δὲ τῆς ῥηθείσης ῥήξεως καὶ τὸ ἐκεῖ λέγεται παρονομασθῆναι Ῥήγιον, καθάπου καὶ τὸ Θρᾴκιον· καὶ αὐτὸ γὰρ ἐπὶ τοιᾷδε ῥήξει ὀνομασθῆναί τινες οἴονται, δι' ἧς ῥήξεως ἡ λίμνη τῇ ἐγγὺς θαλάσσῃ ὡμίλησε διεκρεύσασα. τοιοῦτον δέ τι παθεῖν καὶ τὸν Ἑλλήσποντον ἱστοροῦσί τινες. ὁ δὲ Γεωγράφος φησίν, ὅτι πιστεύεται τὴν Λέσβον ἀπερρω-

---

1 ἔκπτωσιν PV 2 δέχεσθαι om. F αὐτῇ PV 5 Certe εὐλόγως ad sequentia spectat, quibus Eudocia pergit ὑπό τινων δὲ καὶ μυκητὰς εἴρηται, cum quae ex Eustathii commentariis huc accesserunt, interpolatori debeantur. Neque vero hoc contentus alius lector iisdem commentariis usus haec margini subiecit: Ἀονίῳ σιδήρῳ, ὡς ἐάν τις εἴποι Βοιωτίῳ. Ἄονες γὰρ ἔθνος βάρβαρον οἰκῆσάν ποτε ἐν Βοιωτίᾳ, ἔνθα Ποσειδῶν ἐτιμᾶτο καὶ οὐ δήπου κάλλιστός ἐστιν ὁ Ἀόνιος σίδηρος· τοιοῦτος γὰρ μάλιστα ὁ Χαλυβικὸς μεμαρτύρηται 23 Strabo I p. 60

γέναι τῆς Ἴδης, ὡς καὶ τὴν Σικελίαν τῆς Ῥηγίνης καὶ τὴν Ὄσσαν τοῦ Μακεδονικοῦ Ὀλύμπου, ὡς μέσον ἔκτοτε διέρρευσεν ὁ Πηνειός. καὶ τὴν Εὐβοΐδα δὲ γῆν „λεπτὸς Εὐρίπου κλύδων Βοιωτίας ἀκτῆς ἐχώρισε“, καθά τίς φησι ποιητής.] ὑπό τινων δὲ καὶ μυκητὰς εἴρηται, τῆς θαλάσσης τινὰ τοιοῦτον ἦχον ἀποτελούσης, ἀφ’ οὗ καὶ ἠχήεσσα καὶ ἀγάστονος καὶ πολύφλοισβος εἴρηται. ἐντεῦθεν καὶ οἱ ταῦροι αὐτῷ προσήκουσι, καὶ θύουσιν αὐτῷ ταύρους παμμέλανας διὰ τὴν χροιὰν τοῦ πελάγους. ἐπεὶ δ’ ἄλλως τὸ ὕδωρ μέλαν εἶναι λέγουσιν, εὐλόγως ἤδη κυανοχαίτην αὐ- 343
τὸν εἰρήκασι, καὶ ἐν ἐσθῆτι εἰσάγουσι τοιαύτῃ. τούδ’ ἕνεκεν καὶ τοὺς ποταμοὺς κερασφόρους καὶ ταυρώπας ἀναπλάττουσιν, ὡσανεὶ βίαιόν τι τῆς φορᾶς αὐτῶν καὶ μυκητικὸν ἐχούσης. καὶ γὰρ ὁ Σκάμανδρος παρὰ τῷ ποιητῇ „ἤρυγεν, ὡς ὅτε ταῦρος.“ κατ’ ἄλλον δὲ τρόπον γαιήοχος λέγεται ὁ Ποσειδῶν καὶ θεμελιοῦχος ὑπό τινων. καὶ θύουσιν αὐτῷ ἀσφαλείῳ πολλαχοῦ, ὡσανεὶ ἐπ’ αὐτῷ κειμένου τοῦ ἀσφαλῶς ἑστάναι τὰ οἰκήματα ἐπὶ τῆς γῆς. φέρει δὲ τρίαιναν, πότερον ἐπεὶ αὐτῇ χρῶνται πρὸς τὴν τῶν ἰχθύων θήραν, ἢ ὡς ἐπιτηδείου τούτου τοῦ ὀργάνου πρὸς τὴν κίνησιν τῆς γῆς, εἴρηται γὰρ οὕτως·

αὐτὸς δ’ ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν,
ἡγεῖτ’, ἐκ δ’ ἄρα πάντα θεμείλια κύμασι πέμπεν.

---

4 Nauck. fr. trag. p. 570 10 Sic F χρείαν PV 21 εἰρήκασι F εἰρήκεσαν PV 16 ἤρυγεν reposui ex Il. XX, 403 ἠυγενές PV 18 Sic F ἀσφαλάκους PV 24 καὶδ’ cum F removi, in sequente versu ex Il. XII, 28 restituens θεμείλια κύμασι πέμπεν pro θεμέθλια θῆκε θύραζε, quod PV offerunt

ἔχεται δέ τινος ἀποκεκρυμμένου ἐτύμου, οἶμαι δ' ἀπὸ τοῦ Τρίτωνος, ἔνθεν Ἀμφιτρίτη. ὁ δὲ Τρίτων, εἴτουν ἀπὸ τῆς ῥύσεως οὕτως ὠνόμασται, πλεονάσαντος τοῦ τ στοιχείου, εἴτ' ἀπὸ τοῦ τρεῖν τὸ τρέμειν κατὰ ἀντίφρασιν. δίμορφος δὲ ὁ Τρίτων, καὶ τὸ μὲν ἔχει μέρος ἀνθρώπου, τὸ δὲ κήτους, ἐπειδὴ καὶ τὸ εἰρημένον ὑγρὸν τὴν μὲν ὠφελητικὴν δύναμιν, τὴν δὲ βλαπτικὴν ἔχει. πολυγλώχινα δὲ σίδηρον οἱ ποιηταὶ τὴν τοῦ Ποσειδῶνος καλοῦσι τρίαιναν ἀντὶ τοῦ τριγλώχινα, τρεῖς ἀκίδας ἔχουσαν. εἴ τι γὰρ τρία, φασί, τοῦτο καὶ πολλά, οὐ μὴν καὶ ἀνάπαλιν, εἰ πολλά, ἐξ ἀνάγκης καὶ τρία, οὐ γὰρ ἀντιστρέφει ὁ λόγος. αἰνίττεται δέ, φασίν, ἡ τρίαινα τὰς τρεῖς τῶν ὑδάτων ποιότητας, τὴν ἁλμυράν, οἵα ἐστὶν ἡ τῆς θαλάσσης, τὴν γλυκεῖαν, ὁποία ἡ τῶν ποταμῶν, καὶ τὴν μέσην, τὴν λιμνῶν. τὰ γὰρ πικρὰ καὶ ὀξώδη καὶ εἴ τί που ἄλλο τοιοῦτον, οὐ προσλογιστέον διὰ τὸ σπάνιον. καλεῖται δ' εὐρύστερνος ὁ Ποσειδῶν διὰ τὸ πλάτος τῆς θαλάσσης, ὡς εἴρηται·

καὶ ἐπ' εὐρέα νῶτα θαλάσσης.

λέγεται δὲ κατὰ τοῦτο καὶ εὐρυμέδων καὶ εὐρυβόας. ἵππιος δὲ τάχα ἀπὸ τοῦ ταχεῖαν τὴν διὰ θαλάσσης ὁδὸν εἶναι, καθάπερ ἵπποις ἡμῶν ταῖς ναυσὶ χρωμένων. ἐντεῦθεν ἤδη καὶ ἐπίσκοπον αὐτὸν εἶναι τῶν ἵππων, παραδεξαμένων τῶν μετὰ ταῦτα. διὸ καὶ τοὺς προλεχθέντας ἵππους αὐτῷ δεδώκασι. λέγεται δὲ παρά τισι καὶ νυμφαγέτης καὶ κρηνοῦχος διὰ τὰς προειρημένας αἰτίας. Νύμφαι γάρ εἰσιν αἱ τῶν ποτίμων

---

1 ἔχεται F ἐνδέχεται PV, mox ἐτύμου addidi ex F 20 Il. II, 159 25 διὸ — δεδώκασι om. F

ὑδάτων πηγαί, ἀπὸ τοῦ ἀεὶ νέαι φαίνεσθαι, ἢ ἀπὸ τοῦ φαείνειν οὕτως ὠνομασμέναι. τὰς δὲ γαμουμένας Νύμφας καλοῦσιν ἀπὸ τοῦ νῦν πρώτως φαίνεσθαι, κρυπτομένας τέως. τοῖ δ' αὐτοῦ λόγου ἔχεται καὶ τὸ Ποσειδῶνος υἱὸν εἶναι τὸν Πήγασον, ἀπὸ τῶν πηγῶν ὠνομασμένον. διὰ δὲ τὴν θεωρουμένην βίαν 344
παρὰ τὴν θάλασσαν καὶ πάντας τοὺς βιαίους καὶ μεγαλεπιβούλους γενομένους, ὡς τὸν Κύκλωπα καὶ τοὺς Λαιστρυγόνας καὶ τοὺς Ἀλωΐδας, Ποσειδῶνος ἐμύθευσαν ἐκγόνους εἶναι. λέγεται δὲ καὶ ὅτι ὁ Ποσειδῶν σὺν Ἀπόλλωνι ὀργῇ Διὸς θητεύσας τῷ Λαομέδοντι καὶ προπυργώσας τὸ Ἴλιον, ἐπεὶ μετὰ τεταγμένον χρόνον τῆς λατρείας μισθὸν οὐκ ἐδέξατο, ἀγανακτῶν κατὰ Λαομέδοντος, ἔπεμψε κῆτος δεινότατον, ὅπερ τὴν χώραν κατέκλυξεν, ἀποπτύον τὴν θάλασσαν. ἐκ χρησμοῦ δὲ Λαομέδων ἀναγκασθείς, Ἡσιόνην τὴν θυγατέρα κοσμήσας βασιλικῶς ὡς πρὸς βορὰν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ Ἡρακλῆς μετὰ Ἰάσονος, μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα γῆν, μέλλων λαβεῖν τὸ χρυσόμαλλον δέρας, ὃ ὁ δράκων ἐφύλασσε, μετὰ τῆς καλουμένης Ἀργοῦς νηός, ἀφ' ἧς Ἀργοναῦται προσωρμήθησαν τῷ Ἰλίῳ, ἰδόντες τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς εἶπε δυνατῶς ἔχειν ῥύσασθαι ταύτην. καὶ ὑποσχεθεὶς παρὰ Λαομέδοντος ἀθανάτους ἵππους λαβεῖν, οὓς Ζεὺς ἔδωκε τῷ αὐτοῦ πάππῳ Τρωῒ ὑπὲρ Γανυμήδους, τοῦ υἱοῦ αὐτοῦ, χωστὸν τεῖχος ποιήσας καὶ στὰς ὡπλισμένος παρὰ τὸ στόμιον, ὡς κεχηνὸς ἐπῄει τὸ κῆτος ἀθρόως, τῷ

---

9 Λεστρυγόνας PV 15 κατέκλυσεν F 28 ἐποίει PV

τούτου ἐμπεπήδηκε στόματι. τρισὶ δὲ ἡμέραις κατακόπτων αὐτὸ ἐξῆλθεν ἀποβεβληκὼς καὶ τὴν ἑαυτοῦ τρίχα. μὴ δεξάμενος δὲ τὰ ὑπεσχημένα παρὰ Λαομέδοντος, ἓξ νῆας ἀνορῶν παρὰ τῆς Ἑλλάδος πληρώσας, παραγεγονὼς πάλιν πορθεῖ τὸ Ἴλιον, Τελαμῶνος πρώτου τὸ τεῖχος ῥήξαντος καὶ εἰσβάντος, καὶ Λαομέδοντα μετὰ τῶν ἐκείνου υἱῶν ἀναιρεῖ Ἡρακλῆς, πλὴν Ποδάρκου τοῦ Πριάμου καλουμένου καὶ Ἡσιόνης, τὴν δὲ πόλιν πιμπρᾷ, καὶ Ἡσιόνην δὲ γέρας δίδωσι Τελαμῶνι, ὡς ἀριστεύσαντι, ἐξ ἧς ὕστερον Τελαμὼν τὸν Τεῦκρον γεννᾷ. τότε δὲ Ἡρακλῆς καὶ τῇ Ἡσιόνῃ χαρίζεται, ὃν ἂν θέλῃ τῶν αἰχμαλώτων ὠνήσασθαι. ἡ δὲ τὴν ἑαυτῆς δοῦσα καλύπτραν τὸν ἑαυτῆς ἀδελφὸν Ποδάρκην ἐπρίατο, ὅθεν ἐκλήθη καὶ Πρίαμος. κατὰ δὲ τὴν ἀληθῆ ἱστορίαν μήτε Ποσειδῶν, μήτε Ἀπόλλων τὸ Ἴλιον ἐτείχισεν, ἀλλ' ὁ Λαομέδων οὐχ ὁσίως. ἦν δὲ ἐν τῇ ἀκροπόλει ἱερὸν Ποσειδῶνος καὶ Ἀπόλλωνος διαφερόντως, ὅθεν Λαομέδων ἀνήλισκε τὰ χρήματα εἰς τὴν τοῦ τείχους κατασκευήν.

345 DCCLXX. *Περὶ τοῦ Πριάμου.*

Πρίαμος παρὰ τὸ πρίασθαι λέγεται. περὶ τούτου ἱστορεῖ Λυκόφρων. ὅτε γάρ ποτε ἡ Τροία ἑάλω ὑφ' Ἡρακλέους, πριαμένη, ὡς εἴρηται, αὐτὸν Ἡσιόνη ἀδελφή, δοῦσα καλύπτρας γυναικείας, αὐτὴ μὲν ἀπῆλθεν

DCCLXX. Eustath. Il. p. 27

---

1 Sic F *καταθέμενος αυτῷ* PV 2 *τῆς ἑαυτοῦ κεφαλῆς* F 6 alterum *καὶ* inserui cum F om. PV 15 Verba *κατὰ δὲ τὴν ἀληθῆ* — exit. aliunde profecta sunt, quippe quae absint Tzetzae commentariis 21 Alex. 338 23 *γυναικίας* PV

αἰχμάλωτος ὑπὸ Τελαμῶνι οὖσα, τὸν δὲ ἀδελφὸν ἀφῆκε ζώπυρον γένους ἐκεῖ, ἔχοντα ἐπ' ὀνόματος τὸ τοῦ πρίασθαι ὄνειδος, ἐξ οὗ καὶ μετωνομάσθη Πρίαμος, Ποδάρκης πρώην καλούμενος.

DCCLXXI. *Περὶ τοῦ Πριάπου.*

Πρίαπος ἀσελγής τις καὶ ἀειχθὴς θεός ἐστι παρὰ τοῖς παλαιοῖς. λέγεται γὰρ μετὰ τὸ ἐλθεῖν τὴν Ἀφροδίτην ἐκ τῆς Αἰθιοπίας κάλλος ἀμήχανον ἐπιφέρεσθαι, ὥστε καὶ τὸν Δία ἐρασθῆναι αὐτῆς· καὶ συγγενόμενος αὐτῇ ζῆλον ἄπειρον τῇ Ἥρᾳ κατέλιπεν. εὐθὺς οὖν ἡ Ἥρα τὸ μέλλον σκοπήσασα καὶ ὅτι ἤμελλε τὸ ἐκ ταύτης τικτόμενον βρέφος, κάλλος ἔχον ὑπερφερές, κατακρατῆσαι πάντων τῶν ἐκ τοῦ Διὸς τεχθέντων, προλαβοῦσα ἡ Ἥρα μαγγανείᾳ τινὶ ἥψατο τῆς κοιλίας τῆς Ἀφροδίτης καὶ παρεσκεύασε τὸ βρέφος κακόσεμνον τεχθῆναι. τεχθέντος οὖν τοῦ βρέφους ἀμόρφου καὶ ἀώρου πάνυ, αἰσχροῦ τε καὶ περισσοσάρκου, καὶ ἑωρακυῖα αὐτὸ ἡ μήτηρ τὸ τεχθὲν πλεῖστον αὐτῇ τὸν ψόγον ἐπιφέρειν κακόπλαστον ὄν, τοῦτο λαβοῦσα ἔρριψεν εἰς ὄρος. περιτυχὼν δὲ τούτῳ τις ποιμὴν ἔλαβεν αὐτὸ καὶ ἀνέτρεφε. καὶ ὡς πρὸς εὐκαρπίαν τῆς γῆς καὶ τῶν κτηνῶν καὶ τετραπόδων νομίσας εἶναι τὸ ἐκείνῳ ὑπάρχον πάθος (λέγω δὴ τὸ τοῦ αἰδοίου), λαβὼν ἱδρύσατο καὶ ἐτίμησε καὶ ὠνόμασε Πρίαπον, δηλῶν κατὰ τὴν τῶν Ἰταλῶν γλῶσσαν τὸν ἐκ πλάνης τοὺς ἐν πλάνῃ καὶ ἐν ἐρημίᾳ σώζοντα, καὶ ἐξ ἐκείνου

DCCLXXI. Nonn. II, 34 *τὸ δὲ ἄγαλμα — δοξάζουσιν* Suidas

---

7 *ἀμέτρητον* F 11 *ἔχων* PV

λέγεται παρὰ τοῖς ποιμέσι τιμᾶσθαι. [τὸ δὲ ἄγαλμα αὐτοῦ, τὸ παρ' Αἰγυπτίοις Ὦρος καλούμενον, ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ σκῆπτρον κατέχον, ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θάλασσαν, ἐν δὲ τῇ εὐωνύμῳ κρατοῦν τὸ αἰδοῖον αὐτοῦ ἐντεταμένον, διότι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα φανερὰ καθίστησι. τὰ δὲ πτερὰ τὴν ταχυτῆτα τῆς κινήσεως δηλοῖ, ὁ δὲ κύκλος τοῦ δίσκου τὴν περιφέρειαν· ταὐτὸν γὰρ τῷ ἡλίῳ δοξάζουσιν.]

DCCLXXII. *Περὶ τῆς Πρόκνης.*

Ἐν τῷ περὶ Πανδίονος ἱκανῶς ἐρρέθη.

346 DCCLXXIII. *Περὶ Πρόκριδος.*

Πρόκρις Ἐρεχθέως θυγάτηρ ἦν. ταύτην Κέφαλος ὁ Δηιονέως γήμας καὶ θέλων ἀποπειράσασθαι, εἰ σωφρονοίη, ἀπεδήμησεν ἐξ αὐτοῦ τοῦ νυμφῶνος. μετὰ δὲ χρόνον συσκιάσας ἑαυτὸν ἑτεροίῳ σχήματι ἔρχεται εἰς τὴν οἰκίαν, καὶ κόσμον χρυσοῦν εἰς πειθὼ προβαλόμενος, πείθει τὴν Πρόκριν μιγῆναι αὐτῷ· καὶ πεισθείσης, ἐκφαίνει ὁ Κέφαλος ἑαυτὸν καὶ αἰτιᾶται μὲν ἐκείνην ὡς μὴ ἑαυτῆς ἐγκρατῆ, ὅμως δὲ καταλλάττεται. τὸ δ' ἐντεῦθεν ἐξιόντα τὸν ἄνδρα συχνάκις ἐπὶ θήραν ὑποπτεύει ἐκείνη καὶ καλέσασα τὸν συνεπακτῆρα ἐρωτᾷ, τί ποιεῖ ὁ Κέφαλος συχνάκις ἀπο-

DCCLXXII. Cf. Eud. p. 327 DCCLXXIII. Eustath. Od. p. 1688

1 Haec, cum in fine articuli cum Suidae tum Eudociae nonnulla excidisse appareat, ex Suidae lexico ab interpolatore addita sunt. Cf. Untersuchungen p. 85 seq. 9 *ταὐτὸν* scripsi cum S, *αὐτὸν* PV 15 *προβαλλόμενος* P corr. V

δημῶν. ὁ δὲ ἔφη, ὡς ἐπί τινος κορυφῆς ὄρους ἐκεῖνος ἱστάμενος βοᾷ· ὦ Νεφέλη, παραγενοῦ. καὶ ἡ Πρόκρις ὑπονοήσασα τὸ τῆς Νεφέλης ὄνομα, μήποτε λανθάνῃ κύριον ὄν, ἀπελθοῦσα ἐκεῖ κρύπτεται. καὶ τοῦ Κεφάλου ἀναβοωμένου τὸ σύνηθες, ἔξεισιν αὐτὴ καὶ τρέχει εἰς αὐτόν. ὁ δὲ τῷ ἀδοκήτῳ διαταραχθεὶς βάλλει αὐτὴν τῷ μετὰ χεῖρας ἀκοντίῳ καὶ κτείνει. ἰστέον δέ, ὅτι περιᾴδεται ἐπ' ἀνδρίᾳ καὶ ἡ Πρόκρις αὕτη, καθὰ καί τις Ἀργαθώνη καὶ ἑτέρα Ῥοδογούνη καὶ ἄλλη Ἀταλάντη.

DCCLXXIV. Περὶ τοῦ Προμηθέως.

Προμηθεὺς υἱὸς Ἰαπετοῦ. οὗτος λέγεται κλέψαι τὸ πῦρ παρὰ τῶν θεῶν καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους, καὶ ὅτι περὶ τὰ κρέα τῆς θυσίας ἀπατήσας τὸν Δία εἰς ὀργὴν ἐκίνησεν. διὸ τοῦτον θέλων τιμωρήσασθαι ἐποίησεν ἀετὸν τὸ ἧπαρ αὐτοῦ ἐν τῷ Καυκάσῳ δεδεμένου κατεσθίειν. φασὶ δέ, ὅτι τῆς μὲν ἡμέρας ἤσθιε τοῦ ἥπατος ὁ ἀετός, τῆς δὲ νυκτὸς τὸ λειπόμενον ηὐξάνετο καὶ ἐγίνετο ἶσον. οὕτω καὶ Ἡσίοδός φησι, τὸν ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ διὰ τὴν τοῦ πυρὸς κλοπήν, ὁ δὲ Δοῦρις διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι. ὅθεν τοὺς περὶ Καυκάσιον οἰκοῦντας μόνῳ Διὶ καὶ Ἀθηνᾷ μὴ θύειν διὰ τὸ κολάσεως αἰτίους Προμηθεῖ

DCCLXXIV. Nonn. II, 40 (Cosm. p. 211) φασὶ δὲ — ἶσον Schol. Apoll. II, 1248 οὕτω — χάριν Schol. Apoll. II, 1249 Φερεκύδης — δεσμῶν Schol. Apoll. II, 1248 παραδεδομένου — ἐκβιβρωσκομένη Cornut. 18 Θεόφραστος — μεταδοίη Schol. Apoll. II, 1248 λέγεται — exit. Cornut. 18

9 Ῥοδογοὺ ἢ perperam F 18 Theog. 523 20 Müller II, p. 474

γενέσθαι, καθ' ὑπερβολὴν δὲ σέβειν Ἡρακλέα τῆς τοῦ ἀετοῦ τοξείας χάριν. Φερεκύδης δὲ ἐν δευτέρῳ Τυφῶνος καὶ Ἐχίδνης τῆς Φόρκυός φησι τὸν ἀετὸν ἐπιπεμφθέντα Προμηθεῖ. ὁ δὲ Ἡρόδωρος ξένως περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα· εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησὶ καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τα ἐπιτήδεια διὰ τὸ τὸν καλούμενον Ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν, ἐπιφανέντα δὲ Ἡρακλέα τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν, καὶ διὰ τοῦτο μεμυθεῦσθαι
347 ἀνηρηκέναι τὸν ἀετὸν Ἡρακλέα, τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν. καὶ Ἀγροίτας ἐν ιγ' τῶν Σκυθικῶν δαπανᾶσθαί φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ ἀετοῦ διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν καλούμενον Ἀετὸν φθείρειν, ἧπαρ δὲ παρὰ πολλοῖς, ὥσπερ καὶ οὖθαρ, τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διώρυξι τὸν ποταμόν, τόν τε ἀετὸν δόξαι ὑπ' αὐτοῦ κεχωρίσθαι καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν. παραδεδομένου δὲ ὑπὸ τῶν παλαιῶν, ὅτι ὁ Προμηθεὺς ἐκ γῆς τὸ τῶν ἀνθρώπων γένος ἔπλασεν, ὑπονοητέον Προμηθέα τὴν ἐν τῇ τῶν ὅλων ψυχῇ κυρίαν, ἣν ἐκάλεσαν οἱ νεώτεροι πρόνοιαν. κατὰ γὰρ ταύτην τά τ' ἄλλα ἐγένετο καὶ ἐκ τῆς γῆς ἔφυσαν οἱ ἄνθρωποι, ἐπιτηδείως πρὸς τοῦτο ἐχούσης κατ' ἀρχὰς τῆς τοῦ κόσμου συστάσεως. λέγεται καὶ συνεῖναί ποτε ὁ Προμηθεὺς τῷ Διΐ· πολλῆς γὰρ προμηθείας πᾶσα μὲν ἀρχὴ καὶ προστασία πλειόνων, μάλιστα δὲ ἡ τοῦ Διὸς δεῖται.

---

2 fr. 9 Sturz, antea τοξίας P corr. V 4 Müller II, p. 34 7 τὸ addidi 12 Müller IV, p. 295 28 προστασία F προστάσεως PV

καὶ κλέψαι δέ φασιν αὐτὸν τὸ πῦρ τοῖς ἀνθρώποις, ὡς τῆς ἡμετέρας ἤδη συνέσεως καὶ προνοίας ἐπινοησάσης τὴν χρῆσιν τοῦ πυρός. κατενηνέχθαι δὲ αὐτὸ ἐμυθεύσαντο ἐκ τοῦ οὐρανοῦ διὰ τὸ πλεονάζειν ἐκεῖ, ἢ ἐπεὶ οἱ κεραυνοὶ ἐκεῖθεν κατασκήπτουσι διὰ πληγῆς τἀνθάδ' ἐξάπτοντες, τάχα τι τοιοῦτον καὶ διὰ τοῦ νάρθηκος αἰνιττόμενοι. δεθεὶς δ' ἐπὶ τούτῳ ὁ Προμηθεὺς ἐκολάσθη, τοῦ ἥπατος αὐτοῦ ὑπ' ἀετοῦ καταβιβρωσκομένου· ἡ γὰρ ἡμετέρα ἐντρέχεια, τὸ προειρημένον πλεονέκτημα σὺν τοῖς ἄλλοις ἔχουσα, πειρᾶταί τινος παρ' ἑαυτὴν δυσχρηστείας, προσδεδεμένη ταῖς κατὰ τὸν βίον φροντίσιν ὀδυνηραῖς οὔσαις καὶ ὥσπερ εἰς τὰ σπλάγχνα ἐκ λεπτομεριμνίας ἐκβιβρωσκομένη. Θεόφραστος δὲ τὸν Προμηθέα φησὶ σοφὸν γενόμενον μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας, ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον, ὡς ἄρα πυρὸς μεταδοίη. λέγεται δὲ ὑπό τινων καὶ τῶν τεχνῶν εὑρετὴν γενέσθαι δι' οὐδὲν ἄλλο, ἢ ὅτι συνέσεως καὶ προμηθείας δεῖ πρὸς τὴν εὕρεσιν αὐτῶν. ἀδελφὸν δ' ἔφασαν εἶναι νεώτερον τοῦ Προμηθέως τὸν Ἐπιμηθέα, εὐηθέστερόν πως ὄντα τὸν τρόπον διὰ τὸ προτρέχειν τῇ τάξει τὴν προόρασιν τῆς ἐκ τῶν ἀποβαινόντων παιδείας καὶ ἐπιμαθείας. τῷ γὰρ ὄντι ῥεχθὲν καὶ „παθὼν νήπιος ἔγνω“. διὰ τοῦτο γὰρ τῇ πρώτῃ γενομένῃ γυναικὶ συνοικῆσαι τοῦτον ἔφασαν. ἀφρονέστερον γάρ πως δεῖ καὶ τὸ θῆλυ εἶναι καὶ ἐπιμηθεῖσθαι μᾶλλον ἢ προμηθεῖσθαι πεφυκός.

---

6 τοιοῦτον F τοῦτο PV 7 αἰνιττόμενος PV 13 Sic F λεπτομερυπνοίας PV 20 ἀηθέστερον PV, mox προτερεῖν PV 23 Haec ex libris melioribus sic restituit Osannus: τῷ γὰρ ὄντι

348 DCCLXXIV^b. *Προμηθέως γενεαλογία.*

Ὁ Οὐρανὸς ἐκ τῆς Γῆς γεννᾷ Ὠκεανόν, Ἰαπετόν, (οὗ Προμηθεύς, Ἐπιμηθεύς), Ὑπερίονα, Κρόνον, Θείαν, (ἧς καὶ Ὑπερίονος Ἥλιος, Σελήνη, Ἠώς), Ῥέαν, (ἧς καὶ Κρόνου Ζεύς, Ἅιδης, Ἥρα, Δημήτηρ).

DCCLXXV. *Περὶ τοῦ προπίνειν.*

Πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί. ἀπέπινον δὲ μικρὸν ἐκ τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας καλῆς, καὶ τοῦτο παρεῖχον ᾧ ἂν ἠβούλοντο, χαριζόμενοι καὶ τὴν κύλικα. καὶ ἐκαλεῖτο αὐτὸ τοῦτο προπίνειν, ὅπερ ἡμεῖς λέγομεν φιλοτησίαν.

DCCLXXVI. *Περὶ Πρύλιδος.*

Πρύλις ἦν τις τῶν μάντεων τῇ Ἴσσῃ, ἤτοι τῇ Λέσβῳ, υἱὸς τοῦ Καδμίλου καὶ Κάδμου, ἤτοι Ἑρμοῦ καὶ Ἴσσης τινὸς νύμφης, ὃς προενεχθεῖσι τοῖς Ἕλλησι τῇ Λέσβῳ ὑπέθετο τὶν τρόπον τῆς Ἰλίου ἁλώσεως διὰ μαντείας. εἶπε γὰρ τὴν κατασκευὴν τοῦ δουρείου ἵππου δώροις πεισθεὶς ὑπὸ Παλαμήδους, πρὸς ὃν λέγει „ὦ Πρύλι, ὡς μὴ ὤφελέ σε (τὸν Πρύλιν) φυτεῦ-

DCCLXXIV^b. Compilavit Apollodor. I, 1 seq. DCCLXXV. Nonn. II, 14 (Cosm. p. 317) DCCLXXVI. Tzetzes Lyc. 219

ρεχθέν, παθὼν „δέ τε νήπιος ἔγνω", Il. XVII, 32 legitur *ῥεχθὲν δέ τε νήπιος ἔγνω.* Iisdem verbis utitur Schol. Hes. Theog. 511 9 *πολλῆς* F amicitiae sincerae vertit Billius *παρεῖχον — ἠβούλοντο — χαριζόμενοι* scripsi cum F *παρεῖχεν — ἐβούλετο — χαριζόμενος* PV 12 *Ἴσῃ* PV 13 *Καδμήλου* PV 16 *εἴτε* perperam PV 17 *δώροις* addidi ex F om. PV 18 Haec ab Eudocia solito obscurius dicta sunt, cum sane Lycophro-

σαι καὶ γεννῆσαι ὁ Κάδμος“, ἤτοι ὁ Ἑρμῆς, οὕτω λεγόμενος παρὰ Βοιωτοῖς ἐν τῇ Ἴσσῃ καὶ Μιτυλήνῃ τῇ περιρρύτῳ, ἤτοι τῇ κυκλουμένῃ ὑπὸ θαλάσσης. φυτεῦσαι δὲ ποδηγέτην καὶ Ἑρμέα ὁδηγὸν τῶν Ἑλλήνων.

DCCLXXVII. *Περὶ τοῦ Πρωτέως.*

Πρωτεὺς Θρᾷξ μὲν ἦν τὸ γένος, εἶχε δὲ υἱοὺς Μῶλον καὶ Τηλέγονον. τούτους λῃστὰς ὄντας ἐλθὼν Ἡρακλῆς ἀπέκτεινεν, ἀπεχθόμενος διὰ τὰς Γηρυόνου βοῦς. τοῦτον οὖν ἀθυμοῦντα τὸν Πρωτέα διὰ τὴν ἀποβολὴν τῶν τέκνων καὶ ῥίψαντα ἑαυτὸν εἰς θάλασσαν οἱ θεοὶ ἐλεήσαντες ἀπηθανάτισαν· καὶ γέγονε δαίμων ἐνάλιος καὶ ἔρχεται καὶ οἰκεῖ τὴν κατ' Ἀλεξάνδρειαν Φάρον ἢ τὸν Ἀντίφαρον, ὃς καὶ τάφος Ὀσίριδος λέγεται καὶ Εἰδοθέας τῆς τοῦ Πρωτέως. ἱστορεῖ δὲ καὶ Λυκόφρων, ὅτι τῶν ξενοκτόνων παίδων ἐν τῇ Θρᾳκικῇ Παλλήνῃ ἀπαλλαγεὶς ἀποκατέστη εἰς 349
Φάρον μετὰ τῆς θυγατρὸς Εἰδοθέας καὶ δαίμων ἐνομίσθη θαλάσσιος, διὸ καὶ Πρωτέως νῆσος ἡ Φάρος ἐκέκλητο. ἕτεροι δέ φασιν, ὅτι Αἰγύπτιος ἦν τὸ γένος, ἐλθὼν δὲ ἐξ Αἰγύπτου εἰς Φλέγραν τῆς Παλλήνης

DCCLXXVII. Nonn. I, 2 (Cosm. p. 118; Clarke p. 41) *ἕτεροι δέ φασιν — γελᾷ* Tzetzes Lyc. 124 *οὗτος* — exit. mutato verborum ordine Nonn. I, 2

---

nem poëtam talia dicere ei praemittendum esset 8 *ἀπεχθόμενος* recepi ex Cosmae commentariis, *ἀπερχόμενος* PV 11 Servavi Nonni Cosmaeque scripturam, *ἀπεθανάτησαν* Bodlei. *ἀπεθανάτισαν* PV 13 Pro *κατ' Ἀλεξάνδρειαν Φάρον* in F legitur *Φαρίαν νῆσον* 15 Alex. 118 20 *Φλέγραν* F *Φαλαγραν* PV

καὶ Θρᾴκης Τορώνην γαμεῖ, ἐξ ἧς αὐτῷ Τμῶλος καὶ Τηλέγονος, οἳ καταπαλαίοντες τοὺς ξένους ἀνῄρουν. ὧν τὴν ξενοκτονίαν μὴ φέρων ὁ Πρωτεὺς τῷ αὐτοῦ πατρὶ Ποσειδῶνι ηὔξατο, πάλιν καταστῆσαι αὐτὸν εἰς τὴν Αἴγυπτον. ὁ δὲ ὑπακούσας αὐτῷ, σπήλαια ἐκ τοῦ χάσματος τῆς Παλλήνης ποιήσας ὑποκάτωθεν θαλάσσης, οὕτω διήγαγεν αὐτὸν ἀβρόχως μέχρις Αἰγύπτου. Ἡρακλῆς δὲ περὶ Θρᾴκην διερχόμενος καὶ καταπαλαίσας ἀνεῖλε τὸν Τμῶλον καὶ τὸν Τηλέγονον, ὅπερ μαθὼν ὁ Πρωτεύς, ὁ τούτων πατήρ, οὐ γελᾷ μὲν ὅτι παῖδες ἦσαν αὐτοῦ, ὅτι δὲ ξενοκτόνοι, οὐδὲ δακρύει κατὰ τὸν μῦθον. τὸ δὲ ἀληθὲς μὴ φέρων ὁ Πρωτεὺς τὰς ξενοκτονίας αὐτῶν ἔρριψεν ἑαυτὸν κατά τι χάσμα τῆς Παλλήνης καὶ ἀναιρεθεὶς οὔτε δακρύει, οὔτε γελᾷ. οὗτος καὶ τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἔλαβεν, ἐλθόντος ἀπὸ τῆς Ἑλλάδος, καὶ ἔδωκεν αὐτῷ τὸ εἴδωλον αὐτῆς. ὕστερον δὲ Μενελάου μετὰ τὸν Τρωϊκὸν πόλεμον μαθόντος, ὡς ἐν Αἰγύπτῳ ἐστὶν ἡ Ἑλένη, καὶ ἐλθόντος παρὰ τὸν Πρωτέα, δέδωκεν αὐτῷ αὐτήν. λέγεται δὲ οὗτος ὁ Πρωτεὺς καὶ μετὰ τῶν φωκῶν ἐνδιαιτᾶσθαι καὶ μεταμορφοῦσθαι πρὸς τοὺς ἐντυγχάνοντας, καὶ ποτὲ μὲν γίνεσθαι τοιόνδε, ποτὲ δὲ τοιόνδε. ἵνα οὖν μὴ δι' αἰτίαν μαντείας καὶ προγνώσεως ἐνοχλῆται διὰ τοὺς πλησιάζοντας αὐτῷ, τὴν τούτων μὴ φέρων ἐνόχλησιν, μετεμόρφου ἑαυτὸν μαγείᾳ τινὶ καὶ ἄγνωστον ἑαυτὸν ἐποίει τοῖς πρὸς αὐτὸν πλησιάζουσιν.

---

14 *Παλληνίας* PV 18 *εἰς Αἴγυπτον* F 25 *μετεμόρφουν* PV

DCCLXXVIII. *Περὶ τῆς Πυθίας.*

Φωκὶς χώρα ἦν ἐν τῇ Ἑλλάδι. ἐν ταύτῃ ἐστι πόλις καλουμένη Δελφοί, ἐν ᾗ ἐστιν ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ καλεῖται Πυθώ. ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους καὶ αἱ ψῆφοι αἱ μαντικαί, αἵ τινες ἦσαν ἐν τῇ φιάλῃ τοῦ τρίποδος. ἡνίκα δὲ ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας, αἱ ψῆφοι ἥλλοντο καὶ ἐκινοῦντο ἐν αὐταῖς. τότε οὖν ἡ μάντις ἀνεφορεῖτο ἐπὶ τοῦ τρίποδος καθημένη, καὶ ἔλεγεν ἃ ἤθελεν ὁ Ἀπόλλων. ἥτις Πυθία ἐκαλεῖτο, τὸ δὲ μέρος ἐν ᾧ ἐκάθητο ὅλμος.

DCCLXXIX. *Περὶ Πειρίθου καὶ Θησέως.* 350

Πειρίθους καὶ Θησεύς, ὁ μὲν Διὸς υἱός, ὁ δὲ Ποσειδῶνος, φιλίαν ποιησάμενοι ἁρπάσαι συνέθεντο τὴν Διὸς θυγατέρα. ἁρπάσαντες οὖν τὴν Ἑλένην παρέθεντο ἐν Ἀφίδναις τῆς Ἀττικῆς Αἴθρᾳ, τῇ Πιτθέως μὲν θυγατρί, μητρὶ δὲ Θησέως. Κάστωρ δὲ καὶ Πολυδεύκης οἱ τῆς Ἑλένης ἀδελφοὶ πορθήσαντες τὴν Ἀττικήν, Αἴθραν λαμβάνουσιν αἰχμάλωτον. ἁρπαγείσης δὲ πάλιν ὑπ' Ἀλεξάνδρου τῆς Ἑλένης, συναπῆρεν αὐτῇ Αἴθρα ἐπὶ Τροίαν.

Ἱστορικοί.

DCCLXXX. *Περὶ Παλαιφάτου τοῦ ἱστορικοῦ.*

Παλαίφατος Ἀβυδηνὸς ἱστορικός. ἔγραψε Κυπριακά, Δηλιακά, Ἀττικά, Ἀραβικά. γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος. παιδικὰ δὲ Ἀριστοτέλους

DCCLXXVIII. Nonn. II, 20. Cf. Eud. p. 109 DCCLXXIX. Tzetzes Lyc. 503 DCCLXXX. Hesych. (Suid.)

τοῦ φιλοσόφου, ως Φίλων ἐν τῷ ν' στοιχείῳ τοῦ περὶ παραδόξου ἱστορίας πρώτου βιβλίου, καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρῳ τῶν Τρωϊκῶν.

DCCLXXXI. *Περὶ Παυσανίου τοῦ ἱστορικοῦ.*

Παυσανίας Λάκων ἱστορικός. ἔγραψε περὶ Ἑλλησπόντου, Λακωνικά, Χρονικά, περὶ Ἀμφικτυόνων, περὶ τῶν ἐν Λάκωσιν ἑορτῶν καὶ ἄλλα.

DCCLXXXII. *Περὶ Πολέμωνος τοῦ Ἰλιέως.*

Πολέμων Εὐηγέτου, Ἰλιεύς, κώμης Γλυκείας ὄνομα, Ἀθήνησι δὲ πολιτογραφηθείς, διὸ ἐπεγράφετο Ἑλλαδικός, ὁ κληθεὶς περιηγήτης. γέγονε κατὰ Πτολεμαῖον τὸν Ἐπιφανῆ. κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ καὶ διήκουσε καὶ τοῦ Ῥοδίου Παναιτίου. ἔγραψε περιήγησιν Ἰλίου ἐν βιβλίοις γ', κτίσεις τῶν ἐν Φωκίδι πόλεων καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας αὐτῶν, κτίσεις τῶν ἐν Πόντῳ πόλεων, περὶ τῶν ἐν Λακεδαίμονι πόλεων, καὶ ἄλλα πλεῖστα, ἐν οἷς καὶ κοσμικὴν περιήγησιν, ἤτοι γεωγραφίαν.

DCCLXXXI—DCCLXXXII. Hesych. (Suid.)

---

1 *ει* Suidas 2 Haec, quae ad verbum apud Suidam quoque leguntur, absurda esse luce clarius est; itaque verba *ἐν τῷ ν στοιχείῳ* omnino eiici iubet Bernhardy, meliorem coniecturam amice mecum communicavit A. de Gutschmid: *ἐν τῷ ε Στοιχειωτοῦ, ὅπερ ἐστὶ παραδόξου ἱστορίας βιβλίον πρῶτον.* Nunc cf. Rohde in Mus. Rhen. XXXIV, p. 561 not. 2 3 Müller III, p. 573 6 *καὶ ἄλλα* om. S 7 *Λυκίας* PV *ὄνομα* om. PV 14 *αὐτῶν, κτίσεις* ex melioribus libris revocavit Bernhardy, om. PV 16 *πόλεων* forte omittendum esse editores Suidae suspicati sunt

DCCLXXXIII. *Περὶ τοῦ Πολυβίου.*

Πολύβιος, Λύκου υἱός, ἀπὸ Μεγάλης πόλεως τῆς Ἀρκαδίας, καθηγησάμενος Σκηπίωνος τοῦ Ἀφρικανοῦ, ὅτε καὶ Παναίτιος ὁ φιλόσοφος, γεγονὼς κατὰ Πτο- 351 *λεμαῖον τὸν ἐπικληθέντα Εὐεργέτην. οὗτος ἔγραψε τὴν μακρὰν ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις μ΄. ἄρχεται δὲ ἀπὸ τῆς φυγῆς Κλεομένους τοῦ Σπαρτιάτου καὶ τῆς Φιλίππου τοῦ Περσέως υἱοῦ διαδοχῆς τῶν Μακεδόνων, τὰ ἑξῆς ἐπισυνάπτων Ῥωμαίων.*

[DCCLXXXIV. *Περὶ Πυλάδου τῆς Ἰταλικῆς ὀρχήσεως εὑρετοῦ καὶ περὶ ὀρχήσεως.*

Πυλάδης Κίλιξ, ἀπὸ κώμης Μησταρνῶν, ἔγραψε περὶ ὀρχήσεως τῆς Ἰταλικῆς, ἥτις εὑρέθη ὑπ᾽ αὐτοῦ, καὶ περὶ τῆς κωμικῆς καλουμένης ὀρχήσεως καὶ τῆς τραγικῆς καὶ σατυρικῆς. γένη δὲ ὀρχήσεών εἰσι τάδε· τραγική, κωμική, σατυρική, γυμνοπαιδική, ὑπορχηματική, πυρρίχη, ἐμμέλεια, κόρδαξ, σίκιννις. τρεῖς δὲ κατὰ τὸν Ἀθήναιόν εἰσιν αἱ τῆς σκηνικῆς ποιήσεως ὀρχήσεις· τραγική, κωμική, σατυρική. ὁμοίως δὲ καὶ τρεῖς τῆς λυρικῆς ποιήσεως· πυρρίχη, γυμνοπαιδική, ὑπορχηματική. καὶ ἔστιν ὁμοία ἡ μὲν πυρρίχη τῇ

DCCLXXXIII. Hesych. (Suid.) DCCLXXXIV. Quomodo haec narratiuncula, ex Athen. I, p. 20 et XIV, p. 630, 620, 621 conglutinata, inter historicos abierit, non intellegitur, qua de causa serius additam satis probabile est. Cf. Untersuch. p. 164 *Πυλάδης — ἐμμέλεια* Suidas quoque ex eodem Athenaei capite descripsit. Pauca eorum excerpsit Eustath. Od. p. 1942

---

7 Scripsi ex emendatione Bernhardyi, *καὶ Φιλίππου τοῦ Περσέως υἱοῦ, τῇ διαδοχῇ τῶν Μακεδόνων* PV 9 *μισθαρνῶν* PV

σατυρικῇ, ἀμφότεραι γὰρ διὰ τάχους. πολεμικη δὲ δοκεῖ εἶναι ἡ πυρρίχη, ἔνοπλοι γὰρ αὐτὴν παῖδες ὀρχοῦνται· τάχους δὲ δεῖ τῷ πολέμῳ εἰς τὸ διώκειν καὶ εἰς τὸ ἡττωμένους φεύγειν. καλεῖται δὲ καὶ ἡ σατυρικὴ ὄρχησις σίκιννις ἀπὸ Κρητὸς Σικκίννου. ἡ δὲ γυμνοπαιδικὴ παρεμφερής ἐστι τῇ τραγικῇ ὀρχήσει, ἥτις ἐμμέλεια καλεῖται, ἐν ἑκατέρᾳ δὲ ὁρᾶται τὸ βαρὺ καὶ σεμνόν. ἡ δ' ὑπορχηματικὴ τῇ κωμικῇ οἰκειοῦται, ἥτις καλεῖται κόρδαξ, παιγνιώδεις δ' εἰσὶν ἀμφότεραι. Ἀριστόξενος δέ φησι τὴν πυρρίχην ἀπὸ τοῦ Πυρρίχου, Λάκωνος τὸ γένος, τὴν προσηγορίαν λαβεῖν (Λακωνικὸν δέ ἐστι μέχρι καὶ νῦν ὄνομα ὁ Πύρριχος). καὶ τὸν μὲν ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα ὑποκρινόμενον μαγῳδὸν καλεῖσθαι, τὴν δὲ γυναικεῖα ἀνδρείοις λυσῳδόν. σεμνότερος δὲ τῶν Σωταδείων ἐστὶν ὁ ἱλαρῳδὸς καλούμενος, οὐδὲ γὰρ σχινίζεται. χρῆται δὲ ἐσθῆτι λευκῇ ἀνδρείᾳ καὶ στεφανοῦται χρυσοῦν στέφανον. καὶ τὸ μὲν παλαιὸν ὑποδήμασιν ἐχρῆτο, ὥς φησιν ὁ Ἀριστοκλῆς, νῦν δὲ κρηπῖσι. ψάλλει δ' αὐτῷ ἄρρην ἢ θήλεια, ὡς καὶ τῷ αὐλῳδῷ. δίδοται δὲ ὁ στέφανος τῷ ἱλαρῳδῷ καὶ τῷ αὐλῳδῷ, οὐ τῷ ψάλτῃ, οὐδὲ τῷ αὐλητῇ. ὁ δὲ μαγῳδὸς καλούμενος τύμπανα ἔχει καὶ κύμβαλα, καὶ πάντα τὰ περὶ αὐτὸν ἐνδύματα γυναικεῖα. σχινίζεταί τε καὶ πάντα ποιεῖ τὰ ἔξω κόσμου, ὑποκρινόμενος ποτὲ μὲν γυναῖκα καὶ μοιχοὺς καὶ μαστροπούς, ποτὲ δὲ ἄνδρα μεθύοντα καὶ
352 ἐπὶ κῶμον παραγενόμενον πρὸς τὴν ἐρωμένην. φησὶ δὲ ὁ Ἀριστόξενος τὴν μὲν ἱλαρῳδίαν σεμνὴν οὖσαν

15 σεμνώτερος PV 16 οὐδὲ F οὐδέν PV 19 Müller, IV, p. 331 26 μαστρωπούς PV

παρὰ τὴν τραγῳδίαν εἶναι, τὴν δὲ μαγῳδίαν παρὰ τὴν κωμῳδίαν. πολλάκις δὲ οἱ μαγῳδοὶ καὶ κωμικὰς ὑποθέσεις λαβόντες ὑπεκρίθησαν κατὰ τὴν οἰκείαν ἀγωγὴν καὶ διάθεσιν. ἔσχε δὲ τοὔνομα ἡ μαγῳδία ἀπὸ τοῦ οἱονεὶ μαγικὰ προφέρεσθαι καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις.]

[DCCLXXXV. *Διὰ τί οἱ ἐρῶντες μετὰ χεῖρας ἄνθη καὶ μῆλα φέρουσι.*

Κλέαρχος ὁ Σολεὺς ἐν τοῖς ἐρωτικοῖς, διὰ τί, φησί, μετὰ χεῖρας ἄνθη καὶ μῆλα καὶ τοιαῦτα φέρομεν; πότερον ὅτι καὶ διὰ τῆς τούτων ἀγαπήσεως ἡ φύσις μηνύει τοὺς τῆς ὥρας ἔχοντας τὴν ἐπιθυμίαν, διὰ τοῦτο οὖν οἷον δεῖγμα τῆς ὄψεως τὰ ὡραῖα μετὰ χεῖρας ἔχουσι καὶ χαίρουσιν αὐτοῖς; ἢ δυοῖν χάριν ταῦτα περιφέρουσιν; ἀρχή τε γὰρ εὐτυχίας καὶ παράδειγμα τῆς βουλήσεως αὐτοῖς γίνεται διὰ τούτων, αἰτηθεῖσι τῷ προσαγορευθῆναι, δοῦσι δὲ τῷ ὑπογράφειν, ὅτι δεῖ καὶ αὐτοὺς μεταδιδόναι τῆς ὥρας. ἡ γὰρ τῶν ὡραίων ἀνθῶν καὶ καρπῶν αἴτησις εἰς ἀντίδοσιν τῆς τοῦ σώματος ὥρας προκαλεῖται τοὺς λαβόντας. ἢ τὴν τούτων ὥραν παραψυχὴν καὶ παραμυθίαν τῆς ἐπὶ τῶν ἐρωμένων ὥρας ταῖς ἐπιθυμίαις χαίροντες ἔχουσιν αὐτοῖς. ἐκκρούεται γὰρ ὑπὸ τῆς τούτων παρουσίας ὁ τῶν ἐρωμένων πόθος. εἰ μὴ ἄρα τοῦ περὶ αὐτοὺς κόσμου χάριν, καθάπερ ἄλλο τι τῶν πρὸς καλλωπισμὸν

DCCLXXV. Haec quoque historia ex Athen. XII, p. 553 descripta cur in historicorum ordine et in litera *Π* collocata sit, quis intelleget? Itaque interpolatori dedi. Cf. Unters. p. 165

---

7 Müller II, p. 315   11 *μετὰ* F *κατὰ* PV   15 *δὲ προϋπογράφειν* F

συντεινόντων ἔχουσί τε ταῦτα καὶ χαίρουσιν αὐτοῖς. οὐ γὰρ μόνον στεφανουμένων τοῖς ὡραίοις ἄνθεσιν, ἀλλὰ καὶ μετὰ χεῖρας ἐχόντων τὸ πᾶν εἶδος ἐπικοσμεῖται. τάχα δ' ἴσως διὰ τὸ φιλοκάλους εἶναι· δηλοῖ δὲ τὸ τῶν καλῶν ἐρᾶν καὶ πρὸς τὰ ὡραῖα φιλικῶς ἔχειν. καλὸν γάρ τι τῆς ὀπώρας καὶ τὸ τῆς ὥρας ὄντως πρόσωπον ἔν τε καρποῖς καὶ ἄνθεσι θεωρούμενον. ἢ πάντες οἱ ἐρῶντες οἷον ἐκτρυφῶντες ὑπὸ τοῦ πάθους καὶ ὡριαινόμενοι τοῖς ὡραίοις ἁβρύνονται. φυσικὸν γὰρ δή τι τὸ τοὺς οἰομένους εἶναι καλοὺς καὶ ὡραίους ἀνθολογεῖν. καὶ Σαπφώ φησιν ἰδεῖν „ἄνθε' ἀμέργουσαν παῖδ' ἄγαν ἁπαλάν."]

Ῥήτορες.

DCCLXXXVI. *Περὶ Παλλαδίου τοῦ ῥήτορος.*

Παλλάδιος Μεθωναῖος ῥήτωρ. γέγονε δὲ ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως. ἔγραψε περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν, διαλέξεις, λόγους διαφόρους, Ὀλυμπιακόν, Πανηγυρικόν, Δικανικόν.

353 DCCLXXXVII. *Περὶ Παγκρατίου τοῦ σοφιστοῦ.*

Παγκράτιος σοφιστής. ἔγραψεν ὑπόμνημα εἰς τὴν Μινουκιανοῦ τέχνην.

DCCLXXXVIII. *Περὶ Παύλου τοῦ Τυρίου ῥήτορος.*

Παῦλος Τύριος ῥήτωρ, γεγονὼς κατὰ τὸν Φίλωνα τὸν Βύβλιον, ὃς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως πρεσβεύ-

DCCLXXXVI—DCCLXXXVIII. Hesych. (Suid.)

11 fr. 121 Bergk 13 *Παλλαδίου* add. S idem mox *σοφιστής* pro *ῥήτωρ* exhibet 19 *τὸν* om. S 20 *Βύβλινον* PV

σας μητρόπολιν τὴν Τύρον ἐποίησεν. ἔγραψε Τέχνην ῥητορικήν, Προγυμνάσματα, Μελέτας.

DCCLXXXIX. *Περὶ Παύλου τοῦ σοφιστοῦ.*

Παῦλος Γερμηνὸς σοφιστής, ὁ γράψας ὅτι γε Λυσίου ἐστὶ ὁ περὶ τῆς Ἰφικράτους δωρεᾶς βιβλία β΄, ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους τοῦ Λυσίου.

Καὶ ἕτερος Παῦλος Αἰγύπτιος σοφιστής, ἐκ τῆς Λύκων, υἱὸς Βησσαρίωνος τοῦ καὶ Διδύμου, γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

DCCXC. *Περὶ Παυσανίου τοῦ σοφιστοῦ.*

Παυσανίας Καισαρεὺς σοφιστής, σύγχρονος Ἀριστείδου. οὗ μέμνηται ὡς φαύλου ῥήτορος Φιλόστρατος ἐν τοῖς τῶν σοφιστῶν βίοις. ἔγραψε περὶ συντάξεως βιβλίον ἕν, προβλημάτων βιβλίον ἕν.

DCCXCI. *Περὶ τοῦ Περικλέους.*

Περικλῆς Ξανθίππου καὶ Ἀγαρίστης, Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, ὅστις πρῶτος γραπτὸν λόγον ἐν δικαστηρίῳ εἶπε, τῶν πρὸ αὐτοῦ σχεδιαζόντων. ἦν δὲ μαθητὴς Ἀναξαγόρου τοῦ Κλαζομενίου, καὶ αὐτὸς ἐρρύσατο αὐτὸν ἐκ θανάτου.

DCCLXXXIX—DCCXCI. Hesych. (Suid.)

---

3 *Γερμηνὸς* ad Bekkeri exemplum scripsi, *Γερμῖνος* PV 4 *ὁ* corr. Bernhardy, cum significetur *ὁ περὶ τῆς εἰκόνος* oratio, *τὰ* PV 7 *Βησαρίωνος* S 10 Vit. Soph. II, 13 infra *καὶ ἕτερα* add. S

DCCXCII. *Περὶ Πέτρου τοῦ ῥήτορος καὶ μαγίστρου.*

Πέτρος ὁ ῥήτωρ, ὁ καὶ μάγιστρος καὶ ἱστορικός, πρεσβευτὴς ὡς Χοσρόην σταλείς, μάλα ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν τῷ καταμαλάξαι φρονήματα βαρβαρικά, σκληρά τε καὶ ὀγκώδη. ἔγραψεν ἱστορίας καὶ περὶ πολιτικῆς καταστάσεως.

354 [DCCXCIII. *Περὶ Πολέμωνος τοῦ ῥήτορος.*

Πολέμων Λαοδικεύς, ῥήτωρ καὶ σοφιστής, σοφιστεύσας ἐν Σμύρνῃ, διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ μετ' αὐτὸν μαθητὴς Τιμοκράτους τοῦ ἐξ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ φιλοσόφου καὶ Σκοπελιανοῦ τοῦ σοφιστοῦ. ἐτελεύτησε δὲ ἓξ καὶ πεντήκοντα ἐνιαυτῶν, ἑαυτὸν ἐν τῷ τάφῳ ἐμβαλὼν καὶ ἀποκαρτερήσας διὰ τὸ συνέχεσθαι τῇ ἀρθρίτιδι νόσῳ. διὸ καὶ τῶν συγγενῶν καὶ τῶν φίλων θρηνούντων, λέγεται εἰπεῖν πρὸς αὐτοὺς τὸν Πολέμωνα· „δότε μοι ἕτερον σῶμα καὶ μετεμβήσομαι.“ καὶ τοῖς ἰατροῖς δὲ ἐπὶ συχνῷ τέμνουσιν αὐτὸν ἔλεγεν· „ἐκτέμνετε τὰς Πολέμωνος λατομίας ὡς τάχιστα“.]

DCCXCIV. *Περὶ Πολυδεύκους.*

Πολυδεύκης Ναυκρατίτης, τινὲς δὲ Ἀρδουέννας σοφιστὴν γράφουσι παίζοντες, πόλις δὲ Φοινίκης ἡ

DCCXCII. Hesych. (Suid.) DCCXCIII. Philostrat. Vit. I, 25 (Suid) DCCXCIV. Hesych. (Suid.)

1 Eiusdem Petri magistri mentio fit apud Steph. Byz. v. *Ἀκόναι*, quo loco verba epitomatoris esse constat 6 Haec excerpta quoniam ad verbum cum Suida conspirent, ex illo interpolata esse suspicor 15 *μελετήσομαι* F, mox *ἐκτέμνεται* P corr. V

Ἀρδούεννα. ἐπαίδευσεν ἐν Ἀθήναις ἐπὶ Κομόδου τοῦ βασιλέως καὶ ἐτελεύτησε βιοὺς ἔτη νη', συντάξας βιβλία ταῦτα· ὀνομαστικὸν ἐν βιβλίοις δέκα (ἔστι δὲ συναγωγὴ τῶν διαφόρως κατὰ τοῦ αὐτοῦ λεγομένων), διαλέξεις ἤτοι λαλιάς, μελέτας, εἰς Κόμοδον Καίσαρα ἐπιθαλάμιον, Ῥωμαικὸν λόγον, σαλπιγκτὴν ἢ ἀγῶνα μουσικόν, κατὰ Σωκράτους, κατὰ Σινωπέων, Πανελλήνιον, Ἀρκαδικὸν καὶ πολλὰ ἄλλα.

DCCXCV. *Περὶ Πολυαίνου τοῦ σοφιστοῦ.*

Πολύαινος Σαρδιανὸς σοφιστής, γεγονὼς ἐπὶ τοῦ πρώτου Καίσαρος Γαΐου. ἔγραψε λόγους δικανικοὺς καὶ δικῶν ἤτοι συνηγοριῶν ὑποτυπώσεις, θριάμβου Παρθικοῦ βιβλία γ' καὶ ἄλλα.

Καὶ ἕτερος, Μακεδὼν ῥήτωρ, ὃς περὶ Θηβῶν ἔγραψε καὶ τακτικῶν βιβλία τρία.

DCCXCVI. *Περὶ Πολυκράτους τοῦ ῥήτορος.*

Πολυκράτης Ἀθηναῖος, ῥήτωρ δεινός τε καὶ τοὺς κατὰ Σωκράτους λόγους δύο Ἀνύτῳ καὶ Μελήτῳ γράψας.

DCCXCVII. *Περὶ Ποσειδωνίου τοῦ σοφιστοῦ.*

Ποσειδώνιος Ὀλβιοπολίτης, σοφιστὴς καὶ ἱστορικός. ἔγραψε περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν κατ' αὐτόν,

DCCXCV—DCCXCVII. Hesych. (Suid.)

8 *καὶ ἕτερα* S 11 *ὑποτυπόσεις* P corr. V, mox *θριάμβου Παρθικά* P *θριάμβους, Παρθικά* V. Recepi eam lectionem, qua S usus est 14 *Τακτικὰ* S, nescio an deterius 16 *δεύτερος* PV certe litera *β* male intellecta, mox *Μελίτῳ* PV 18 *Ποσειδωνείου* P corr. V

περὶ τῆς Τυρικῆς καλουμένης χώρας, Ἀττικὰς ἱστορίας ἐν βιβλίοις τέσσαρσι, Λιβυκὰ ἐν βιβλίοις ια΄.

DCCXCVIII. Περὶ Ποτάμωνος.

Ποτάμων Μιτυληναῖος, υἱὸς Λεσβώνακτος, ῥήτωρ, ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίου, καί ποτε αὐτοῦ εἰς τὴν πατρίδα ἐπανιόντος ὁ βασιλεὺς ἐφοδιάζει τοιοῖσδε γράμμασι· Ποτάμωνα Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσει, σκεψάσθω, εἴ μοι δυνήσεται πολεμεῖν. ἔγραψε περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅρους Σαμίων, Βρούτου ἐγκώμιον, Καίσαρος ἐγκώμιον, περὶ τελείου ῥήτορος πάνυ θαυμαστῶς.

DCCXCIX. Περὶ Πωλίονος τοῦ σοφιστοῦ.

Πωλίων ὁ Ἀσίνιος, χρηματίσας Τραλλιανός, σοφιστὴς καὶ φιλόσοφος, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ διαδεξάμενος τὴν σχολὴν τοῦ Τιμαγένους. ἔγραψεν ἐπιτομὴν τῆς Φιλοχόρου Ἀτθίδος, ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου, ἐπιτομὴν τῶν Διοφάνους γεωργικῶν ἐν βιβλίοις β΄, πρὸς Ἀριστοτέλην περὶ ζώων βιβλία ι΄, περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήϊος.

DCCC. Περὶ Πώλου τοῦ ῥήτορος.

Πῶλος Ἀκραγαντῖνος, ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου. ἔγραψε γενεαλογίαν

DCCXCVIII—DCCC. Hesych. (Suid.)

---

2 καὶ ἄλλα τινά add. S 3 Λεσβόνακτος omnibus locis PV 10 πάνυ θαυμαστῶς om. S antea Τελείου ῥήτορος PV 14 Φιλοχώρου PV

τῶν ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων, καὶ πῶς ἕκαστος ἀπήλλαξε (τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγράφουσι), νεῶν κατάλογον, περὶ λέξεως.

DCCCI. *Περὶ Πρίσκου τοῦ σοφιστοῦ.*

Πρίσκος Πανίτης σοφιστής, ἐπὶ Θεοδοσίου τοῦ μικροῦ. ἔγραψεν ἱστορίαν Βυζαντιακὴν καὶ τὰ κατ' Ἀττίλαν ἐν βιβλίοις ὀκτώ, μελέτας τε ῥητορικὰς καὶ ἐπιστολάς.

DCCCII. *Περὶ Προαιρεσίου τοῦ σοφιστοῦ.*

Προαιρέσιος Παγκρατίου, Καππαδόκης ἀπὸ Καισαρείας, σοφιστής, μαθητεύσας ἐν Ἀντιοχείᾳ παρὰ Οὐλπιανῷ. γέγονε δὲ μικρὸν πρὸ τοῦ σοφιστοῦ Λιβανίου κατὰ τὰς Ἀθήνας σοφιστεύων καὶ τιμῶν ἔτυχε τῶν μεγίστων τοῦ αὐτοκράτορος Κωνσταντίνου. ἔγραψε μελέτας ῥητορικάς.

DCCCIII. *Περὶ Προκοπίου τοῦ ῥήτορος.* 356

Προκόπιος Ἰλλούστριος, Καισαρεὺς ἐκ Παλαιστίνης, ῥήτωρ. ἔγραψεν ἱστορίαν Ῥωμαϊκήν, ἤγουν τοὺς πολέμους Βελισαρίου, τὰ κατὰ Ῥώμην καὶ Λιβύην πραχθέντα. γέγονεν ἐπὶ Ἰουστινιανοῦ, ὑπογραφεὺς

DCCCI—DCCCIII. Hesych. (Suid.)

---

2 Sic F, *Ἀμάστου* PV. Cf. Daub. in Mus. Rhen. XXXV, p. 56 seq. 3 *λέξεων* PV 4 *τῶν χρόνων* more solito S 5 *Βυζαντικήν* PV *καὶ κατὰ Ἄτταλον* PV *καὶ τὰ κατ' Ἀττίλαν* legendum editores Suidae monuerunt 10 *μικρὸν* in S delevit Bernhardy 13 *οὗτος ἤκμασεν ἐπὶ Ἰουλιανοῦ, σύγχρονος Λιβανίῳ τῷ σοφιστῇ, καὶ ὅπως λυποίη τοῦτον ὁ Ἰουλιανός, τὸν Λιβάνιον μεγάλως ἐθαύμαζε* add. S 15 *καὶ σοφιστής* add. S 17 *τῶν χρόνων* add. S

χρηματίσας Βελισαρίου. ἔγραψε καὶ τὰ καλούμενα Ἀνέκδοτα τῶν αὐτοῦ πράξεων, Περσικά, Γοτθικά.

DCCCIV. Περὶ Πρωταγόρου τοῦ Ἀβδηρίτου.

Πρωταγόρας Ἀβδηρίτης, υἱὸς Ἀρτέμωνος ἢ καὶ Μαιανδρίδου, τινὲς δὲ καὶ Τήϊον ἀνέγραψαν. οὗτος πρῶτος τοὺς ἐριστικοὺς λόγους εὗρε καὶ ἀγῶνα λόγων ἐποιήσατο, καὶ διεῖλε πάντα λόγον εἰς τέσσαρα, εἰς εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν.

DCCCV. Περὶ Πυθέου τοῦ ῥήτορος.

Πυθέας Ἀθηναῖος, ῥήτωρ, υἱὸς δὲ ἦν μυλώθρου καὶ θρασὺς σφόδρα. φυγών τε Ἀθήνηθεν ἐκ τοῦ δεσμωτηρίου διὰ ὄφλημα εἰς Μακεδονίαν ἦλθεν, εἶτα ἐπανῆκε πάλιν. ἔγραψε λόγους δημηγορικοὺς καὶ δικανικοὺς καὶ ἄλλα τινά, ἀλλ' οὐκ ἐνεκρίθη μετὰ τῶν λοιπῶν ῥητόρων.

Ποιηταί.

DCCCVI. Περὶ Παλαμήδους.

Παλαμήδης Ναυπλίου καὶ Κλυμένης, Ἀργεῖος, ἐποποιός. ἦν δὲ ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς μητρός. ἔσχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν

DCCCIV—DCCCVI. Hesych. (Suid.)

1 καὶ ἀκόλουθος κατὰ πάντας τοὺς συμβάντας πολέμους τε καὶ πράξεις τὰς ἐπ' αὐτοῦ συγγραφείσας add. S 2 αὐτῶν S, post πράξεων add. S ὡς εἶναι ἀμφότερα βιβλία θ' Περσικά, Γοτθικά om. S 4 Μαιανδρίου PV 7 Multo uberius de Protagora egit S 8 Πυθίας ubique PV Μυλώθρου PV 12 ἐκλήθη PV, post ῥητόρων add. S ὡς θρασὺς καὶ διεσπασμένος 14 Κλιμένης PV

καὶ ποιητικήν, καὶ εὑρετὴς γέγονε τοῦ ζῆτα στοιχείου καὶ θ, φ καὶ τοῦ χ, ψήφων τε καὶ πεσσῶν καὶ κύβων καὶ μέτρων καὶ σταθμῶν. τὰ δὲ ποιήματα αὐτοῦ ἠφανίσθη ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν.

DCCCVII. *Περὶ Παλαιφάτου τοῦ ποιητοῦ.*

Παλαίφατος ἐποποιὸς Ἀθήνησιν, υἱὸς Ἀκταίου καὶ Βοιοῦς, οἱ δὲ Ἰοκλέους φασὶ καὶ Μετανείρας, οἱ δὲ Ἑρμοῦ. γέγονε δὲ κατὰ μέν τινας μετὰ Φημονόην, κατὰ δὲ ἄλλους καὶ πρὸ αὐτῆς. ἔγραψε δὲ κοσμοποιΐαν εἰς ἔπη ͵ε, Ἀπόλλωνος καὶ Ἀρτέμιδος γονὰς ἔπη ͵γ, Ἀφροδίτης καὶ Ἔρωτος φωνὰς καὶ λόγους ἔπη ͵ε, Ἀθηνᾶς ἔριν καὶ Ποσειδῶνος ἔπη ͵α, Λητοῦς πλόκαμον.

DCCCVIII. *Περὶ Παμπρεπίου τοῦ ποιητοῦ.* 357

Παμπρέπιος Πανοπολίτης, ἐπῶν ποιητής, ἀκμάσας κατὰ Ζήνωνα τὸν βασιλέα. ἔγραψεν ἐτυμολογιῶν ἀπόδοσιν, Ἰσαυρικὰ καταλογάδην.

DCCCIX. *Περὶ Πανολβίου τοῦ ποιητοῦ.*

Πανόλβιος, ἐπῶν ποιητής. ἔγραψε διάφορα καὶ πρὸς Αἰθέριον μετὰ τὴν νόσον δι' ἐπῶν καὶ πρὸς Ἐρύθριον καὶ πρὸς Δωρόθεον ἡγεμόνα καὶ κόμητα καὶ εἰς Ἀφθόνιον κόμητα καὶ ἐπιτάφιον Ὑπατίας, θυγατρὸς Ἐρυθρίου.

DCCCVII—DCCCIX. Hesych. (Suid.)

---

2 π pro θ praebent PV 5 ὑπολαμβάνω δὲ καὶ τὸν ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι καὶ μηδεμίαν τοῦ ἀνδρὸς μνήμην ποιήσασθαι add. S 7 Βιοῦς PV 15 ἀπόδοσιν καταλογάδην proposuit Bernhardy 18 Ἐθέριον PV

DCCCX. *Περὶ Πανυάσιδος τοῦ ποιητοῦ.*

Πανύασις Πολυάρχου, Ἁλικαρνασσεύς, ποιητὴς ἐπῶν καὶ τερατοσκόπος, ὃς σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε. γέγονε κατὰ τὴν οη' Ὀλυμπιάδα, κατὰ δέ τινας ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη ὑπὸ Λυγδάμιδος, τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασσοῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον, κατὰ δέ τινας μετὰ Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα ἐν βιβλίοις ιδ', ὡς ἔπη ͵θ, Ἰωνικὰ ἐν πενταμέτρῳ (ἔστι δὲ τὰ περὶ Κόδρου καὶ Νηλέως καὶ τὰς Ἰωνικὰς ἀποικίας) εἰς ἔπη ͵ζ.

DCCCXI. *Περὶ Παρθενίου τοῦ Νικαέως.*

Παρθένιος Ἡρακλείδου καὶ Εὐδώρας (Ἕρμιππος δὲ Τήθας φησί), Νικαεὺς ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής, ἐπὶ Τιβερίου. ἔγραψεν ἐλεγεῖα εἰς Ἀφροδίτην, Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς καὶ ἐγκώμιον εἰς τὴν αὐτὴν ἐν τρισὶ βιβλίοις.

DCCCX—DCCCXII. Hesych. (Suid.)

---

4 *πολλῷ πρεσβύτερος, καὶ γὰρ ἦν ἐπὶ* S, qui de familia quoque plura memoriae prodidit. Eudociae locum neglexit Kinkel I, p. 253 9 *Κόδρον* et *Νηλέα* S 11 Hermippum Berytium intellegendum esse iure monuit Müller III, p. 35 not. 13 *οὗτος ἐλήφθη ὑπὸ Κίννα* (quod corruptum esse docuit Meineke, Anal. Alex. p. 256) *λάφυρον, ὅτε Μιθριδάτην Ῥωμαῖοι κατεπολέμησαν, εἶτα ἠφείθη διὰ τὴν παίδευσιν, καὶ ἐβίω μέχρι Τιβερίου* add. S 14 *ἐλεγείας, Ἀφροδίτην* reposuit Bernhardy *δι' ἐλεγείας* corr. Schneider de tabula etc. p. 13, laudatus a Wachsmuth. Symbol. Bonn. p. 15, mox *εἰς τὴν αὐτὴν* om., *καὶ ἄλλα πολλά* add. S 15 *οὗτος ἔγραψε καὶ περὶ μεταμορφώσεων* ex cod. Parisino in Suidae articulo addendum videtur

DCCCXII. *Περὶ Παρθενίου τοῦ Χίου.*

Παρθένιος Χῖος, ἐποποιός, υἱὸς Θέστορος, ὃς ἐπεκαλεῖτο Χάος, Ὁμήρου δὲ ἦν ἀπόγονος. ἐποίησεν εἰς Θέστορα τὸν ἑαυτοῦ πατέρα.

DCCCIII. *Περὶ Πεισάνδρου τοῦ ποιητοῦ.*

Πείσανδρος Πείσωνος καὶ Ἀρισταίχμας, Καμειραῖος ἀπὸ Ῥόδου (Κάμειρος γὰρ πόλις Ῥόδου). φέρεται αὐτοῦ ποιήματα Ἡράκλεια ἐν βιβλίοις β′ (ἔστι δὲ
τὰ τοῦ Ἡρακλέους ἔργα), ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπα- 358
λον περιτέθεικε.

Καὶ ἕτερος Πείσανδρος, Νέστορος τοῦ ποιητοῦ υἱός, Λαρανδεὺς ἢ Λυκαόνιος, γεγονὼς ἐπὶ Ἀλεξάνδρου βασιλέως, τοῦ Μαμαίας παιδός, ἐποποιός. ἔγραψεν ἱστορίαν ποικίλην δι᾽ ἐπῶν, ἣν ἐπιγράφει Ἡρωϊκῶν θεογαμιῶν ἐν βιβλίοις ἕξ, καὶ ἄλλα καταλογάδην.

DCCCXIV. *Περὶ Πίγρητος τοῦ ποιητοῦ.*

Πίγρης, Κὰρ ἀπὸ Ἁλικαρνασσοῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός, ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον οὕτω γράψας·

DCCCXII—DCCCXIV. Hesych. (Suid.)

---

2 *Χαός* praefert Meineke An. p. 270 not. 2 5 *καί τινες μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱστοροῦσι, τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον, οἱ δὲ κατὰ τὴν λγ′ Ὀλυμπιάδα τάττουσιν. ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν* add. S. Ceterum cf. Kinkel I, p. 248, qui nostrum locum silentio obtexit 8 *τὰ δὲ ἄλλα τῶν ποιημάτων νόθα αὐτοῦ δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριστέως τοῦ ποιητοῦ* add. S 10 *Λυκάων* perperam PV 11 *καὶ αὐτός* post *ἐπ.* add. S 12 *Ἡραικῶν* S, quod certe peius est 14 *Ἁλικαρνασοῦ* S

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος,
Μοῦσα, σὺ γὰρ πάσης πείρατ' ἔχεις σοφίης.

ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.

DCCCXV. *Περὶ τοῦ Πινδάρου.*

Πίνδαρος, Θηβαῖος, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντου, ὃ καὶ ἀληθέστερον, γεγονὼς κατὰ τὴν ξε' ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ'. καὶ συνέβη αὐτῷ τὸν βίον ἀπαλλάξαι κατ' εὐχάς. αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένου αὐτοῦ γόνατα ἐτῶν νε'. ἔγραψε δὲ ἐν βιβλίοις ιζ' Δωρίδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, προσόδια, παρθένια, ἐνθρονισμούς, Βακχικά, δαφνηφορικά, παιᾶνας, ὑπορχήματα, ὕμνους, διθυράμβους, σκόλια, ἐγκώμια, θρήνους, δράματα τραγικὰ ιζ', ἐπιγράμματα ἐπικὰ καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα.

Καὶ ἕτερος Πίνδαρος Σκοπελίνου, Θηβαῖος, καὶ αὐτὸς λυρικός, ἀνεψιὸς τοῦ προτέρου.

DCCCXV. Hesych. (Suid.)

---

2 *γὰρ σὺ* PV. Ceterum cf. Bergk. Poet. Lyr. p. 569 5 *Θηβῶν* S 5 *ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου. τινὲς δὲ καὶ Παγώνδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικός, γεγονὼς κατὰ* add. S 7 *στρατιὰν* PV 8 *καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Διόφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη* add. S. Quae sequuntur attulit etiam Pseudo-Hesych. p. 44. Mox pro *ἐτῶν νε'* probabili coniectura *ἐτῶν πε'* me adiuvit Rohde

DCCCXVI. *Περὶ Πλάτωνος τοῦ κωμικοῦ.*

Πλάτων Ἀθηναῖος κωμικός, γεγονὼς τοῖς χρόνοις κατὰ Ἀριστοφάνην καὶ Φρύνιχον, Εὔπολιν καὶ Φερεκράτην. δράματα δὲ αὐτοῦ κη΄· Ἄδωνις, ἀφ᾽ ἱερῶν, Γρῦπες, Μύρμηκες, Νὺξ μακρά, Δαίδαλος, Ἑορταί, Ἑλλὰς ἢ Νῆσοι, Εὐρώπη, Ζεὺς κακούμενος, Ἰώ, Κλεοφῶν, Λάϊος, Λάκωνες ἢ ποιηταί, Μέτοικοι, Μαμμάκυθος, Μενέλεως, Νῖκαι, Ξάνται ἢ Κέρκωπες, Περιαλγής, Ποιητὴς Πείσανδρος, Πρέσβεις, Παιδίον, Σοφισταί, Συμμαχία, Σκευαί, Σύρφαξ, Ὑπέρβολος, Φάων. ἔστι δὲ λαμπρὸς τὸν χαρακτῆρα πάνυ.

DCCCXVII. *Περὶ Πολυεύκτου τοῦ κωμικοῦ.* 359

Πολύευκτος κωμικός. τούτου δρᾶμά ἐστιν Ἡνίοχος, ὥς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς φησι.

DCCCXVIII. *Περὶ Πολυζήλου τοῦ κωμικοῦ.*

Πολύζηλος κωμικός. δράματα αὐτοῦ Νίπτρα, Δημοτυνδάρεως, Μουσῶν γοναί, Διονύσου γοναί, Ἀφροδίτης γοναί, Ἄρεως γοναί.

DCCCXVI—DCCCXVIII. Hesych. (Suid.)

---

2 prius *καὶ* addidi ex S, om. PV 3 Tituli comoediarum in Violario mendis obscurati sunt: *Ἀφιέρων*, *γρύπες*, *Ζεὺς καλούμενος*, *μαμάκυθος*, *νίκαι*, *ξάνται*, *περίαλγος ποιητής*. De *Ξάνται* nihil constat. Laudant enim Hephaest. p. 95 Gaisf. et Etym. M. p. 595, 40 Platonis *Ξάνθριαι*. 10 *ὥς φησιν Ἀθήναιος ἐν Δειπνοσοφισταῖς* add. S 12 Respexisse Suidam ad Athen. IX, p. 396 intellexit Kuesterus. Quo loco cum poetae Heniochi comoedia Polyeuctos laudetur, foedam hic corruptelam invasisse constat, quam hercle neque ad Suidae neque ad Eudociae ingenium referam (retulit enim ad illius Meinek. Quaest. Scen. III, p. 57), sed breviatori vel librario ipsius Hesychii concedam 15 *Ἄρεως γοναί* om. S

DCCCXIX. *Περὶ Ποσιδίππου τοῦ κωμικοῦ.*

Ποσίδιππος κωμικός, Κασσανδρεύς, υἱός Κυνίσκου, τρίτῳ ἔτει μετὰ τὸ τελευτῆσαι τὸν Μένανδρον διδάξας. ἔστι δὲ τὰ δράματα αὐτοῦ ἕως τῶν λ΄.

DCCCXX. *Περὶ Πτολεμαίου τοῦ ποιητοῦ.*

Πτολεμαῖος Κυθήριος ἐποποιός. οὗτος ἔγραψε περὶ ψαλακάνθης ἐπικῶς, ἐν οἷς φησιν, ὅτι βοτάνη ἐστὶ θαυμαστὴν δύναμιν ἔχουσα.

Γραμματικοί.

DCCCXXI. *Περὶ Παλαμήδους τοῦ γραμματικοῦ.*

Παλαμήδης, Ἐλεάτης γραμματικός. ἔγραψε κωμικὴν καὶ τραγικὴν λέξιν, Ὀνοματολόγον, ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.

DCCCXXII. *Περὶ Παλαιφάτου τοῦ γραμματικοῦ.*

Παλαίφατος Αἰγύπτιος ἢ Ἀθηναῖος, γραμματικός. ἔγραψεν Αἰγυπτιακὴν θεολογίαν μυθικῶν βιβλίον α΄, ἀλληγορίας τῶν μυθικῶς εἰρημένων, ὑποθέσεις εἰς Σιμωνίδην, Τρωϊκά, ἅ τινες εἰς τὸν Ἀθηναῖον, τινὲς δὲ εἰς τὸν Πάριον ἀνήνεγκαν. ἔγραψε καὶ ἱστορίαν ἰδίαν.

DCCCXIX—DCCCXXII. Hesych. (Suid.)

---

1 *Κασανδρεύς* S 5 *ἐν τούτῳ δέ φησιν, ὅτι* S 7 *Ἐλεατικός* S 8 *Ὀνοματολόγον* addidi ex P, om. V, quam rem ignorans Bernhardy Eudociam huius operis commentum praetermisisse animadvertit 12 *λύσεις* S, mox *Ἀθήναιον* bis PV

Καὶ ἕτερος Παλαίφατος, Πάριος ἢ Πριηνεύς, γεγονὼς κατὰ Ἀρταξέρξην. ἔγραψε περὶ ἀπίστων ἱστοριῶν βιβλία ε΄. τινὲς δὲ καὶ ταῦτα εἰς τὸν Ἀθηναῖον ἀναφέρουσι· πλὴν καὶ οὗτος ἔγραψεν.

DCCCXXIII. *Περὶ Παμφίλου τοῦ γραμματικοῦ.*

Πάμφιλος Ἀλεξανδρεύς, γραμματικὸς Ἀριστάρχειος. ἔγραψε λειμῶνα (ἔστι δὲ ποικίλων περιοχή), περὶ γλωσσῶν, ἤτοι λέξεων βιβλία οε΄ (ἔστι δὲ ἀπὸ τοῦ ε΄ 360
στοιχείου ἕως τοῦ ω΄· τὰ γὰρ ἀπὸ τοῦ α΄ μέχρι τοῦ δ΄ Ζωπυρίων ἐπεποιήκει), εἰς τὰ Νικάνδρου ἀνεξήγητα καὶ τὰ καλούμενα Ὀπικά, τέχνην κριτικὴν καὶ ἄλλα πλεῖστα γραμματικά.

DCCCXXIV. *Περὶ Πωλίωνος τοῦ γραμματικοῦ.*

Πωλίων γραμματικός. ἔγραψε περὶ τῶν παρὰ γράμμα ἁμαρτανομένων.

DCCCXXV. *Περὶ Πτολεμαίου τοῦ γραμματικοῦ.*

Πτολεμαῖος Ἀλεξανδρεύς, γραμματικός, ὃς ἐπεκαλεῖτο Πινδαρίων. υἱὸς δὲ ἦν Ὀροάνδου, μαθητὴς Ἀριστάρχου. ἔγραψεν Ὁμηρικῶν ὑποδειγμάτων βιβλία γ΄, περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος, πρὸς Νεοθαλίδην περὶ λέξεως, περὶ τοῦ παρ' Ὁμήρῳ Οὔτιδος, περὶ

DCCCXXIII—DCCCXXV. Hesych. (Suid.)

---

2 περὶ et ἱστοριῶν om. S   12 ἢ Πολίων add. S   13 ἁμαρτανόντων perperam PV   15 Ὀροάνδου ex scholiis Ven. in Il. revocavit Bernhardy Ὀροάνδρου PV   16 βιβλία ϛ PV

Ἀστεροπαίου τοῦ παρ' Ὁμήρῳ μνημονευομένου καὶ ἕτερα.

Καὶ ἕτερος Πτολεμαῖος, γραμματικός, ὁ ἐπιθέτης κληθείς, διότι ἐπέθετο τῷ Ἀριστάρχῳ. διηκηκόει δὲ Ἑλλανίκου τοῦ γραμματικοῦ, ὁ δὲ Ἀγαθοκλέους, ὁ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου. ἔγραψε περὶ τῶν παρ' Ὁμήρῳ πληγῶν, ὑπόμνημα εἰς τὴν Ὀδύσσειαν.

Καὶ ἄλλος [γραμματικὸς] Πτολεμαῖος, ὁ Ἀριστονίκου τοῦ γραμματικοῦ πατήρ, καὶ αὐτὸς γραμματικός. ἄμφω δὲ ἐπεδείκνυντο ἐν Ῥώμῃ. τὰ ὁμοίως εἰρημένα τοῖς τραγικοῖς [ἔγραψε], περὶ τῶν παρὰ τῶν ποιητῶν ξένως ἱστορημένων, περὶ Μουσῶν καὶ Νηρηΐδων.

Καὶ ἕτερος Ἀλεξανδρεύς, γραμματικὸς καὶ αὐτός, ὁ τοῦ Ἡφαιστίωνος, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν αὐτοκρατόρων, προσαγορευθεὶς δὲ Χέννος. ἔγραψε περὶ παραδόξου ἱστορίας, Σφίγγα (δρᾶμα δέ ἐστιν ἱστορικόν), Ἀνθόμηρον (ἔστι δὲ ποίησις ῥαψῳδιῶν κδ').

Καὶ πέμπτος γραμματικὸς Πτολεμαῖος ὁ Ἀσκαλωνίτης, ὃς ἐπαίδευσεν ἐν Ῥώμῃ. ἔγραψε προσῳδίαν Ὁμηρικήν, περὶ Ἑλληνισμοῦ, ἤτοι ὀρθοεπίας βιβλία ιε', περὶ μέτρων, περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριστάρχου διορθώσεως, περὶ διαφορᾶς λέξεων καὶ ἕτερα γραμματικά.

4 εἵπετο PV 8 probabilem coniecturam ὁ Ἀριστονίκου, Ἀριστονίκου δὲ τ. γρ. πατήρ coll. Schol. Ven. Il. IV, 423 mecum communicavit Rohde, mox δὲ addidi ex S, om. PV 11 Hoc vocabulum certe claudicat, mox ἱστορημένων P ἱστορουμένων V. Ceterum εἰς Ὅμηρον βιβλία ν add. S 14 Utrumque nomen transposuerunt PV, infra καὶ ἄλλα τινά add. S

Φιλόσοφοι.

DCCCXXVI. *Περὶ Παμφίλης τῆς φιλοσόφου.*

Παμφίλη Ἐπιδαυρία, φιλόσοφος καὶ ἱστορική, θυγάτηρ Σωτηρίδου. ἔγραψεν ἱστορικὰ ὑπομνήματα ἐν βιβλίοις λγ΄, ἐπιτομὴν τῶν Κτησίου ἐν βιβλίοις γ΄, 361 *ἐπιτομὰς ἱστοριῶν τε καὶ ἑτέρων βιβλίων παμπλείστας, περὶ ἀμφισβητήσεων, περὶ ἀφροδισίων καὶ ἄλλων πολλῶν. τινὲς δὲ πάντα ταῦτα εἰς τὸν αὐτῆς πατέρα ἀναφέρουσιν, ἐν οἷς καὶ Διονύσιος ἐν τῇ λ΄ τῆς μουσικῆς ἱστορίας, ὡς δὲ ἕτεροι, εἰς Σωκρατίδαν τὸν ἄνδρα αὐτῆς·*

DCCCXXVII. *Περὶ Παμφίλου τοῦ φιλοσόφου.*

Πάμφιλος, Ἀμφιπολίτης ἢ Σικυώνιος ἢ Νικοπολίτης, φιλόσοφος, ὁ ἐπικληθεὶς φιλοπράγματος. ἔγραψεν εἰκόνας κατὰ στοιχεῖον, τέχνην γραμματικήν, περὶ γραφικῆς καὶ ζωγράφων ἐνδόξων, γεωργικὰ βιβλία γ΄.

DCCCXXVIII. *Περὶ Παναιτίου τοῦ φιλοσόφου.*

Παναίτιος Ῥόδιος, ὁ πρεσβύτης, φιλόσοφος, οὗ πολὺς ἐν φιλοσόφοις λόγος. φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖστα.

Καὶ ἕτερος Παναίτιος ὁ νεώτερος, Νικαγόρου, Ῥόδιος καὶ αὐτός, φιλόσοφος Στωϊκός, Διογένους γνώριμος, ὃς καθηγήσατο τοῦ Σκιπίωνος τοῦ ἐπικληθέντος Ἀφρικανοῦ μετὰ τὸν Μεγαλοπολίτην Πολύβιον, ἐτελεύτησε δ᾽ ἐν Ἀθήναις.

DCCCXXVI—DCCCXXVIII. Hesych. (Suid.)

---

1 *σοφὴ* S *καὶ ἱστορική* om. S 6 Haec post *θυγάτηρ Σωτηρίδου* inseruit S 8 *ἱστορίᾳ* PV 17 *καὶ αὐτός* om. S

DCCCXXIX. *Περὶ Πάππου τοῦ φιλοσόφου.*

Πάππος Ἀλεξανδρεύς, φιλόσοφος, γεγονὼς κατὰ τὸν πρεσβύτερον βασιλέα Θεοδόσιον, ὅτε καὶ Θέων ὁ φιλόσοφος ἤκμαζεν, ὁ γράψας εἰς τὸν Πτολεμαίου κανόνα. βιβλία δὲ αὐτοῦ χωρογραφία οἰκουμενική, εἰς τὰ τέσσαρα βιβλία τῆς Πτολεμαίου μεγάλης συντάξεως ὑπόμνημα, ποταμοὺς τοὺς ἐν Λιβύῃ, ὀνειροκριτικά.

DCCCXXX. *Περὶ Παρμενίδου τοῦ φιλοσόφου.*

Παρμενίδης Πύρητος, Ἐλεάτης φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεόφραστος, Ἀναξιμάνδρου τοῦ Μιλησίου. αὐτοῦ δὲ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε ὁ καὶ φιλόσοφος καὶ ἰατρὸς καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ φυσιολογίαν δι' ἐπῶν καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων.

DCCCXXXI. *Περὶ Παύλου τοῦ φιλοσόφου.*

Παῦλος φιλόσοφος. ἔγραψεν ἀστρολογίας εἰσαγωγὴν καὶ ἀποτελεσματικά.

362 DCCCXXXII. *Περὶ Περιάνδρου τοῦ σοφοῦ.*

Περίανδρος Κυψέλου, Κορίνθιος, τῶν ἑπτὰ σοφῶν, γεγονὼς κατὰ τὴν λη' ὀλυμπιάδα. ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπειον βίον, ἔπη ͵β.

DCCCXXIX—DCCCXXXII. Hesych. (Suid.)

---

10 prius *καὶ* addidi ex S, om. PV 13 Parmen. p. 128 A 16 *Κυψέλλου* PV 18 *ἀνθρώπειον* corr. Bernhardy *ἀνθρώπινον* PV Addidit quaedam S ex Diogen. Laert. I, 7, 97 excerpta

DCCCXXXIII. *Περὶ Περσαίου τοῦ φιλοσόφου.*

Περσαῖος Κιτιεύς, φιλόσοφος Στωϊκός, ἐπεκλήθη δὲ καὶ Δωρόθεος. ἦν δὲ ἐπὶ Ἀντιγόνου τοῦ Γονατᾶ, υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου. ἔγραψεν ἱστορίαν.

DCCCXXXIV. *Περὶ Πιττακοῦ τοῦ σοφοῦ.*

Πιττακὸς Μιτυληναῖος, υἱὸς Καϊκοῦ ἢ Ὑρραδίου Θρᾳκός, μητρὸς δὲ Λεσβίας. οὗτος γέγονε κατὰ τὴν λβ΄ ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ἑπτὰ σοφῶν ὤν. ἔγραψε νόμους, καὶ τῇ μβ΄ ὀλυμπιάδι Μελαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε, καὶ Φρύνωνα στρατηγὸν Ἀθηναίων, πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου, μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν ἔφη, ὡς „χαλεπὸν ἐσθλὸν ἔμμεναι.“ τούτου ἀπόφθεγμα „καιρὸν γνῶθι“. ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χ΄ καὶ ὑπὲρ νόμων καταλογάδην.

DCCCXXXV. *Περὶ τοῦ Πλάτωνος.*

Πλάτων Ἀρίστωνος τοῦ Ἀριστοκλέους καὶ Περικτιόνης ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος, ἐφιλοσόφησε παρὰ Σωκράτει ἔτη κ΄. εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες νς΄, ὧν οἱ μὲν φυσιολογικοί, οἱ δὲ διαλεκτικοί. καὶ ἡ μὲν πολιτεία διαιρεῖται εἰς βιβλία ι΄, οἱ δὲ νόμοι εἰς ιβ΄, τετραλογίαι δὲ λοιπαὶ θ΄.

DCCCXXXIII—DCCCXXXV. Hesych. (Suid.)

---

2 *τῶν χρόνων* S 5 *καὶ Ὑρ.* PV 10 *πολιορκοῦντα* PV 15 *Περικτιώνης* PV 16 Multo uberiorem vitam tradidit S 17 *ἐπὶ* add. S 19 *πολιτεία* S *πολιτικὴ* PV 20 Sic F *τερατολογίαι* PV

DCCCXXXVI. *Περὶ τοῦ Πλουτάρχου.*

Πλούταρχος Νεστορίου, Ἀθηναῖος φιλόσοφος, διδάσκαλος Συριανοῦ, τοῦ γενομένου ἐξηγητοῦ Πρόκλου τοῦ Λυκίου, τοῦ προστάντος τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς, οὗ Μαρῖνος διάδοχος. ἔγραψε πολλά.

Καὶ ὁ Χαιρωνεὺς τῆς Βοιωτίας Πλούταρχος, ἐπὶ Τραϊανοῦ καὶ ἔτι πρόσθεν. μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε, μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. ἔγραψε πολλά, ὧν τὰ πλείω οὐχ εὑρίσκεται.

363 DCCCXXXVII. *Περὶ τοῦ Πλωτίνου.*

Πλωτῖνος ὁ ἐπιφανέστατος φιλόσοφος, ἀκουστὴς Ἀμμωνίου τοῦ φιλοσόφου, ἄπατρις μὲν φαίνεται. τινὲς δὲ Λυκοπολίτην φασίν, ἀπὸ Λύκονος τοῦ ἐν τῷ Λυκοπολίτῃ νόμῳ τῆς Αἰγύπτου. οὐ γὰρ περὶ τοῦ αὐτοῦ γένους διηγήσασθαί ποτε ἠθέλησε τοῖς ἰδίοις μαθηταῖς οὔτε περὶ τῆς πατρίδος, ὡς δῆθεν οἰόμενος πρὸς τὰ ἄνω αὐτὴν εἶναι, ἐξ ὧν ἐστι Πορφύριος ὁ φιλόσοφος, ὁ τὸν ἐκείνου συγγράψας βίον, καὶ Εὐστόχιος, ὁ τὰ ἐκείνου πάντα ἀποστομίσας αὐτῷ· παρῆν γὰρ ὁ Εὐστόχιος μέχρι τῆς τελευτῆς τοῦ ἀνδρός. γράφεται

DCCCXXXVI. Hesych. (Suid.) DCCCXXXVII. Excerpta e vita Porphyrii. Contulit codicem Parisinum etiam E. Scheer ad editionem Enneadum Plotini, quam curavit H. F. Müller. Berolin. 1878. Cf. Ennead. p. 27 seq.

6 *Χαιρονεὺς* PV 7 Sic F *μικρόν τι πρός* PV 10 *ὧν — εὑρίσκεται* om. S. Forte interpolatori debentur

δὲ σοφώτατον γεγονέναι αὐτὸν καὶ ἐν ταῖς συνουσίαις φράσαι μὲν ἱκανώτατον καὶ εὑρεῖν καὶ νοῆσαι τὰ πρόσφορα δυνατώτατον, καὶ ὅσον ἧκεν ἐς σωφροσύνην καὶ πρᾳότητα καὶ τελείαν ἐπιείκειαν, ἐληλακέναι, καὶ πολλῶν ὀρφανῶν καὶ χηρῶν ὑπερασπιστὴν γενέσθαι. καὶ τοῦτο ἐκ τῶν γεγραμμένων οἴδαμεν, ὅτι πολλοὶ ἄνδρες καὶ γυναῖκες, ἀποθνήσκειν μέλλοντες τῶν εὐγενεστάτων, φέροντες τὰ αὐτῶν τέκνα ἄρρενά τε καὶ θήλεα μετὰ τῆς ἄλλης οὐσίας ἐκείνῳ παρεδίδοσαν, ὡς ἱερῷ τινι καὶ θείῳ φύλακι καὶ καθαρὰν τὴν ψυχὴν ἔχοντι, παρθενῶνα καὶ σεμνεῖον τὴν οἰκίαν ἐκείνου ἡγούμενοι, ὥστε καὶ τὸν Πύθιον περὶ αὐτοῦ πολλά τινα ἀνελεῖν, ἐν οἷς καὶ εἰς τὸν τοῦ Μίνωος καὶ Ῥαδαμάνθυος χῶρον παραπέμπει καὶ μετὰ Πυθαγόρου καὶ Πλάτωνος συνδιαιτᾶσθαί φησι. σύντονος δὲ γέγονεν ἐν τῷ γράφειν καὶ πολύνους, βραχύς τε καὶ νοήμασι πλεονάζων ἢ λέξεσιν. ἐμμέμικται δ' ἐν τοῖς συγγράμμασιν ἐκείνου καὶ τὰ στωϊκὰ δόγματα καὶ τὰ περιπατητικά. καὶ τοιοῦτος ἦν πολυμαθής, ὅτι οὐδὲν ἐκεῖνον λέληθεν οὔτε γεωμετρικὸν οὔτε ἀριθμητικόν, οὐ μηχανικόν, οὐκ ὀπτικόν, οὐ μουσικόν τι θεώρημα. ἀλλ' ἄχρι μὲν πολλοῦ οὐδὲν ἔγραφε, μετὰ ταῦτα δὲ πρὸς τὸ γράφειν τραπεὶς νδ' βιβλία ἐξέδωκεν, ἅτινα εἰς ἓξ ἐννεάδας ὁ Πορφύριος ταχθεὶς ὑπ' ἐκείνου μετὰ τὴν ἀποβίωσιν διεῖλεν. ἀλλ' οὐκ οἶδα, ὅπως ἐν ἀκαρεῖ χρόνῳ οὐχ οὕτω ῥᾳδίως εὑρίσκεται. τελευτῶντος δὲ τοῦ Πλωτίνου ἐν Καμπανίᾳ, δράκων τις ὑπὸ τὴν κλίνην διῆλθεν, ἐν ᾗ κατέκειτο, καὶ εἰς

6 *γεγραμένων* P corr. V 9 *παρεδίδοσαν* P *παρέδοσαν* V. Scripturam codicis retinuit Scheer 22 *ἔγραψεν* PV

ὀπήν ἐν τῷ τοίχῳ τυγχάνουσαν ὑπέδυ. καὶ ἐν ταὐτῷ ἀφῆκε τὸ πνεῦμα, ἔτη γεγονὼς ἓξ πρὸς τοῖς ἑξήκοντα, τοῦ δευτέρου ἔτους τῆς Κλαυδίου βασιλείας πληρουμένου. δέτριψε δὲ ἐν Ῥώμῃ ἔτη κζ΄.

364 DCCCXXXVIII. *Περὶ Πολέμωνος τοῦ φιλοσόφου.*

Πολέμων Φιλοστράτου, οἱ δὲ Φιλοκράτους, Ἀθηναῖος φιλόσοφος, μαθητὴς Ξενοκράτους τοῦ Πλάτωνος διαδόχου, καὶ αὐτὸς ἡγησάμενος τῆς Ἀκαδημείας. ἐγεγόνει δὲ σφόδρα ἄσωτος, εἶτα ἐφιλοσόφησε. καὶ πολλὰ μὲν συνεγράψατο βιβλία, οὐδὲν δὲ αὐτοῦ φέρεται. ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ καὶ ἴσως ἔχειν ἑκάτερον αὐτῶν σοφίας ἔλεγεν, ὥστε καὶ φάσκεν Ὅμηρον μὲν Σοφοκλέα ἐπικόν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν.

DCCCXXXIX. *Περὶ Πόλλητος τοῦ φιλοσόφου.*

Πόλλης Αἰγιεύς ἀπὸ Αἰγῶν τῆς Ἀσίας (κεῖται δὲ πλησίον Μαγνησίας καὶ Σμύρνης), φιλόσοφος. ἔγραψε κατὰ στοιχεῖον συμβολικὰ ἐν βιβλίοις β΄, οἰωνοσκοπικὰ ἐν βιβλίαις η΄, ἀριθμητικὰ ἐν βιβλίοις β΄, ἰήματα ἐν βιβλίοις β΄, περὶ τῆς καθ᾽ Ὅμηρον οἰωνοπολίης, περὶ τῆς παρὰ Τυρρηνοῖς μαντικῆς, ἰατροσυμβολικά, περὶ δρυοκολάπτου ἱερὸν λόγον, κατοικιδίων α΄, θηρευτικόν, συμπαθειῶν καὶ ἀντιπαθειῶν γ΄, περὶ κεραυνῶν καὶ τῆς αὐτῶν παρατηρήσεως καὶ ἄλλα πολλά.

DCCCXXXVIII et DCCCXXXIX. Hesych. (Suid.)

---

7 *Ἀκαδημίας* PV 9 *συνέγραψε* S 16 *οἰονοσκοπικὰ* P corr. V 20 *δρυκολάπτου* PV 23 *πολλά* om. S

DCCCXL. *Περὶ τοῦ Πορφυρίου.*

Πορφύριος, φιλόσοφος Τύριος, ὃς κυρίως ἐκαλεῖτο βασιλεύς. ἔδοξε δὲ οὕτω μετακληθῆναι ἢ ἀπὸ τοῦ βασιλέως εἶναι τὴν πορφύραν, ἢ καὶ ἀπὸ τοὺ πορφυρίαν ὀνομάζεσθαι τὴν Τύρου τέχνην. ἀκουστὴς δὲ γέγονε τοπρῶτον Λογγίνου τοῦ φιλοσόφου, εἶτα Πλωτίνου, διδάσκαλος δὲ Ἰαμβλίχου, ἐπὶ Αὐρηλιανοῦ, παρατείνας ἕως Διοκλητιανοῦ. ἔγραψε βιβλία πλεῖστα φιλόσοφά τε καὶ ῥητορικὰ καὶ γραμματικά· περὶ θείων ὀνομάτων ἕν, περὶ ἀρχῶν β', περὶ ὕλης ς', περὶ ψυχῆς πρὸς Βόηθον ε', περὶ ἀσωμάτων, περὶ τοῦ μίαν εἶναι τὴν Πλάτωνος καὶ Ἀριστοτέλους αἵρεσιν ζ', περὶ ἀποχῆς ἐμψύχων δ', περὶ τοῦ γνῶθι σαυτὸν δ', εἰς τοῦ Ἰουλιανοῦ τοῦ Χαλδαίου φιλοσόφου ἱστορίαν ἐν βιβλίοις δ', περὶ τῆς Ὁμήρου φιλοσοφίας, πρὸς Ἀριστοτέλην, περὶ τοῦ εἶναι τὴν ψυχὴν ἐντελέχειαν, φιλολόγου ἱστορίας βιβλία ε', περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν, περὶ τῆς ἐξ Ὁμήρου ὠφελείας τῶν βασιλέων βιβλία ι', τὰς καλουμένας ε' φωνὰς τῆς Ἀριστοτέλους λογικῆς πραγματείας, μεθοδικοὺς εἰσαγωγάς, συμμίκτων ζητημάτων ζ', εἰς τὸ Θουκυδίδου προοίμιον, πρὸς Ἀριστείδην ζ', εἰς τὴν Μινουκιανοῦ τέχνην καὶ ἄλλα πολλά, ὁμοίως δὲ καὶ οὐκ ὀλίγα 365

DCCCXL. Hesych. (Suid.)

---

1 ὁ κατὰ χριστιανῶν γράψας hic inserit S, infra addunt PV, mox *τύχην* P *τέχνην* corr. V 2 Verba *ἔδοξε δὲ — τέχνην* om. S forte ab uberiore Suidae glossa profecta sunt, quam editores sic exprimunt: *Πορφύριος, ὁ τῶν Χριστιανῶν πολέμιος, ἀπὸ Φοινίκης, πόλεως Τύρου* 4 *μαθητής Ἀμελίου τοῦ Πλωτίνου μαθητοῦ* S 8 *ἦν δὲ καὶ Λογγίνου τοῦ κριτικοῦ ἀκροασάμενος* S 16 Cf. Bergk. Pind. fr. 282 (ed. IV) 18 *τὰς*

ἀστρολογικά, ἐν οἷς καὶ συναγωγὴν ἀστρονουμένων ἐν βιβλίοις τρισὶ καὶ γραμματικὰς ἀπορίας, κατὰ Χριστιανῶν λόγους ιε΄.

DCCCXLI. *Περὶ Ποσειδωνίου τοῦ φιλοσόφου.*

Ποσειδώνιος, Ἀπαμεὺς ἐκ Συρίας, κατὰ δέ τινας Ῥόδιος, Στωϊκὸς φιλόσοφος, ὃς ἐπεκλήθη ἀθλητής. σχολὴν δὲ ἔσχεν ἐν Ῥόδῳ, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου. ἔγραψε πολλά.

Καὶ ἕτερος, Ἀλεξανδρεὺς φιλόσοφος, Στωϊκὸς καὶ αὐτός, μαθητὴς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἱστορίαν τὴν μετὰ Πολύβιον ἐν βιβλίοις νβ΄ ἕως τοῦ πολέμου τοῦ Κυρηναϊκοῦ καὶ Πτολεμαίου, καὶ μελέτας ῥητορικάς, εἰς Δημοσθένην ὑποθέσεις. ταῦτά τινες εἰς Ποσειδώνιον τὸν σοφιστὴν τὸν Ὀλβιοπολίτην ἀναφέρουσιν.

DCCCXLII. *Περὶ Ποτάμωνος τοῦ φιλοσόφου.*

Ποτάμων Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς πρὸ Αὐγούστου καὶ μετ᾽ αὐτόν. ἔγραψεν ὑπόμνημα εἰς τὴν τοῦ Πλάτωνος πολιτείαν.

DCCCXLIII. *Περὶ Προδίκου.*

Πρόδικος Κεῖος, ὁ καὶ ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικὸς καὶ σοφιστής,

DCCCXLI—DCCCXLIII. Hesych. (Suid.)

καλουμένας — εἰσαγωγὰς om. S 1 ἀστρονούμενα et εἰσαγωγήν S 3 λόγους ιε΄ om. S 4 ἢ pro κατὰ δέ τινας praebet S 13 καὶ οἶμαι ταῦτα — μᾶλλον εἶναι S, ubi καίπερ οἶμαι scribendum esse recte monuit E. Rohde

σύγχρονος Δημοκρίτου τοῦ Ἀβδηρίτου καὶ Γοργίου, μαθητὴς Πρωταγόρου Ἀβδηρίτου. ἐν δ' Ἀθήναις κώνειον πιὼν ἀπέθανεν, ὡς διαφθείρων τοὺς νέους. φέρεται δὲ καὶ βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη αὑτῆς, προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα, καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν.

DCCCXLIV. *Περὶ Πρόκλου τοῦ Στωϊκοῦ φιλοσόφου.*

Πρόκλος, Μαλλώτης ἐκ Κιλικίας, φιλόσοφος Στωϊκός. ἔγραψεν ὑπόμνημα τοῦ Διογένους σοφισμάτων καὶ πρὸς Ἐπίκουρον.

Καὶ ἕτερος, Μαλλώτης φιλόσοφος, Στωϊκὸς καὶ αὐτός. ἔγραψε κατὰ Ἐπικούρου βιβλία δ', περὶ προνοίας βιβλία β'.

DCCCXLV. *Περὶ Πρόκλου τοῦ Λυκίου.* 366

Πρόκλος ὁ Λύκιος, μαθητὴς Συριανοῦ, ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου τοῦ φιλοσόφου, καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. ἔγραψε πάνυ πολλὰ φιλόσοφά τε καὶ γραμματικά, ὑπόμνημα εἰς πάντα τοῦ

DCCCXLIV et DCCCXLV. Hesych. (Suid.)

---

3 His plura adiunxit S 6 Sic scripsi cum S, *καλούσας ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτῶν καὶ* PV 8 *προσκρῖναι* PV 10 *Μαλλότης* P corr. V 14 *ἔγραψε — βιβλία β'* om. S. Cf. Bernhard. praef. p. XXXI 18 *οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης* add. S 19 *ὅλον* S

Ὁμήρου, ὑπόμνημα εἰς τὰ Ἡσιόδου Ἔργα καὶ Ἡμέρας, περὶ χρηστομαθείας βιβλία τρία, περὶ ἀγωγῆς δύο, εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία τέσσαρα, εἰς τὴν Ὀρφέως θεολογίαν, συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια βιβλία δέκα, περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, ἐπιχειρήματα κατὰ Χριστιανῶν ιη' καὶ μητρῳακὴν βίβλον (ἔστι δὲ περὶ τὴν θεὸν θεολογία). ἔγραψε καὶ πολλὰ ἄλλα, ἅπερ οὐχ εὑρίσκεται.

DCCCXLVI. *Περὶ Πτολεμαίου τοῦ φιλοσόφου.*

Πτολεμαῖος ὁ Κλαύδιος, χρηματίσας Ἀλεξανδρεύς, φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε μηχανικὰ βιβλία γ', περὶ φάσεων καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν βιβλία β', ἅπλωσιν ἐπιφανείας σφαίρας, κανόνα πρόχειρον, τὸν μέγαν ἀστρονόμον, ἤτοι σύνταξιν, καὶ ἄλλα. ἐπεὶ δὲ εἰς τὴν τῶν Πτολεμαίων προσηγορίαν κατηντήσαμεν, φέρε καὶ

DCCCXLVI. Hesych. (Suid.) *Σάτυρος — περιέχει* Theoph. Antioch. II, 7 (p. 64 Otto; Meinekii Anal. Alex. p. 345; Müller III, p. 164) *ἡ δὲ τῆς Πτολεμαίων ἀρχῆς* — exit. ex Pseudo-Eusebio vel ex alio libro chronico sumpta, unde quaedam etiam p. 429 *περὶ Χάρητος* Eudocia hausit (cf. Euseb. I, p. 126 ed. Schoene; Latinobarbarus ib. I, p. 208 seq.; Georg. Hamartol. p. 205 seq. ed. Muralt; Cedren. I, p. 339 seq.; Malal. I, p. 252 ed. Oxon., quae omnia mecum amice communicavit A. de Gutschmid, a me rogatus)

---

2 *χρηστομαθίας* PV 4 *συμφωνίαν — βιβλία δέκα* iisdem verbis repetuntur in vita Syriani p. 389 et Characis p. 437. Cf. Fr. Nietzsche in Mus. Rhen. XXII, p. 189 7 *ἔτι* et *θεολογίαν* P corr. V, sed *τῶν θεῶν*, quod in PV legitur, sensu caret, itaque ex Marin. vit. Procli c. 33 reposui *τὴν θεόν* 8 *ἔγραψε — εὑρίσκεται* om. S forte interpolata sunt 11 *φάσεων* S *φάσεως* PV in *ἄλλα* desinit S

τὴν ἐξ ἀρχῆς τοῦ γένους αὐτῶν καταγωγήν τε καὶ διαδοχὴν παρεκβατικώτερόν πως διεξέλθωμεν· Ἡρακλεῖδαι γὰρ καὶ αὐτοί. Σάτυρος τοὺς τῶν Ἀλεξανδρέων δήμους ἱστορῶν, ἀρξάμενος ἀπὸ Φιλοπάτορος τοῦ καὶ Πτολεμαίου προσαγορευθέντος, τούτου μηνύει Διόνυσον ἀρχηγέτην γεγονέναι· διὸ καὶ φυλὴν ὁ Πτολεμαῖος πρώτην κατέστησε Διονυσίαν. λέγει οὖν ὁ Σάτυρος οὕτως. Διονύσου καὶ Ἀλθαίας τῆς Θεστίου γεγενῆσθαι Δηϊάνειραν, τῆς δὲ καὶ Ἡρακλέους τοῦ Διὸς Ὕλλον, τοῦ δὲ Κλεόδημον, τοῦ δὲ Ἀριστόμαχον, τοῦ δὲ Τήμενον, τοῦ δὲ Κεῖσον, τοῦ δὲ Μάρωνα, τοῦ δὲ Θέστιον, τοῦ δὲ Ἀκοόν, τοῦ δὲ Ἀριστομίδαν, τοῦ δὲ Καρανόν, τοῦ δὲ Κοινόν, τοῦ δὲ Τυρίμμαν, τοῦ δὲ Περδίκκαν, τοῦ δὲ Φίλιππον, τοῦ δὲ Ἀέροπον, τοῦ δὲ Ἀλκετάν, τοῦ δὲ Ἀμύνταν, τοῦ δὲ Βόκρον, τοῦ δὲ Μελέαγρον, τοῦ δὲ Ἀρσινόην, τῆς δὲ καὶ Λάγου Πτολεμαῖον τὸν καὶ Σωτῆρα, τοῦ δὲ καὶ Βερονίκης Πτολεμαῖον τὸν Φιλάδελφον, τοῦ δὲ καὶ Ἀρσινόης Πτολεμαῖον τὸν Εὐεργέτην, τοῦ δὲ καὶ Βερονίκης τῆς Μάγα τοῦ ἐν Κυρήνῃ βασιλεύσαντος Πτολεμαῖον τὸν Φιλοπάτορα. ἡ μὲν οὖν πρὸς Διόνυσον τοῖς ἐν Ἀλεξανδρείᾳ βασιλεύσασι συγγένεια οὕτω περιέχει. ἡ δὲ τῆς Πτολεμαίων βασιλείας ἀρχὴ τοιουτοτρόπως τὴν πρόβασιν ἔσχε. μετὰ Δαρεῖον ἐβα- 367
σίλευσεν Ἀρταβάνης μῆνας ἑπτά· μετὰ δὲ Ἀρταβάνην

---

7 *Διονυσίαν* om. Otto *Διονυσίδα* Meineke 10 *Ὕαλον* PV *Κλεόδαιμον* PV *Κλεόδημον* Otto *Κλεοδαῖον* Müller, mox *Κεῖστον* PV 14 *τοῦ δὲ — Ἀέροπον* addidi ex P om. V 16 *Βάλακρον* pro *Βόκρον* coni. Müller 20 *Μάγα* cum F correxi, *μέγα* PV 21 *Φιλοπάτορα* ex margine Bodlei. reposuit Otto, *Φιλάδελφον* PV

ἐβασίλευσεν Ἀρταξέρξης ὁ Μακρόχειρ ἔτος τεσσαρακοστὸν πρῶτον, ἐφ' οὗ Σοφοκλῆς καὶ Ἡράκλειτος καὶ Ἀναξαγόρας καὶ Πυθαγόρας καὶ Θουκυδίδης καὶ Εὐριπίδης καὶ Ἡρόδοτος καὶ Ἐμπεδοκλῆς καὶ Διογένης καὶ Ζήνων καὶ Φερεκύδης καὶ Ἀρίσταρχος καὶ Ἱπποκράτης καὶ Παρμενίδης καὶ Πλάτων καὶ Ἀριστοτέλης καὶ Δημοσθένης κατά τινας ἐγνωρίζοντο, καὶ Σωκράτης ὡς φαυλίσας τοὺς νόμους τῶν Ἑλλήνων θανατοῦται, κώνειον πιὼν ἐν τῷ δεσμωτηρίῳ. μετὰ δὲ Ἀρταξέρξην ἐβασίλευσεν ἄλλος Ἀρταξέρξης καὶ οἱ καθεξῆς ἕως Δαρείου Ἀλσάμου, ὃν Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεύς, ἕκτον ἄγων ἔτος τῆς βασιλείας, χειρωσάμενος καθεῖλε τὴν Περσῶν βασιλείαν, διαρκέσασαν ἀπὸ Κύρου μέχρι Δαρείου ἔτη σλ'. τῆς δὲ τῶν Μακεδόνων βασιλείας κατασχούσης ἀπὸ Κραναοῦ ἕως Ἀλεξάνδρου ἔτη φιη', καὶ τούτου τελευτήσαντος ἐν Βαβυλῶνι, διαιροῦνται τὴν βασιλείαν οἱ παῖδες αὐτοῦ καὶ μεγιστᾶνες. τῆς μὲν Μακεδονίας Φίλιππος ἐβασίλευσε, τῆς δὲ Ἀσίας πάσης Ἀντίγονος ἐκράτησε, τῆς δὲ Συρίας καὶ Βαβυλωνίας καὶ Παλαιστίνης Σέλευκος ἐβασίλευσεν ὁ Νικάνωρ, ὃς καὶ πόλεις κτίσας δύο εἰς τὰ μέρη Κιλικίας καὶ ἄλλην ἐν Συρίᾳ, τὴν μὲν Σελεύκειαν ὠνόμασε, τὴν δὲ Ἀντιόχειαν, τὴν δὲ Λαοδίκειαν εἰς τὸ ἑαυτοῦ ὄνομα καὶ τοῦ αὐτοῦ υἱοῦ Ἀντιόχου καὶ τῆς θυγατρὸς Λαοδικείας. καὶ οἱ μὲν τῆς Συρίας βασιλεύσαντες μετὰ Ἀλέξανδρον οὗτοί εἰσι·

11 *Ἀλσάμου*, quod redit in Latinobarbaro p. 209: Darius Midus ille Alsamus, *Ἀρσάμου* vulg. 18 Haec ad verbum leguntur apud Georg. Hamartol. l. c. 20 *Βαβυλωνίας καὶ Παλαιστίνης* accessit ex Malalae vel Hamartoli historiis 23 *Σελεύκιαν* PV 25 *Λαοδικίας* PV 26 *βασιλεῖς Συρίας*

μετὰ Σέλευκον τὸν Νικάνορα Ἀντίοχος ὁ υἱὸς αὐτοῦ, ὁ ἐπικληθεὶς Σωτήρ, Ἀντίοχος ὁ νόθος, Σέλευκος ὁ Καλλίνικος, Ἀλέξανδρος, Ἀντίοχος, Σέλευκος ὁ Φιλοπάτωρ, Ἀντίοχος ὁ Ἐπιφανής, Ἀντίοχος ὁ Εὐπάτωρ, Δημήτριος Σέλευκος, Ἀλέξανδρος ὁ τοῦ Βαλῆ, Δημήτριος ὁ Νικάνωρ, Ἀντίοχος, Τρύφων, Πτολεμαῖος, Ἀντίοχος ὁ Σιδίτης, Δημήτριος, Ἀντίοχος ὁ Γρυπός, Ἀντίοχος ὁ Κυζικηνός, Σέλευκος ὁ τοῦ Γρυποῦ, ἐφ' οὗ ἡ Ἀντιόχεια ὑπὸ Ῥωμαίων ἥλω καὶ ἡ τῆς Συρίας ἀρχὴ κατελύθη, διαρκέσασα ἔτη σν'. τῆς δὲ Αἰγύπτου Πτολεμαῖος ἐβασίλευσεν ὁ Λάγου καὶ οἱ καθεξῆς Πτολεμαῖοι ἕως Κλεοπάτρας, θυγατρὸς Διονύσου. οἱ δὲ τῆς Αἰγύπτου βασιλεύσαντες μετὰ Ἀλέξανδρον εἰσὶν οἵδε· Πτολεμαῖος ὁ Λάγου, ἐφ' οὗ Μένανδρος ὁ κωμῳδοποιὸς ἐγνωρίζετο καὶ Θεόφραστος ὁ φιλόσοφος, Πτολεμαῖος ὁ Φιλάδελφος, ἐφ' οὗ οἱ ἑβδομήκοντα Ἑβραίων σοφοὶ τὸν νόμον ἡρμήνευσαν, Πτολεμαῖος ὁ Εὐεργέτης, [Πτολεμαῖος ὁ Φιλάδελφος, ὁ υἱὸς αὐτοῦ,] Πτολεμαῖος ὁ Φιλοπάτωρ, Πτολεμαῖος ὁ Ἐπιφανής, Πτολεμαῖος ὁ Φιλομήτωρ, Πτολεμαῖος ὁ Εὐεργέτης, Πτολεμαῖος ὁ Σωτήρ, Πτολεμαῖος ὁ Ἀλέξανδρος, Πτο- 368 *λεμαῖος ὁ ἀδελφὸς αὐτοῦ, Πτολεμαῖος ὁ Διόνυσος, Κλεοπάτρα ἡ τούτου θυγάτηρ, ἣν Αὔγουστος ἀνελὼν*

μετ' Ἀλέξανδρον in margine P legitur 2 *νόθος* ex *θεός* corruptum esse persuasum habet A. de Gutschmid . 3 *Καλλήνικος* perperam PV 5 *Σελεύκου* corrigendum monet Gutschmid *Βαλῆ* scripsi cum Cedreno *Βαλά* PV 6 *Πτολεμαῖος* post *Ἀλέξανδρος* transferendum putat Gutschmid, quo eodem vitio laborat Cedrenus 8 *Κυζικινός* PV 10 *κατελήθη* P corr. V 12 *βασιλεῖς Αἰγύπτου* in margine P adscriptum 16 *ἐπὶ τίνος οἱ ἑβδομήκοντα τὴν θείαν γραφὴν μετέφρασαν* legitur in margine P 18 Haec verba glossemate aliquo orta rectiusque supra ad *Πτολ. ὁ Φιλ.* adscripta expunxi

ἐν ἔτει ιδ' τῆς ἑαυτοῦ βασιλείας, ἐκράτησε τῆς Αἰγύπτου, καθελὼν τὴν βασιλείαν τῶν Πτολεμαίων διαρκέσασαν ἔτη ση'.

DCCCXLVII. Περὶ Πυθαγόρου.

Πυθαγόρας Σάμιος, φιλόσοφος, παιδευθεὶς παρὰ Χαλδαίοις καὶ Αἰγυπτίοις. ἦν δὲ ἐπὶ Ἀρταξέρξου τοῦ Μακρόχειρος, ὡς προείρηται. ἔγραψε δύο μόνον βιβλία, ἅπερ εἰσὶ ταῦτα· παιδευτικόν, πολιτικόν. τὸ δὲ φερόμενον τρίτον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ γενομένου. τινὲς δὲ ἀνατιθέασιν αὐτῷ καὶ τὰ χρυσᾶ ἔπη. [μαθηταὶ δὲ αὐτοῦ ἦσαν διάφοροι, ἐξ ὧν οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί, οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί, οἱ δὲ περὶ τὰ μαθήματα, τὰ γεωμετρικὰ καὶ ἀστρονομικά, οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οἱ μὲν αὐτῷ συγγενόμενοι τῷ Πυθαγόρᾳ ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι, οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί.] οὗτοι πάντες δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα, καὶ μετὰ τῶν

DCCCXLVII. Hesych. (Suid.) μαθηταὶ — Πυθαγορισταί Vit. Pythag. apud Phot. p. 438b (Suid.) οὗτοι πάντες — exit. Nonn. I, 17 (Cosm. p. 309)

---

1 ιδ' revocavi ex Cedreno κδ' PV, mox ση' mendosum esse probabile est; ducentos et nonaginta annos numeravit Cedrenus 6 Cf. p. 367, mox ἔγραψε τρία Suidas, quod minus placet 10 μαθηταί — Πυθαγορισταί ex Suidae lexico postea additum est. Certe Eudocia posthac etiam verba in initio posita Πυθαγόρειοι, γένος φιλοσόφων ἐκ Πυθαγόρου τοῦ Σαμίου a Nonno mutuata erat, quae, postquam interpolator verba Suidae intercalavit, sine dubio exciderunt 17 Sic rectius F et S ἔξω ζηληταί PV

ἄλλων καὶ τοῦτο τὸ αἴνιγμα παρεδίδοτο, κυάμους μὴ ἐσθίειν, τουτέστι μὴ προδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασιν· οἱ γὰρ Ἀθηναῖοι πάλαι δικασταὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις. φησὶν οὖν ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μὴ ἐσθίειν.

DCCCXLVIII. *Περὶ Πύρρωνος.*

Πύρρων Πλειστάρχου, Ἠλεῖος φιλόσοφος, ὃς ἦν ἐπὶ Φιλίππου τοῦ Μακεδόνος κατὰ τὴν ρια΄ ὀλυμπιάδα καὶ ἐπέκεινα. οὗτος πρότερον μὲν ἦν ζωγράφος, ὕστερον δὲ ὥρμησεν ἐπὶ φιλοσοφίαν καὶ διήκουσε Βρύσωνος τοῦ Κλεινομάχου μαθητοῦ, εἶτα Ἀναξάρχου τοῦ Μητροδώρου μαθητοῦ τοῦ Χίου.

Καὶ ἕτερος Πύρρων Φλιάσιος, Τιμάρχου παῖς, μαθητὴς Τίμωνος φιλοσόφου.

DCCCXLIX. *Περὶ τῆς Ῥέας καὶ τῶν Κορυβάντων καὶ τῶν ἐκτομῶν τῶν Φρυγῶν.* 369

Ῥέα γυνὴ Κρόνου μυθεύεται, ὅς, ἅπερ ἔτικτεν αὐτὴ παιδία, λαμβάνων κατέπινε, καὶ οὕτως ἐπὶ πολ-

DCCCXLVIII. Hesych. (Suid.) DCCCXLIX. Nonn. Sanct. Lum. 1 *ἔθνος δὲ οὗτοι — Κορύβαντες* Etym. M. p. 531, 5

---

1 Post *μὴ* inseruit *δεῖν* R. Nitzsche. Ceterum in margine legitur *περὶ τῶν Πυθαγορικῶν κυάμων* 8 *ρια΄* S *ρα* PV 11 *καθηγητοῦ* coni. Nietzsche in Mus. Rhen. XXV, p. 323 *συμμαθητοῦ* E. Rohde ib. XXXIII, p. 203 not. ex Porphyrii philosophorum historia hanc vitam fluxisse suspicatus *Ἀλεξάνδρου* pro *Ἀν.* PV 12 *οὗ διδάσκαλος ἦν Δημόκριτος ὁ Ἀβδηρίτης. ἐδόξασε δὲ μηδὲν φύσει αἰσχρὸν ἢ καλόν, ἀλλ' ἔθει καὶ νόμῳ* add. S

λῶν τούτου γενομένου, ἄτεκνος ἔμενεν ἡ Ῥέα. ὅτε οὖν ἐγέννησε τὸν Δία ἡ Ῥέα, φοβουμένη, μήπως καὶ τὸ βρέφος τοῦτο καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν, τὸν δὲ Δία ὑπερέθετο ἐν τῇ Κρήτῃ καὶ παρέσταξε τῷ βρέφει τούτῳ τοὺς Κορύβαντας καὶ τοὺς Κουρῆτας, ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν καὶ γενέσθαι τινὰ ἦχον, τὸν δυνάμενον ὑποκλέπτειν καὶ παρακρούειν τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ μαθὼν ὁ Κρόνος, ποῦ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. ἔθνος δὲ οὗτοι οἱ Κορύβαντες βακχικὸν καὶ μανικόν, παρὰ τὸ κρύβειν τὸν Δία, Κρύβαντες καὶ πλεονασμῷ τοῦ ο Κορύβαντες. τῇ οὖν Ῥέᾳ ἐν τῇ Φρυγίᾳ ἐγένοντο τελεταί τινες, καὶ οἱ τελούμενοι ἐξιστάμενοι ἑαυτῶν, κατέτεμνον ἑαυτοὺς ὑπὸ ξιφῶν, μὴ αἰσθανόμενοι, ὅτι ἑαυτοὺς τέμνουσι, καὶ αὐλοὶ δέ τινες ηὔλουν καταθέλγοντες αὐτοὺς καὶ παρεγείροντες πρὸς τὴν ἐκτομήν. ἄχρι δὲ τοῦ παρόντος τινὲς περὶ τὰ ὀρεινὰ τῆς Καρίας Ἕλληνες ἀλόγιστοι κατατέμνουσιν ἑαυτοὺς τῷ πάλαι ἤθει. φασὶ δὲ τὴν Ῥέαν καὶ Κυβέλην παρὰ τὰ Κύβελα ὄρη, ὀρεία γὰρ θεός, διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει.

Καὶ ἄλλως περὶ αὐτῆς. τῆς Ῥέας κατὰ τὴν παραδεδειγμένην ῥύσιν εἰδοποιουμένης, εἰκότως ἤδη καὶ τὴν τῶν ὄμβρων αἰτίαν ἀνατιθέασιν αὐτῇ, ὅτι ὡς

τῇ οὖν Ῥέᾳ — ἤθει Strabo X, p. 469 seq. φασὶ δὲ — ζεύγει Etym. M. p. 542, 54 (Tzetzes Lyc. 1170) καὶ ἄλλως — exit. Cornut. 6. Cf. Eud. p. 258

8 ὑποκλέπτειν F ὑποβλέπειν PV 23 Sic F παραδεδομένην PV

ἐπιτοπολὺ μετὰ βροντῶν καὶ ἀστραπῶν συμβαίνει γίνεσθαι, καὶ ταύτην παρεισάγουσι τυμπάνοις καὶ κυμβάλοις καὶ κεραυλίαις ἢ λαμπαδηφορίαις χαίρουσαν. ἐπεὶ δὲ ἄνωθεν ὄμβροι καταράττουσι, πολλαχοῦ δὲ καὶ ἀπὸ τῶν ὀρῶν κατερχόμενοι φαίνονται, πρῶτον μὲν τὴν Ἴδην ἐπωνόμασαν αὐτῇ μετέωρον ὄρος, καὶ ὃ μακρόθεν ἐστὶν ἰδεῖν, ὀρείαν αὐτὴν προσαγορεύοντες, καὶ τὰ γενναιότατα τῶν ἐν τοῖς ὄρεσι γινομένων ζώων, τοὺς λέοντας, ὑπ᾽ αὐτῆς παρεισάγουσι, τάχα ἐπεὶ καὶ οἱ χειμῶνες ἀγριωπόν τι ἔχουσι. πυργωτὸν δὲ περίκειται στέφανον, ἤτοι διὰ τὸ κατ᾽ ἀρχὰς ἐπὶ τῶν ὀρῶν τίθεσθαι τὰς πόλεις ὀχυρότητος ἕνεκεν, ἢ ἐπεὶ ἀρχηγός ἐστι τῆς πρώτης καὶ ἀρχετύπου οὐσίας τοῦ κόσμου. καρδίαν δ᾽ ἀνατιθέασιν αὐτῇ, παριστάντες, ὅτι αἰτία 370
τῆς ζωογονίας αὕτη ἐγένετο. κατὰ τοῦτο δὲ καὶ ἄλλους τινὰς τύπους περὶ τὸ στῆθος αὐτῆς περιτιθέασιν, ὡς τῆς τῶν ὄντων ποικιλίας καὶ παντὸς χρώματος ἐξ αὐτῆς γεγονότος. ἔοικε δὲ ἡ αὐτὴ καὶ ἡ παρὰ Σύροις Ἀρταγατῖς εἶναι, ἣν διὰ τὸ περιστερᾶς καὶ ἰχθύος ἀπέχεσθαι τιμῶσι, σημαίνοντες, ὅτι τὰ μάλιστα δηλοῦντα τὴν τῆς οὐσίας αἵρεσιν ἀὴρ καὶ ὕδωρ ἐστί. Φρυγία δ᾽ ἰδίως εἴρηται διὰ τὸ θρησκεύεσθαι παρὰ τοῖς Φρυξὶν ἐξόχως, παρ᾽ οἷς καὶ ἡ τῶν Γάλλων ἐπεπόλασε παρεδρία, τάχα τι τοιοῦτον ἐμφαίνουσα, ὁποῖον καὶ παρὰ τοῖς Ἕλλησι περὶ τῆς τοῦ Οὐρανοῦ ἐκτομῆς μυθεύεται. [πρῶτον μὲν γὰρ ὁ Κρόνος λέγεται καταπίνειν τὰ ἐκ

3 κεραυνοῖς PV, mox λαμπαδιφορίαις P corr. V 4 καταράπτουσι F κατακεράσουσι PV 12 ὀχυρωτάτου PV 17 ἐξ addidi ex F 18 γεγονότος F γεγοννίας PV 19 Ἀρταγατῖς F Ἀρταγὰ PV 26 Quae sequuntur ex priore loco iterata antecedentibus inepte adnexa sunt, cum ad Saturnum, non

τῆς Ῥέας αὐτῷ γινόμενα τέκνα. εἴληπται μὲν οὖν οὕτω πάνυ εἰκότως, ἐπειδή, ὅσα ἂν γίνονται κατὰ τὸν εἰρημένον τῆς κινήσεως λόγον, πάλιν κατὰ τὸν αὐτὸν ἐν περιόδῳ ἀφανίζεται. καὶ ὁ Κρόνος δὲ τοιοῦτόν ἐστι· δαπανᾶται γὰρ ὑπ' αὐτοῦ τὰ γενόμενα. εἶτα τὴν Ῥέαν φασί, γενομένου αὐτῇ τοῦ Διός, λίθον ἀντ' αὐτοῦ προσενεγκεῖν ἐσπαργανωμένον τῷ Κρόνῳ, τοῦτον εἰποῦσαν τετοκέναι, κἀκεῖνον μὲν καταποθῆναι ὑπ' αὐτοῦ, τὸν δὲ Δία τραφέντα βασιλεῦσαι τοῦ κόσμου. ἐνταῦθα οὖν ἄλλως εἴληπται ἡ κατάποσις. συντέτακται γὰρ ὁ μῦθος περὶ τῆς τοῦ κόσμου γενέσεως, ἐν ᾧ τότε ἀνετράφη ἡ διοικοῦσα αὐτὸν φύσις καὶ ἐπεκράτησεν, ὅτε εἰς τὸ μεσαίτατον αὐτοῦ ὁ λίθος οὗτος, ὃν καλοῦμεν γῆν, οἱονεὶ καταποθεὶς ἐγκατεστηρίχθη· οὐ γὰρ ἂν ἄλλως συνέστη τὰ ὄντα, εἰ μὴ ἐπὶ θεμελίῳ ταύτης ἐρείσθη, γινομένων καὶ τρεφομένων ἐντεῦθεν πάντων.]

[DCCCL. *Περὶ Ῥήσου.*

Ῥῆσος κατὰ μὲν Ὅμηρον Ἠϊονέως υἱὸς ἦν, κατὰ δὲ τοὺς νεωτέρους Στρυμόνος τοῦ τατὰ Θρᾴκην ποταμοῦ καὶ Εὐτέρπης Μούσης [*υἱόν*]. *λέγουσι δὲ καὶ χρησμὸν αὐτῷ ἀποκεῖσθαι, εἴ γε ἐν Τροίᾳ βοτάνης φάγοιεν οἱ ἵπποι αὐτῷ καὶ τοῦ ἐκεῖσε πίοιεν ὕδατος, ἀπρόσμαχον αὐτὸν ἔσεσθαι. Πίνδαρον δέ πού φασιν*

DCCCL. Eustath. Il. p. 817

---

ad Rheam spectent 8 *εἰποῦσα* PV 16 *ταῦτα* perperam PV 18 Il. X. 435. Haec quoniam ad verbum cum Eustathii commentariis conspirent, postea addita putaverim 23 fr. 246

ἱστορεῖν, ὅτι μίαν ἡμέραν πολεμῶν ὁ Ῥῆσος μεγάλα κακὰ ἐνεδείξατο τοῖς Ἀχαιοῖς.]

DCCCLI. Περὶ Ῥοιοῦς.

Ῥοιὼ Σταφύλου τοῦ υἱοῦ Διονύσου θυγάτηρ γίνεται, ᾗ ἐμίγη ὁ Ἀπόλλων. γνοὺς δὲ ὁ Στάφυλος, βαλὼν εἰς λάρνακα πρὸς τὴν θάλασσαν ἀφῆκεν. ἐξελθοῦσα δὲ τῆς λάρνακος ἐπὶ Εὔβοιαν περί τι ἄν- 371
τρον, παῖδα γεννᾷ καὶ Ἄνιον καλεῖ διὰ το ἀνιαθῆναι δι' αὐτόν. τοῦτον δὲ ὁ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον, ὃς Δωρίππην γήμας γεννᾷ τοὺς Οἰνοτρόπους, Οἰνώ, Σπερμὼ καὶ Ἐλαΐδα, αἷς Διόνυσος ἐχαρίσατο, ὁπότε βούλοιντο οἶνον, σπέρματα καὶ ἔλαιον λαμβάνειν.

Γραμματικοί.

DCCCLII. Περὶ Ῥηγίνου τοῦ γραμματικοῦ.

Ῥηγῖνος γραμματικός. ἔγραψε τὸν λεγόμενον Πολυμνήμονα.

DCCCLIII. Περὶ Ῥιανοῦ τοῦ γραμματικοῦ.

Ῥιανός, Κρὴς γραμματικός, ἐκ τῆς Βήνης (πόλις δὲ αὕτη Κρήτης), τινὲς δὲ Κεραΐτην, ἄλλοι δὲ Ἰθώμης τῆς Μεσσήνης αὐτὸν ἱστόρησαν. γέγονε δὲ σύγ-

DCCCLI. Tzetzes Lyc. 570 (Phavorin.) DCCCLII—DCCCLIII. Hesych. (Suid.)

---

6 ἐξελθούσης PV, mox ἐν Εὐβοίᾳ F περί τι F παρά τι PV, mox Ἄνινον PV 12 Πολύμνονα compendio male intellecto PV 14 ὁ καὶ Κρὴς et mox ὢν Βηναῖος, Βήνη δὲ S 15 Κεραίτην PV Ἰθάκης PV 16 αὐτὴν PV οὗτος δὲ ἦν τῆς παλαίστρας πρότερον φύλαξ καὶ δοῦλος, ὕστερον δὲ παιδευθεὶς ἐγένετο γραμματικός add. S

χρονος Ἐρατοσθένους. ἔγραψεν ἔμμετρα ποιήματα, Ἡρακλειάδα ἐν βιβλίοις δ'.

Ἰατροί.

DCCCXLIV. Περὶ Ῥούφου τοῦ ἰατροῦ.

Ῥοῦφος, Ἐφέσιος ἰατρός, γεγονὼς ἐπὶ Τραϊανοῦ σὺν Κρίτωνι. φέρεται αὐτοῦ βιβλία πλεῖστα, ἐξ ὧν καὶ ταῦτα· περὶ διαίτης πέντε, περὶ διαίτης πλεόντων ἕν, ἤτοι ἐφοδίων, περὶ τραυματικῶν φαρμάκων ἕν, περὶ τραυματισμοῦ ἄρθρων ἕν, περὶ σύκων ἕν, περὶ τῆς ἀρχαίας ἰατρικῆς ἕν, περὶ γάλακτος ἕν, περὶ οἴνου καὶ μέλιτος ἕν, περὶ τῶν τοῦ ἀνθρώπου μορίων δύο, περὶ ὀστῶν ἕν.

DCCCLIV. Hesych. (Suid.)

---

1 ἐμμέτρως editores Suidae scripserunt, quod ne paullulum qui demarridet: aut corrigendum est ἑξαμέτρῳ ποίημα aut cum Meinekio ἑξάμετρα ποιήματα, quod nescio an melius sit. Neglexerunt autem viri docti eam vitam, quam E. Miller, Périple p. 313 edidit: Ῥιανός, Βηναῖος ἐκ Βήνης, πόλεως Κρήτης· γραμματικὸς οὗτος ἦν, πρότερον φύλαξ παλαίστρας, ὕστερον δὲ παιδευθεὶς γραμματικὸς ἐγένετο, σύγχρονος Ἐρατοσθένους. ἔγραψε δὲ εἴς γραμματικὴν καὶ ποιημάτων βιβλία τέσσαρα, unde Suidam scripsisse ἔγραψε δὲ καταλογάδην καὶ ἐμμέτρως efficitur 2 Librorum numerum vitiosum esse perspexit Vossius, qui ιδ scribendum monuit 6 ἤτοι ἐφοδίων om. S, melius verba post διαίτης transponuntur 8 τῆς addidi ex S om. PV 9 scilicet περὶ οἴνου ἕν, περὶ μέλιτος ἕν, quod certe Suidae lectioni praeferendum videtur, qui περὶ οἴνου βιβλίον α, περὶ μέλιτος tradidit, erant enim libri περὶ σύκων, περὶ γάλακτος, περὶ οἴνου, περὶ μέλιτος, περὶ διαίτης πλεόντων quinque illae περὶ διαίτης particulae, quod quidem recte perspexit Bernhardy περὶ τῶν — ἕν om. S, cf. Bernhardy praef. p. XXXI

DCCCLV. *Περὶ τοῦ Σαλμωνέως καὶ τῶν ἐκ τῆς βύρσης βροντῶν.*

Σαλμωνεὺς Αἰόλου μὲν ἦν υἱὸς καὶ Λαοδίκης, ἀδελφὸς Δηϊονέως καὶ Κηφέως, βασιλεὺς δὲ Θετταλῶν. οὗτος ἀσεβὴς εἰς τοὺς θεοὺς γενόμενος, προσράπτων ἅρματι βύρσας ξηράς τε καὶ σκληράς καὶ λέβητάς τινας μετὰ τῶν βυρσῶν [κτυπῶν] ἤχους ἀπετέλει, μετὰ χεῖράς τε βαστάζων καιομένας λαμπάδας, ἐμεγαλαύχει, καθάπερ Ζεύς, βροντᾶν τε καὶ ἀστράπτειν. [διὸ καὶ 372 *ἀντιβροντᾶν τε καὶ ἀνταστράπτειν τῷ Διὶ ἐμυθεύθη], ἕως ὑπὸ τοῦ Διὸς κεραυνωθεὶς ἀνηρέθη, καὶ κατέλιπε θυγατέρα ἀφήλικα ὀνόματι Τυρώ. αὕτη τραφεῖσα ὑπὸ τοῦ ἰδίου θείου Κηφέως ἠράσθη τοῦ ἐγχωρίου ποταμοῦ Ἐνιπέως. τούτῳ δὲ τῷ ποταμῷ ὁμοιωθεὶς Ποσειδῶν συνεγένετο ἀντὶ Ἐνιπέως τῇ Τυροῖ καὶ συνέλαβε Πελίαν καὶ Νηλέα, καὶ εἶχε τούτους ἐγκύους. ἐγαμήθη δὲ αὕτη ὑπὸ Κρηθέως καὶ ὕστερον ἔτεκεν ἡ Τυρώ, τὸ μὲν δοκεῖν ἐκ Κρηθέως, τῇ δὲ ἀληθείᾳ ἐκ Ποσειδῶνος. ὕστερον δὲ καὶ ἐξ αὐτοῦ τοῦ Κρηθέως ἔσχε παῖδας. Ὅμηρος μέντοι οὐκ οἶδε τοιοῦτόν τι περὶ τοῦ Σαλμωνέως, ἀλλὰ ἀμύμονα αὐτὸν καλεῖ.*

DCCCLV. Nonn. II, 7 (Cosm. p. 283) *Ὅμηρος — καλεῖ* Eustath. Od. p. 1681

---

1 *καὶ Λαοδίκης — Κηφέως* om. F 4 *ἅρματι* F *ἥρμοσε* PV 5 *κτυπῶν* iure om. F 7 *διὸ — ἐμυθεύθη* om. F 13 *Τυρῷ* PV 15 *Κριθέως* ter PV 18 *Ὅμηρος — καλεῖ* om. Nonnus *ἐπροκαλεῖ* vel *ὑποκαλεῖ* P. Ceterum cf. Od. XI, 236

DCCCLVI. *Περὶ τοῦ Σαρδαναπάλου.*

Σαρδανάπαλος υἱὸς Ἀνακυνδαράξου, βασιλέως Νίνου, Περσικῆς χώρας [ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην ἔκτισεν, ἐκτράπελος ταῖς τρυφαῖς]. φασὶ δὲ αἰσχρῶς αὐτὸν καλλωπίζεσθαι, τοῖς τε οἰκείοις μὴ ὁρᾶσθαι, εἰ μὴ εὐνούχοις καὶ κόραις. πεπυρπολουμένου δὲ τοῦ οἴκου, ἔνδον εὑρεθείς, ἀπέθανεν. Ἀπολλόδωρος δὲ ταῦτά φησιν ἐγγεγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασι· „Σαρδανάπαλος, Ἀνακυνδαράξου παῖς, Ταρσόν τε καὶ Ἀγχίαλον ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ. πῖνε, ὄχευε, ὡς τἆλλα οὐδενός ἐστιν ἄξια.“ ὁ δὲ Ἑλλάνικος ἐν τοῖς Περσικοῖς δύο φησὶ Σαρδαναπάλους γεγονέναι· εἷς δὲ αὐτῶν Περσῶν βασιλεύς, ὃς ἐν τρυφῇ ὡρίζετο τὴν εὐδαιμονίαν. λέγει δὲ περὶ αὐτοῦ, ὅτι ἐν μιᾷ ἡμέρᾳ δύο πόλεις ἔκτισε τῆς Λυκίας, Ταρσὸν καὶ Ἀγχιάλην. ἦν δὲ τὸν βίον τρυφηλὸς καὶ τὸ εἶδος ἐκτράπελος καὶ τὸ σχῆμα ἀλλόκοτος, διὸ λέγουσιν ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα·

Εὖ δεδαώς, ὅτι θνητὸς ἔφυς, ὃν θυμὸν ἄεξε,
Τερπόμενος θαλίῃσι, θανόντι τοι οὔτις ὄνησις.

DCCCLVI. Schol. Ar. Aves 1022 (Suid.; Arsen. Viol. p. 426). Cf. Append. Proverb. IV, 68; Athen. VIII, p. 336.

---

1 *Ἀνακινδαράξου* hic et infra PV, mox *βασιλεύς* Schol. et PV 2 *ὃς — τρυφαῖς* hic interpolata sunt, itaque in sequentibus *φασὶ δὲ* pro *φασὶ γὰρ* scripsi. Cf. Suidas v. *Ἀγχιάλη* 6 Müller I, p. 440 10 *ἔσθιε* add. F om. PV 12 *τὸ αὐτὸ* perperam PV *δὲ αὐτῶν* coni. Sturzius, cf. Müller I, p. 67 18 De nostro epigrammate cf. Strabo XIV, p. 672, Naek. Choerilus p. 203, Anthol. Palat. XVI, 27; *εἰδὼς* alii, mox *ὃν* recte F consentientibus PV. Hunc pronominis usum prorsus ignorabant ii, qui *σὸν* vel *τὸν* correxerunt 19 *τοι* addidi ex F om. PV, *σοι* alii

Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύων.
Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Ἡ δὲ σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισιν,
Κεκτήσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.

DCCCLVII. *Περὶ Σαρπηδόνος.*

Σαρπηδόνα οὕτω διὰ τοῦ Γλαύκου γενεαλογεῖ ὁ ποιητής. Βελλεροφόντου παῖδες Ἴσανδρος καὶ Ἱππόλοχος καὶ Λαοδάμεια· τούτων Ἴσανδρος μὲν ἀνηρέθη 373 *μαχόμενος, Ἱππολόχου δὲ παῖς ὁ Γλαῦκος. Λαοδαμείῃ δὲ παρελέξατο Ζεύς, ἡ δ' ἔτεκεν ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν, ὥστε αὐτανεψιὸς ὁ Γλαῦκος τῷ Σαρπηδόνι, καὶ οὕτω μὲν ὁ ποιητής. οἱ δὲ νεώτεροι Εὐρώπης καὶ Διὸς υἱὸν Σαρπηδόνα λέγοντες καὶ ἀδελφὸν αὐτὸν ἱστοροῦντες Μίνωος, ἄλλον ἐκεῖνον Σαρπηδόνα γενεαλογοῦσι παλαιότερον, ὥς φασιν οἱ ἀκριβέστεροι.*

DCCCLIII. *Περὶ Σειρήνων.*

Σειρῆνες θυγατέρες γεγόνασι Τερψιχόρης Μούσης καὶ Ἀχελῴου, ποταμοῦ μεταξὺ ῥέοντος Αἰτωλίας καὶ Ἀκαρνανίας, τῆς καὶ Ἀμβρακίας, νῦν δὲ Νικο-

DCCCLVII. Eustath. Il. p. 636 DCCCLVIII. Tzetzes Lyc. 653 *αἵτινες — Λευκωσία* Eustath. Dion. 358 *κατὰ δέ τινας — Ἀγλαόφωνος* Schol. Apoll. IV, 891 *παραπλεύσαντος* — exit. Eustath. Dion. 358

---

1 *βασιλεύσας* Athen. Anth. 2 *μεθ' ἐρώτων* PV *σὺν ἔρ.* Athen. 3 *ἐδάην* Anth. 4 Sic corrigendum, *οὐδέποτ' ἐσθλὴ* huc memoriæ culpa ex versu Hesiodeo Oper. 640 invasit: *Ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέποτ' ἐσθλῇ* 5 Postremus versus a Strabonis textu abest *χρυσόν* Athen. 12 Il. VI, 198 19 Sic F *Ὑρκανίας* PV

πόλεως· αἵτινες κατὰ μὲν Ὅμηρον δύο καὶ ἀνώνυμοι ἱστοροῦνται, κατὰ δὲ τοὺς ἄλλους ποιητὰς τρεῖς, καὶ ὀνόματα αὐταῖς Παρθενόπη, Λίγεια καὶ Λευκωσία, κατὰ δέ τινας πάλιν Θελξιόπη ἢ Θελξινόη, Μολπή, Ἀγλαόφωνος. παραπλεύσαντος δὲ αὐτὰς τοῦ Ὀδυσσέως καὶ μὴ θελχθέντος οἷς ἐμελῴδουν, νικηθεῖσαι τῇ ἀθυμίᾳ, κατέρριψαν ἑαυτὰς εἰς τὴν θάλασσαν καὶ ἀποπνιγεῖσαι ἄλλη ἀλλαχῇ ἐξεβράσθησαν, ὧν ἡ Παρθενόπη πρὸς τῇ Νεαπόλει τέθαπται, πόλει Καμπανῶν εὐδαίμονι, καὶ ἐκεῖ τοσοῦτον τετίμηται, ὥστε καὶ τὴν πόλιν κληθῆναι Παρθενόπην. ἄλλοι δὲ περὶ Παρθενόπης οὕτω λέγουσι. Παρθενόπη πολλοῖς ἀνδράσιν ἐπιβουλευθεῖσα καὶ τὴν παρθενίαν φυλάξασα, εἶτα Μητιόχου Φρυγὸς ἐρασθεῖσα τάς τε τρίχας ἔτεμεν, ἀκοσμίαν ἑαυτῆς καταψηφιζομένη καὶ εἰς Καμπανοὺς ἐλθοῦσα ᾤκησε, καὶ τάχα διὰ τὴν τοιαύτην σωφροσύνην ἁγνὴ παρὰ πολλῶν ἱστορεῖται.

DCCCLIX. Περὶ Σεμέλης.

Σεμέλη Κάδμου ἦν θυγάτηρ. ταύτης ἠράσθη ὁ Ζεὺς καὶ συγγίνεται αὐτῇ, καὶ συλλαβοῦσα εἶχεν ἐξ αὐτοῦ τὸν Διόνυσον ἔγκυον. ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ καὶ συμβουλεύει αὐτῇ τῇ Σεμέλῃ, ὅτι δεῖ αἰτῆσαι τὸν Δία συγγενέσθαι, ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. συνεγίνετο δ' ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν

DCCCLIX. Nonn. II, 25 (cod. Mon. 490) Σεμέλη δὲ ἤκουσε — exit. Etym. M. p. 709, 43

1 Od. XII, 39 seq. 22 συμβουλεύεται PV

καὶ κεραυνῶν. ταῦτα δὲ συνεβούλευσεν ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα, ἐρχομένου τοῦ Διὸς μετὰ κεραυνῶν πρὸς αὐτήν, ὡς θνητὴ καταφλεχθήσεται καὶ μηκέτι ἔχοι τὴν ἀντίζηλον· ὃ δὴ καὶ γέγονε. τοῦ Διὸς ἐλθόντος πρὸς τὴν Σεμέλην, ᾔτησεν ἡ Σεμέλη οὕτως αὐτῇ συγγενέσθαι ὡς τῇ Ἥρᾳ, καὶ συγγίνεται καὶ κεραυνοῦται καὶ ἀπόλλυται. καὶ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον 374
ἔμβρυον ὄντα ἔρραψεν ἐν τῷ αὐτοῦ μηρῷ, καὶ ὕστερον ἐν τῷ ἑβδόμῳ μηνὶ ἐλθὼν ὁ Ἑρμῆς ἀναπτύσσει τὸν μηρὸν τοῦ Διὸς καὶ γεννᾶται, ὥς φασιν, ὁ Διόνυσος, καὶ λαμβάνει αὐτὸν καὶ ἀποφέρει εἰς Νύσσαν τῆς Θρᾴκης, κἀκεῖ παρὰ τῶν Νυμφῶν γαλακτοτροφεῖται. Σεμέλη δὲ ἤκουσε παρὰ τὸ σέλας μέλειν, ἤγουν φροντίζειν· τὸν γὰρ Δία, ὡς εἴρηται, ᾐτήσατο μετὰ ἀστραπῶν καὶ βροντῶν συγγενέσθαι αὐτῇ· οὗ γενομένου καὶ κεραυνωθείσης ἐσείσθη τὰ μέλη καὶ ἐντεῦθεν Σεμέλη.

DCCCLIX[b]. Σεμέλης γενεαλογία.

Ποσειδῶν ἐκ τῆς Δαμνοῦς τοῦ Βήλου γεννᾷ Ἀγήνορα, οὗ καὶ Ἀργιόπης τοῦ Νείλου ποταμοῦ Εὐρώπη, Φοῖνιξ, Ἰσαίη, Μελία, Κάδμος, οὗ καὶ Ἁρμονίας Σεμέλη, Ἰνώ, Ἀγαυή, Αὐτονόη.

DCCCLX. Περὶ τοῦ Σεσογχώσιδος.

Σεσόγχωσις βασιλεὺς τῶν Αἰγυπτίων μετὰ Ὧρον,

DCCCLIX[b]. Schol. Apoll. III, 1186. Cf. Eud. p. 23.
DCCCLX. Schol. Apoll. IV, 272 κοσμοκράτωρ — λέγεται

---

3 ἔχειν PV 5 οὕτω δὲ PV 8 αὐτοῦ P αὑτοῦ V 13 μέλειν P μένειν V 23 Postremum nomen ex Apollodoro reposui, Αὐτώνη PV

τὸν Ὀσίριδος καὶ Ἴσιδος παῖδα. οὗτος ὁρμήσας Ἀσίαν πᾶσαν κατεστρέψατο καὶ μέρη πλεῖστα τῆς Εὐρώπης. λέγουσι δὲ καὶ ὡς εἰ μέν τινας τῷ πολέμῳ καταστρέψειε, στήλας ἀνίστη τῆς νίκης σύμβολα, εἰ δέ τινας ἄνευ πολέμου χειρώσαιτο, γυναικεῖον αἰδοῖον προσετίθει ταῖς στήλαις, τῆς σφῶν μαλακίας σημεῖον. κοσμοκράτωρ δὲ γεγονὼς ἠθέλησε γνῶναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων, καὶ τροφόν τινα γλωττοτομήσας ἀπέκλεισε μετὰ βρέφους. αὐξηθέντος οὖν καὶ βοῶντος βέκ, ἤκουσε καὶ ἔγνω ὁ βασιλεύς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες· παρ' αὐτοῖς καὶ γὰρ ὁ ἄρτος βὲκ λέγεται.

DCCCLXI. *Περὶ Σιβυλλῶν καὶ Βακίδων.*

Σίβυλλαι τρεῖς ἐγένοντο, ὧν ἡ μέν ἐστιν, ὡς Φιλητᾶς ὁ Ἐφέσιος διὰ τῆς ποιήσεώς φησιν, Ἀπόλλωνος ἀδελφή, δευτέρα δὲ ἡ Ἐρυθραία, τρίτη δὲ ἡ Σαρδιανή, εἰ καὶ ἄλλοι ἄλλως τάττουσιν, ὡς ἐν τοῖς ἑξῆς διαληψόμεθα. καὶ Βάκιδες ὁμοίως τρεῖς, ὁ μὲν
375 *ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς. Θεόπομπος δὲ ἐν τῇ ἐννάτῃ τῶν Φιλιππικῶν τά τε ἄλλα πολλὰ περὶ τοῦ Βοιωτοῦ Βάκιδος ἱστορεῖ παράδοξα καὶ ὅτι ποτὲ Λακεδαιμονίων μανείσας τὰς γυναῖκας ἐκάθηρεν, Ἀπόλλωνος αὐτοῖς τοῦτον καθαρτὴν δόντος.*

Schol. Ar. Nub. 398 DCCCLXI. Schol. Ar. Aves 963. Cf. Eud. p. 92 et 383

---

14 Philetae etc. rel. ed. Bach. p. 21

DCCCLXII. *Περὶ Σινώπης.*

Σινώπη θυγάτηρ Ἀσωποῦ κατὰ Εὔμηλον καὶ Ἀριστοτέλην, κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης. ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται, ἣν ἁρπάσας Ἀπόλλων κατὰ Φιλοστέφανον ἀπὸ Συρίας ἐκομίσατο εἰς τὸν Πόντον, καὶ μιγεὶς αὐτῇ ἔτεκεν υἱὸν Σύρον, ἀφ' οὗ Σύροι ἐκλήθησαν. κατὰ δὲ ἄλλους τὴν παρθενίαν μέχρι τέλους ἐφύλαξε καὶ τόν τε Ἅλυν ποταμὸν ἐπλάνησε καὶ τὸν Δία καὶ Ἀπόλλωνα ἠπάτησεν. ἀπ' αὐτῆς καὶ ἡ ἐν τῷ Εὐξείνῳ πόντῳ πόλις Σινώπη ἐκλήθη. οὕτω μὲν οὖν οἱ μῦθοι τὸ τῆς Σινώπης πόλεως ἔτυμον ἀποδιδόναι πειρῶνται, ἡ δὲ ἱστορία κτίσμα αὐτήν φησι Κρητίνου Κώου, ὥς φησι καὶ Φλέγων. Ἄνδρων δὲ ὁ Τήϊος μίαν τῶν Ἀμαζόνων φησὶ φυγοῦσαν εἰς τὸν πόντον γήμασθαι τῷ τῶν τόπων ἐκείνων βασιλεῖ, πίνουσαν δὲ οἶνον ὀνομασθῆναι Σανάπην (μεταφραζόμενον δὲ τοῦτο τὸ ὄνομα σημαίνει τὴν πολλὰ πίνουσαν· σανάπαι γὰρ λέγονται παρὰ Θρᾳξὶν οἱ μέθυσοι, ᾗ διαλέκτῳ καὶ Ἀμαζόνες ἐχρῶντο), ἀπ' ἐκείνης δὲ τὴν πόλιν κληθῆναι Σινώπην.

DCCCLXIII. *Περὶ Σισύφου.*

Σίσυφος ὁ Αἰόλου τοῦ Ἕλληνος θανὼν κατὰ μῦθον καὶ δόλῳ αὖθις ἀναβιοὺς οὐκ ἤθελε κάτω

DCCCLXII. Schol. Apoll. II, 946 *ἡ δὲ ἱστορία — Φλέγων* Steph. Byz. v. *Σινώπη*. *Ἄνδρων δὲ* — exit. Schol. Apoll. II, 946 DCCCLXIII. Eustath. Od. p. 1701. *λέγεται δὲ* —

1 Kinkel I, p. 191 3 Lobeck. Aglaoph. I, p. 594 4 Müller III, p. 29 *Συρίας* F *Βοιωτίας* PV 12 *Κρητίνου* reposui cum Meinekio, *Μακριτίου* PV 13 *Ἄντρων* PV Cf. fr. 2 Müller 17 *πανάπαι* PV

ἐλθεῖν, καθὰ συνέθετο, εἰ μὴ βαθὺ γῆρας λαβὸν αὐτὸν κατήγαγεν, ὅθεν κόλασιν εὗρεν ἐν Ἅιδου τὸ ἀνάγειν τὸν λίθον. μυθεύεται δέ, ὅτι καὶ Ἡρακλῆς καὶ Τυνδάρεως καὶ Γλαῦκος δὶς ἔζησε καὶ ἀνεβίωσε, κατὰ δέ τινας καὶ Αἴσωπος. λέγεται δε Ὀδυσσεὺς ἐκ Σισύφου εἶναι, καὶ γὰρ Αὐτόλυκος Αἴσιμον καὶ Ἀντίκλειαν τὴν Ὀδυσσέως μητέρα γεννᾷ, ἥτις ὑπὸ Σισύφου διεπαρθενεύθη. οὗτος ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε, κλέπτων γὰρ ἵππους καὶ βόας καὶ ποίμνια τὰς σφραγῖδας αὐτῶν μετεποίει καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν, ὥς φησι καὶ Ἡσίοδος·

ὅττι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκεν.

Σίσυφος δὲ μονογράμμῳ τυπώματι τὸ τούτου ὄνομα ἐγχαράττων ταῖς τῶν ἑαυτοῦ ζώων ὁπλαῖς καὶ χηλαῖς ἐπεγίνωσκεν. Αὐτόλυκος δὲ ἀφελόμενος καὶ τῶν τοι-
376 ούτων ζώων τινὰ τὰς σφραγῖδας μετεποίησεν. ὡς δὲ
καὶ οὕτω λαθεῖν οὐκ ἴσχυσε, τὸν Σίσυφον φίλον αὐτῷ ἐποίησεν. ὁ δὲ λάθρᾳ τῇ αὐτοῦ μιγεὶς θυγατρὶ Ἀντικλείᾳ ἐγκυμονῆσαι τὸν Ὀδυσσέα· ὕστερον δὲ ἔγημε Λαέρτην.

DCCCXLIV. *Περὶ τῶν Σκεδάσου θυγατέρων.*

Οἱ Λακεδαιμόνιοι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ κατὰ τὸ κατακράτος νικῆσαι τοὺς Ἀθηναίους

exit. Tzetzes Lyc. 393. Cf. Eud. p. 393 DCCCLXIV. Nonn. I, 10

4 In margine P legitur *τίνες δὶς ἔζησαν καὶ ἀνεβίωσαν.* Ceterum verba *μυθεύεται — Αἴσωπος* aliunde fluxerunt 8 Verba *οὗτος* — exit. cum ad Autolycum spectent interpolator adscripsisse fortasse putandus est 12 Restitui lectionem, quae in fragm. Hesiodeo 96 comparet, *πάντα γὰρ ὅσσα λάβεσκεν ἄϊδηλα τέθνησκε* PV 18 *αὐτῷ* P *αὑτῷ* V

ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι, καὶ ὁρμήσαντες κατὰ Θηβαίων, πρὶν προσεγγίσαι τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις (πόλις δὲ αὕτη Θηβῶν) συμβαλόντες ἡττήθησαν, Ἐπαμεινώνδου στρατηγοῦ Θηβῶν εὐδοκιμήσαντος. το δὲ πάθος τοῖς Λακεδαιμονίοις γέγονεν ἐν Λεύκτροις ἐξ αἰτίας τοιαύτης. Σκέδασος Λευκτραῖος ὢν εἶχε τρεῖς θυγατέρας, τινὲς δὲ τῶν Λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντες μίξει τὰς κόρας ἐνύβρισαν. φοβηθέντες οὖν οἱ Λακεδαιμόνιοι, μήπως δημοσιεύσωσι τῷ ἰδίῳ πατρὶ τὴν ἀσέλγειαν, ἀναιροῦσιν αὐτάς. ἐπανελθὼν δὲ ἐν τῇ ἰδίᾳ πατρίδι τοῖς Λεύκτροις ὁ Σκέδασος καὶ μαθὼν τὸ γεγονὸς κατηράσατο πᾶσι Λακεδαιμονίοις παρ' αὐτὸν τὸν τάφον τῶν θυγατέρων αὐτοῦ ἀτυχῆσαι, διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτρος τοὺς Λακεδαιμονίους.

DCCCLXV. Περὶ τῆς Σκύλλης.

Μυθεύεται, ὅτι ἐν τῷ Τυρρηνικῷ πελάγει περὶ τὸ Ῥήγιον καταντικρὺ Σικελίας θηρίον ἦν, ὃ ἦν γυνὴ μὲν περικαλλὴς μέχρι τοῦ ὀμφαλοῦ, ἔνθεν δὲ καὶ ἔνθεν κυνῶν κεφαλαὶ προσπεφύκασιν ἕξ, τὸ δὲ ἄλλο

DCCCLXV. Nonn. I, 52 (Suidas — ὀφιῶδες) ὥσπερ — βοός Tzetzes Lyc. 653 τὴν δὲ Σκύλλαν — κητῶν Eustath. Od. p. 1714—15 Ἡρακλῆς — δυσχέρειαν Tzetzes Lyc. 45. Cf. Eud. p. 214 et 417 καὶ ταῦτα μὲν — Χάρυβδις Schol. Apoll. IV, 825 (etiam Eustath. p. 1714) ἐν ᾧ — ὁρᾶσθαι Nonn. I, 53 ἡ δὲ Σκύλλα — διαφθείρεται Schol. Apoll. IV, 825 ὑπονοστεῖ δὲ — μεστόν Nonn. I, 53 (Clarke p. 46) Cf. Eud. p. 431 ἔπειτα — ὠνομάκασιν Schol. Apoll. IV, 825 τινὲς δὲ — πλοίου Palaephat. 21 ἦν δὲ — exit. Eustath. Dion. 420

---

2 προσεγγύσαι P corr. V 4 Ἐπαμινώνδου PV 13 κατηράσατο P κατηρήσατο V 17 θυρίου P corr. V

αὐτῆς σῶμα ὀφιῶδες, ὅ φασι θηρίον τοὺς παραπλέοντας τὰ πελάγη κατήσθιε ἀφειδῶς καὶ θηριωδῶς. ὥσπερ αἱ Γοργόνες ἐν Ταρτησσῷ τῆς Ἰβηρίας, κἄν τινες ἐν Ταρσῷ ταύτας λέγουσι, πτερωταὶ καὶ αὐταὶ καὶ δρακοντώδεις ἔχουσαι βοστρύχους, ὡς αἱ Ἅρπυιαι ἐν Θράκῃ ὦτα ἄρκτων, σώματα γυπῶν, πρόσωπα κορῶν ἔχουσαι καὶ ἡ Ἔχιδνα περὶ Λυδίαν στέρνα καὶ κεφαλὴν κόρη, τὰ δὲ κάτω ὄφις, ὡς καὶ Ὄρθος Γηρυόνου κύων, ἐν Ἐρυθείᾳ δύο κυνῶν κεφαλὰς ἔχων, ἑπτὰ δρακόντων, καὶ Ἀστέριος βοὸς ἔχων πρόσωπον, τὸ δὲ ἄλλο σῶμα ἀνδρός, καὶ Μινώταυρος ἐν Κρήτῃ ἀνδρὸς ἔχων πρόσωπον καὶ στῆθος, τὸ δὲ ἄλλο σῶμα βοός. τὴν δὲ Σκύλλαν Φόρκυνος θυγατέρα καὶ Ἑκά-
377 της Ἀκουσίλαος λέγει, ἔχουσαν καὶ πρὸς ταῖς πλευραῖς σκύλακας, κατέχουσαν τὸν περὶ Σικελίαν πορθμόν, Ὅμηρος μέντοι Κράταιϊν μητέρα τῆς Σκύλλης δηλοῖ, Μεγάλαι Ἠοῖαι δὲ Ἑκάτην αὐτὴν καλοῦσιν. εἰσὶ δὲ οἳ Τρίτωνά φασιν εἶναι πατέρα τῇ Σκύλλῃ, Στησίχορος δὲ Λάμιαν αὐτῆς μητέρα ποιεῖ, ἣν δὴ Λάμιαν ὁ μῦθος μὲν δαιμόνιόν τι πλάττει. Νίκανδρος δὲ ὁ Κολοφώνιος ἐν γλώσσαις ἰχθύος αὐτὴν οἶδεν ὄνομα, καθὰ καὶ τὴν Σκύλλαν, εἰπών, ὅτι ὁ καρχαρίας ἰχθὺς καὶ λάμια καὶ σκύλλα καλεῖται. Ὁμήρου δὲ τῇ Σκύλλῃ ἓξ πλασαμένου κεφαλάς, ἕτεροι

---

1 Sic F ὀφιοειδές PV. Hic in margine legitur σημαίνεται περὶ τῶν ἀλλοκότων θηρίων 6 κορῶν F κύρκων P κίρκων V 13 τὴν δὲ Σκύλλαν — πλάττει etiam in schol. Apoll. IV, 828 leguntur 14 Ἀκουσίλαος reposui ex Schol. Apoll. ὁ μῦθος PV consentiente Eustathio 16 Od. XII, 124 17 Μεγάλαι Ἠοῖαι ex scholio Apoll. recepi, μάγοι et mox φασιν PV et Eustathius. Cf. Hes. fr. 92 19 fr. 13 Bergk. Λαμία PV

τρικέφαλον αὐτὴν ἐμυθεύσαντο. ἰστέον δὲ καὶ ὡς κατὰ τοὺς παλαιοὺς Ὁμήρου εἰπόντος ἐν τῇ μ΄ ῥαψῳδίᾳ τῆς Ὀδυσσείας τὸ „ὅση φωνὴ σκύλακος,“ προσέπλασαν τῇ Σκύλλῃ καὶ κυνῶν κεφαλὰς οἱ νεώτεροι. πιθανώτερον δέ φασι δρακόντων νοεῖν κεφαλάς. εἰπὼν γὰρ πόδας αὐτὴν ἔχειν ιβ΄, ἓξ δὲ δειράς, ἐν δὲ ἑκάστῃ κεφαλήν, ἐπάγει „ἐν δὲ τρίστοιχοι ὀδόντες.“ δρακόντων δὲ οὐ μὴν κυνῶν ἡ τῶν ὀδόντων τριστοιχία, ἔστι δέ που καὶ ἑτέρων, οἷον μεγίστων κητῶν. Ἡρακλῆς δὲ σοφὸς ὢν καὶ στρατηγικὸς καὶ παραπλέων μετὰ τῶν Γηρυόνου βοῶν τὸν Σικελικὸν πορθμὸν ὀλέθριον τοῖς ναύταις, στενόν τε, σκολιόν τε καὶ ἄσχετον, ἔνθα καὶ τὸ τῆς Χαρύβδεως ὁ Ὁμηρικὸς μῦθος γίνεσθαι λέγει πάθος καὶ τὸ τῆς Σκύλλης κακὸν (συρομένη γὰρ ἡ θάλασσα κατὰ πάθος Εὐρίπου περιβρέμεται ταῖς παραθαλασσίαις πέτραις), ἀπώλεσεν αὐτόθι τινὰς ἐξ αὐτῶν καὶ ἀνακαθαίρει τὸν τόπον τισὶ μηχαναῖς, ὅθεν καὶ ἐμυθεύσαντο τὴν Σκύλλαν αὐτὸν ἀνελεῖν. Φόρκυς δέ, ἤτοι ἡ θάλασσα, ὁ ταύτης πατήρ. ἡ γὰρ θάλασσα δυσχερῆ ταύτῃ ἐποίει, λαμπάσιν αὐτὴν πάλιν ἀνεζώωσεν ἢ κινήσεσι, καὶ χρόνοις πάλιν τὴν ὑφ᾽ Ἡρακλέους ἀνακάθαρσιν καὶ τὸ μηχάνημα ἡ θάλασσα χέασα μετέστρεψεν εἰς τὴν ἀρχαίαν δυσχέρειαν. καὶ ταῦτα μὲν κατὰ τοὺς μυθοπλάστας. πλὴν ἰστέον, ὅτι τῆς Σικελίας καταντικρὺ κειμένης τῆς Ἰταλίας, ὁ διὰ μέσου αὐτῶν πορθμὸς διακοσίων ἐστὶ σταδίων. κατὰ δὲ τὸ ἄκρον τὸ πρὸς Ἰταλίαν ἀφορῶν, ὃ καλεῖται

---

3 Od. XII, 90   10 στρατηγικὸς rectius F στρατηγὸς PV 21 ἀνεζώωσεν FP ἀνεζώωσαν V   27 τὸ οὖν ἓν ἄκρον, τὸ Πέλωρον, ἀφορᾷ εἰς Ἰταλίαν, ἐν ᾧ F, quod nescio an melius sit

Πέλωρος, κάτω ἐστὶν ἡ καλουμένη Χάρυβδις, ἐν ᾧ ἡ θάλασσα γίνεται ἄμπωτις καὶ ῥαχία, καὶ διΐσταται τὸ ὕδωρ, ὥστε τὸν πυθμένα τῆς θαλάσσης κατὰ τοῦτο τὸ μέρος, εἴγε δυνατόν, ὁρᾶσθαι. ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ ἐστὶ καταντικρὺ τοῦ Πελώρου. ἔστι δὲ ἡ Σκύλλα ἀκρωτήριον ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός, ὥς φασιν οἱ ἱστορήσαντες, κάτω δὲ τοῦ ἀκρωτηρίου πέτραι εἰσὶν ἄγαν μεγάλαι καὶ πολλαί, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μένουσιν. ὅσα μὲν οὖν τῶν
378 *πλοίων ὑπὸ τῶν πετρῶν ἀπωθούμενα διὰ τὸν κλύδωνα εἰς τὴν Χάρυβδιν κατακοντισθῇ, ἀναρροφοῦνται ὑπ' αὐτῆς, καὶ συγκαταφερόμενα τῇ θαλάσσῃ διαφθείρεται. ὅσα δ' αὖ ὑπὸ τῆς ἐν Χαρύβδει θαλάσσης ἀπωσθῶσιν εἰς τὰς ἐν τῇ Σκύλλῃ πέτρας ὑφάλους οὔσας καὶ τραχείας, ἐκεῖ συγκατακλᾶται καὶ διαφθείρεται. ὑπονοστεῖ δὲ καὶ τὸ ὕδωρ ἔν τισι κοιλώμασι τῶν πετρῶν καὶ πάλιν ἐκρήγνυται, ὃ τοῖς πλέουσιν ἐπικίνδυνον καὶ θανάτου μεστόν. ἔπειτα κύνες θαλάσσιοι καὶ ἕτερα θηρία θαλάσσια τῶν πετρῶν ἐξελθόντα, βορὰν ποιοῦνται τοὺς ναυαγήσαντας τῶν ἀνθρώπων· διὸ καὶ ἐμυθολογήθη τοῖς ποιηταῖς, ὡς ἄρα ἡ Σκύλλα ἔχει κύνας ἐξέχοντας τῶν πλευρῶν αὐτῆς καὶ τοῦ στήθους, οἵ τινες ἀναιροῦσι τοὺς παραπλέοντας αὐτήν. τὰ γὰρ ῥηθέντα θηρία κάτωθεν ἐκ τῶν κοιλωμάτων τῶν πετρῶν ἀνιόντα δοκοῦσιν ἐκ τοῦ στήθους τῆς Σκύλλης καὶ τῶν πλευρῶν ἐξέρχεσθαι. καὶ τὴν ἐν τῇ Ταυρομενίῳ δὲ κατάβασιν Χάρυβδιν*

---

12 *καταποντισθῇ* ? 14 *ἀποσθῶσιν* PV 28 Sic F *Μινοταύρῳ* P *Μονοταύρῳ* V

ἤδη τινὲς τῶν ποιητῶν ὠνομάκασι. τινὲς δὲ καὶ εἰς ἱστορίαν τοῦτο τρέπουσι λέγοντες, ὅτι Τυρρηνῶν νῆες ἦσαν, αἳ ἐληίζοντο τὰ περίχωρα τῆς Σικελίας καὶ τὸν Ἰόνιον κόλπον. ἦν δὲ ναῦς τριήρης ταχεῖα τότε ὄνομα Σκύλλα. αὕτη ἡ τριήρης τὰ λοιπὰ τῶν πλοίων συλλαμβάνουσα πολλάκις εἰργάζετο βρῶμα, καὶ λόγος ἦν περὶ αὐτῆς πολύς. ταύτην τὴν ναῦν Ὀδυσσεὺς λέγεται ὅτι σφοδρῷ καὶ λάβρῳ πνεύματι χρησάμενος διέφυγε. διηγήσατο δ' ἐν Κερκύρᾳ τῷ Ἀλκινόῳ, πῶς ἐδιώχθη καὶ πῶς ἐξέφυγε, καὶ τὴν ἰδέαν τοῦ πλοίου. ἦν δὲ καὶ Σκύλλα θυγάτηρ Νίσου, δι' ἧς φασιν ὅτι Μίνως λαβὼν τὰ Μέγαρα, ἐρασθείσης αὐτοῦ καὶ ἀποτεμούσης τὴν τοῦ πατρὸς κεφαλήν, ἐπενοήσατο, ὅτι ἡ τὸν πατέρα προδοῦσα οὐδενὸς ἂν ῥᾳδίως φείδοιτο, καὶ διὰ τοῦτο προσδήσας τῷ πηδαλίῳ νηὸς τὴν προδότιν καὶ πατροφόντιν ἀφῆκε σύρεσθαι διὰ θαλάσσης. καὶ αὐτὴ μὲν εἰς ὄρνεον μετεβλήθη, ὥς φησι Παρθένιος ὁ τὰς μεταμορφώσεις γράψας, ὁ δὲ κόλπος παραγραμματισθεὶς ἔσχε τὴν κλῆσιν ἀπὸ τοῦ σύρεσθαι, Σαρωνικὸς γάρ. ἀπὸ δὲ τῆς τοιαύτης Σκύλλης καὶ Σκύλλαιον ἔτι νῦν καλεῖται τόπος ἐν Ἑρμιόνῃ τῇ κατὰ Πελοπόννησον, ἔνθα ἡ γυνὴ ἐξεκυμάνθη μετὰ τὸ καταποντισθῆναι.

DCCCLXVI. *Περὶ τῶν Στυμφαλίδων ὀρνίθων.*

Στύμφαλος πόλις ἐστὶν ἐν Ἀρκαδίᾳ, ὅπου καί

DCCCLXVI. Schol. Apoll. II, 1052. Cf. Eud. p. 213

1 ὠνομάκασιν PV 2 Sic F Τυρρηνίων νῆσοι PV 15 πατροδότιν PV, quem errorem librarii admiserunt, simili vocabulo πατροφόντιν perducti 17 Meineke, Anal. Alex. p. 269

τις λίμνη Στυμφαλὶς καλουμένη, ἐν ᾗ ὄρνιθές τινες πλάττονται σιδηρόπτεροι γενέσθαι, τὸν λαὸν ἐνοχλού-
379 μεναι, αἵ τινες τοὺς προσιόντας τοξεύουσαι τοῖς ἑαυτῶν πτεροῖς ἀπέκτεινον. ταύτας ὁ Ἡρακλῆς οὐκ ἠδύνατο ἀπώσασθαι, εἰ μὴ κρόταλον χαλκοῦν ψόφον ποιῶν ἐφόβησε. καλοῦνται δὲ καὶ Πλωΐδες διὰ τὸ ἐν τῇ λίμνῃ αὐτὰς νήχεσθαι τῆς Ἀρκαδίας, περὶ ὧν καὶ Ὅμηρος „Στύμφηλόν τ' εἶχον.“ λέγει δὲ καὶ Φερεκύδης, ὄρνιθας εἶναι καὶ ἀναιρεθῆναι ὑφ' Ἡρακλεούς, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. ὁμοίως καὶ Ἑλλάνικός φησι. τὴν δὲ Στυμφαλίδα λίμνην φασὶ διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι. μέμνηται δὲ καὶ Στράβων λίμνης Στυμφαλίδος, λέγων καὶ ὅτι ἐνταῦθα τὰς ὄρνις μυθολογοῦσι, τὰς ὑπὸ Ἡρακλέους τοξεύμασι καὶ τυμπάνοις ἐξελασθείσας, ὅπερ τοῖς μεγάλοις ἄθλοις προσελογίσθη τοῦ ἥρωος. Μνασέας δὲ τὰς Στυμφαλίδας φησὶ θυγατέρας γενέσθαι τινὸς ἥρωος τοὔνομα Στυμφάλου καὶ Ὄρνιθος γυναικός, ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτόν, ἀλλ' ἐξένισαν τοὺς Μολίονας.

DCCCLXVII. Περὶ Στυγός.

Στὺξ ἡ ἱστορουμένη παρὰ τοῖς ποιηταῖς ψυχροτάτη. παραδίδοται δὲ καὶ οἷα ποιεῖν ῥιγοῦν τὸν εἰς αὐτὴν βάψαντα, καὶ ἡ κατὰ τὸν μῦθον δὲ Πλουτώ-

DCCCLXVII. Eustath. Il. p. 718 καὶ στυγεραὶ Ἐριννῦς — exit. Eustath. Il. p. 763

1 λύμνη P corr. V 8 Sic scripsi cum Il. II, 608, Στύμφαλόν τ' PV Pherec. fr. 47 Sturz. 11 fr. 61 Müller 13 VIII, p. 371 17 Müller III, p. 151 20 Sic F Μολιονίδας PV

νειος Στὺξ τῷ Ταρτάρῳ συγκατέψυκται, ἀφ' οὗ κατὰ τοὺς παλαιοὺς καὶ τὸ ταρταρίζειν ἐπὶ τῶν ἄγαν ῥιγούντων λέγεται, καὶ στυγερῶς ἀντὶ τοῦ φρικτῶς, κρυερῶς, παρὰ τὴν Στύγα, τὴν ψυχρὰν ἐν Ἅιδου πηγήν, ἀφ' ἧς τὸ στυγέειν. ἀστείως δὲ ἐπλάσθη διὰ τὴν τῆς λέξεως δεξιότητα, ἐπειδὴ στυγητά εἰσι τὰ ἐν Ἅιδου, τουτέστι φρικτά. ἡ δὲ ἱστορία πηγὴν αὐτὴν οἶδεν ἐν Φενεῷ ἢ Νωνάκρει τῇ περὶ Ἀρκαδίαν. ὅτι δὲ ὁ Γεωγράφος λιβάδιον αὐτὴν ὀλεθρίου ὕδατος λέγει, καὶ ὅτι ψυχρότατον τὸ κατ' αὐτὴν ὕδωρ, ὃ μηδὲν ἀγγεῖον στέγειν εἶχεν ἐξ ὀστράκου δηλαδή, εἴτε ὑέλου, πλὴν εἴπερ ἀπὸ κέρατος, δῆλον. παράγεται δὲ ἀπὸ τῆς τοῦ μύθου Στυγὸς οὐ μόνον τὸ στυγεῖν, ὅ ἐστι μισεῖν καὶ φρίττειν, καὶ ὁ στυγητός, ἀλλὰ καὶ ὁ στυγνός, ὃ δηλοῖ καὶ τὸν στυγνάζοντα, ὅ ἐστι λυπούμενον, καὶ τὸν μισητὸν παρὰ Σοφοκλεῖ, παρ' ᾧ καὶ Στύγιος δόμος τὰ κάτω. [καὶ στυγεραὶ Ἐριννῦς αἱ φρικταὶ καὶ ὡς εἰπεῖν κρυεραὶ καὶ ῥιγεδαναὶ παρὰ τὴν Στύγα. δαιμόνια δὲ τιμωρητικὰ αἱ Ἐριννῦς, μάλιστα μὲν ἐκδικοῦσαι τὰ εἰς γονεῖς ἁμαρτήματα, δοκοῦσαι δὲ καὶ τοῖς λοιποῖς ἐπεξιέναι ἀδικήμασιν, ὡς αἱ ποιήσεις δηλοῦσιν. ὅτι δὲ πτερωταὶ πλάττονται διὰ τὸ κατ' ἀλληγορίαν πάνυ ταχὺ τῆς θεόθεν δίκης καὶ ἄφυκτον, καὶ ὅτι τρεῖς εἰσι καὶ τίνα ταύταις τὰ ὀνό- 380
ματα, καὶ ὅτι ἄγριαι κατὰ δημίους καὶ ὅτι μέλαιναι διὰ τὸ ἀφανῶς ἐπιέναι τοῖς κακοῖς, καὶ ὅτι τανύποδες

9 Strabo VIII, p. 389 15 *ὃς* F *ὃ* PV 16 Oed. Col. 1564 18 *φρυκταὶ* PV *φρικταὶ* F. Ceterum verba *καὶ στυγεραὶ Ἐριννῦς* — exit. interpolatoris manu addita esse patet 19 *τιμωρητικὰ* F *τιμωρικὰ* PV 24 primum *καὶ* addidi ex F om. PV 25 *μέλαιναι* F *μέλανες* PV 26 *τανaύποδες* F

διὰ τὸ οἷον μακροσκελὲς καὶ οὕτω πλατὺ τῆς διαβάσεως καὶ ταχὺ καὶ ἐκκίνητον, καὶ ὅτι παρὰ τὸ ερι ἐπιτατικὸν καὶ τὸ ἀνύειν αὐταῖς ὄνομα, ὡς ἄγαν ἀνυστικαῖς ἢ σπουδαίαις (ἀνύειν γὰρ καὶ τὸ σπεύδειν παρ' Ἀττικοῖς), ἢ ὡς τὰς ἀρὰς ἀνύουσαι ἢ ὡς οἷον Ἐλινύες ἀντιφραστικῶς αἵ μάλιστα γοργαί, καὶ ὅσαι ἄλλαι τούτων ἐτυμολογίαι, ζητητέον ἐν τοῖς παλαιοῖς, παρ' οἷς ἀεὶ παρθένοι λογοποιοῦνται διὰ τὸ μὴ ληπταὶ εἶναι προσώποις καὶ ἀεὶ ὁρῶσαι πάντα τὰ ἐν βροτοῖς πάθη καὶ ὡς εἰπεῖν ἄλαστοι, διὸ καὶ μνήμονες αἵ αὐταί. ὅθεν καὶ Ζεὺς ἀλάστωρ, καὶ ὁ φθονερὸς δαίμων ἀλάστωρ ἐπενοήθη λέγεσθαι].

DCCCLXVIII. *Περὶ τῆς Καδμείας Σφιγγός.*

Σφὶγξ κατὰ τῶν Ἑλλήνων μῦθον τερατῶδες ζῶον ἐγένετο ἀνθρωπόμορφον, σῶμα μὲν ἔχον ὡς κυνός, κεφαλὴν δὲ καὶ πρόσωπον κόρης, πτέρυγας ὄρνιθος, φωνὴν δὲ ἀνθρώπου. καθεζομένη δὲ ἐπὶ Σφιγγίου ὄρους αἰνίγματι τῶν πολιτῶν ἑκάστῳ ἔλεγε καὶ τὸν μὴ εὑρόντα ἀνῄρει. εὑρόντος δὲ τοῦ Οἰδίποδος τὸ αἴνιγμα, ῥίψασα ἑαυτὴν ἀνεῖλε. τὸ δ' ἀληθὲς οὕτως ἔχει. Κάδμος ἔχων γυναῖκα Ἀμαζονίδα, τοὔνομα Σφίγξ, ἦλθεν εἰς Θήβας καὶ ἀποκτείνας τὸν Δράκοντα τὴν τούτου βασιλείαν παρέλαβε, μετὰ δὲ καὶ τὴν ἀδελφὴν Δράκοντος, ᾗ ὄνομα Ἁρμονία. αἰσθα-

DCCCLXVIII. Palaephat. 7

---

2 Sic F *εὐκίνητον* PV 5 *τὰς* addidi ex F om. PV, mox *ἀνίουσαι* PV 11 *αἵ* accessit ex F om. PV 23 *αἰσθομένη — ἐπέγημε — συναπᾶραι* F

νομένη δὲ ἡ Σφίγξ, ὅτι καὶ ἄλλην ἔγημε, πείσασα τοὺς πολλοὺς τῶν πολιτῶν συναπαίρειν αὐτῇ καὶ τῶν χρημάτων τὰ πλεῖστα ἁρπάσασα καὶ τὸν ποδώκη κύνα, ὃν ἧκε Κάδμος ἄγων, λαβοῦσα, μετὰ τούτων ἀπῆρεν εἰς τὸ λεγόμενον ὄρος Σφιγγίον καὶ ἐντεῦθεν ἐπολέμει τῷ Κάδμῳ. ἐνέδρας δὲ ποιουμένη καθ' ἑκάστην ὥραν ἀνῄρει, καλοῦσι δὲ οἱ Θηβαῖοι τὴν ἐνέδραν αἴνιγμα. ἐθρύλλουν δὲ οἱ πολῖται λέγοντες· Σφὶγξ ἡμᾶς ἡ Ἀργεία αἴνιγμά τι λέγουσα διαρπάζει, ἐξευρεῖν δὲ τὸ αἴνιγμα οὐδεὶς δύναται. κηρύττει δὲ ὁ Κάδμος, τῷ ἀποκτενοῦντι τὴν Σφίγγα δώσειν χρήματα πολλά. ἐλθὼν οὖν ὁ Οἰδίπους, ἀνὴρ Κορίνθιος, τά τε πολεμικὰ ἀγαθός, ἔχων ἵππον ποδώκη καί τινας λαβὼν μεθ' ἑαυτοῦ τῶν Καδμείων, νυκτὸς ἀπιὼν ἐπὶ τὸ ὄρος ἀπέκτεινε τὴν Σφίγγα. τούτων οὕτω συμβάντων, ὁ μῦθος ἐπετηδεύθη.

Ἱστορικοί. 381

DCCCLXIX. Περὶ Στράττιδος τοῦ ἱστορικοῦ.

Στράττις Ὀλύνθιος ἱστορικός. ἔγραψε περὶ τῶν Ἀλεξάνδρου ἐφημερίδων βιβλία πέντε, περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν, περὶ τῆς Ἀλεξάνδρου τελευτῆς καὶ ἄλλα.

DCCCLXIX. Hesych. (Suid.)

---

3 Sic F Ποδώκυν PV 10 ἐδύνατο PV 13 ποδώκην PV 15 οὕτως PV 16 ἐπιτηδεύθη PV 18 περὶ Ἀλ. ἐφημ. καὶ τ. Ἀλ. τελευτῆς βιβλία πέντε scriptum fuisse suspicatus est Bernhardy βιβλία πέντε post τελευτῆς ex cod. A rec. Bernhardy 19 κρημνῶν PV 20 καὶ ἄλλα om. S

Ῥήτορες.

DCCCLXX. Περὶ Σαβίνου τοῦ ῥήτορος.

Σαβῖνος ῥήτωρ ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν εἰσαγωγὴν καὶ ὑποθέσεις μελετητικῆς ὕλης ἐν βιβλίοις τέσσαρσιν, εἰς Θουκυδίδην καὶ Ἀκουσίλαον καὶ ἄλλους ὑπομνήματα, καὶ ἕτερά τινα ἐξηγητικά.

DCCCLXXI. Περὶ Σαλουστίου τοῦ σοφιστοῦ.

Σαλούστιος σοφιστής. ἔγραψεν εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα καὶ ἄλλα.

DCCCLXXII. Περὶ Σαραπίονος τοῦ Ἀλεξανδρέως.

Σαραπίων ὁ Αἴλιος, ῥήτωρ Ἀλεξανδρεύς. ἔγραψε περὶ τῶν ἐν ταῖς μελέταις ἁμαρτανομένων, ἀκροάσεων βιβλία ζ', πανηγυρικὸν ἐπὶ Ἀδριανῷ τῷ βασιλεῖ, βουλευτικὰ Ἀλεξανδρεῦσιν, εἰ δικαίως Πλάτων Ὅμηρον ἀπέπεμψε τῆς πολιτείας καὶ ἄλλα συχνὰ καὶ τέχνην ῥητορικήν.

DCCCLXXIII. Περὶ Σιβυρτίου τοῦ ῥήτορος.

Σιβύρτιος, Θεοδέκτου τοῦ Φασηλίτου ἀναγνώστης καὶ οἰκέτης, ὃς ἐρρητόρευσεν οἰκετῶν πρῶτος. ἔγραψε τέχνας ῥητορικάς, μελέτας τε καὶ ἐπιστολάς.

DCCCLXX—DCCCLXXIII. Hesych. (Suid.)

---

2 Sic scripsi Bernhardyum secutus, *ὑπόθεσιν μελετικῆς* PV, mox *εἰς βιβλία* S 7 *χρηματίσας* add. S 9 *βουλευτικόν* ex cod. A reposuit Bernhardy 13 *Σιβύντιος* perperam PV 15 *μελέτας τε καὶ ἐπιστολάς* om. S. Cf. Bernhard. praef. p. XXXI

DCCCLXXIV. *Περὶ Σιρικίου τοῦ ῥήτορος.*

Σιρίκιος, Νεαπολίτης ἐκ Παλαιστίνης, ῥήτωρ καὶ σοφιστής, μαθητὴς Ἀνδρομάχου, σοφιστεύσας χρόνον τινὰ κατὰ τὰς Ἀθήνας. ἔγραψε προγυμνάσματα καὶ μελέτας οὐκ ὀλίγας.

DCCCLXXV. *Περὶ Σκοπελιανοῦ τοῦ σοφιστοῦ.* 382

Σκοπελιανὸς Κλαζομένιος σοφιστής, γεγονὼς ἐπὶ Νέρβα, σοφιστευσας ἐν Σμύρνῃ. ἀκροατὴς δὲ ἐγένετο Νικήτου, συγχρονῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ, πρὸς ὃν καὶ ἐπιστολαὶ φαίνονται Ἀπολλωνίου.

DCCCLXXVI. *Περὶ Σωπάτρου τοῦ σοφιστοῦ.*

Σώπατρος Ἀπαμεύς, σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἰαμβλίχου, ὃν καὶ Κωνσταντῖνος ὁ Καῖσαρ ἀνεῖλεν εἰς πίστιν τοῦ μὴ ἑλληνίζειν ἔτι τὰ κατὰ τὴν θρησκείαν· ἦν γὰρ αὐτῷ συνήθης πρότερον. ἔγραψε περὶ προνοίας καὶ τῶν παρὰ τὴν ἀξίαν εὐπραγούντων ἢ δυσπραγούντων.

Καὶ ἕτερος Σώπατρος, Ἀπαμεύς. οὗτος ἔγραψεν ἐπιτομὰς πλείστων. τινὲς δὲ καὶ τὴν ἐκλογίαν τῶν ἱστοριῶν τούτου εἶναί φασιν.

Ἰατροί.

DCCCLXXVII. *Περὶ Σαλουστίου τοῦ ἰατροῦ.*

Σαλούστιος Μοψεάτης ἰατρός, ἐπὶ Τιβερίου Καί-

DCCCLXXIV—DCCCLXXVII. Hesych. (Suid.)

4 *οὐκ ὀλίγας* om. S 8 *ἐπιστολὰς ἔγραψεν* S 11 *τὰ* accessit ex S om. PV 15 *ἢ μᾶλλον Ἀλεξανδρεύς* add. S

σαρος, ἔγραψε περὶ πυρετῶν, περὶ κατασκευῆς τοῦ ἀνθρώπου καὶ ἄλλα ἰατρικά.

DCCCLXXVIII. Περὶ Σωρανοῦ τοῦ ἰατροῦ.

Σωρανὸς Μενάνδρου καὶ Φοίβης, Ἐφέσιος ἰατρός, διατρίψας ἐν Ἀλεξανδρείᾳ. καὶ ἐν Ῥώμῃ δὲ ἰατρεύσας ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν βασιλέων βιβλία συνέταξε πρακτικὰ πλεῖστα.

Καὶ ἕτερος Ἐφέσιος ἰατρὸς νεώτερος. ἔγραψε γυναικείων βιβλία δ', βίους ἰατρῶν καὶ αἱρέσεις καὶ συνταγμάτων βιβλία δέκα καὶ ἄλλα πλεῖστα διάφορα.

Ποιηταί.

DCCCLXXIX. Περὶ Σαννυρίωνος τοῦ κωμικοῦ.

Σαννυρίων Ἀθηναῖος κωμικός. φέρεται αὐτοῦ δράματα ταῦτα· Γέλως, Ἰνώ, Ἰώ, Δανάη, Σαρδανάπαλος, Ψυχασταί.

DCCCLXXX. Περὶ Σαπφοῦς.

Σαπφὼ Σίμωνος (οἱ δὲ Εὐνομίνου, οἱ δὲ Ἡριγύου, οἱ δὲ Ἐκρύτου, οἱ δὲ Σήμου, οἱ δὲ Κάμωνος, οἱ δὲ Ἐτάρχου, οἱ δὲ Σκαμανδρωνύμου), μητρὸς Κλει-

DCCCLXXVIII—DCCCLXXX. Hesych. (Suid.)

2 ἔγραψε — ἰατρικά om. S, qui pro his praestat ἔγραψεν ἰατρικά. Cf. Bernhard. praef. p. XXXI 6 πλεῖστα καὶ κάλλιστα S 7 γυναικεῖα S infra πλεῖστα om. S 11 Ἰνὼ om. S per solam dittographiam ex Ἰὼ ortum suspicatus est Bernhardy. Idem si Σαρδανάπαλος a subsequente Suidae glossa γέλως σαρδάνιος profectum coniecit, magnopere erravit. Cf. Meinekii fr. Com. I, p. 263. Utrumque nomen merito tuentur Wachsmuth. Symbol. Bonn. p. 152 et Daub. in Mus. Rhen. XXXV, p. 64 12 ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς add. S 13 Εὐριγύου PV

δός, Λεσβία ἐξ Ἐρεσσοῦ, λυρικὴ γεγονυῖα κατὰ τὴν 383 μβ′ ὀλυμπιάδα, ὅτε καὶ Ἀλκαῖος ἦν καὶ Στησίχορος καὶ Πιττακός. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ′, καὶ πρώτη πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ ἐπιγράμματα καὶ ἐλεγεῖα.

DCCCLXXXI. Περὶ Σιβύλλης τῆς Ἐρυθραίας καὶ τῶν λοιπῶν.

Σίβυλλα Ἀπόλλωνος καὶ Λαμίας, Ἐρυθραία, οἱ δὲ Σικελήν, ἄλλοι Σαρδιανὴν καὶ ἄλλοι ἄλλως, μετὰ τὴν Τρωϊκὴν ἅλωσιν ἔτη υπγ′. συνετάξατο βιβλία ταῦτα· περὶ παλμῶν, μέλη, χρησμούς. λέγεται δὲ καὶ τρίγωνον εἶδος λύρας αὐτην πρώτην εὑρεῖν.

Δευτέρα ἡ Ἔλισσα. ἔγραψε μαντείας καὶ χρησμοὺς δι᾽ ἐπῶν.

Τρίτη ἡ Θετταλή, ἡ κληθεῖσα καὶ Μαντώ, ἀπόγονος Τειρεσίου.

Τετάρτη ἡ κληθεῖσα ὑπό τινων Σάρυσις, ὑπὸ δέ τινων Κάσανδρα, ἄλλων δὲ Ταραξάνδρα. ἔγραψε χρησμούς.

Πέμπτη Κυμαία.

Ἕκτη Θεσπρωτίς. ἔγραψεν καὶ αὐτὴ ὁμοίως χρησμούς.

Ἑβδόμη Χαλδαία, πρός τινων Ἑβραία, ἡ περὶ Χριστοῦ προφητεύσασα.

DCCCLXXXI. Hesych. (Suid.)

1 Ἐρεσοῦ PV 3 His plura de familia Sapphonis adnectit S 5 καὶ ἰάμβους καὶ μονῳδίας add. S 6 Λαμείας PV 7 Plura de parentibus eius dedit S γέγονε addidi ex S om. PV 11 an Λίβυσσα Bekker 14 Τιρεσίου PV 15 Σάρβις PV, mox Κασάνδρα P Κασσάνδρα V 20 De hac Sibylla fusius egit S. Cf. praeterea Pseudo-Hesych. p. 50

DCCCLXXXII. *Περὶ Σιμωνίδου τοῦ λυρικοῦ.*

Σιμωνίδης Λεωπρεποῦς, Ἰουλιήτης τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως, λυρικός, μετὰ Στησίχορον, ὃς ἐπεκλήθη Μελικέρτης. γέγραπται αὐτῷ Δωρίδι διαλέκτῳ ἡ Καμβύσου καὶ Δαρείου βασιλεία καὶ Ξέρξου ναυμαχία καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία δι' ἐλεγείας, ἡ δ' ἐν Σαλαμῖνι μελικῶς, θρῆνοι, ἐγκώμια, ἐπιγράμματα, παιᾶνες, τραγῳδίαι καὶ ἄλλα.

Καὶ ἕτερος Σιμωνίδης, Κεῖος, θυγατριδοῦς κατά τινας τοῦ προτέρου, ὃς ἐπεκλήθη Μελικέρτης. γέγονε πρὸ τῶν Πελοποννησιακῶν, καὶ γέγραφε γενεαλογίαν ἐν βιβλίοις τρισί.

Καὶ ἄλλος Σιμωνίδης, Μάγνης Σιπύλου, ἐποποιός. γέγονεν ἐπὶ Ἀντιόχου τοῦ μεγάλου κληθέντος, καὶ γέγραφε τὰς πράξεις αὐτοῦ καὶ τὴν πρὸς Γαλάτας μάχην, ὅτε μετὰ τῶν ἐλεφάντων τὴν ἵππον αὐτῶν ἔφθειρεν.

Καὶ ἄλλος Καρύστιος ἢ Ἐρετριεύς, ἐποποιός. ἔγραψε τὴν εἰς Αὐλίδα σύνοδον τῶν Ἀχαιῶν, τριμέτρων βιβλία β', περὶ Ἰφιγενείας ἕν.

Καὶ ἄλλος Κρίνεω, Ἀμοργῖνος, ἰαμβογράφος. ἔγραψεν ἐλεγείαν ἐν βιβλίοις β', ἰάμβους πρῶτος αὐτὸς κατά τινας. γέγονε μετὰ υ' καὶ ς' ἔτη τῶν Τρωϊκῶν.

DCCCLXXXII. Hesych. (Suid.)

1 *Ἰουλιήτης* S *Ἰουλίτης* PV *τοῖς χρόνοις* post *Στησίχορον* add. S, qui et infra verbosior est 11 *εὑρήματα ἐν βιβλίοις γ'* add. S 12 *Μάγης* PV 14 *τὰς Ἀντιόχου τοῦ σωτῆρος πράξεις* S 15 *αὐτοῦ ἔφθειραν* PV 18 Sic cum S interpunxi, *Ἀχαιῶν τριμέτρων, βιβλία β'* PV 21 *ἐλεγείαν* P *ἐλεγεῖα* V 22 *καὶ ἄλλα διάφορα, ἀρχαιολογίαν τε τῶν Σαμίων*

DCCCLXXXIII. *Περὶ Σοφοκλέους.* 384

Σοφοκλῆς, Ἀθηναῖος τραγικός, πρεσβύτερος Σωκράτους ἔτη ιζ΄. ἔγραψεν ἐλεγείαν τε καὶ παιᾶνας καὶ λόγον καταλογάδην περὶ τοῦ χοροῦ πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος. τελευτᾷ δὲ μετὰ Εὐριπίδην ἐτῶν ς΄. ἐδίδαξε δὲ δράματα ρκγ΄, ὡς δέ τινες, καὶ πολλῷ πλείω, νίκας δὲ ἔλαβε κδ΄.

Καὶ ἕτερος Ἀρίστωνος, υἱωνὸς δὲ τοῦ προτέρου, Σοφοκλέους τοῦ πρεσβυτέρου, Ἀθηναῖος τραγικός. ἐδίδαξε δὲ δράματα μ΄, κατὰ δὲ τινας ια΄, νίκας δὲ εἷλεν ζ΄. ἔγραψε καὶ ἐλεγείας.

Καὶ ἄλλος τραγικὸς καὶ λυρικός, Ἀθηναῖος καὶ αὐτός, ἀπόγονος τοῦ παλαιοῦ. γέγονε δὲ μετὰ τὴν Πλειάδα, ἤτοι μετὰ τοὺς ἑπτὰ τραγικούς, οἵ τινες Πλειὰς ὠνομάσθησαν. δράματα αὐτοῦ ιε΄.

DCCCLXXXIV. *Περὶ Σωπάτρου τοῦ κωμικοῦ.*

Σώπατρος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἱππόλυτος, Φυσιολόγος, Σιλφία ἢ Κνιδία, Νέκυια, Πύλαι, Ὀρέστης, Φακῆ καὶ ἄλλα.

DCCCLXXIII et DCCCLXXIV. Hesych. (Suid.)

---

add. S, cuius ad textum omnino posituras institui. Suidae verba neglegentissime in Simmiae grammatici vitam transtulit Eud. p. 386. Ceterum cf. E. Rohde in Mus. Rhen. XXXIII, p. 193   1 *Σοφίλου, Κολωνῆθεν* add. S   2 *ἐλεγείας* coni. Bergk. Poet. Lyr. p. 572 *ἐλεγεῖα* Zurborg in Herma X, p. 204   3 *Χοροῦ* PV   7 *τοῦ προτέρου* om. S   13 *ἤτοι μετὰ τοὺς — ὠνομάσθησαν* om. S   16 *ἢ Κνιδία* S *ἡ Κνιδία* PV   17 *καὶ ἄλλα* om. S, qui add. *ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς*

DCCCLXXXV. *Περὶ Σωσιφάνους τοῦ τραγικοῦ.*

Σωσιφάνης Σωσικλέους, Συρακούσιος τραγικός. ἐδίδαξε δράματα ογ', ἐνίκησε δὲ ζ'. ἔστι δὲ καὶ αὐτὸς ἐκ τῶν ζ' τραγικῶν, οἵτινες ὠνομάσθησαν Πλειάς. ἐγένετο δὲ ἐπὶ τῶν τελευταίων χρόνων Φιλίππου.

DCCCLXXXVI. *Περὶ Σωτάδου τοῦ Κρητός.*

Σωτάδης Κρής, Μαρωνείτης, δαιμονισθείς, ἰαμβογράφος. ἔγραψε φλύακας, ἤτοι κιναίδους, διαλέκτῳ ἰωνικῇ, καὶ γὰρ ἰωνικοὶ λόγοι ἐκαλοῦντο οὗτοι. ἐχρήσατο δὲ τῷ εἴδει τούτῳ καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Πύρρος ὁ Μιλήσιος καὶ Θεοδωρίδας καὶ Τιμοχαρίδας καὶ Ξέναρχος. εἰσὶ δὲ αὐτοῦ εἴδη πλεῖστα, οἷον εἰς Ἅιδου κατάβασις, Πρίηπος, εἰς Βελεστίχην, Ἀμαζὼν καὶ ἕτερα, καὶ Ἐγκλειόμεναι καὶ Παραλυτρούμενος.

DCCCLXXXVII. *Περὶ Σωτηρίχου τοῦ ποιητοῦ.*

Σωτήριχος Ὀασίτης, ἐποποιός, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. ἔγραψεν ἐγκώμιον εἰς Διοκλητιανόν, Βασσαρικά, ἤτοι Διονυσιακά, βιβλία δ', τὰ κατὰ Πάνθειαν τὴν Βαβυλωνίαν, τὰ κατὰ Ἀριάδνην, βίον Ἀπολλωνίου
385 *τοῦ Τυανέως, Πύθωνα ἢ Ἀλεξανδριακόν (ἔστι δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἱστορία, ὅτε Θήβας παρέλαβε) καὶ ἄλλα.*

DCCCLXXV—DCCCLXXVII. Hesych. (Suid.)

---

1 *Σωσικλέους* et mox *Σωσικλῆς* omisso *Σωσιφάνης* PV 4 *οἱ δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος· τελευτᾷ δὲ ρια' ὀλυμπιάδι, οἱ δὲ ρδ', οἱ δὲ ἀκμάσαι αὐτὸν γράφουσι* add. S 9 *Θεοδώρας* PV 13 *ὡς Ἀθ. ἐν Δειπνοσ.* add. S 14 *ὁ Ἀσίτης* PV

DCCCLXXXVIII. *Περὶ Σωφίλου.*

Σώφιλος, Σικυώνιος ἢ Θηβαῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. δράματα αὐτοῦ Κιθαρῳδός, Φύλαρχος, Τυνδάρεως ἢ Λήδα, καὶ Δηλία καὶ Ἐγχειρίδιον καὶ Παρακαταθήκη.

DCCCLXXXIX. *Περὶ Σώφρονος.*

Σώφρων, κωμικός. τούτου δὲ δράματα καὶ κωμῳδίαι Πενθερά, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

DCCCXC. *Περὶ Σπινθάρου τοῦ τραγικοῦ.*

Σπίνθαρος Ἡρακλεώτης, ἦν δὲ τραγῳδίας ποιητής. δράματα δὲ αὐτοῦ Περικαιόμενος Ἡρακλῆς, Σεμέλη κεραυνουμένη.

DCCCXCI. *Περὶ Στησιχόρου τοῦ λυρικοῦ.*

Στησίχορος Εὐφόρβου ἢ Εὐφήμου. τοῖς δὲ χρόνοις ἦν νεώτερος Ἀλκμᾶνος τοῦ λυρικοῦ ἐπὶ τῆς λζ' ὀλυμπιάδος. εἶχεν ἀδελφὸν γεωμετρίας ἔμπειρον Μαμερτῖνον καὶ ἕτερον Ἡλιάνακτα νομοθέτην. γέγονε δὲ λυρικός, καὶ ἔστιν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ ἐν βιβλίοις κς'. φασὶ δὲ αὐτὸν γράψαντα ψόγον Ἑλένης τυφλωθῆναι, πάλιν δὲ γράψαντα Ἑλένης ἐγκώμιον, ἐξ ὀνείρου τὴν παλινῳδίαν ἀναβλέψαι. ἐκλή-

DCCCLXXXVIII—DCCCXCI. Hesych. (Suid.)

---

1 *ὄνομα κύριον* ex altera glossa add. S 2 *φίλαρχος* PV 3 *δημία* PV, hic *ὥς φησιν Ἀθήναιος* add. S, quae verba corrigenda esse *ὡς δέ φησιν Ἀθήναιος* suasit E. Rohde. Cf. Athen. X, p. 431 A, XIV, p. 640 D, mox *χοιρίδιον* PV, infra *Παραθήκη* Bekkerus 6 III, p. 110 10 Plura hic addit S. Totam vitam ex Suidae lexico compilavit Pseudo-Hesych. p. 50

θη δὲ Στησίχορος, ὅτι πρῶτος κιθαρῳδίᾳ χορὸν ἔστησεν, ἐπεί τοι πρότερον Τισίας ἐκαλεῖτο.

DCCCXCII. Περὶ Στράττιδος.

Στράττις Ἀθηναῖος τραγικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Ἀνθρωποραίστης, Ἀταλάντη, Ἀγαθοί, ἤτοι ἀργυρίου ἀφανισμός, Ἰφιγέρων, Καλλιπίδης, Κινησίας, Λιμνομέδων, Μακεδόνες, Μήδεια, Τρωΐλος, Φοίνισσαι, Φιλοκτήτης, Χρύσιππος, Παυσανίας, Ψυχασταί.

DCCCXCIII. Περὶ Στράτωνος.

Στράτων, κωμικὸς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ Φοῖνιξ.

386 Γραμματικοί.

DCCCXCIV. Περὶ Σελεύκου τοῦ γραμματικοῦ.

Σέλευκος, Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐπεκλήθη Ὁμηρικός, ἐσοφίστευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ἐξηγητικὰ εἰς πάντα, ὡς εἰπεῖν, ποιητήν, περὶ τῆς ἐν συνωνύμοις διαφορᾶς, περὶ τῶν ψευδῶς πεπιστευμένων, περὶ τῶν παρ' Ἀλεξανδρεῦσι παροιμιῶν, περὶ θεῶν βιβλία ρ' καὶ ἄλλα σύμμικτα.

Καὶ ἕτερος Ἐμισηνὸς γραμματικός. ἔγραψεν Ἁσπαλιευτικὰ δι' ἐπῶν βιβλία δ', εἰς τοὺς λυρικοὺς ὑπόμνημα, Παρθικὰ δύο.

DCCCXCII—DCCCXCIV. Hesych. (Suid.)

1 κιθαρῳδίας S 4 ἀνθρωπορέστης PV 8 ὡς Ἀθήναιος ἐν τῷ β βιβλίῳ τῶν Δειπνοσοφιστῶν add. S, quae quidem verba mendacia nebuloni deberi probavit Wachsmuth. Symbol. Bonn. p. 151 10 ἦν add. S 19 καὶ ἄλλον δέ τινα Σέλευ-

DCCCXCV. *Περὶ Σερήνου τοῦ γραμματικοῦ.*

Σερῆνος ὁ Αἴλιος, ὃ καὶ Ἀθηναῖος, γραμματικός. ἔγραψεν ἐπιτομὴν τῆς Φίλωνος πραγματείας, περὶ πόλεων καὶ τίνες ἐφ' ἑκάστης ἔνδοξοι, βιβλία τρία, ἐπιτομὴν τῶν Φιλοξένου εἰς Ὅμηρον α'.

DCCCXCVI. *Περὶ Σήμου τοῦ γραμματικοῦ.*

Σῆμος Δήλιος γραμματικός. ἔγραψε Δηλιακὰ βιβλία η', περιόδους β', περὶ Πάρου ἕν, περὶ Περγάμου ἕν, περὶ παιάνων. ἐν τούτῳ δὲ μνημονεύει μουσικῶν τινων ἰδεῶν τούτων, αὐτοκαβδάλων, ἰθυφάλλων, φαλλοφόρων. καὶ οἱ μέν, φησί, κιττοῦ στέφανον ἐφόρουν, ὠνομάσθησαν δὲ ὕστερον ἴαμβοι, οἱ δὲ ἰθύφαλλοι προσωπεῖα μεθυόντων εἶχον καὶ χειρῖδας ἀνθινὰς καὶ χιτῶνα μέχρι τῶν σφυρῶν, οἱ δὲ φαλλοφόροι οὐ χωρὶς ἐξ ἑρπύλλου καὶ παιδέρωτος ἔσκεπον τὰς ὄψεις κιττῷ καὶ ἴοις στεφανούμενοι.

DCCCXCVII. *Περὶ Σιμμίου τοῦ γραμματικοῦ.*

Σιμμίας, Ῥόδιος γραμματικός. ἔγραψε γλώσσας βιβλία τρία, ποιήματα διάφορα, βιβλία τέσσαρα. [ἔγρα-

DCCCXCV—DCCCXCVII. Hesych. (Suid.)

κον εὗρον ἐμπαράθετον (*ἐν παραθήκῃ* Bernhardy), *βιβλία δὲ οὐκ εἶχε* add. S, quae quidem verba ad indicem quendam scriptorum spectare vidit D. Volkmann. Quaest. nov. p. XI, not. 19
1 *ὁ καὶ Αἴλιος χρηματίσας, Ἀθηναῖος* S   3 *ἑκάστην* PV   5 *Σῆμος Δήλιος* reposui ex Athen. XIV, p. 622, *Σημὸς Ἠλεῖος* PV *Σῆμος, Ἠλεῖος* S   *Δηλιακῶν* S   8 *αὐτοκαβάλων* PV, mox *φασι* PV   11 *χειρίδας ἀνθείνας* PV   12 *οὐ χωρὶς — ἔσκεπον* addidi ex P incuria omis. V   *χωρὶς ἐξ ἑρπύλλου* reposui ex S *χωρὶς ἑρπύλου* PV   16 *ἔγραψε — Σαμίων* seclusi, quoniam haec verba non ad Simmiam grammaticum, sed ad Simonidem poetam spectare patet. Cf. p. 383

ψε πρῶτος κατά τινας ἰάμβους καὶ ἄλλα διάφορα, ἀρχαιολογίαν τε τῶν Σαμίων.]

DCCCXCVIII. *Περὶ Σωσιβίου τοῦ γραμματικοῦ.*

Σωσίβιος, Λάκων, γραμματικὸς τῶν ἐπιλυτικῶν καλουμένων. ἐν τούτοις δὲ ἱστορεῖ καὶ τοῦτο, ὅτι εἶδος τῆς κωμῳδίας ἐστὶ καλούμενον δικηλιστῶν καὶ μιμηλῶν, καὶ περὶ τῶν μιμηλῶν ἐν Λακωνικῇ ἱστορουμένων παλαιῶν καὶ ἄλλα.

387 DCCCXCIX. *Περὶ Σωτηρίδου τοῦ γραμματικοῦ.*

Σωτηρίδας γραμματικὸς ἀνὴρ Παμφίλης ἱστορεῖται, ἣ καὶ τὰς ἱστορίας περιῆψεν. ἔγραψεν ὀρθογραφίαν, ζητήσεις Ὁμηρικάς, ὑπόμνημα εἰς Ὅμηρον καὶ Μένανδρον, περὶ μέτρων, ὑπόμνημα εἰς Εὐριπίδην καὶ περὶ κωμῳδίας.

Φιλόσοφοι.

DCCCC. *Περὶ Σέξτου τοῦ φιλοσόφου.*

Σέξτος, Χαιρωνεύς, ἀδελφιδοῦς Πλουτάρχου, γεγονὼς κατὰ Μάρκον Ἀντωνῖνον τὸν Καίσαρα, φιλόσοφος, μαθητὴς Ἡροδότου τοῦ Φιλαδελφαίου. ἦν δὲ τῆς Πυρρωνείου ἀγωγῆς, καὶ τοσοῦτον πρὸς τιμῆς τῷ βασιλεῖ ἦν, ὥστε καὶ συνδικάζειν αὐτῷ. ἔγραψεν ἠθικά, ἐπισκεπτικὰ βιβλία δέκα καὶ ἄλλα.

DCCCXCVIII—DCCCC. Hesych. (Suid.)

---

5 τι add S δικλειστῶν PV. Ceterum verba *ἐν τούτοις δὲ ἱστορεῖ* — exit. ad vitam Semi grammatici spectare coll. Athen. XIV, p. 622 suspicatus est E. Rohde. Hic forte interpolata sunt. 9 *ἣ* S *οὗτος* perperam PV 10 *Ὅμηρον καὶ* et mox *ὑπόμνημα* om. S 18 *καὶ ἄλλα* om. S, infra *βιβλίοις ι΄* S

Καὶ ἕτερος, Λίβυς, φιλόσοφος. ἔγραψε σκεπτικὰ ἐν βιβλίοις ε', Πυρρώνεια.

DCCCCI. *Περὶ Σιλβανοῦ τοῦ φιλοσόφου.*

Σιλβανός, φιλόσοφος, ὃς ἐπιεικὴς μὲν ἦν τὰ ἄλλα καὶ ἱερός, ἁπλούστερος δὲ τὰ ἤθη καὶ ἐπιπόλαιος.

DCCCCII. *Περὶ Σιμμίου τοῦ φιλοσόφου.*

Σιμμίας, Θηβαῖος φιλόσοφος, μαθητὴς Σωκράτους. ἔγραψε περὶ σοφίας, περὶ φιλίας, περὶ ἀληθείας, περὶ μουσικῆς, περὶ αἱρετοῦ καὶ φευκτοῦ, περὶ ἐπιμελείας ψυχῆς καὶ ἄλλα φιλόσοφα.

DCCCCIII. *Περὶ τοῦ Σόλωνος.*

Σόλων Ἀθηναῖος, φιλόσοφος καὶ νομοθέτης. ἔγραψε νόμους Ἀθηναίοις, οἵ τινες ἄξονες ὠνομάσθησαν διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι, ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται, ὑποθήκας δι' ἐλεγείων καὶ ἄλλα. ἔστι δὲ καὶ οὗτος εἷς τῶν ἑπτὰ ὀνομαζομένων σοφῶν. καὶ φέρεται αὐτοῦ ἀπόφθεγμα τόδε „μηδὲν ἄγαν ἢ τὸ γνῶθι σαυτόν". αἰτούμενος δὲ νομοθετῆσαι τοὺς νόμους, ἀπήτησε τοὺς πολίτας ὅρκους, ὅτι δὴ δεκαετίαν μένουσι καὶ στέρ-

DCCCCI et DCCCCII. Hesych. (Suid.) DCCCCIII. Hesych. (Suid.) *αἰτούμενος δὲ* — exit. Nonn. I, 21 (Cosm. p. 98)

9 *Ἐξηκεστίδου* add. S, mox *καὶ δημαγωγός* add. S *γέγονε δὲ ἐπὶ τῆς μζ' ὀλυμπιάδος, οἱ δὲ νϛ. ἐπιβουλευθεὶς δ' ὑπὸ Πεισιστράτου τοῦ τυράννου ἀπεδήμησεν ἐν Κιλικίᾳ, καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ. οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασι καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ* add. S 13 Sic S *ὑποθήκας, ἐλεγείας* PV 16 *νόμους* Nonnus *τοῖς νέοις* Cosmas *τοὺς νέους* PV, mox *ἀπήτησαν* PV

γουσι τοὺς παρ' αὐτοῦ τιθεμένους νόμους, καὶ λοιπόν, εἰ μὴ συναρέσουσιν αὐτοῖς, τὸ τηνικάδε λύουσι. τοῦτο δὲ ἐποίησεν, ἵνα τέως προσεθίσῃ αὐτοὺς ἐμμεῖναι ἐπ' ὀλίγον χρόνον τοῖς δόγμασιν. ᾔδει γάρ, ὡς, εἰ γεύσονται νομοθεσίας, λοιπὸν δυσμεταθέτως σχή-
388 σουσιν αὐτῆς. λαβὼν τοίνυν ὅλον τὸν ὅρκον παρὰ τῶν Ἀθηναίων καὶ νομοθετήσας αὐτοῖς ἐξῆλθεν ἀπὸ Ἀθηνῶν, ὀφείλων τὴν δεκαετίαν ἔξω ποιῆσαι. περιπολῶν οὖν τὰς πόλεις ἦλθε καὶ εἰς Λυδίαν παρὰ Κροῖσον τὸν βασιλέα, ὃν ἐλθόντα ὁ Κροῖσος εἰς θαῦμα θέλων κινῆσαι ἔπεμψεν εἰς τοὺς θησαυροὺς αὐτοῦ, δεικνὺς αὐτῷ, ὡς πολύχρυσος Κροῖσος. ἐπανήκοντα δὲ ἀπὸ τῶν θησαυρῶν τὸν Σόλωνα ἤρετο ὁ Κροῖσος, τίνα νομίζοι εὐδαιμονέστερον πάντων ἀνθρώπων, ὑπολαμβάνων, ὅτι δὴ αὐτὸν πρὸ πάντων εἴποι. ὁ δὲ Σόλων ἀπεκρίνατο· Τέλλον τὸν Ἀθηναῖον. ὡρίζετο γὰρ ὁ Σόλων οὐ τὸν πλοῦτον καὶ τὴν ὑπερηφανίαν εὐδαιμονίαν, ἀλλὰ τὸν ἀπαθῶς ζήσαντα, ἀποθανόντα δὲ ἀριστεύσαντα. τότε οὖν τὸν Σόλωνα ἄπληστον καλεῖ ὁ Κροῖσος, πλείονα πλοῦτον τοῦ Λυδίου χρυσοῦ ὀρεγόμενον θεάσασθαι. καὶ ὁ πλοῦτος δὲ εὐδαιμονία τις περὶ τὰ ἐκτός· τρεῖς γὰρ εὐδαιμονίας οἶδεν ὁ λόγος, τὴν ἐν τῇ ψυχῇ ἀπάθειαν, τὴν ἐν σώματι ὑγείαν καὶ τὴν περὶ τὰ ἐκτὸς πολυτέλειαν. ἐχρῆν οὖν τὸν Σό-

---

2 *συνάρεσιν* PV 4 *τοῖς νόμοις* Nonnus. Lectionem Cosmae amplexi sunt PV 5 *σχήσουσιν αὐτῆς* ex Nonno reposui *σχήσουσιν αὐτῶν* Cosmas *σχίσωσιν αὐτόν* PV 7 *ὑπὸ* PV 10 *ὁ Κροῖσος* addidi ex F om. PV 12 *δεικνὺς — Κροῖσος* om. Nonnus 14 *ὑπολαβὼν* PV 16 *Τέλαον* PV 17 Sic Cosmas *περιφάνειαν* Nonnus *ὑπερηφάνειαν* PV 18 *ἀποθανόντα δὲ ἀριστεύσαντα* accessit ex F om. PV 23 Sic F *ἐκ ψυχῆς* PV

λωνα προσθῆναι, ὅτι εἰ καὶ τῇ ψυχῇ εἴης ἄριστος, ἱκανός σοι καὶ ὁ πλοῦτος πρὸς τὴν ἐκτὸς εὐδαιμονίαν.

DCCCCIV. Περὶ Στίλπωνος τοῦ φιλοσόφου.

Στίλπων Μεγαρεύς, φιλόσοφος, γεγονὼς παρὰ τῷ πρώτῳ Πτολεμαίῳ, μαθητὴς Πασικλέους τοῦ Θηβαίου, ὃς ἠκροάσατο Κράτητος τοῦ ἀδελφοῦ καὶ Διοκλείδου τοῦ Μεγαρέως. ἔγραψε διαλόγους οὐκ ἐλάττους τῶν κʹ.

DCCCCV. Περὶ Στράβωνος.

Στράβων, Ἀμασεύς, φιλόσοφος καὶ γεωγράφος.

DCCCCVI. Περὶ Στράτωνος.

Στράτων, Λαμψακηνὸς φιλόσοφος, Θεοφράστου γνώριμος καὶ διάδοχος, υἱὸς δὲ Ἀρκεσιλάου ἢ Ἀρκεσίου, ὃς ἐπεκλήθη φυσικὸς διὰ τὸ παρ' ὀντιναοῦν ἐπιμεληθῆναι τῆς φυσικῆς θεωρίας. ἔγραψε πολλά.
[Καὶ ἕτερος, Ἀμασεὺς φιλόσοφος, γέγονεν ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψε γεωγραφίαν ἐν βιβλίοις ζʹ.]

DCCCCVII. Περὶ Συνεσίου.

Συνέσιος, ἐπίσκοπος ἐκ Πτολεμαΐδος Πενταπόλεως τῆς ἐν Λιβύῃ Θηβαΐδος, φιλόσοφος, τῶν ἱερατικῶν

DCCCCIV—DCCCCVII. Hesych. (Suid.)

---

1 ὅτι addidi ex F om. PV ἧς F 6 ὃ δὲ Εὐκλείδου τοῦ Πλάτωνος γνωρίμου. προέστη δὲ καὶ τῆς Μεγαρικῆς σχολῆς add. S 7 φιλόσοφος γέγονεν ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψε γεωγραφίαν ἐν βιβλίοις ιζʹ add. S, quae verba infra Stratonis philosophi vitae haud recte Eudocia adnexuit 10 ὀντινοῦν P 11 καθηγήσατο δὲ καὶ Πτολεμαίου τοῦ ἐπικληθέντος φιλαδέλφου add. S, mox βιβλία add. S 12 Haec consulto seclusi cum per errorem Eudociae vel librarii alterum Stratonem, qui a Strabone nostro non diversus sit, ortum esse pateat.

γενόμενος. ἔγραψε βιβλία διάφορα, γραμματικά τε καὶ φιλόσοφα, καὶ λόγους βασιλικοὺς πρὸς Ἀρκάδιον
389 τὸν βασιλέα, πανηγυρικοὺς ἢ ἐπιδεικτικούς, ἐγκώμιον φαλάκρας, καὶ περὶ προνοίας λόγον θαυμάσιον, καὶ τὰς θαυμαζομένας ἐπιστολάς, καὶ ἄλλα πλεῖστα καὶ διάφορα βιβλία συνέταξεν.

DCCCCVIII. Περὶ Συριανοῦ.

Συριανός, Ἀλεξανδρεὺς φιλόσοφος. ἔγραψεν ὑπόμνημα εἰς ὅλον τὸν Ὅμηρον ἐν βιβλίοις ἑπτά, εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δʹ, εἰς τὴν Ὀρφέως θεολογίαν βιβλία δύο, εἰς τὰ Πρόκλου [περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια, βιβλία δέκα], καὶ ἄλλα ἐξηγητικά.

DCCCCIX. Περὶ Σώφρονος τοῦ φιλοσόφου.

Σώφρων, Συρακούσιος, Ἀγαθοκλέους καὶ Δαμνασυλλίδος, τοῖς δὲ χρόνοις ἦν κατὰ Ξέρξην καὶ Εὐριπίδην. καὶ ἔγραψε μίμους ἀνδρείους, μίμους γυναικείους (εἰσὶ δὲ καταλογάδην, Δωρίδι διαλέκτῳ). καί

DCCCCVIII et DCCCCIX. Hesych. (Suid.)

Namque scribendum ἐν βιβλίοις ιζ, quot Strabonis libri adhuc supersunt 3 πρὸς Ἀρκάδιον τὸν βασιλέα om. S 7 ἡγησάμενος τῆς ἐν Ἀθήναις σχολῆς τε καὶ διατριβῆς, διδάσκαλος γενόμενος Πρόκλου, ὃς καὶ διάδοχος αὐτοῦ ἐγένετο add. S 10 „Nec dubium, quin homo male sedulus, quem similitudo tam studiorum quam librorum advertisset, margini suum εἰς τὰ Πρόκλου appinxerit, unde factum, ut e glossa Πρόκλος traducerentur περὶ τῶν — δέκα. Quocirco auctor sim, ut universam istam fraudem ἔγραψεν εἰς — δέκα reiiciamus.“ Haec Bernhardy. Equidem non nisi verba περὶ τῶν — δέκα interpolatori dare melius duxi, quae ex parte in Characis quoque vita p. 437 iterantur

φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ ἐντυγχάνειν αὐτοῖς, ὡς καὶ καθεύδειν ἐπ' αὐτῶν ἔσθ' ὅτε.

DCCCCX. *Περὶ τοῦ Σωκράτους.*

Σωκράτης τὸ μὲν γένος ἦν Ἀθηναῖος, φιλόσοφος δὲ τὴν παίδευσιν, διδάσκαλος Πλάτωνος. οὗτος περιῆγε τὴν ἀγορὰν καὶ τὰ μειράκια προετρέπετο ἐπὶ φιλοσοφίαν καὶ μάλιστα, ἃ ἐνόμιζεν εἶναι πρὸς φιλοσοφίαν ἐπιτήδεια, τὰ περικαλλῆ μειράκια, τοὺς γὰρ εὐμόρφους λέγουσιν εἶναι καὶ εὐφυεῖς. ἦν οὖν δόξα παρ' Ἀθηναίοις, ὅτι παιδεραστὴς ἦν ὁ Σωκράτης, διὰ τὸ ἐπιλέγεσθαι τοὺς εὐμόρφους. εὑρίσκεται δὲ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ καὶ πανταχοῦ οὕτω λέγων ἐκ Σωκράτους, ὅτι καλὸς ὁ Θεαίτητος καὶ καλὸς ὁ Χαρμίδης. ἄντικρυς δὲ ἐν τοῖς λόγοις ἔμφασιν παρέχει ὁ Πλάτων, ὅτι Σωκράτης ὑπωπτεύθη εἶναι τοιοῦτος διὰ τὰς τοιαύτας, ὡς εἶπον, εἰκὸς ἀντερωτήσεις, ὅτι καλὸς μὲν ἦν, ἀλλ' οὐ τὴν ὄψιν, ἀλλὰ τὴν ψυχήν. ὑπενοήθη δέ, ὅτι καὶ τῷ Ἀλκιβιάδῃ συγγίνεται κατὰ τὸν αἰσχρὸν ἔρωτα. τοῦτον ὡς δαιμόνιά τινα παρεισφέροντα τῇ πολιτείᾳ ᾐτιάσαντο Ἄνυτος καὶ Μέλητος, ὧν μέμνηται καὶ Ἀριστοφάνης, Μήλιον τὸν Σωκράτην ἀποκαλῶν, οὐχ ὅτι Μήλιον ὄντα (Ἀθηναῖος γὰρ ὁ Σωκράτης), ἀλλ' ἐπεὶ Διαγόρας Μήλιος ὢν διεβάλλετο ὡς θεομάχος καὶ τὸν Σωκράτην δὲ ὡς ἄθεον διαβάλλει,

DCCCCX. Nonn. I, 13 *οὗτος περιῆγε* — *Μέλητος* forte ex iisdem scholiis Greg. Naz. fluxerunt *ὧν μέμνηται* — *φακόν* Schol. Ar. Nub. 828 *ἀλλ' ἐπὶ* — *ἀπέθανεν* Nonn. l. c. *ἔγγραφον* — exit. Suid.

---

2 *καὶ* addidi ex S om. PV 12 *Χαρμόδης* P corr. V 19 *Μέλιτος* FPV 20 Nub. 831

390 διὰ τοῦτο Μήλιον αὐτὸν ἔφη. ἢ ἀντὶ τοῦ ἀσεβῆ. Ἀρισταγόρου γὰρ τοῦ Μηλίου μαθητὴς ὁ Σωκράτης. διεβέβληντο δὲ ἐπὶ ἀθεΐᾳ οἱ Μήλιοι ἀπὸ Διαγόρου, ὃς χρήματα παραθέμενός τινι καὶ ἀποστερηθεὶς εἰς ἀθεΐαν ἐτράπη, ἢ διότι Μῆλον ἐπολέμησαν Ἀττικοί. οἱ δέ, ἐπειδή τις Ἀρισταγόρας διθυραμβοποιὸς ἐξωρχήσατο τὰ Ἐλευσίνια. οἱ δὲ Μήλιον τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν Μηλίων. οἱ δὲ τὸν κομῶντα, τὸν δασύν. καὶ πολλὰ ἄλλα περὶ τούτου λέγουσι τοῦ Μηλίου. ἄλλως. Μήλιόν τινες ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα, πρὶν εἰσελθεῖν ἠγριωμένας, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων· μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἱ δὲ οὕτω παρέλαβον. Διαγόρας ὁ Μήλιος, ὃς πρότερον ἦν θεοσεβής, παρακαταθήκην ἀπό τινος ἀποστερηθείς, ὡς ἔφην, ἐπὶ τὸ ἄθεον ἐξέδραμεν, ἐφ' ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες τὴν Μῆλον ἐκάκωσαν, ὕστερον δὲ καὶ βλάσφημος εἰς τὸ θεῖον ἐγένετο. καί ποτέ φασιν ἐν πανδοκείῳ εὑρεθεὶς καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους, ἄγε, φησί, τρισκαιδέκατον ἡμῖν ἐπιτέλει ἄεθλον καὶ ἕψησον τὸν φακόν. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. αἰτιαθεὶς οὖν ὁ Σωκράτης ὑπὸ Ἀνύτου καὶ Μελήτου κατεκρίθη ὡς διαφθείρων τοὺς νέους ἀποθανεῖν, καὶ πιὼν κώνειον ἀπέθανεν. [ἔγγραφον δὲ οὐδὲν κατέλιπεν, ὥς τινες δέ, ὕμνον εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν καὶ μῦθον Αἰσώπειον δι' ἐπῶν.]

6 ἐξορχήσατο PV 9 καὶ πολλὰ — Μηλίου om. F 19 ἐγένετο ipse addidi 26 ἢ ὥς τινες βούλονται S. Verba ἔγγρα-

DCCCCXI. *Περὶ Σωτάδου τοῦ φιλοσόφου.*

Σωτάδης, Ἀθηναῖος φιλόσοφος, ὁ γράψας περὶ μυστηρίων βιβλία τρία.

DCCCCXII. *Περὶ τοῦ Ταντάλου.*

Τάνταλος υἱὸς ἦν τοῦ Διός. οὗτος ἠξιώθη τῆς τραπέζης τῶν θεῶν καὶ ἀξιωθεὶς ἐδημοσίευσε τὰ μυστήρια αὐτῶν καὶ κολάζεται κόλασιν διὰ τοῦτο τοιάνδε. ἔστιν ἐν τοῖς ὑπὸ γῆν δικαιωτηρίοις, ἔχων πέτραν ἐπάνω αὐτοῦ καὶ κάτω ὕδωρ πολὺ καὶ βλαστήματα καρποφόρα, καὶ ἤρτηται ὁ λίθος κατ' αὐτοῦ. ἐὰν οὖν, φησί, θέλῃ πιεῖν ἐκ τοῦ παρακειμένου ὕδα- 391
τος, πίπτει ὁ λίθος ἐπάνω αὐτοῦ, καὶ τιμωρεῖται ἐκ τούτου, ὅτι λιμῷ καὶ δίψῃ τήκεται, ὁρῶν μὲν ἀφ' ὧν δεῖ φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ διὰ τὴν ἐπηρτημένην πέτραν. οὐ μόνον δὲ ἤρκει αὐτῷ πρὸς κόλασιν τὴν πέτραν ὑπερκεῖσθαι αὐτοῦ καὶ καταπίπτειν ἐπάνω αὐτοῦ, ἀλλ' ὅτι καὶ ἐπιγενείοις ὅτε ἥψατο τὸ γένειον αὐτοῦ τῆς λίμνης τοῦ ὕδατος ἐξηραίνετο. ἔνιοι δὲ καὶ ταῦτα περὶ αὐτοῦ φασιν, ὅτι οἱ θεοὶ ἐπὶ ἑστίαν ἐκάλεσαν αὐτὸν εἰς ἔρανον, ὅ ἐστι τὴν εὐωχίαν παρασκευάσαντες. ἐπειδὴ οὖν καὶ αὐτὸς ὁ Τάνταλος τῷ τοῦ ἐράνου τρόπῳ ἀντεισφέρειν τε τοῖς θεοῖς εὐωχίαν ἠπόρησεν, ἀσεβοῦς ἐπιχειρήματος πρόφασιν τὸ

DCCCCI. Hesych. (Suid.) DCCCCXII. Nonn. II, 37 (Cosm. p. 211; Clarke l. c. p. 54; Arsen. Viol. p. 237) *οὐ μόνον* — exit. Schol. Pind. Ol. I, 37

φον — exit. ex Suidae lexico postea adscripta esse patet 2 *βιβλίον α* S 5 Sic F *κομίζεται* PV 10 Sic F, *καὶ τιμωρεῖται, ὅθεν* PV

ἄπορον ἔσχε. διακόψας γὰρ τὸν Πέλοπα ἐγκαθῆκε λέβητι, καὶ ἑψήσας τοῖς θεοῖς παρέθηκε. μόνην δὲ Δήμητραν τῶν κρεῶν ἀγνοίᾳ μεταλαβεῖν λέγουσι, τινὲς δὲ τὴν Θέτιδα. γνωρίσαντα δὲ τὸν Δία Ἑρμῇ προστάξαι, ἐγκαθῆναι πάλιν λέβητι τὰ κρέατα καὶ ὑγιῆ τὸν παῖδα ἀποδοῦναι. ὁ δὲ Βακχυλίδης τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιάσαι, καθεῖσαν διὰ τοῦ λέβητος.

DCCCCXIII. *Περὶ τῆς τῶν Ταύρων ξενοκτονίας.*

Οἱ Ταῦροι ἔθνος Σκυθικόν, παρ᾽ ᾧ ἦν ἱερὸν τῆς Ἀρτέμιδος, ὅπου ἦν ἱέρεια ἡ θυγάτηρ Ἀγαμέμνονος Ἰφιγένεια. ἐν τούτῳ τῷ ἱερῷ πάντα ἄνθρωπον ἐπιδημοῦντα ξένον ἔθυον τῇ Ἀρτέμιδι, πρὸς τὸ μὴ κατάδηλον γίνεσθαι τὴν Ἰφιγένειαν μετὰ τὴν τῶν ξένων ἐπάνοδον.

DCCCCXIV. *Περὶ τοῦ καταστερισθέντος ταύρου.*

Ταῦροι λευκοὶ τῷ Ποσειδῶνι τοπάλαι ἐθύοντο διὰ τὴν πολιὰν ἅλα, οὓς Πίνδαρος ἀργᾶντας καλεῖ, ὅ ἐστι λευκούς. οἱ δὲ παλαιοὶ ἀργᾶντας τοὺς διὰ λίπος, ἤτοι πιμελήν, λευκοὺς νοοῦσι, καθότι καὶ κρήδεμνα λιπαρὰ τὰ λευκὰ καὶ λεῖα. καὶ παμμέλανες δὲ ὁμοίως αὐτῷ ἐθύοντο διὰ τὸ τοῦ ὕδατος μέλαν, ὃ δηλοῦται ἐν τῷ πορφύρεον κῦμα καὶ πόντον μέλανα

DCCCCXIII. Nonn. I, 7 et 57 Sanct. Lum. 5 (Cosm. p. 181; cod. Mon. 490) DCCCCXIV. Eustath. Od. p. 1454 *διὸ καὶ ἐμυθεύθη — οὐρανῷ* Nonn. II, 4 *ἄλλοι δὲ τὸν τὴν Εὐρώπην* — exit. Eratosth. Cataster. 14 (om. Robert)

---

6 *Βακχιλίδης* PV. Cf. fr. 55 Bergk. 15 Ol. XIII, 69 20 *καὶ* inserui cum F om. PV. Inepte in Eustathii commen-

καὶ ἠροειδέα καὶ ἰοειδέα, ὃ καὶ αὐτὸ ταὐτόν ἐστι τῷ πορφυροῦν καὶ μέλανα. διὸ καὶ ἐμυθεύθη, ὅτι ταῦρός τις ὑπὸ Ποσειδῶνος ἀνεδόθη περὶ τὴν Ἑλλάδα, ὃς ἐλυμαίνετο τὴν χώραν καὶ ἐσίνετο πολλά. ἐπὶ τοῦτον ἐλθὼν ὁ Θησεὺς ἀνεῖλεν αὐτόν. καὶ βουλόμενοι οἱ θεοὶ μέγα τὸ ἔργον δεῖξαι τοῦ Θησέως καὶ θεραπεῦσαι [καὶ] τὸν Ποσειδῶνα κατεστήριξαν τὸν ταῦρον ἐν τῷ οὐρανῷ. ἄλλοι δὲ τὸν τὴν Εὐρώπην ἀγαγόντα ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους ἐν τοῖς ἄστροις τεθῆναί φασιν, ὡς καὶ Εὐριπίδης ἐν Φρίξῳ. χάριν δὲ τούτου ἐν τοῖς ἐπιφανεστάτοις εἶναι, ὑπὸ 392
Διὸς τιμηθέντα. ἕτεροι δέ φασιν βοῦν εἶναι, τῆς Ἰοῦς μίμημα. χάριν δὲ ἐκείνης ὑπὸ Διὸς ἐτιμήθη τὸ ἄστρον.

DCCCCXV. *Περὶ Τελαμῶνος.*

Τελαμὼν ὁ τοῦ Αἴαντος πατήρ, φίλτατος ὢν τῷ Ἡρακλεῖ, μετεξῆλθεν σὺν αὐτῷ καὶ τὸ Ἴλιον εἷλον. τούτῳ ἄπαιδι ὄντι καὶ θύοντί ποτε τῷ Διὶ διαπορευόμενος ὁ Ἡρακλῆς, ὅτε τὸν ἐν Νεμέᾳ χώρᾳ τοῦ Ἄργους λέοντα, ἄτρωτον ὄντα σιδήρῳ καὶ βολαῖς παντοίαις, συνέθλασε ταῖς οἰκείαις χερσί, σκεπαστηρίῳ τῷ τούτου δέρματι χρώμενος, ἐκλήθη εἰσελθεῖν εἰς τὴν αὐτοῦ οἰκίαν καὶ θῦσαι τῷ ἰδίῳ πατρὶ Διΐ. ὁ δὲ Ἡρακλῆς οὕτω μετὰ τῆς λεοντῆς ἑστὼς ηὔξατο γενέσθαι παῖδα ἄρρενα αὐτῷ. καὶ λαβὼν χρυσέαν οἰνοδόχον φιάλην ἔθυσε καὶ ηὔξατο οὕτως, καὶ μετὰ

DCCCCXV. Tzetzes Lyc. 455

---

tariis sic interpungitur: πορφύρεον κῦμα. καὶ πόντον μέλανα. καὶ ἠεροειδέα. καὶ ἰοειδέα. 2 prius καὶ addidi 10 fr. 817 Nauck 12 Ἠοῦς PV 21 αὐτοῦ P αὐτοῦ V

τὴν εὐχὴν διέπτη ἀετὸς καί φησι Τελαμῶνι „ἔσται σοὶ παῖς, ὃν κάλεσον Ἀετόν", καὶ γεννηθέντα τὸν Αἴαντα ἀετὸν ἐκάλεσεν, εἶτα Αἴαντα. αὐξηθέντα δὲ τῇ λεοντῇ τοῦτον Ἡρακλῆς διεσκέπασε καὶ ταύτην αὐτῷ ἐχαρίσατο, ὑφ' ἧς σκεπόμενος, ὡς ληροῦσιν, ἄτρωτος ἦν, πλὴν μόνου τοῦ τόπου κατά τινας τοῦ σκεπομένου πρώην ὑπὸ τοῦ γωρυτοῦ, ὅτε ταύτην ἐφόρει ὁ Ἡρακλῆς. ἄλλοι δέ φασιν Ἡρακλείδην εἶναι τὸν Αἴαντα. ταῦτα δὲ λῆρος, οὕτω δὲ ἔχει τὸ ἀληθές. περιδέξιος ὢν στρατιώτης ὁ Αἴας καὶ πολλοὺς πολέμους πολεμήσας οὐδέποτε ἐτρώθη, τῷ ἄριστα τηρεῖν ἑαυτὸν καὶ σκέπεσθαι τῷ σάκει. ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν ἀνεῖλε, τὸ ξίφος κατὰ πλευρᾶς ὤσας ἢ τοῦ τραχήλου, εἰς μῦθον ἐτέθη, ὅτι τούτους τοὺς τόπους εἶχε μόνον τρωτούς.

DCCCCXVI. Περὶ Τένου, ἀφ' οὗ Τένεδος.

Τένης καὶ Λευκοθέα παῖδες Κύκνου τοῦ Ποσειδῶνος. καὶ ἡ μὲν μήτηρ αὐτῶν οὐκέτι ἦν. ἐπέγημε δὲ ὁ Κύκνος Φυλονόμην ἤ, ὡς ἔνιοι, Πολύβοιαν. ἡ Φυλονόμη δὲ ἐρασθεῖσα τοῦ Τένου (καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη αὐτός), λόγους περὶ συνουσίας ἠνέγκατο πρὸς αὐτόν. τοῦ δὲ τὰ πρὸς τὴν φύσιν δίκαια τηρήσαντος, κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ, ὅτι τεθελήκοι αὐτὴν βιάσασθαι. ὁ δὲ πιστεύσας τῇ κατηγορίᾳ, συλλαβὼν τὸν παῖδα ἐνέβαλεν εἰς λάρνακα καὶ ἔρριψεν εἰς τὴν ὑποκειμένην θάλασσαν, ὃν διὰ

DCCCCXVI. Tzetzes Lyc. 232 (Phavorin.) Cf. Eud. p. 264

---

15 Sic F μόνους PV 16 Τέννης omnibus locis PV

σωφροσύνην καὶ διὰ εἶναι νίωνὸν ἔσωσεν ὁ Ποσειδῶν. τὴν γὰρ λάρνακα προσενεχθῆναι τῇ Λυκόφρυϊ νήσῳ ἐποίησεν, ἣν οἱ ἐπιχώριοι θεασάμενοι καὶ ἀφελόντες τὸ ἐπίθεμα, μαθόντες τὸ γεγονός, οὐ μόνον ἑαυτῶν βασιλέα τὸν Τένην κατεστήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν, μὴ πρότερον τοῦτο τὸ ὄνομα ἔχουσαν. 393

DCCCCXVII. *Περὶ Τηλεβοῶν.*

Τηλεβόαι, οἱ πρότερον τὴν Ἀκαρνανίαν οἰκοῦντες, ἄνδρες ληστρικώτατοι τὸν τρόπον, καὶ εἰς Ἄργος ἐπελθόντες τὰς τοῦ Ἠλεκτρύωνος βόας ἀπήλασαν τοῦ πατρὸς Ἀλκμήνης. γενομένης δὲ μάχης καὶ ὁ Ἠλεκτρύων καὶ οἱ τούτου παῖδες ἀνῃρέθησαν. διὸ Ἀλκμήνη μετανέστη καὶ ἀνεκήρυξε τὸν ἑαυτῆς γάμον τῷ τιμωρησαμένῳ τὸν πατρῷον φόνον. τιμωρησάμενος δὲ Ἀμφιτρύων ἔγημεν. ἡ ἱστορία σαφῶς παρ' Ἡσιόδῳ. περὶ δὲ τῆς μάχης Ἡρόδωρος ἱστορεῖ, ὅτι Περσέως καὶ Ἀνδρομέδας τέσσαρες παῖδες ἐγένοντο, Ἀλκαῖος, Σθένελος, Μήστωρ, Ἠλεκτρύων, καὶ κοινὴν ἔσχον τὴν βασιλείαν μετὰ τὸν Περσέως θάνατον. Μήστορος δὲ θυγάτηρ Ἱπποθόη, ἧς καὶ Ποσειδῶνος Πτερέλας, τοῦ δὲ Τηλεβόας καὶ Τάφος. ὡς δέ τινες, Πτερέλα τοῦ Τηλεβόα ἐγένοντο παῖδες οἱ καλούμενοι Τηλεβόαι. ἐλθόντες δὲ ἀπήτουν Ἠλεκτρύωνα τὰ τῆς μάμμης ἑαυτῶν, τῆς μητρὸς Ἱπποθόης. ἀντιστάντες δὲ αὐτοῖς οἱ Ἠλεκτρυωνίδαι ἀνῃρέθησαν ὑπ'

DCCCCXVII. Schol. Apoll. I, 747

---

5 *ἑαυτὸν* P corr. V 15 Scut. 1 seq. 16 Müller II, p. 28
22 *Πτερέλα* ubique PV *Πτερελάου* F 23 *Ἠλεκτρύονα* PV

αὐτῶν Πτερέλα παῖδες Τηλεβόας καὶ Τάφος, ἀφ' ὧν ἡ νῆσος. Τηλεβόαι οὖν οἱ Τάφιοι, ἤτοι ὅτι τῆλε οἰκοῦντες ἀπὸ τοῦ Ἄργους τὰς βοῦς ἀπήλασαν ἢ ἀπὸ τοῦ Τηλεβόου τοῦ Πτερέλα τοῦ βασιλέως υἱοῦ, οὗ ἀδελφὸς Τάφιος, ἀφ' οὗ καὶ ἡ νῆσος.

DCCCCXVIII. Περὶ τοῦ Τηλεμάχου.

Τηλέμαχος, υἱὸς Ὀδυσσέως ἐκ τῆς Πηνελόπης, ὁμοίως δὲ καὶ Ἀρκεσίλαος, κατά τινας ὁμώνυμος γενόμενος τῷ ἐπιπάππῳ, ὅθεν ὑποτοπάζουσιν Ἀρκεσίλαον πάππον Ὀδυσσέως γενέσθαι. ἐκ Διὸς γὰρ καὶ Εὐρυοδίας γεννᾶται Ἀρκεσίλαος, ὃς ἐκ τῆς Χαλκομεδούσης γεννᾷ Λαέρτην, ἐξ οὗ Ὀδυσσεὺς ἐκ τῆς Ἀντικλείας. [καίπερ εἰσὶν οἱ φάσκοντες τὸν Ὀδυσσέα μὴ γενέσθαι Λαέρτου, ἀλλὰ Σισύφου. Αὐτόλυκος γὰρ Αἴσιμον καὶ Ἀντίκλειαν γεννᾷ, ἥτις Ἀντίκλεια ὑπὸ Σισύφου διεπαρθενεύθη. οὗτος ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε, κλέπτων γὰρ πάντων ἵππους καὶ βόας καὶ
394 ποίμνια, τὰς σφραγῖδας αὐτῶν μετεποίει καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν, ὥς φησι καὶ Ἡσίοδος·

Ὅττι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκεν.

Σίσυφος δὲ μονογράμμῳ τυπώματι τὸ τούτου ὄνομα ἐγχαράττων ταῖς τῶν ἑαυτοῦ ζώων ὁπλαῖς καὶ χηλαῖς

DCCCCXVIII. Eustath. Od. p. 1696 καίπερ εἰσὶν οἱ — Λαέρτην Tzetzes Lyc. 344. Cf. Eud. p. 375. οἱ δὲ ἀκριβέστεροι — οὗ Λαέρτης Etym. M. p. 144, 23 περὶ δὲ τῆς γενέσεως — Τηλέμαχος Eustath. Od. p. 1871. Cf. Eud. p. 43 et 312. ᾧτινι καὶ — Περσέπτολιν Eustath. Od. p. 1796. Cf. Eud. p. 77 τέως δὲ — exit. Tzetzes Lyc. 808

12 Verba καίπερ εἰσίν usque ad Λαέρτην utpote ab interpolatore addita seclusi, quemadmodum p. 375 seclusa sunt 19 Servavi veram lectionem, quae in Hesiod. fr. 96 comparet

ἐπεγίνωσκεν. Αὐτόλυκος δὲ ἀφελόμενος καὶ τῶν τοιούτων ζώων τινά, τὰς σφραγῖδας μετεποίησεν. ὡς δὲ καὶ οὕτω λαθεῖν οὐκ ἴσχυσε, τὸν Σίσυφον φίλον αὐτῷ ἐποίησεν, ὁ δὲ λάθρα τῇ αὐτοῦ μιγεὶς θυγατρὶ Ἀντικλείᾳ, ἐγκυμονῆσαι τὸν Ὀδυσσέα, ὕστερον δὲ ἔγημε Λαέρτην.] οἱ δὲ ἀκριβέστεροι, ἐξ ὧν ἐστι καὶ ὁ ποιητής, Ἀρκείσιον τὸν ἥρωα πάππον πρὸς πατρὸς τῷ Ὀδυσσεῖ γενέσθαι γενεαλογοῦσιν, ὅντινα ὁ Ἡρωδιανὸς ἀπὸ τοῦ ἀρκέω ἀρκέσω παράγει. καὶ Ἀριστοτέλης δὲ ἐν τῇ τῶν Ἰθακησίων πολιτείᾳ ταὐτὸ τοῦτό φησι, τὸν Κέφαλον ἱστορῶν ἐν τῇ ἀπ' αὐτοῦ κληθείσῃ Κεφαληνίᾳ νήσῳ οἰκοῦντα, ἄπαιδα ἐπιπολὺ ὄντα, ἐρωτήσαντα τὸν θεὸν, κελευσθῆναι ᾧ ἂν ἐντύχῃ θήλεϊ συγγενέσθαι, παραγενόμενον δὲ εἰς τὴν πατρίδα καὶ δὴ ἐντυχόντα ἄρκτῳ κατὰ χρησμὸν συγγενέσθαι, τὴν δὲ ἐγκύμονα γενομένην μεταβαλεῖν εἰς γυναῖκα καὶ τεκεῖν παῖδα Ἀρκείσιον, ἀπὸ ἄρκτου, οὗ Λαέρτης, οὗ Ὀδυσσεύς. [περὶ δὲ τῆς γενέσεως τοῦ Ὀδυσσέως Σιληνὸς ὁ Χῖος ἐν δευτέρῳ τῶν μυθικῶν φησιν, ὡς Ἀντικλείας τῆς Αὐτολύκου καὶ Ἀμφιθέας ὁδευούσης παρὰ τὸ Νήριτον, ὕσεν ὁ Ζεύς, τὴν δὲ ἀπὸ ἀγωνίας ἐκεῖ πεσοῦσαν τεκεῖν, καὶ τὸ γεννηθὲν κληθῆναι Ὀδυσσέα παρὰ τὸ ἐν τῇ ὁδῷ ὗσαι. διὸ κατὰ τὴν ἱστορίαν δασύνει τὸ τοῦ Ὀδυσσέως ὄνομα.] ᾧτινι καὶ ἄλλοι ἐγένοντο παῖδες. καὶ γὰρ ἐκ μὲν Κίρκης γεννᾷ Ἄγριον

---

6 Od. XVI, 118 10 Müller II, p. 147 ταὐτὸ τοῦτό φησιν et ἱστορῶν om. F 12 ἐρόμενον F 15 Sic F ἐντυγχάνοντα PV, infra οὗ Λαέρτης om. F οὗ Ὀδυσσεύς e coniectura addidi, quae verba interpolatione περὶ δὲ — ὄνομα obscurata videntur 18 Verba περὶ δὲ τῆς — ὄνομα ad taedium repetita hic mire languent, quapropter uncis circumsepsi

καὶ Λάτινον, ἐκ δὲ Καλυψοῦς Ναυσίθοον, ἄλλοι δὲ Τηλέγονον, τὸν καὶ Κασσιφόνην τὴν θυγατέρα Κίρκης γήμαντα, ἢ Τηλέδαμον, καὶ κατὰ Λυσίμαχον ἐξ Εὐίππης Θεσπρώτιδος Λεοντόφρων, ὃν ἄλλοι Δόρυκλόν φασι. Σοφοκλῆς Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος. Τηλεμάχου δὲ καὶ Πολυκάστης Περσέπτολις, ὡς Ἡσίοδος. ὁ δὲ Ἀριστοτέλης καὶ Ἑλλάνικος Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου καὶ γεννῆσαι τὸν Περσέπτολιν. τέως δὲ ὁ Τηλέμαχος τὴν Κίρκην μὲν ἀναιρεῖ, μὴ φέρων αὐτῆς τὰ προστάγματα, ἀναιρεῖται δὲ καὶ αὐτὸς ὑπὸ Κασσιφόνης.

DCCCCXIX. *Περὶ Τηλέφου.*

Τήλεφος, ἄρχων Μυσίας, περὶ οὗ οἱ τῇ νεωτέρων ἱστορίᾳ χρώμενοί φασιν, ὅτι τὰ πρῶτα ἐπιστρατεύ-
395 *σαντες τῇ Τροίᾳ οἱ Ἕλληνες, ἥμαρτον τῆς ὁδοῦ καὶ τὴν μηδὲν αὐτοῖς εἰς τιμωρίαν προσήκουσαν γῆν ἐληΐζοντο, ἡ δὲ ἦν ὑπὸ τῷ Τηλέφῳ Μυσία. ὁ δὲ Τήλεφος ἀντικαταστὰς ἐποίησέ τι κακὸν καὶ ἔπαθε. πέπονθε μὲν τραῦμα δεινὸν ὑπ' Ἀχιλλέως, ἀμπέλου ἕλικι συμποδισθέντος αὐτῷ τοῦ ἵππου κατὰ Διονύσου πρόνοιαν καὶ πεσόντος εἰς γῆν, ἐποίησε δὲ τὸ ἀπράκτους ὑποχωρῆσαι τοὺς Ἕλληνας. ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον, χρᾶται, καὶ ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλούμενον, ὡς ἄρα ὁ τρώσας ἰάσεται. πλέει γοῦν τὴν*

DCCCCXIX. Eustath. Il. p. 46. Cf. Eud. p. 330

---

2 *Κασιγόνην* et in fine articuli *Κασιφόνης* PV 4 *Θεοπρώτιδος* PV 5 fr. 204 Nauck 7 fr. 138 Müller II, p. 147 11 His adiungitur in P uberior *Τηλεμάχου γενεαλογία*, in qua nil novi legitur. Merito respuit Villoisonus

ταχίστην ἐπ' Ἀχιλλέα, καὶ συμβαίνει τὸν μὲν ἰάσασθαι τὴν ὠτειλήν, τὸν δὲ δοῦναι μισθὸν τῆς ὑγείας τὴν εἰς Τροίαν ὁδηγίαν. καὶ οὕτω μέν τινες ἀκολουθοῦντες καὶ τῷ Γεωγράφῳ εἰπόντι, ὅτι ὁ τοῦ Ἀγαμέμνονος στόλος Μυσίαν ὡς Τρωάδα πορθῶν ἐπαλινδρόμησεν αἰσχρῶς. ἄλλοι δὲ οὐκ ἀρεσκόμενοί φασιν, ὅτι οὔτε τὸ πάλιν ὅλως ἐπὶ τοῦ ἐκ δευτέρου κεῖταί που παρὰ τῷ ποιητῇ καὶ οὐδὲ φαίνεται ὁ ποιητὴς Τηλέφῳ ἢ ἑτέρῳ τινὶ ἀνατιθεὶς τὴν ὁδηγίαν τὴν εἰς τὸν Ἴλιον, ἀλλὰ ἢ τῷ μάντει Κάλχαντι. λέγει γάρ, ὅτι Κάλχας διὰ τὴν αὐτοῦ μαντοσύνην ἡγήσατο ταῖς τῶν Ἀχαιῶν νηυσὶν εἰς τὴν Ἴλιον.

DCCCCXX. *Περὶ Τιθωνοῦ.*

Τιθωνὸς κατὰ τὴν ἱστορίαν ἀδελφὸς ἦν Πριάμου ἀμφιμήτριος. ὁ μὲν γὰρ Πρίαμος ἦν Λευκίππης, ὁ δὲ Τιθωνός Ῥοιοῦς τῆς Κασσάνδρας υἱὸς ἢ Στρυμνοῦς, ἀμφότεροι δὲ πατρὸς Λαομέδοντος. τοῦ δὲ Τιθωνοῦ ἡ Ἠὼς ἐρασθεῖσα, ὡς ὁ μῦθος, διὰ κάλλος ἥρπασε, καθὰ καὶ τὸν Κλεῖτον, καὶ ἐνετείλατο ὅπερ ἂν βούλοιτο ἀγαθὸν ζητῆσαι. ὁ δὲ προείλετο ἀθανασίαν καὶ ἔλαβε, μὴ ἐπιζητήσας τὸ ἀεὶ νέον. ἐπεὶ δὲ γηράσας ἔμαθεν ὡς ἀτελῆ ἐξήτησεν (εἶχε γὰρ ἀθάνατον κακόν τὴν τοῦ γήρους κάκωσιν), ᾔτησε τὴν εἰς ἄλογα μετάστασιν, λιτανεύσας τυχεῖν τοῦ μεταπεσεῖν

DCCCCXX. Tzetzes Lyc. 18 *τοῦ δὲ Τιθωνοῦ — ἀκούουσα* Eustath. Il. p. 825. (Iisdem fontibus hortulos suos irrigavit Arsen. Viol. p. 447.) *ἄλλοι δέ φασιν — μετέβαλε* Tzetzes Lyc. 18 *καὶ οἱ λίαν* — exit. forte ex scholiis ad Aristophanem descripta sunt (Acharn. 688; Vesp. 1480; Nub. 985)

---

15 *Κασάνδρας* P *Κασσάνδρας* V

εἰς τέττιγα, διὸ καὶ ψυχρὸς ὁ τέττιξ, ὡς ἐκ τοῦ Τιθωνοῦ τοῦ πεμπέλου, καὶ πολύφωνος διὰ τὰς πολλὰς λιτὰς τοῦ Τιθωνοῦ. ἡ δὲ παροιμία ἐπὶ τῶν δυστυχῶν γερόντων τίθησι τὸ τοῦ Τιθωνοῦ ὄνομα, ὡς δηλοῖ ὁ εἰπών· γέροντα ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν. Ἱερώνυμος δὲ ὁ ἱστορικὸς ἱστορεῖ, ὅτι Τιθωνὸς ὁ Λαομέδοντος εἰς βαθὺ γῆρας ἐλάσας καὶ ζῆν μηκέτι ἐθέλων ᾐτήσατο παρὰ τῆς Ἠοῦς θάνατον, συνοικῶν αὐτῇ δι' ἔρωτα. ἡ δὲ ἀδυνατοῦσα (ἤδη γὰρ ἐνεγράφη τοῖς ἀθανάτοις ὁ Τιθωνός) εἰς τέττιγα μετέβαλεν αὐτόν, ὡς ἂν ἥδοιτο τῆς αὐτοῦ φωνῆς εἰς τὸ διηνεκὲς ἀκούουσα. ἄλλοι δέ φασιν, ὅτι 396 *τοῦτον τὸν Τιθωνὸν σύνευνον ἔσχεν ἡ Ἡμέρα, ἐξ οὗ γεννᾷ Μέμνομα καὶ Ἠμαθίωνα, ἀθάνατον τὸν Τιθωνὸν ποιήσασα, ἐπελάθετο δὲ ποιῆσαι καὶ ἀγήρω. ὑπεργηράσαντα δὲ τοῦτον ὡς ἐν ταλάρῳ καὶ λίκνῳ, ἤτοι κωνίῳ αὐτὸν περιστρεφόμενον, δίκην βρεφυλλίων καθεύδειν, εἰς τέττιγα μετέβαλε. [καὶ οἱ λίαν πρεσβύται Τιθωνοὶ ἐσκώπτοντο, ὡς οἱ αὐτοὶ καὶ Κρόνοι τε καὶ Ἰαπετοὶ ἀπὸ τοῦ Ἰαπετοῦ καὶ Κρόνου. τινὲς δὲ οὕτω τὸ περὶ Τιθωνοῦ ἀλληγοροῦσιν, ὡς οὕτως ἐπιθυμίαις ἦν ἐμπεφλεγμένος, ὥστε ἀπὸ τῆς ἕω μὲν κοιμᾶσθαι μέχρι δύσεων, πρὸς ἑσπέραν δὲ τῇ ἐπιθυμίᾳ ἐπεγείρεσθαι. διὸ καὶ λόγον εὗρον Ἠοῖ συγκοιμᾶσθαι].*

DCCCCXXI. *Περὶ Τιτάνων.*

Τιτᾶνες, οἱ καταχθόνιοι δαίμονες, ἢ ἀπὸ τοῦ τίνω

DCCCCXXI. Etym. M. p. 766, 39 (Schol. Hes. Theog. 209)

---

3 Zenob. VI, 18 6 Müller II, p. 450 not. Cf. Hiller, Hieron. fragm. p. 34 14 Sic F *Ἀμάμωνα* PV 17 *κουνίῳ* PV

τὸ ἀνταποδίδωμι Τινὰν καὶ Τιτάν, καὶ Τιτᾶνες οἱ οὕτω διαπραττόμενοι, ὥστε δοῦναι τιμωρίαν, ἢ παρὰ τὸ τιταίνω, οἱονεὶ οἱ τείνοντες τὰς χεῖρας, εἰς τὸ κόψαι τὰ αἰδοῖα τοῦ πατρὸς [Κρόνου], ἤγουν τοῦ Οὐρανοῦ. Τιτᾶνες δὲ ὡς οὗτοι· Δίας, Ἄτλας, Προμηθεύς, Κοῖος, ἐξ οὗ καὶ Φοίβης γεννᾶται Λητώ, Ἥλιος, Ὑπερίων, Ἀσκός, ἀφ' οὗ καὶ Δαμασκός, ὅτι ἐκεῖ ἐξεδάρη ὑπὸ Ἑρμοῦ, καίπερ κατά τινας οὐ Τιτάν, ἀλλὰ γίγας ὁ Ἀσκός. Κρῖος, Τιτὰν καὶ αὐτός, ἀπὸ τοῦ κεκρῖσθαι. καὶ Τίτανος Τιτάνου κύριον ὄνομα, ὃς μόνος οὐκ ἐστράτευσεν ἐπὶ τοὺς θεούς, ἀφ' οὗ καὶ Τιτανίδα γῆν οἱ μὲν τὴν πᾶσαν, οἱ δὲ τὴν Ἀττικὴν ἐκάλεσαν.

DCCCCXXII. *Περὶ τοῦ Τιτυοῦ.*

Τιτυὸς γῆς υἱὸς λέγεται κατὰ τὸν μῦθον. οὗτος ἠράσθη τῆς Λητοῦς, καὶ ἐρασθεὶς ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ κρηδέμνου καὶ ἐβιάσατο. διὸ Ἄρτεμις καὶ Ἀπόλλων, παῖδες ὄντες τῆς Λητοῦς, κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον. διό φασιν αὐτὸν ἐν τῷ Ἅιδῃ ἔχειν τοῖς βέλεσι ἐνδιαπεπαρμένον καὶ κολάζεσθαι ἐκ τούτου. ἄλλοι δέ φασιν, τὸ ἧπαρ κειρόμενον ὑπὸ γυπῶν, κακῶς πάσχειν ἐν Ἅιδου. ἔοικε δὲ οὗτος καὶ μεριμνητικός τις ἐν ζῶσιν εἶναι καὶ ὑπὸ φροντίδων οἱά

Τιτᾶνες δὲ — exit. ex Etym M. p. 270, 10, p. 247, 27, p. 539, 20 compilata sunt DCCCCXXII. Nonn. II, 38 (Clarke p. 55) *ἄλλοι δέ φασιν* — exit. Eustath. Od. p. 1699

1 *Τινὰν καὶ Τιτὰν* F *Τινὰν καὶ* om. PV 4 *Κρόνου* utpote ineptum seclusi 17 Fort. *κεῖσθαι* 18 Sic scripsi cum F *τὰ βέλη ἐνδιαπεπαρμένα* PV. Hic margini adscriptum est *σημαίνεται*, sed causam, cur librarius hoc addiderit, non video

τινων γυπῶν, συνεχῶς ἀεὶ κείρεσθαι τὰ ἐντός, κάτω κείμενος, τουτέστι περὶ γῆν κεκυφὼς τὰ πολλὰ διὰ τὸ γεωργικόν, ὅθεν ταύτην τὴν φαντασίαν παρέπεσθαι αὐτῷ καὶ ἐν Ἅιδου. διὸ καὶ Γῆς υἱὸς διὰ τὸ ἄγαν αὐτῆς ἐπιμελεῖσθαι, τοῦτο δὲ καὶ διὰ τὸ μεγαλοσώματον.

397 DCCCCXXIII. *Τληπολέμου γενεαλογία.*

Ἀλκεὺς γεννᾷ Ἀμφιτρύωνα, οὗ ἐξ Ἀλκμήνης τῆς Ἠλεκτρύωνος Ἰφικλῆς (οὗ Ἰόλαος), Ἡρακλῆς, ἐξ οὗ καὶ Ἀστυόχης, ἣν ἄγεται ἀνελὼν τὸν αὐτῆς πατέρα Φύλαντα, Τληπόλεμος. καὶ περὶ τούτου ἐν τῷ περὶ Ἡρακλέους ἱκανῶς ἐρρέθη.

DCCCCXXIV. *Περὶ τῶν τράγων τῶν Μενδησίων.*

Ὁ τράγος Αἰγυπτιστὶ καλεῖται Μένδης. τινὲς δὲ τῶν Αἰγυπτίων ἐσέβοντο τὸν τράγον ἀνακείμενον τῇ γονίμῳ δυνάμει, καὶ γὰρ ὀχευτικὸν ζῶον ὁ τράγος λέγεται εἶναι. τοὺς οὖν τράγους οἱ οἰκοῦντες κατὰ τὸ Μενδήσιον κέρας (ἔστι δὲ ἓν ἐκ τῶν ἑπτὰ τοῦ Νείλου στομάτων) οὐκ ἤσθιον αἰδοῖ τοῦ γονίμου θεοῦ, ἐτίμων δὲ μεγάλως καὶ τοὺς αἰπόλους τῶν τράγων. ἦν δὲ καὶ ἱερὸν τοῦ Μένδητος παρ' Αἰγυπτίοις, ἐν ᾧ ἱερῷ τὸ ἄγαλμα τραγοσκελὲς ἦν, ὄρθιον τὸ αἰδοῖον ἔχον.

DCCCCXXIII. Compilavit Apollod. II, 4, 5 seq. DCCCCXXIV. Nonn. Sanct. Lum. 11 (Suid.)

---

8 Ἰφικλεύς PV

[DCCCCXXV. *Περὶ τοῦ Τριπτολέμου.*

Καθὼς μυθεύεται, ἡ Δημήτηρ εἶχε θυγατέρα τὴν Περσεφόνην, ἣν ἥρπασεν ὁ Πλούτων. περιιοῦσα δὲ ἡ Δημήτηρ καὶ ζητοῦσα τὴν θυγατέρα ἦλθεν εἰς τὴν Ἀττικήν, καὶ καταλύσασα παρὰ Τριπτολέμῳ ἐν κώμῃ Ἐλευσῖνι οὕτω καλουμένῃ μανθάνει παρ' αὐτοῦ, ὅτι ὁ Πλούτων ἥρπασε τὴν Περσεφόνην καὶ ὑπὲρ ταύτης τῆς εὐεργεσίας δίδωσι τῷ Τριπτολέμῳ τὰ σπέρματα, λέγω δὴ σῖτον καὶ κριθήν, ἐντειλαμένη μὴ φθονῆσαι, ἀλλὰ ἐλθεῖν καὶ σκορπίσαι τὰ σπέρματα πᾶσιν ἀνθρώποις, ἵνα μάθωσι τὸ σπείρειν καὶ γεωργεῖν καὶ ἐσθίειν τοὺς ἡμέρους καρπούς. πάλαι γὰρ οἱ ἀγροῖκοι ἤσθιον τὰς βαλάνους ἐκ τῶν φηγῶν, ἔνθεν ἀπὸ τῆς φηγοῦ καὶ τὸ φαγεῖν εἴρηται. λέγεται τοιγαροῦν, ὅτι Τριπτόλεμος λαβὼν ἅρμα δρακόντων πτερωτῶν, συμπαραλαβὼν καὶ τὸν Κελεόν, οὕτως ἐπλανᾶτο φιλοτιμούμενος τὰ σπέρματα].

DCCCCXXVI. *Περὶ Τρίτωνος.* 398

Τρίτων, υἱὸς Ποσειδῶνος καὶ Ἀμφιτρίτης, τὰ μὲν ἄνω μέχρι τοῦ ὀμφαλοῦ ἄνθρωπος, τὰ δὲ ἐξ ὀμφαλοῦ μέχρις οὐραίου δελφὶς καὶ οἷον εἰπεῖν ὥσπερ ἰχθυοκένταυρος. Λυκόφρων τὸν Τρίτωνα Ποσειδῶνα καλεῖ.

DCCCCXXV. Nonn. I, 67 (Clarke p. 48). Cf. Eud. p. 336
DCCCCXXVI. Tzetzes Lyc. 34

---

1 Haec cum iisdem verbis alio iam loco exposita sint, uncis circumscripsi 18 *τοῦ* F *καὶ* PV 20 Alex. 34

DCCCCXXVII. *Περὶ τοῦ Τρωός, ἐξ οὗ ἡ Τροία ἐπωνομάσθη, καὶ περὶ τῆς αὐτῆς ἁλώσεως καὶ τῆς τῶν Τρώων γενεαλογίας καὶ τῆς τῶν καταλελοιπότων καταντήσεως, ἐξ ὧν κατάγεται καὶ ἡ τῶν Ῥωμαίων ἀρχή.*

Τρὼς βασιλεὺς ἦν Τροίας τῆς τὰ δεινότατα παθούσης, ὑπὸ ταῖς πλευραῖς τῆς μικρᾶς Φρυγίας κειμένης, ὅπου καὶ ἡ Ἴλιος πόλις ἐκλαμπροτάτη τοπάλαι, νῦν δὲ θρήνων πολλῶν ἀξία, μεταξὺ τῆς Ἴδης καὶ τῆς θαλάσσης, παντελῶς ἠφανισμένη, ὡς μηδὲ θεμελίους ὑπολειφθῆναι αὐτῆς, καὶ ἡ ἑωρακυῖα μεμαρτύρηκεν, ἵνα τι καὶ εὐαγγελικὸν εἴπω. ἣν ἔργον μέν φασι γενέσθαι Ἀπόλλωνός τε καὶ Ποσειδῶνος τῶν κτισάντων, ὑπὸ Ἀθηνᾶς δὲ καὶ Ἥρας ἀπολεσθῆναι, ὅ ἐστιν ὑπό τε φρονήσεως καὶ τῆς ἡραιούσης βασιλικῆς ἀνδρώδους δυνάμεως, ἢ καὶ ἀστειότερον, ὅτι ἄνδρες μὲν τὴν πόλιν ἵδρυσαν, γυναῖκες δὲ κατέρριψαν.

DCCCCXXVII. Eustath. Dion. 815 *καὶ γὰρ αὐτὸς — γεγόνασιν* Eustath. Il. p. 1204 *ἀλλ' οἱ ποιηταί — Πρίαμος* Tzetzes Lyc. 34. Cf. Eud. p. 344 et 416. *φασὶ δὲ καὶ τὰς — ἐπίκουροι* Tzetzes Lyc. 243 *οἱ δ' Ἕλληνες* seq. Dictys? *ὅντινα προτρεπομένου — λιθοβοληθείς* Nonn. I, 62. Cf. Eud. p. 321 *τότε μαθών — ἐτυράννησε* Tzetzes Lyc. 384 *εἰς Αὐλίδα — φησι* Dictys? *φήμης — περιαδόμενον* Tzetzes Lyc. 54 *δούρειον ἵππον — γν'* Tzetzes Lyc. 930. Cf. Eud. p. 126 et 149 *κατά τινας — ἐμβῆναι* Eustath. Od. p. 1698 *περιέμεινεν — ἡ Τροία* Dictys? *ἐῶ δὲ λέγειν — λαγνείαν* Nonn. I, 81 *μετὰ ταῦτα δὲ — ἅλις* Nonn. I, 83 *Φερεκύδης — Ἴλιον* Tzetzes Lyc. 570 *ὅτι ἐπὶ Νέρωνος — διαφθαρῆναι* Excerpta ex latina Dictyis versione, quae etiam in Cyriaci epigrammatum collectione (ed. Rom. 1645) p. 47 inveniuntur (om. *προσέτι — διαφθαρῆναι*) *εἰδέναι δὲ δεῖ — Ὅμηρον* Schol. Homer.? *ὁ δὲ ποιητὴς* — exit. Eustath. Il. p. 1209

---

6 *καὶ — εἴπω* om. F. Cf. Ev. Ioh. I, 34

ἀλλὰ τἀληθὲς μὲν κτίσμα ἦν τοῦ Δαρδανίδου ἐκείνου Τρωὸς καὶ τοῦ παιδὸς αὐτοῦ Ἴλου, ἡρώων γενναίων τε καὶ πάνυ πλουσίων, ἐξ ὧν καὶ τὴν ὀνομασίαν ἔσχε, καθάπερ καὶ ἡ Δαρδανία ἐκ τοῦ Δαρδάνου. καὶ γὰρ αὐτὸς ἐν τῷ κατακλυσμῷ κατὰ τὸν Δευκαλίωνα ἐκ τῆς Σαμοθρᾴκης ἀσκὸν ἢ σχεδίαν, ὥς φασι, μετὰ δερμάτων σκευάσας καὶ ὑποδὺς καὶ τοῖς ὕδασιν ἑαυτὸν ἐπιδούς, προσοκείλας τε τῇ Τροίᾳ μετὰ τὸ ξηρανθῆναι τὸ ὕδωρ τὴν Δαρδανίαν ἔκτισεν, ὑψηλοτέραν κειμένην τῆς ὕστερον Ἰλίου φόβῳ τῆς ἐξ ὑετῶν κατακλύσεως, ἧς αὐτὸς ἐπειράθη, κἀκεῖ τελευτᾷ. ὕστερον δὲ ἡ Δαρδανία καὶ ἡ Ἴλιος μία πόλις γεγόνασιν. ἀλλ' οἱ ποιηταί φασιν, ὅτι Ποσειδῶν σὺν Ἀπόλλωνι ὀργῇ Διὸς θητεύσας τῷ τοῦ Ἴλου Λαομέδοντι καὶ προπυργώσας τὸ Ἴλιον, ἐπεὶ μετὰ τεταγμένον χρόνον τῆς λατρείας μισθὸν οὐκ ἐδέξατο, ἀγανακτῶν κατὰ Λαομέδοντος ἔπεμψε κῆτος δεινότατον, ὅπερ τὴν χώραν κατέκλυζεν, ἀποπτύον τὴν θάλασσαν. ἐκ χρησμοῦ δὲ Λαομέδων ἀναγκασθείς, Ἡσιόνην τὴν αὐτοῦ θυγατέρα κοσμήσας βασιλικῶς ὡς πρὸς βορὰν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ Ἡρακλῆς, μετὰ Ἰάσονος, μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα γῆν, μέλλων λαβεῖν τὸ χρυσόμαλλον δέ- 399
ρας, ὃ ὁ δράκων ἐφύλασσε, μετὰ τῆς καλουμένης Ἀργοῦς νηός, ἀφ' ἧς οἱ Ἀργοναῦται προσωρμήθησαν τῷ Ἰλίῳ, ἰδόντες τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς εἶπε δυνατῶς ἔχειν ῥύσασθαι ταύτην. καὶ ὑποσχεθεὶς παρὰ Λαομέδοντος ἀθανάτους ἵππους λαβεῖν, οὓς Ζεὺς ἔδωκε Τρωὶ ὑπὲρ Γανυμήδους τοῦ υἱοῦ αὐτοῦ, χωστὸν τεῖχος ποιήσας καὶ στὰς ὡπλισμένος παρὰ τὸ στόμιον,

ὡς κεχηνὸς ἐποίει τὸ κῆτος ἀθρόως, τῷ τούτου ἐμπεπήδηκε στόματι. τρισὶ δὲ ἡμέραις καταθέμενος αὐτῷ, ἐξῆλλεν ἀποβεβληκὼς καὶ τὴν ἑαυτοῦ τρίχα. μὴ δεξάμενος δὲ τὰ ὑπεσχημένα παρὰ Λαομέδοντος, ἓξ νῆας ἀνδρῶν παρὰ τῆς Ἑλλάδος πληρώσας, παραγεγονὼς πάλιν πορθεῖ τὸ Ἴλιον, Τελαμῶνος πρώτου τὸ τεῖχος ῥήξαντος καὶ εἰσβάντος. Λαομέδοντα μετὰ τῶν ἐκείνου υἱῶν ἀναιρεῖ Ἡρακλῆς πλὴν Ποδάρκου, τοῦ ὕστερον Πριάμου κληθέντος, καὶ Ἡσιόνης, τὴν δὲ πόλιν πιμπρᾷ. καὶ Ἡσιόνην δὲ γέρας δίδωσι Τελαμῶνι ὡς ἀριστεύσαντι, ἐξ ἧς ὕστερον Τελαμὼν τὸν Τεῦκρον γεννᾷ. τότε δὲ Ἡρακλῆς καὶ τῇ Ἡσιόνῃ χαρίζεται, ὃν ἂν θέλῃ τῶν αἰχμαλώτων ὠνήσασθαι. ἡ δὲ τὴν ἑαυτῆς δοῦσα καλύπτραν τὸν ἑαυτῆς ἀδελφὸν Ποδάρκην ἐπρίατο, ὅθεν ἐκλήθη καὶ Πρίαμος. φασὶ δὲ καὶ τὰς Ἀμαζόνας κατ' αὐτῆς ποτε στρατεῦσαι, ὅθεν καὶ Μύρινα πολύχνιον Τροίας ἀπὸ Μυρίνης τῆς Ἀμαζόνος ἐκεῖ τελευτησάσης. αἱ λοιπαὶ γὰρ τῶν Ἀμαζόνων εἰς τιμὴν αὐτῆς πόλιν ἀνήγειραν, ὅπου παρετάξαντο οἱ Τρῶες, τὴν τῶν Ἑλληνικῶν πλοίων ἐπέλευσιν ἀκούσαντες παρὰ Πολίτου υἱοῦ Πριάμου, ὅστις σκοπὸς τῶν Τρώων ὑπῆρχε θαρρῶν ποδῶν ταχύτητι, ὡς ὁ ποιητής φησιν·

Ἔστι δέ τις προπάροιθε πόλεος αἰπεῖα κολώνη
Ἐν πεδίῳ, ἀπάνευθε περίδρομος ἔνθα καὶ ἔνθα,
Τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν,
Ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης.
Ἔνθα τότε Τρῶές τε διέκριθεν ἠδ' ἐπίκουροι.

---

23 Il. II, 811, quo ex loco reposui *πόλεος* pro *πόλεως*, *Βατίειαν* pro *Βάτειαν*, *δέ τε* pro *δὲ*, *Τρῶές τε* pro *Τρῶες*

οἱ δ' Ἕλληνες διὰ τὴν τῆς Ἑλένης ἁρπαγὴν ἐπεστράτευσαν. Ἀλέξανδρος (καὶ γὰρ ὁ καὶ Πάρις ὀνομαζόμενος) εἰς Λακεδαίμονα πλεύσας καὶ δεξιωθεὶς παρὰ Μενελάου ἔμεινεν ἱκανὰς ἡμέρας. Μενέλαος δὲ τότε ἐπειγόμενος εἰς Κρήτην ἐλθεῖν διὰ τὰς τῆς μητρὸς Ἀερόπης θυσίας ἔασε τὸν Πάριν ἔφηβον ὄντα. ὁ δὲ τῆς Ἑλένης ἐρασθεὶς διὰ τὴν τῆς θεᾶς Ἀφροδίτης ἀφορμὴν καὶ μανεὶς τῷ ἔρωτι ἥρπασεν ἀπάρας εἰς Αἴγυπτον, ὅπου Πρωτεὺς γνοὺς τὴν Ἑλένην ἀφεῖλεν 400
αὐτὸν, καὶ εἴδωλον δέδωκεν αὐτῆς, ὡς ἐν τοῖς προλαβοῦσιν εἴπομεν, καὶ τούτῳ παραμυθούμενος εἰς Τροίαν ἐπανῆκεν. Μενελάου δ' ἐπανιόντος καὶ τὴν Ἑλένην μὴ εὑρόντος, ὁ παλαιὸς ὅρκος προβάλλεται· σπονδαὶ γὰρ πρὸ τοῦ γαμῆσαι Μενέλαον αὐτὴν τοῖς μεμνηστευμένοις ἥρωσιν ἐγένοντο, ὅτι τῷ λαχόντι ἔστω γυνὴ ἀναντιρρήτως, εἰ δέ τις ἐφορμήσειε κατ' αὐτοῦ πάντες διατελείτωσαν σύμμαχοι κατὰ τοῦ ἁρπάσαντος, βοηθοῦντες τῷ ἠδικημένῳ. καὶ οὕτω κηρύξας Μενέλαος τὴν ἁρπαγὴν συνήθροισε τοὺς ἥρωας καὶ κατὰ Τροίας ἐστράτευσαν, Ἀγαμέμνονος στρατηγοῦντος, ἐξ ὧν Παλαμήδης ὁ σοφώτατος καὶ Ὀδυσσεὺς ὁ φρονιμώτατος. ὅντινα, προτρεπομένου τοῦ Ἀγαμέμνονος ἐπὶ τὴν στρατείαν, καὶ μὴ θέλων ἀπελθεῖν ὁ Ὀδυσσεὺς καὶ μανίαν προσποιησάμενος καὶ βαλὼν ὄνον καὶ δῆθεν ἀροτριῶν ἐν μανίας προσποιήσει, ὁ Παλαμήδης ἤλεγξεν, ὅτι δὴ οὐ μαίνεται. ἤλεγξε δὲ αὐτὸν οὕτως. Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προσθεὶς πρὸ τοῦ ἀρότρου, εἶτα φθάσας ὁ Ὀδυσσεὺς περὶ τὸ παιδίον ἐπῆρε τὸ

7 τῇ Ἑλένῃ P corr. V   10 Eud. p. 349

ἄροτρον, ἵνα μὴ πλήξῃ τὸ παιδίον, καὶ ἐγνώσθη, ὅτι νηφάλιός ἐστι. ταύτην δὲ τὴν μῆνιν μηνιῶν ὁ Ὀδυσσεὺς πλευσάντων εἰς Τροίαν ποιεῖται πλαστὴν ἐπιστολήν, ὡς ἀπὸ Πριάμου πρὸς τὸν Παλαμήδην περὶ προδοσίας τῶν Ἑλλήνων, καὶ ὑποτίθησιν ἐν τῇ τοῦ Παλαμήδους ὡς προδότου. εὑρέθη δὲ ἡ ἐπιστολὴ κατακρίνουσα αὐτόν, καὶ τέθνηκεν ὑπὸ Ἀγαμέμνονος καὶ πάντων τῶν Ἑλλήνων λιθοβοληθείς. [τότε μαθὼν τὴν τούτου ἀναίρεσιν ὁ πατὴρ αὐτοῦ Ναύπλιος ἔπλευσε πρὸς τοὺς Ἕλληνας καὶ τὴν τοῦ παιδὸς ἀπῄτει ποινήν. ἄπρακτος δὲ ὑποστρέψας, πάντων χαριζομένων τῷ βασιλεῖ Ἀγαμέμνονι, μεθ' οὗ Παλαμήδην ἀνεῖλεν Ὀδυσσεύς, παραπλέων λοιπὸν τὰς Ἑλληνικὰς χώρας παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι, Κλυταιμνήστραν Αἰγίσθῳ, Αἰγιάλειαν τῷ υἱῷ Σθενέλου, Μήδαν δὲ τοῦ Ἰδομένεως ὑπὸ Λεύκου, ἣν καὶ ἀνεῖλε Λεῦκος καὶ Κλησυδήραν τὴν θυγατέρα αὐτῆς ἐν τῷ ναῷ καταφευγούσας. καὶ δέκα πόλεις τῆς Κρήτης ἀποσπάσας ἐτυράννησεν]. εἰς Αὐλίδα οὖν, ἵν' ἐπὶ τὸ προκείμενον ἔλθωμεν, πασῶν τῶν Ἑλληνικῶν νηῶν συναχθεισῶν, Κάλχας ὁ μάντις ἐθέσπισεν, ἐννέα ἐνιαυτοὺς πολιορκῆσαι τὴν Τροίαν, μαντευσάμενος ἐκ τοῦ ὄφεως τοῦ καταφαγόντος τοὺς ὀκτὼ στρουθοὺς καὶ τὴν μητέρα, ὡς ὁ ποιητὴς ἐν δευτέρῳ φησί. φήμης δὲ περιπεσούσης, μὴ ἄλλως τοὺς Ἕλληνας δύνασθαι αὐτὴν πορθῆσαι, εἰ μὴ τὰ ὀστᾶ τοῦ Πέλοπος ἐνέγκωσι καὶ τὸν υἱὸν Ἀχιλλέως Νεοπτόλεμον καὶ τὰ

---

6 δὲ addidi 7 τέθνηκεν P τέθνηκε V 8 τότε μαθὼν — ἐτυράννησε hic a ceteris seiunxi, cum p. 321 rectius legantur 24 Il. II, 311 seq.

τόξα τοῦ Ἡρακλέους διὰ Φιλοκτήτου, ἤγαγον ἅπαντα. 401
σὺν πᾶσι δὲ τούτοις καὶ τὸν περιᾳδόμενον δούρειον ἵππον κατεσκεύασε, πρὸς μέγεθος μετεωρότερον τῶν πυλῶν, ὅπως μὴ ἑλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχῃ τῷ μεγέθει. εἰς ὃν ἐμβάντες οἱ Ἕλληνες τὸν ἀριθμὸν κατά τινας μὲν γν', κατά τινας δέ, ὧν καὶ Στησίχορος, ἑκατόν, κατ' ἄλλους δὲ δώδεκα, ὧν καὶ τὰ ὀνόματα ταῦτα· Μενέλαος, Διομήδης, Φιλοκτήτης, Μηριόνης, Νεοπτόλεμος, Εὐρύπυλος, Εὐρυδάμας, Φείδιππος, Λεοντεύς, Μέγης, Ὀδυσσεὺς καὶ Εὔμηλος (ὅπερ οὐκ ἀληθές μοι δοκεῖ διὰ το παραλείπειν τούτοις τὸν Ἄντικλον, γέγραπται γὰρ τῷ ποιητῇ καὶ αὐτὸν ἐμβῆναι) περιέμειναν τὴν τοῦ Σίνωνος πρὸς τοὺς Τρῶας ἐπιβουλήν. οὗτος γὰρ ἑαυτὸν μαστίξας καὶ τὰ ἄμφια διαρρήξας καὶ τὸ πρόσωπον αἱματώσας ἀμυχαῖς προσῆλθε τῇ Ἰλίῳ ἔνδακρυς, λέγων, ὅτι δι' ὑμᾶς, ὦ φίλοι Τρῶες, ταῦτα πέπονθα, φίλος ὑμῖν εἰρηκὼς εἶναι. καὶ οἱ Τρῶες ἐλεήσαντες προσεκάλεσαν καὶ ἠρώτησαν περὶ τοῦ ἵππου. ὁ δ' ἔφη· ἄνδρες Τρῶες, ἡ παρ' ὑμῖν πολιοῦχος Ἀθηνᾶ ὑμῖν συνεμαχέσατο καὶ καθ' Ἑλλήνων ἀεὶ διετέλει. διὸ μὴ δυνηθέντες καταλαβεῖν τὴν πόλιν ἔγνωσαν μνήμης ἕνεκα εἰς τὴν ἑαυτῶν ἐπανιόντες πατρίδα, δῶρον καταλιπεῖν τῇ τροπαιούχῳ θεᾷ τουτονὶ ξύλινον ἵππον, ἐφ' ᾧ καὶ κατεσκεύασαν, ὡς καὶ τὸ ἐπίγραμμα λέγει. καὶ οὕτω παρ' ἐκείνων ἤκουσα καὶ σαφῶς οἶδα. οὗ ὑπακούσαντες οἱ Τρῶες καὶ τὰς πύλας καθελόντες εἰσάγουσι τὸν ἵππον.

---

3 κατεσκεύασε P κατεσκεύασεν V 6 Stes. fr. 25 10 Εὔμυλος more suo P corr. V 12 Od. IV, 286 18 προσκάλεσαν PV

ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ εὐωχηθέντες κατακόρως, ὡς δῆθεν τοῦ πολέμου καὶ τῆς ταλαιπωρίας ἀπαλλαγέντες, εἰς βαθὺν ὕπνον ἐτράπησαν. οἱ δ' Ἕλληνες ἀποβάντες ἀωρί που τῆς νυκτὸς καὶ φρυκτωρήσαντες τὴν τῶν τριήρων ἔλευσιν ἐσήμαναν, περί που τὴν Τένεδον λοχευουσῶν, καὶ οὕτως ἑάλω ἡ Τροία. ἐῶ δὲ λέγειν καὶ τοὺς προβαλλομένους τοῖς ποιηταῖς μύθους, πῶς ὁ Ζεὺς μᾶλλον χαρίζεται τοῖς Τρωσὶ καὶ ἐποίει ἡττᾶσθαι τοὺς Ἕλληνας διὰ τὴν ἱκετείαν τῆς Θέτιδος ἕνεκεν τοῦ Ἀχιλλέως, ἵνα ζητήσωσι τὸν Ἀχιλλέα οἱ Ἕλληνες ἡττώμενοι, καὶ τὸν μυσαρὸν περὶ τῆς Ἥρας μῦθον, πῶς αὐτὴ ἐφρόντιζε τῶν Ἑλλήνων. φροντίζουσα δὲ βούλεται ἀπατῆσαι τὸν Δία πρὸς μῖξιν αὐτῆς, καὶ μετὰ τοῦτο ὕπνον αὐτῷ προσποιεῖ, ἐκβακχεύουσα πρὸς αὐτὸν, ἵνα καθεύδοντος τοῦ Διὸς ἀβοήθητοι οἱ Τρῶες γενόμενοι ἡττηθῶσιν ὑπὸ τῶν Ἑλλήνων. ταῦτα βουλευσαμένη λαμβάνει τὰ πορνικὰ καλλωπίσματα ἐκ τοῦ κεστοῦ τῆς Ἀφροδίτης, εἶτα κοσμησαμένη ἄνεισι παρὰ τὸν Δία καὶ κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου
402 πρὸς ἡδονὴν καὶ λαγνείαν. [καὶ τοῦτο δὲ τῷ μύθῳ προστίθησιν Ὅμηρος, τὸν Δία μετὰ τὴν τῆς Θέτιδος ἱκετείαν περὶ τοῦ Ἀχιλλέως ὑποσχόμενον, κεκινηκότα αὐτὸν τὰς ὀφρῦς ἐπὶ τῇ ὑποσχέσει, σείσαντα δὲ τὰς τρίχας ἐπὶ κατανεύσει τῆς κεφαλῆς καὶ συγκινήσαντα ὅλον τὸν οὐρανόν, τῶν τριχῶν αὐτοῦ κινηθεισῶν.] μετὰ ταῦτα δὲ τοῦ Ἀχιλλέως πολεμοῦντος καὶ ἀριστεύοντος κατακράτος, φόβος ἔλαβε τὸν Δία, μή πως παρὰ τὸ εἱμαρμένον ὁ Ἀχιλλεὺς πορθήσῃ τὴν Ἴλιον. τοῦτο

---

2 ταλεπωρίας P corr. V 21 seq. Haec spuria videntur

φοβούμενος ἐπιτρέπει τοῖς θεοῖς τὸν βουλόμενον, ᾧ βούλεται ἀπελθεῖν καὶ βοηθῆσαι, ἵνα οἱ μὲν τοῖς Τρωσίν, οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι. τούτων ἐπιτραπέντων, ὁ μὲν Ζεὺς κατὰ τὸν μῦθον ἐβρόντησεν ἐκ τοῦ οὐρανοῦ, ὁ δὲ Ποσειδῶν σείει τὴν θάλασσαν, ὁ δὲ Ἅιδης, σεισθέντων τῆς θαλάσσης καὶ τοῦ οὐρανοῦ, ἐφοβήθη, μήπως, σεισθείσης τῆς γῆς, ἀναρρηξία γένηται τῶν καταχθονίων καὶ δημοσιευθῇ τὰ κατ' αὐτόν. ἔστι δὲ τὰ ἔπη ταῦτα·

δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθεν
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων.

ἀλλὰ περὶ τούτων μὲν ἅλις. Φερεκύδης δέ φησιν, ὅτι Ἄνιος ἔπεισε τοὺς Ἕλληνας παραγενομένους εἰς αὐτὸν αὐτοῦ μένειν τὰ ἐννέα ἔτη· δεδόσθαι δὲ αὐτοῖς παρὰ τῶν θεῶν, τῷ δεκάτῳ ἔτει πορθῆσαι τὴν Ἴλιον. [ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἐπὶ Νέρωνος εὑρέθη ἐν Κρήτῃ, γεωργοῦ τινος σκάπτοντος ὑπὸ γῆν, κεκρυμμένη μολιβδίνη λάρναξ, συγγραφὴν ἔχουσα τοῦ Τρωϊκοῦ πολέμου Φοινικείοις γράμμασι συγγεγραμμένην, ὑπὸ Δίκτυος τοῦ Κρητὸς ἢ Ὀδίτου, τοῦ ἐπὶ Ἴλιον καὶ αὐτοῦ Ἰδομενεῖ συστρατευομένου, ἢ καὶ μεθερμηνευ-

---

9 Il. XX, 63 seq. 10 *οἱ* om. P add. V 12 fr. 74 13 Sic F *Ἴνιος* PV 16 Verba *ἰστέον δὲ τοῦτο — διαφθαρῆναι* a librario saeculi decimi quinti, Cyriaci Anconitani aequalis, margini adscripta posteaque textui inserta esse patet. Cf. Unters. p. 153 seq. 17 *Γεωργοῦ* Cyriacus 20 *Δίκτυος τοῦ Κρητὸς ἢ* om. Cyriacus *ἢ Κνωσίου* pro *ἢ Ὀδίτου* coni. Dunger, quam coniecturam amice mecum communicavit; forte melius *Κρητὸς ἐκ* (vel *ἀπὸ*) *Κνωσσοῦ* legitur, de quo cf. p. 166 *Ἐπιμ. Κρὴς ἀπὸ Κνωσσοῦ*. Fieri etiam potest, ut Sisyphi nomen hic lateat, quem pluries iuxta Dictym, tamquam libelli Iliaci auctores, laudavit Tzetzes Exeg. Il. p. 20 seq. Cf. etiam Tzetzae epistul. p. 8 (Pressel) Chil. V, 829 seq. 21 *Ἰδομενῆος* inepte Cyriacus

θεῖσα ἐκ τῶν Φοινικείων γραμμάτων ἐς Ῥωμαϊκὴν συγγραφὴν εὑρίσκεται νῦν παρ' Ἰταλοῖς. οὕτως ἀπήγγειλεν ἡμῖν Κυριακὸς ὁ ἐξ Ἀγκῶνος, ἀνὴρ ἀξιοπίστατος καὶ ἄλλως καλὸς κἀγαθός, φάμενος καὶ αὐτὸς ἔχειν τὴν βίβλον. ἔφη δ' αὐτὸς Κυριακός, δηλοῦν τὴν συγγραφήν, ὡς ἐν Κρήτῃ ἐπιδεδημηκόσι τοῖς Ἀτρείδαις παρὰ Ἰδομενέα ἐπὶ διαλύσει ἐνίων πρὸς ἀλλήλους ἀμφισβητημάτων, ἀγγελθῆναι τὴν τῆς Ἑλένης ἁρπαγήν, καὶ δὴ βουλεύσασθαι εὐθὺς μετὰ Ἰδομενέως μετελθεῖν τὸ ἀδίκημα ἐπὶ Ἴλιον στρατεύσαντας, παρασκευάζεσθαι μὲν οὖν ἐννέα ἔτη, δεκάτῳ δὲ ἐπιπεπλευκότας τοῖς Τρωσὶ καὶ μείναντας ἓν μόνον ἔτος ἑλεῖν τὸ Ἴλιον, ἑλεῖν δὲ ὧδε. ὡς μένουσιν αὐτοῦ ἐν τῇ Τρωάδι τοῖς Ἕλλησιν οὐ προυχώρει τὸ πρᾶγμα, τοὺς μὲν στρατοπεδεύσασθαι ἐπὶ Χερρονήσου, ἐς δ' Ἴλιον πρέσβεις πέμψαι, ὧν καὶ Ὀδυσσεὺς ἦν, τῷ μὲν λόγῳ συμβησομένους τι, περὶ ὧν ἐνεκάλουν, τῷ δ' ἔργῳ τὰ
403 τῶν Τρώων πράγματα κατασκευομένους, διδόντας καὶ ἀνάθημα τῇ Ἀθηνᾷ τῇ Ἰλιάδι ἵππον ξύλινον, ὃν κατασκευάσαντες οἱ Ἕλληνες αὐτοῦ ἔλιπον ἐν τῇ Τρωάδι, δόξαν παρέχοντες τοῖς Τρωσίν, ὡς δὴ ἐς τὴν Ἑλλάδα ἤδη ἀποπλέοντες. κατασκοπήσαντας δὲ τοὺς πρέσβεις, τῆς μὲν φυλακῆς ἠμεληκότας τοὺς Τρῶας, πρὸς δ' εὐωχίας καὶ πότους τετραμμένους, σημῆναι τοῖς Ἕλλησι μένουσιν ἐν Χερρονήσῳ. τοὺς δὲ νύκτωρ οὐ προσδεχομένοις τοῖς Τρωσὶν ἐπιθεμένους οὕτω τὴν πόλιν ἑλεῖν. μεμνῆσθαι δὲ τὴν συγγραφὴν καὶ Πεν-

---

1 Ἰταλικὴν Cyriacus 7 Dict. I, 2 14 προχώρει PV 15 μεταστρατοπεδεύσασθαι Cyriacus; cf. Dict. V, 4 20 Dict. V, 9—11 21 δὴ P δὲ V 26 ἐπιεμένους Cyriacus 27 Hic

θεσιλείας τῆς Ἀμαζόνος ἐπὶ συμμαχίᾳ ἡκούσης τοῖς Τρωσί, καὶ ὡς Ἕκτορι ἐξιόντι πρὸς αὐτὴν ὡς ὑπαντησομένῳ μετ᾽ ὀλίγων, ἐνεδρεύσειέ τε πρὸς τῷ ποταμῷ Ἀχιλλεὺς καὶ κτείνειεν ἐπιπεσών, μετὰ δὲ καὶ Πενθεσίλειαν κτείνειε μεμαχημένος, συχνοὺς δὲ Ἑλλήνων καὶ αὐτὴν ἀπεκτονυῖαν τοῖς τόξοις. μεμνῆσθαι δὲ καὶ Μέμνονος, ὡς καὶ αὐτοῦ τοῖς Τρωσὶν ἐκ τῆς ἕω ἐπὶ συμμαχίᾳ ἥκοντος, προσέτι δὲ καὶ Παλαμήδους, ὡς ἀδίκως ἀποθανόντος, καὶ Ναυπλίου τοῦ ἐκείνου πατρὸς παρασκευάσαντος τὰς τῶν ἐν τέλει Ἑλλήνων γυναῖκας μοιχευθῆναι καὶ δέκα πόλεις τῆς Κρήτης ἀποσπάσαντος τυραννῆσαι καὶ μετὰ τὸν Τρωϊκὸν πόλεμον καὶ τὸν Ἰδομενέα τῇ Κρήτῃ καταίροντα ἐξελάσαντος, ὕστερον δὲ ἀκούσαντος τὴν τῶν Ἑλλήνων ἐπάνοδον ἐπὶ τὴν πατρίδα, ἅψαι φρυκτὸν ἐπὶ τὰ κοῖλα τῆς Εὐβοίας, Καφηρέα λεγόμενα, νῦν δὲ Ξυλοφάγον καλούμενον, ὅπου πλεύσαντας τοὺς Ἕλληνας δι᾽ αὐτοῦ δοκεῖν λιμένα εἶναι διαφθαρῆναι.] εἰδέναι δὲ δεῖ, ὅτι, ἁλούσης τῆς Τροίας, μόνος Αἰνείας καὶ Ἀντήνωρ σώζονται, καὶ τοῦτο διὰ παλαιὰν ξενοδοχίαν Ἑλλήνων. ἀσμένως γὰρ ἐξενίζοντο τοὺς Ἕλληνας ἄμφω, ἢ διὰ τὸ συγκαταθέσθαι αὐτοὺς δίκαιον ἀποδοῦναι τὴν Ἑλένην εἰπόντας καὶ τὰ κτήματα, ἢ διὰ τὸ ῥέπειν τρόπον τινὰ πρὸς τὴν τῶν Ἑλλήνων φιλίαν, ὅπερ καὶ παρώτρυνε τοὺς Ἕλληνας αὐτοὺς μόνους σῶσαι καὶ πλοῖα παρασχεῖν

---

inseruit Cyriacus Παλαμήδους, ὡς ἀδίκως ἀποθανόντος καί, quod Eudocia infra uberius exposuit 1 Dict. III, 14 5 δὴ Cyriacus, mox ἀποκτονυῖαν PV 8 προσέτι — διαφθαρῆναι om. Cyriacus, eadem paucis mutatis narravit Tzetzes Lyc. 384; cf. Dict. VI, 1 16 ad Choerades perverse exhibet Dictys latinus 17 δι᾽ addidi

αὐτοῖς πλεῦσαι, ὅπη ἂν ἡ τύχη φέροι. Ἀντήνωρ γοῦν εἰς τὸν Ἀδριατικὸν μυχὸν εἰσβαλών, ἔχων μεθ' ἑαυτοῦ τοὺς Ἑνετούς (γένος δὲ τοῦτο Παφλαγονικόν), ἔκτισε τὸ Πατάβιον, διώξας ἐκεῖθεν τοὺς περιοίκους Εὐγανέους λεγομένους. Αἰνείας δὲ καὶ αὐτὸς ὁμοίως ἀπέπλευσε καὶ πρῶτον προσέσχε τῇ Μακεδονίᾳ, εἶτα εἰς Σικελίαν ἀπῆρεν στάσιν ζητῶν, ἐκεῖθεν δὲ εἰς Λαυρέντιον τῶν Πικεντίνων, ὅπου Λατῖνος ἦν βασιλεύς, ὅστις ἐκώλυε αὐτὸν τὴν ἀρχὴν οἰκῆσαι, εἶτα δὲ ἐρωτήσας, ποῖός τις ὁ στρατηγὸς καὶ μαθών, ὅτι Τρώς, ὁ τῆς Ἀφροδίτης καὶ Ἀγχίσου υἱός, λίαν εὐλαβήθη τὸν ἄνδρα καὶ ἐτίμησε, καὶ τὴν αὐτοῦ θυγατέρα Λαβινίαν
404 παρέσχεν εἰς γάμον, δι' ἣν τὰ μέγιστα φιλιωθέντες οἱ Τρῶες τῷ Λατίνῳ καὶ τὴν ἐκείνου ἐπωνυμίαν λαβόντες (Λατῖνοι γὰρ καὶ αὐτοὶ ἐπωνομάσθησαν) πόλιν ἔκτισαν Λαβίνιον, ἀπὸ τῆς τοῦ βασιλέως θυγατρὸς Λαβινίας κεκλημένην. καὶ ταῦτα μὲν κατὰ τοὺς μεθ' Ὅμηρον. ὁ δὲ ποιητὴς ἐμφαίνει, ἐν Τροίᾳ μεῖναι τὸν Αἰνείαν καὶ διαδεξάμενον τὴν ἀρχὴν παραδεδωκέναι τοῖς παισίν, ἠφανισμένων τῶν Πριαμιδῶν·

ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων,

καὶ τὰ ἑξῆς.

DCCCCXXVIII. *Γενεαλογία τῶν Τρώων βασιλέων καὶ καταγωγὴ τῶν Ῥωμαίων.*

Ζεὺς γεννᾷ ἐκ τῆς Ἠλέκτρας τῆς Ἄτλαντος Ἁρμονίαν, Ἰασίωνα, Δάρδανον Ἀετίωνα. Μνασέας

DCCCCXXVIII. Ex pluribus fontibus hic articulus manavit,

18 Il. XX, 306 seq. 24 Mnas. fr. 28

δέ φησιν, ὅτι Δάρδανος ἐκ Σινώπης ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τὸ παλλάδιον ἀράμενος ἀφίκετο εἰς Σαμοθράκην μετὰ Ἁρμονίας καὶ Ἰασίωνος τῶν ἀδελφῶν, κἀκεῖ διάγοντα Κάδμος ὁ Ἀγήνορος ἐφιλοποιήσατο. καὶ ἀποθανούσης Τηλεφάης, γαμεῖ τὴν Ἁρμονίαν ὁ Κάδμος καὶ ἀποστέλλει τὸν Δάρδανον εἰς τὴν Ἀσίαν μετὰ τῶν ἑταίρων πρὸς Τεῦκρον τῆς Φρυγίας ἄρχοντα. ὃς καὶ ἀναγνωρίσας τὸν Δάρδανον δίδωσιν αὐτῷ τὴν θυγατέρα Βάτειαν καὶ ἀποθνήσκων τὴν βασιλείαν. καὶ πόλιν ἔκτισε Δάρδανον καὶ Δαρδανίαν τὴν χώραν ὠνόμασεν, ἣ Τευκρὶς πρότερον ἐκαλεῖτο ἀπὸ τοῦ τῆς Ἰδαίας νύμφης καὶ Σκαμάνδρου ποταμοῦ υἱοῦ, τοῦ προειρημένου Τεύκρου.

DCCCCXXIX. *Περὶ τοῦ Τρωίλου.*

Τρωΐλου, τοῦ παιδὸς τῆς Ἑκάβης καὶ Πριάμου, φασὶν ὅτι ἐρασθεὶς ὁ Ἀχιλλεὺς ἐν λόγοις, ἔργῳ μὲν Ἀπόλλωνος ἐδίωκεν αὐτόν. προσφυγόντα δὲ τῷ Θυμβραίου Ἀπόλλωνος ναῷ Ἀχιλλεὺς ἐβίαζεν αὐτὸν ἐξελθεῖν, ὡς δ' οὐκ ἔπειθε, προσελθὼν ἀνεῖλε τῷ βωμῷ. ὃν φασι καὶ τιμωρῶν ὁ Ἀπόλλων αὐτόθι παρεσκεύασεν ἀναιρεθῆναι. καὶ οὕτω μέν τινες ληροῦσι περὶ τοῦ Τρωΐλου. οἱ δὲ ἀκριβέστεροι τοῦτον τὸν Τρωΐλον καὶ βαθεῖαν ἔχοντα τὴν ὑπήνην καὶ μελάγχρουν ἱστοροῦσιν· οὐ πείθομαι δὲ τὸν Θετταλὸν Ἀχιλλέα τοιούτων ἐρᾶν. νέος μὲν οὐχ ὁ Τρωΐλος καὶ ὡραῖος, μελάγχρους δὲ καὶ δασυγένειος καὶ Ἀχιλλέως

quem prorsus neglexit Villoisonus. Equidem eam tantum particulam ab oblivione vindicavi, quae a Steph. Byz. v. *Δάρδανος* oriunda est DCCCCXXIX. Tzetzes Lyc. 307

ἐρώτων ἀνάξιος. μετὰ δὲ τὴν ἀναίρεσιν Μέμνων ἐξελθὼν ἐκ τῆς Τροίας συμβάλλει τῷ Ἀχιλλεῖ καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ. καὶ ἐγένετο ἐν τῇ Τροίᾳ δι' αὐτὸν πένθος πολύ, οἷον ὑπ' Ἕκτορος.

DCCCCXXX. *Περὶ Τροφωνίου.*

Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας δὲ ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο καὶ λιμαγχονηθεὶς ἀπέθανεν, ἐγκατοικῆσαν δὲ δαιμόνιόν τι, τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρησόμενοι ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε λοιπὸν οὐκέτι ἐγέλα διὰ τὴν τῶν ὄφεων ἔκπληξιν, ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων καὶ συνωφρυωμένων τὸ „ἐς Τροφωνίου μεμάντευται." καὶ ἄλλως. οἱ περὶ Τροφώνιον καὶ Ἀρισταῖον καὶ Ἐμπεδότιμον ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτίας, πόλεως Λεβαδείας, μάντεις δὲ ταῖς τέχναις. βουλόμενοι δὲ κενοδοξῆσαι καὶ δεῖξαι, ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ὑποβρυχίους σπηλαίοις ἔβαλον, ἐπὶ τὸ τεθνάναι καὶ μὴ εὑρεθῆναι αὐτῶν τὰ λείψανα. οὗτοι δὲ οὕτω τεθνήκασιν, ἐγνώ-
405 σθησαν δέ, ὅτι ἐκεῖσε ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι περὶ τὸν τόπον. ἔστι δέ τις παροιμία ἡ λέγουσα „εἰς Τροφωνίου μεμάντευσαι." λέγεται δὲ ἐπὶ τῶν ὠχριώντων καὶ μηδέποτε γελώντων. πᾶς γὰρ ὁ

DCCCCXXX. Cosm. p. 184 (Clarke p. 52; cod. Mon. 490) *Τροφ. κ. Ἀγαμ.* — exit. Nonn. Sanct. Lum. 6. Cf. Eud. p. 171

14 et 23 Zenob. III, 61 19 *ὑποβρηχίους* P corr. V

καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο, ἀγέλαστος ἀνήει καὶ ὠχριῶν διηνεκῶς. ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων, ὅτι ὠχριάσαντες καὶ μηδέποτε ἐν τῷ ὑποβρυχίῳ γελάσαντες ἀπέθανον. ἠξιώθησαν δὲ ὁ Τροφώνιος καὶ Ἀγαμήδης ὁ ἀδελφὸς αὐτοῦ μαντεύεσθαι διὰ τὸ κτίσαι αὐτοὺς ἀπὸ οἰκείων χρημάτων τὸ ἱερὸν τὸ ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος. καὶ ἄλλως. Τροφώνιος καὶ Ἀγαμήδης ἀδελφοὶ δύο γεγόνασι, μάντεις τὴν τέχνην. τούτων ὁ Τροφώνιος ὑπὸ κενοδοξίας ὑποβρύχιος γεγονὼς ἐν σπηλαίῳ τινὶ ἀπέψυξεν, εἶτα οἱ θεοὶ ἐλεήσαντες, φασίν, αὐτὸν τὸν τόπον, ἐν ᾧ ἀπέψυξεν, ἐποίησαν μαντεύεσθαι. καὶ κατήεσαν εἰς τὸ σπήλαιον καί τινας τελετὰς ποιοῦντες ἀνήεσαν, ὡς χρησμοδοτισθέντες. λέγεται δέ, ὅτι πᾶς κατελθὼν εἰς τὸ σπήλαιον ἐκεῖνο ἐκ τοῦ λοιποῦ ἀγέλαστος ἦν.

DCCCCXXXI. *Περὶ τῆς Τυροῦς.*

Τυρώ, Σαλμωνέως θυγάτηρ, Κρηθέως γυνὴ υἱοῦ Αἰόλου, ἥν φησιν Ὅμηρος ἐρασθῆναι ποταμοῦ Ἐνιπέως, αὐτῆς δ' αὖ παλιν ἐρῶντα Ποσειδῶνα ὁμοιωθῆναι τῷ ῥηθέντι ἐραστῇ ποταμῷ καὶ οὕτως αὐτῇ μιγῆναι, τὴν δὲ ἐκ Ποσειδῶνος τεκέσθαι Πελίαν καὶ Νηλέα. ἐπωνομάσθησαν δὲ οὕτως, ὅτι γεννήσασα αὐτοὺς παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλιπε. τὸν μὲν οὖν ἕνα κύων, ἀφαιρεθέντων αὐτῆς τῶν τέκνων, παρέχουσα θηλὴν ἔτρεφε, τὸν δὲ ἕτερον ἵππος κατὰ

DCCCCXXXI. Eustath. Od. p. 1681 ἕτεροι δὲ οὕτω — exit. Eustath. Od. p. 1685

13 χρησμοδοτιθέντες PV 17 Od. XI, 238 φησιν P φησι V

τὸ μέτωπον ἐπάτησεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοὶ ἀνελόμενοί τε τὰ παιδία ἔτρεφον καὶ ὠνόμασαν τὸν μέν, ἐπεὶ ἐκ συνδρομῆς αἵματος ἐπελιώθη, Πελίαν, τὸν δὲ ἕτερον, ἐπεὶ κύων κατηλέησε, Νηλέα, ὧν Πελίας μὲν ἐν Ἰωλκῷ ἐβασίλευσε, Νηλεὺς δὲ ἐν Πύλῳ. καὶ τούτους μὲν τοὺς δύο οὕτω γενέσθαι αὐτῇ ἐκ Ποσειδῶνός φασιν, ἀπὸ δέ γε Κρηθέως Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. ἕτεροι δὲ οὕτω φασί. μετὰ θάνατον Σαλμωνέως κομιζομένη Τυρώ, τουτέστιν ἐπιμελῶς ἐκτρεφομένη, παρὰ Δηϊονεῖ τῷ θείῳ, κορεύεται ὑπὸ Ποσειδῶνος, εἶτα Κρηθεῖ τῷ τοῦ πατρὸς ἀδελφῷ δίδοται εἰς γάμον, ἐξ ἧς γεννᾶται Νηλεύς.

406 DCCCCXXXII. *Περὶ Τυφωέως τοῦ γίγαντος.*

Τυφωεύς (ὃν οἱ μεθ' Ὅμηρον Τυφῶνα καλοῦσι τετραχῶς σχηματίζοντες, Τυφωεὺς γὰρ καὶ Τυφάων Τυφάονος καὶ μετὰ κρᾶσιν Τυφῶν καὶ Τυφῶς), κατὰ μὲν Ἡσίοδον Γῆς υἱὸς μυθεύεται, κατὰ δὲ Στησίχορον Ἥρας μόνης, κατὰ μνησικακίαν Διὸς τεκούσης αὐτόν. Λυκόφρων δὲ δαίμονά φησιν αὐτὸν ἑκατογκέφαλον, πολεμισθέντα καὶ κεραυνωθέντα τῷ Διΐ, οὐ μὴν ἀλλὰ καὶ Πίνδαρος „ἑκαταγκεφάλα Τυφῶ-

DCCCCXXXII. Eustath. Il. p. 345 *κατὰ μὲν Ἡσίοδον — αὐτόν* Etym. M. p. 772, 49 *Λυκόφρων — σέλας* Tzetzes Lyc. 177 *ἡ δὲ κατὰ — ἐπέθηκεν* Eustath. l. c. *ἰστέον δὲ — πνεύματα* Tzetzes Lyc. l. c. *καὶ ἄλλως πάλιν — αὐτόθι αἰκίζεσθαι* Eustath. l. c. *φασὶ δὲ τῶν τεραταλόγων* — exit. Schol. Apoll. II, 1210

---

8 *φασί* P *φασίν* V 16 Theog. 821 Stes. fr. 60 Bergk. 18 Lycophronem plane haec ignorare monuit Müllerus praef. p. XXX, itaque vitium hic latere patet *ἑκατοντακέφαλον* bis PV 20 Ol. IV, 8 *μὲν* PV

νος ὀμβρίμου“ λέγει. Αἰσχύλος δὲ πάλιν περὶ τούτου φησί· „σμερδναῖσι γαμφηλαῖσι συρίζων φόνον, ἐξ ὀμμάτων δ᾽ ἤστραπτε γοργωπὸν σέλας“. [ἡ δὲ κατὰ τὸν Τυφωέα παραβολὴ μυθικῶς μὲν ἐναντιουμένους ἔχει τὸν Δία καὶ τὸν Τυφωέα αὐτόν, νικῶντα δὲ τὸν Δία, κεραυνοῖς ἱμάσσοντα, καὶ τοιαύταις πληγαῖς, ὧν συμμετέχει καὶ ἡ γῆ, κατασκηπτόντων εἰς αὐτήν. ἡ δὲ μυθικὴ ἀναίδεια καὶ ὁ κατ᾽ αὐτὴν λῆρος καὶ ταῦτά φησιν. ἡ γῆ ἀγανακτοῦσα ἐπὶ τῷ φόνῳ τῶν γιγάντων διαβάλλει τὸν Δία τῇ Ἥρᾳ, ἡ δὲ τῷ Κρόνῳ τὸν Δία ἐξεῖπε καὶ αὐτὸς ἔδωκεν αὐτῇ ᾠὰ τῷ ἰδίῳ χρίσας θορῷ, καὶ κατὰ γῆς ἐκέλευσεν ἀποθέσθαι, ἀφ᾽ ὧν ἀναδοθήσεται δαίμων, ἀποστήσων τὸν Δία τῆς ἀρχῆς. ἡ δὲ ὡς ἔσχεν ὀργῆς, ἔθετο αὐτὰ ὑπὸ Ἀρίμαιον τῆς Κιλικίας. ἀναδοθέντος δὲ τοῦ Τυφῶνος, Ἥρα διαλλαγεῖσα τῷ Διὶ τὸ πᾶν ἐκφαίνει, ὁ δὲ κεραυνώσας τὸν Τυφῶνα, τὴν Σικελικὴν Αἴτνην (ὄρος δὲ αὕτη πυρικαές) αὐτῷ ἐπέθηκεν.] ἰστέον δέ, ὅτι οἱ μέν φασι τὸν Δία ἐν τῇ Σικελίᾳ τὸν Τυφῶνα καταταρταρῶσαι, οἱ δὲ ἐν Λυδίᾳ, ἄλλοι δὲ ἐν Κιλικίᾳ, καὶ ἕτεροι ἐν Βοιωτίᾳ, τινὲς δὲ ἐν Φρυγίᾳ, οἱ δὲ ἐν Αἰγύπτῳ, ὧν καὶ Ἡρόδοτος, ὁ δὲ Πίνδαρος τῷ Τυφῶνί φησιν ἐπικεῖσθαι τὴν Αἴτνην, διό φασι καὶ ἐπὶ τοῖς κοίλοις καὶ κισσηρίσι τόποις αὐτῆς ἡμέρας μὲν καπνὸν φαίνεσθαι, κατὰ δὲ τὸν καιρὸν τῆς νυκτὸς πῦρ τὰς τοῦ ὄρους πέτρας ῥηγνύον καὶ κυλίον εἰς τὴν θάλασσαν. καὶ

---

1 Aesch. Prom. 355, ex quo reposui *σμερδναῖσι* pro *διναῖσι*, quod PV praebent 3 *ἡ δὲ — ἐπέθηκεν* ex Eustathii commentariis interpolata suspicor 20 *Λυδίᾳ* F *Λαοδικείᾳ* PV 22 Pyth. I, 20

ταῦτα μὲν τὰ μυθικά, ἀλληγορικῶς δὲ καὶ στοιχειακῶς Τυφῶν ἐστιν ὁ τύφος καὶ ἡ κενοδοξία, ἑκατὸν κεφαλὰς ἔχουσα, τουτέστι πολλοὺς τρόπους ἐπάρσεως. κεραυνοῦται δὲ καὶ πίμπραται καὶ καταβάλλεται τῷ Διί, ἤτοι τῷ σώφρονι λογισμῷ. ἢ Τυφῶν ἐστι στοιχειακῶς ἡ μετὰ [τὸν] τοῦ Χάους καὶ τοῦ Ἐρέβους διάλυσις καὶ κίνησις τῶν πνευμάτων καὶ ἐκπύρωσις, ἥτις ὑπερεσχέθη καὶ ἐπαύθη ὑπὸ Διός, ἤτοι τοῦ εὐκράτου ἀέρος καὶ οὐρανοῦ· μετὰ γὰρ τὸ εὐκρατωθῆναι καὶ συστῆναι τὸν οὐρανὸν εὔρυθμον, ἐπεχύθησαν τὰ τυφωνικὰ καὶ πυρώδη πνεύματα. καὶ ἄλλως πάλιν ἡ ἀλληγορία Δία
407 μὲν τὸν ἀέρα νοεῖ, Τυφωέα πνεῦμα ὑπόγεων πυρόεν καὶ καυστικόν, ἐκ τοῦ τύφω τὸ καίω ὀνομασθέν, ὃς δὴ Τυφωεὺς τοιοῦτος ὢν ἐναντιοῦταί ποτε τῷ Διΐ, ὅτε δηλαδὴ ἑαυτὸν ἐκκαύσας καὶ τὴν γῆν ἀναρρήξας ἀναδράμῃ καὶ κυκήσας τὰ περὶ γῆν, εἶτα καὶ ἐν μετεώροις τῷ ἀέρι [τῷ] Διὶ ἐμπεσὼν οὐράνιον ἄχος κατὰ τὴν τραγῳδίαν γένηται. οὐ κατακρατεῖ δὲ εἰς τέλος ὅμως τοῦ Διός, ἀλλὰ μαραίνεται, μὴ ἔχων εἰς τὸ πᾶν τὸν ψυχρὸν ἀέρα στέγειν, καὶ οὕτως ἡττᾶσθαι τοῦ Διὸς λέγεται. ὅθεν ἡνίκα οἱ κεραυνοὶ ἐκ τοῦ ἀέρος πίπτουσι καὶ μάλιστα ἔνθα τυφωνικὰ ἐπιχωριάζει πνεύματα, πόλεμος κινεῖσθαι πιθανεύεται μεταξὺ Τυφωέος καὶ Διός. τοιούτοις δὲ τόποις ἐναρίθμιος καὶ τὰ Ἄριμα, ἔνθα ὁ Τυφεὺς εὐνάζεσθαι λέγεται, τουτέστι διατρίβειν καὶ αὐτόθι αἰκίζεσθαι. πρὸς τού-

---

1 στοιχιακῶς hic et infra PV 7 ἐκπύρωσις F ἐκπλήρωσις PV, mox ὑπερσχέθη PV 12 ἡπόγεων F ὑπόγεον P ὑπόγαιον V 17 τῷ expunxi cum F 21 ἡνίκα addidi ex F om. PV 24 ἐναρίθμιος F ἐν Ἀρίμοις inepte PV

*τοις δὲ καὶ διάφορόν τινα δόξαν περὶ αὐτοῦ λέξομεν. φασὶ γὰρ τῶν τερατολόγων τινές, τὸν Τυφῶνα περὶ τὸν Καύκασον ἐν τῇ Τυφαωνίᾳ πέτρᾳ κεραυνωθέντα, ἰχῶράς τινας ἀποστάξαι, ἐξ ὧν ἐγένετο ὁ ὄφις ὁ τὸ δέρας φυλάσσων. Φερεκύδης δὲ ἐν τῇ Θεογονίᾳ φησίν, ὅτι ὁ Τυφὼς καιόμενος ἀφίκετο εἰς τὸν Καύκασον, ἐκεῖθεν δὲ φυγὼν εἰς Ἰταλίαν ἀφίκετο, ἔνθα καὶ τὴν Πιθηκοῦσαν περιρυῆναί φασιν αὐτῷ. ὁ δὲ τὰ Ἀργοναυτικὰ γράψας Ἀπολλώνιος ἐκ τοῦ Καυκάσου φησὶν ἀφικέσθαι εἰς τὴν Σερβωνίδα λίμνην, ἔνθα υποβρύχιον γεγονότα, ἤτοι βυθισθέντα, κεῖσθαι. ἔστι δὲ ἡ Σερβωνὶς λίμνη περὶ τὸ Πηλούσιον τῆς Αἰγύπτου, διήκει δὲ καὶ μέχρι Συρίας. τὰ δ' αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡρόδωρός φησιν, * * * ἔνθα καὶ περὶ τῆς Νύσσης ἱστορεῖ λέγων·*

ἔστι δέ τις Νύσση ὕπατον ὄρος ἀνθέον ὕλῃ,
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

ὁ δὲ Καύκασος διήκει ἀπὸ τῶν Ἀρμενίων ὀρῶν μέχρι Κόλχων.

DCCCCXXXIII. *Περὶ τῶν Ὑάδων Νυμφῶν.*

Ὑάδες Νύμφαι, αἱ καλούμεναι Δωδωνίδες, Διονύσου τροφοί, αἷς ἡ Ἰνὼ διὰ τὸν τῆς Ἥρας φόβον παρα-

DCCCCXXXIII. Eustath. Il. p. 1212. Cf. Robert, Eratosth. p. 24 et 106

---

5 fr. 37 Sturz 9 Apoll. II, 1215 14 Müller II, p. 40 Post *φησιν* lacunam editores scholiorum Apollonii recte indicaverunt 15 Hymn. Hom. XXXIV, 8 seq., unde *ὄρος* pro *κέρας*, *ἀνθέον ὕλῃ* pro *ἀνθέων ὕλῃ* recepi 19 Hic in margine P legitur *πόθεν ὁ τὸ χρυσοῦν δέρμα φυλάσσων ὄφις ἐγεγόνει* 20 *Δωνίαι* PV. Neque ad verbum Homeri commentarios expressit

κατέθετο τὸν Διόνυσον, ὅτε Λυκοῦργος αὐτὰς ἐδίωξε, συμπεριούσας ἐκείνῳ καὶ κατανεμούσας τὴν ἄμπελον. τιθέασι δέ τινες αὐταῖς ὄνοματα Ἀμβροσίαν, [καὶ] Εὐδώρην, Αἰσύλην καὶ τοιαῦτά τινα. οἱ δέ φασιν, ὅτι Ὑάδες Βάκχαι τιθῆναι τοῦ Διονύσου, καὶ τὸν Διόνυ-
408 σον Ὕην ἀπὸ τούτων ἀποκαλοῦντες. κεῖται δὲ αἱ Ὑάδες ἐπὶ τῶν τοῦ Ταύρου κεράτων, ἢ διὰ τὸν ἀδελφὸν Ὕαντα οὕτω κληθεῖσαι, ἢ διότι τῷ υ στοιχείῳ παρεμφερεῖς εἰσιν, ἢ ὅτι ὑετῶν ἐπισημασίας δηλοῦσιν.

DCCCCXXXIV. *Περὶ Ὑακίνθου.*

Ὑάκινθος Ἀμυκλαῖον ἦν μειράκιον ὡραῖον καὶ καλόν, εἰς ὃν εἶδε μὲν ὁ Ἀπόλλων, εἶδε δὲ καὶ ὁ Ζέφυρος, καὶ ἄμφω κατείχοντο τῇ μορφῇ, καὶ φιλότιμος ἦν ἀφ' ὧν εἶχεν ἑκάτερος. ἐτόξευε μὲν ὁ Ἀπόλλων, ἔπνει δὲ ὁ Ζέφυρος, μέλη μὲν ἦν τὰ παρ' ἐκείνου καὶ ἡδονή, φόβος δὲ τὰ παρὰ τούτου καὶ ταραχή. ῥέπει πρὸς τὸν δαίμονα τὸ μειράκιον καὶ Ζέφυρον ὑπὸ ζηλοτυπίας ὁπλίζει πρὸς πόλεμον. μετὰ ταῦτα ἦν γυμνάσια τῷ μειρακίῳ καὶ τιμωρία παρὰ Ζεφύρου. δίσκος ἦν ὁ πρὸς τὴν ἀναίρεσιν ἐκείνου διακονήσας, ὑπὸ τούτου μὲν ἀφεθείς, ὑπ' ἐκείνου δὲ ἐνεχθείς, καὶ ὁ μὲν ἐτεθνήκει, τὴν γῆν δὲ οὐκ ἦν ἔρημον ὑπομνήματος ἀφεῖναι τὴν συμφοράν, ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεται καὶ τοὔνομα δέχεται. ὑποκυανίζει δὲ τὴν

DCCCCXXXIV. Palaephat. 47 (Arsen. Viol. p. 488) *τινὲς δὲ* — exit. aliunde fluxerunt (cf. Eustath. Il. p. 285)

---

neque Pausaniae lexicographi testimonium adscivit Eudocia 4 *Φαισύλην* Robert 6 *Ὕἱν* PV 10 *Ἀμικλαῖον* PV 19 Sic F *ἐκείνου* PV 23 *ὑποκυανίζει — προοίμιον* om. F

χρόαν τὸ ἄνθος, κατάστικτον ἐν ἐνίοις. λέγουσι δέ, ὅτι καὶ τῆς προσηγορίας ἐν φύλλοις ἐπιγέγραπται τὸ προοίμιον. τινὲς δὲ ἐκ τοῦ αἵματος τοῦ Αἴαντος ἐμυθεύσαντο τὸν Ὑάκινθον ἀναφυῆναι εἰς τιμὴν τοῦ ἥρωος καὶ τὴν προσηγορίαν τοῦ ὀνόματος κατεστίχθαι. αἳ γὰρ ἐν τοῖς φύλλοις ἐπιγέγραπται, οἱονεὶ ὀλολύζων τὸν τοῦ ἥρωος θάνατον, ὅθεν καὶ Μόσχος ἐς τὸν Βίωνα παρεισφέρων τὸν ὀλολυγμὸν εἴρηκε·

Νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα καὶ πλέον αἰαῖ
Λάμβανε τοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.

DCCCCXXXV. *Περὶ τῆς Ὕδρας.*

Ὕδρα θηρίον μυθεύεται περὶ τὴν Λέρνην, πεντηκοντακέφαλον, οἱ δὲ ἐννεακέφαλον, τὰς δὲ κεφαλὰς εἶναι ὄφεων, ὃ θηρίον ἐλθὼν ὁ Ἡρακλῆς μετὰ τοῦ θεράποντος αὐτοῦ Ἰολάου ἀπέκτεινε. μυθεύεται δὲ καὶ τοῦτο, ὅτι τεμνομένης μιᾶς κεφαλῆς, δύο ἀντ' αὐτῆς παρεφύοντο, ὡς γίνεσθαι ἐπὶ τὸ διπλάσιον ἑκατὸν κεφαλάς. καρκίνος δέ τις τὴν τοῦ Ἡρακλέους πτέρνην δάκνων τοῦ ἔργου ἐκώλυεν, τῇ ὕδρᾳ συμμαχόμενος, ὁ καὶ ὕστερον καταστερισθείς. ὁ δὲ Ἰόλαος, ὁ τούτου ἀδελφιδοῦς, γνοὺς τοῦτο ἐμηχανήσατο καὶ πῦρ ἔφερε καὶ τὴν τεμνομένην κεφαλὴν ἐνεπίμπρα, καὶ οὕτως ἴσχυσαν ἀποκτεῖναι αὐτό. οἱ δὲ τὸν μῦθον ἀλληγοροῦντες ἱστορικώτερον περὶ αὐτῆς διαλαμ- 409

DCCCCXXXV. Nonn. I, 49. Cf. Eud. p. 208. *οἱ δὲ τὸν μῦθον ἀλληγοροῦντες* — exit. Palaeph. 39

---

7 *Μόσχος* corr. Harles coll. Id. III, 6 *Θεόκριτος* PV 9 *αἰαῖ — τοῖς — τέθνακε* scripsi Zieglerum secutus *αἲ αἲ — σοῖς — τέθνηκε* PV 14 *Ὕλου* PV 19 *κατηστερισθείς* PV

βάνουσι. καὶ γάρ φασιν, ὅτι Λέρνος ἦν βασιλεύς. ᾤκουν δὲ πάντες οἱ ἄνθρωποι κατὰ κώμας τῷ τότε καιρῷ, ἦσαν δὲ καὶ βασιλεῖς ἐφ' ἑκάστῳ τῶν χωρίων τούτων. Σθένελος δὲ ὁ τοῦ Περσέως εἶχε τὸ μέγιστον καὶ πολυανθρωπότατον, τὴν Μυκήνην, ὁ δὲ Λέρνος οὐκ ἤθελεν αὐτῷ ὑποτετάχθαι. ἐπολέμουν οὖν οἱ δύο διὰ τοῦτο. ἐν δὲ τῇ εἰσβολῇ τῆς χώρας ἦν τῷ Λέρνῳ πολίχνιόν τι ἰσχυρὸν καὶ ἐφρούρουν αὐτὸ πεντήκοντα τοξόται ἀνδρεῖοι, οἳ ἐπήησαν ἐπὶ τῷ πύργῳ ἀδιαλείπτως νύκτα καὶ ἡμέραν, ὄνομα δὲ ἦν τῷ πολιχνίῳ Ὕδρα. πέμπει οὖν Εὐρυσθεὺς Ἡρακλέα καὶ ἐκπορθεῖ αὐτὸ τὸ πολίχνιον. οἱ δὲ περὶ Ἡρακλέα ἐπυρπόλουν τοὺς ἐπὶ τῷ πύργῳ τοξότας. ὁπότε δέ τις πληγεὶς πέσοι, ἀνέβαινον δύο τοξόται ἀνθ' ἑνός, ἐπειδὰν ἀνδρεῖος ἦν ὁ προανῃρημένος. ἐπειδὴ δὲ συνείχετο ὁ Λέρνος ὑπὸ τοῦ Ἡρακλέους τῷ πολέμῳ, μισθοῦται ὀθνεῖον στρατόν. ἦλθε δὲ αὐτῷ ἄγων τὴν στρατιὰν Καρκίνος ὄνομα τῷ ἀνδρί, μέγας τὴν ἰσχὺν καὶ πολεμικός, καὶ σὺν τούτῳ ἀντεῖχε πρὸς τὸν Ἡρακλέα. εἶτα βοηθεῖ ὁ Ἰόλεως ὁ Ἰφικλέους, ἀδελφιδοῦς ὤν, ὡς εἴρηται, τῷ Ἡρακλεῖ, ἔχων [τὴν] στρατιὰν ἀπὸ Θηβῶν, καὶ τὸν πεφυκότα πύργον πρὸς τῇ Ὕδρᾳ προσελθὼν ἐνέπρησε καὶ σὺν ταύτῃ τῇ δυνάμει ἐπόρθησεν αὐτοὺς ὁ Ἡρακλῆς καὶ τὴν Ὕδραν ἀναιρεῖ καὶ τὴν στρατιὰν ἀπόλλυσιν, οὗ γενομένου τοῦ πεντηκοντακεφάλου θηρίου ὁ μῦθος προσανεπλάσθη.

---

2 τῷ τότε καιρῷ om. F 8 καρτερὸν F 9 Sic F οὓς ἐπίεσαν PV 12 Genuinam scripturam praebuit F οἱ δὲ ἐπὶ τῶν πύργων ἐπυρπολοῦντο τοῖς ἐπὶ τῷ πύργῳ τοξόταις PV 19 ἀντεῖχον PV 21 Cf. p. 397 τὴν expunxi cum F

DCCCCXXXVI. *Περὶ τοῦ Ὕλα.*

Ὕλας, Ἡρακλέους ἐρώμενος, υἱὸς Θειοδάμαντος τοῦ Δρύοπος. οὕτω Μνασέας, Ἑλλάνικος δὲ Θειομένη ἀντὶ Θειοδάμαντος καλεῖ, ὁ δὲ Ἀπολλώνιος Θειοδάμαντος τὸν Ὕλαν φησὶν υἱὸν γενέσθαι, Ἑλλάνικος δὲ Θειομένους. τοῦτον τοίνυν τὸν ἐρώμενον Ὕλαν ἔχων μεθ' ἑαυτοῦ ὁ Ἡρακλῆς, πλέων μετὰ τῆς Ἄργους εἰς Κόλχους σὺν Ἰάσονι, ἐν Κίῳ τῇ πόλει κατήντησε, ἐν ᾗ ἐξελθὼν ὁ Ὕλας, ὕδωρ ἀντλῆσαι βουλόμενος, ἡρπάσθη ὑπὸ Νυμφῶν ὑδρευόμενος. μὴ ἐπανήκοντος δὲ αὐτοῦ, ὁ Ἡρακλῆς πολὺν χρόνον ἐζήτει, ἀλλ' οὐδὲν ἤνυσεν, ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς ἤκουσε „ποθεῖς τὸν οὐ παρεόντα καὶ μάτην καλεῖς“. ὃ καὶ εἰς παροιμίαν ἐλήφθη ἐπὶ τῶν μάτην προσδοκούντων. Ἀντικλείδης δὲ ἐν τοῖς Δηλιακοῖς ἱστόρησεν, οὐ τὸν Ὕλαν εἰς τὴν ὑδρείαν ἐξηλελυθέναι, ἀλλὰ τὸν Ὕλον τὸν Ἡρακλέους υἱὸν καὶ ἀνεύρετον γενέσθαι. πολλοὶ δὲ ἐρώμενοι γενέσθαι λέγονται Ἡρακλέους· Ὕλας, Φιλοκτήτης, Δίομος, 410 *Πειρίθοος καὶ Φρύξ, ἀφ' οὗ πόλις κατὰ Λιβύην. Σωκράτης δὲ ἐν τῷ πρὸς Εἰδόθεόν φησι, τὸν Ὕλαν ἐρώμενον Πολυφήμου καὶ οὐχ Ἡρακλέους γενέσθαι.*

DCCCCXXXVI. Schol. Apoll. I, 131 *ὁ δὲ — Θειομένους* Schol. Apoll. I, 1207 *τοῦτον — προσδοκούντων* Schol. Ar. Plut. 1127 *Ἀντικλείδης* — exit. Schol. Apoll. I, 1207

---

2 Müller III, p. 151 3 *Θειομένη ἀντὶ* corr. Sturzius *Θειομένητα* PV Apoll. I, 1213 4 fr. 39 Müller 12 *ἤκουσε* P *ἤκουσεν* V. Cf. Ar. Plut. 1127 13 Zenob. VI, 21 14 *Διοκλείδης* PV. Cf. Müller, Script. rer. Alex. p. 147 19 *Πειριθόας* PV 20 Müller IV, p. 498

Ὄνασος δὲ ἐν πρώτῳ Ἀμαζονικῶν ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται, οὐχ ἡρπάσθαι λέγων αὐτὸν ὑπὸ Νυμφῶν, ἀλλὰ κατηνέχθαι εἰς κρήνην καὶ οὕτως ἀποθανεῖν.

[DCCCCXXXVII. *Περὶ Φαεθούσης.*

Φαέθουσα καὶ Λαμπετίη Ἡλίου καὶ Νεαίρας θυγατέρες μυθεύονται, ποιμένες τῶν τοῦ Ἡλίου βοῶν ἐν Σικελίᾳ.]

DCCCCXXXVIII. *Περὶ Φαέθοντος.*

Φαέθων ὁ υἱὸς τοῦ Ἡλίου καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ. δύο γὰρ ἵπποι, φασί, τῷ ἅρματι τοῦ Ἡλίου εἰσίν, ὧν ὁ μὲν Λάμπων, ὁ δὲ Φαέθων ὀνομάζεται. τὸν δὲ τοῦ Ἡλίου παῖδα ἐκπεσεῖν τοῦ πατρῴου ἡλιακοῦ ἅρματος μυθεύονται, ἐμπεσόντα δὲ τῷ Ἠριδανῷ ποταμῷ ἐκεῖ τὰς ἀδελφὰς Ἡλιάδας νυκτὸς θρηνεῖν, καὶ τῶν ὀφθαλμῶν ἀποστάζειν δάκρυον ἠλέκτρου, εἶτα εἰς αἰγείρους μεταβεβλημένας ἀποστάζειν καὶ εἰσέτι τοιοῦτο δάκρυον. πρὸς τούτοις δὲ καὶ τοῦτό φασιν, ὅτι οἱ Κελτοὶ ὑφήμενοι ταῖς αἰγείροις δρέπονται το τοιοῦτον ἤλεκτρον. ἤλεκτρος δὲ νῦν οὐχὶ τὸ ἐκ χρυσοῦ καὶ ἀργύρου κρᾶμα, λίθος δέ τις χρυσοειδής, ἐξ οὗ καὶ λαβαὶ μαχαίραις γίνονται, ἀχύρων ἐφελκυστι-

DCCCCXXXVII. Eustath. Od. p. 1717. Cf. Eud. p. 275
DCCCCXXXVIII. Eustath. Dion. 288 *οἱ δὲ αὐτοὶ — Κυκλώπων* Schol. Apoll. IV, 611 *ἰστέον δὲ* — exit. Eustath. Dion. l. c.

---

1 *Διονύσιος* coni. Müller III, p. 158 *Ἀμαζονικῶν* F *Ἀμαζονίδων* PV 5 Haec seclusi, quae totidem fere verbis Eudocia iam narraverit

καί, ὡς ἡ μαγνῆτις σιδήρου. οἱ δ' αὐτοὶ Κελτοὶ ἐφήμισαν τὸ ἤλεκτον εἶναι μὴ τῶν Ἡλιάδων, ἀλλὰ δάκρυον εἶναι Ἀπόλλωνος, ἡνίκα διὰ τὸν Ἀσκληπιοῦ θάνατον ἀνιασθεὶς εἰς τοὺς Ὑπερβορέους ἀφίκετο διὰ τὴν τοῦ πατρὸς ἐπιτίμησιν, ἢ ὅτι ἐκελεύσθη θητεύειν ἐπὶ τῷ φόνῳ τῶν Κυκλώπων. ἰστέον δὲ καὶ τοῦτο, ὅτι τινὲς τῶν παλαιῶν οὐ λίθον τὸν ἤλεκτρον δεικνύουσιν, ἀλλὰ δένδρου δάκρυον, πεπηγὸς εἰς σῶμα λιθοειδές.

DCCCCXXXIX. *Πόθεν καὶ πῶς οἱ Φαίακες ἐγεννήθησαν.*

Ἀκουσίλαος ἐν τῇ τρίτῃ φησίν, ὅτι ἐκ τῆς ἐκτο-
μῆς τοῦ Οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσε, τουτ- 411
έστι σταγόνας κατὰ τῆς γῆς, ἐξ ὧν γεννηθῆναι τοὺς Φαίακας, οἱ δὲ τοὺς Γίγαντας. καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει, τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ Οὐρανοῦ. Ὅμηρος δὲ οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησι διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν· Φαίαξ γὰρ Ποσειδῶνος καὶ Κερκύρας τῆς Ἀσωπίδος, ἀφ' ἧς ἡ νῆσος Κέρκυρα ἐκλήθη, τὸ πρὶν Δρεπάνη τε καὶ Σχερία κληθεῖσα, ἐν ᾗ κεχωσμένον ἦν τὸ δρέπανον, ᾧ ὁ Ζεὺς Κρόνον ἐξέταμεν.

DCCCCXXXIX. Schol. Apoll. IV, 992 *Φαίαξ — κληθεῖσα* Steph. Byz. (v. *Φαίαξ*) *ἐν ᾗ* — exit. Tzetzes Lyc. 762

---

10 fr. 10 Sturz 13 fr. 115 sed *Ἀλκμὰν* pro *Ἀλκαῖος* legendum esse suspicatus est Bergkius 15 *οἰκείως* PV 20 *ἐν ᾧ* perperam F. Ceterum corr. *ὁ Κρόνος Οὐρανὸν*

DCCCCXL. *Περὶ Φαίδρας.*

Φαίδρα Μίνωος ἦν θυγάτηρ, γυνὴ Θησέως, ἣ ἐρῶσα τοῦ σώφρονος Ἱππολύτου καὶ ἐκπεσοῦσα, οὗ ἤθελεν, αὐτή τε ἀπήγξατο καὶ ἐκεῖνον διαβαλοῦσα τῷ ὑπὸ κόλπου γράμματι, φθαρῆναι καταραθέντα πρὸς τοῦ πατρὸς πεποίηκε, καθὰ καὶ Εὐριπίδης ἱστορεῖ, οὕτω διαλαμβάνων. Θησεὺς ὁ υἱὸς Αἴθρας καὶ Ποσειδῶνος, ὁ Ἀθηναίων βασιλεύς, γήμας μίαν τῶν Ἀμαζόνων Ἱππολύτην Ἱππόλυτον ἐγγένησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνωος τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα, ἕνα τῶν συγγενῶν, φονεύσας φεύγει ἐς Τροιζῆνα μετὰ τῆς γυναικός, οὗ συνέβη τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν, ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα τὴν Φαίδραν εἰς ἔρωτα παρώρμησεν. τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε. στέργουσα γὰρ τὴν νόσον ἡ Φαίδρα χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη. ἡ δὲ κατεπηγγείλατο αὐτῇ βοηθήσειν, ἥτις καὶ παρὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησεν, καθ' ὃν καιρὸν φανεὶς Θησεὺς καὶ καθ-

DCCCXL. Tzetzes Lyc. 1329 vel Plut. Parall. 34 *Θησεὺς* — exit. Argum. Eurip. Hippolyt.

---

11 *καὶ Πασιφάης* om. F

ελεῖν θέλων τὴν ἀπηγχονισμένην εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι' ἧς Ἱππολύτου φθορὰν κατηγόρει καὶ ἐπιβουλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν, αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο, ὧν ἐπακούσας ὁ θεὸς τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστον διασαφήσασα Θησεῖ τὴν μὲν Φαίδραν οὐκ ἐμέμψατο, τοῦτον δὲ παρεμυθήσατο, υἱοῦ καὶ γυναικὸς στερηθέντα, τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσασθαι.

DCCCCXLI. *Φαίδρας γενεαλογία.* 412

Ἥλιος ἐκ Πέρσης τῆς Ὠκεανοῦ γεννᾷ Αἰήτην (οὗ καὶ Εἰδυίας Μήδεια, Ἄψυρτος), Κίρκην (ἧς καὶ Ὀδυσσέως Τηλέγονος, Πασιφάη), Πασιφάην (ἧς καὶ Μίνωος Ἀριάδνη, Γλαῦκος, Ἀνδρόγεως, Φαίδρα).

DCCCCXLII. *Περὶ τοῦ Φαλάριδος.*

Φάλαρις τὸ γένος Σικελιώτης ἦν, καινοτέρων κολαστηρίων εὑρετής. οὗτος ἔγραψεν ἐπιστολὰς θαυμασίας. Διονυσίῳ δὲ τῷ τυράννῳ χαριζόμενος, ὄντι ὠμοτάτῳ καὶ τιμωρητικῷ, ἐπενόησε βοῦν χαλκοῦν, ἐν ᾧ ἔδει βάλλεσθαι τοὺς κολαζομένους καὶ πῦρ ἀνακαίεσθαι, ἵνα ἔνδον ὄντες καὶ καιόμενοι καὶ βοῶντες, διατρεχούσης τὴν φωνῆς διὰ τοῦ στόματος τοῦ ταύρου

DCCCCXLI. Compilavit Apollod. I, 9, 1 III, 1, 2 DCCCCXLII. Nonn. I, 48

7 κατεμέμψατο F 16 οὗτος — θαυμασίας om. F 18 ἐπενόησε P consentiente F ἐποίησε V 19 βάλλειν F Sic F ἀνακαιόμενοι omisso καὶ PV 21 Sic scripsi cum F τοῦ τυράννου omissis verbis διὰ τοῦ στόματος PV

δόξῃ ὁ ταῦρος καιόμενος μυκηθμὸν ἀποτελεῖν, οὗτινος τὸ ἀπάνθρωπον θεασάμενος ὁ Διονύσιος αὐτὸν τοῖτον ἐνέβαλεν εἰς τὸν βοῦν, καὶ καύσας ἀπέκτεινεν ἐν τοῖς ἑαυτοῦ μηχανήμασιν.

DCCCCXLIII. Περὶ τῶν φαλλῶν.

Περὶ τῶν φαλλῶν, καίπερ αἰσχρά τινα καὶ ἀσελγῆ καὶ παμμίαρα μυθεύεται, χάριν τῶν φιλομύθων τὰ παρὰ τοῖς παλαιοῖς εὑρισκόμενα νῦν λέξομεν. ἰστέον τοίνυν, ὅτι ἡ μυθικὴ ἀναίδεια καὶ ὁ κατ᾽ αὐτὴν λῆρος τοιαῦτα περὶ αὐτῶν φησιν. ἐκ Σεμέλης τῆς Κάδμου θυγατρὸς γεννᾶται ὁ Διόνυσος. αὕτη δὲ κεραυνωθεῖσα ἐξητεῖτο ὑπὸ τοῦ Διονύσου. περιπλανωμένῳ δὲ τούτῳ καὶ ζητοῦντι Πολύυμνος, κατὰ δὲ ἄλλους Πολύσυμνος, παῖς οὕτω λεγόμενος, περιέτυχε τῷ Διονύσῳ καὶ ὑπέσχετο δείξειν αὐτῷ τὴν μητέρα, εἰ παιδεραστήσει αὐτόν. ὁ δὲ Διόνυσος ὑπέσχετο τούτῳ. λέγει αὐτῷ ὁ Πολύυμνος, ὅτι ἐν τῇ Λέρνῃ, τῇ Ἅιδου πηγῇ, ἐστὶν ἡ Σεμέλη, καὶ ἐσπερματίσθη ὑπ᾽ αὐτοῦ ὁ Διόνυσος. εἶτα εἰσελθὼν ἐν τῇ θαλάσσῃ ὁ Διόνυσος, ἵνα περάσῃ ἐν τῇ Λέρνῃ, συνηκολούθησεν αὐτῷ ὁ Πολύυμνος. καὶ ὁ μὲν Διόνυσος ὡς θεὸς διεσώθη, ὁ δὲ Πολύυμνος τέθνηκεν. ὁ δὲ Διόνυσος λυπηθείς,

DCCCCXLIII. Nonn. I, 37 (Cosm. p. 261; cod. Mon. 490) Cf. Eud. p. 448. διὰ ταύτην τὴν αἰτίαν — θεόν Schol. Ar. Acharn. 242. Cf. Eud. p. 123 seq. φαλλοὶ — καλοῦνται Nonn. I, 37 ἐν τῇ ἑορτῇ — exit. Cosm. p. 157 (Clarke p. 45)

---

12 Πολύυμνος Cosm. Πρόσυμνος Nonn. Πολύυπνος PV mox additamentum κατὰ δὲ ἄλλους Πολύσυμνος om. F nomen Πολύσυμνος Eud. p. 149 praebet 16 τῇ Ἅιδου πηγῇ om. F 17 καὶ ἐσπερματίσθη — ὁ Διόνυσος om. F 21 Hic τέθνηκε PV infra τέθνηκεν PV

ὅτι ὁ ἐραστὴς αὐτοῦ τέθνηκε, πρὸς τιμὴν αὐτοῦ καὶ μνήμην τοῦ Πολυύμνου αἰδοῖον ξύλινον ἐκ συκίνου ξύλου πελεκήσας καὶ καταχρήσας, κατεῖχεν ἀεὶ [ὁ Διό- 413 νυσος] πρὸς τὴν ἑαυτοῦ παραμυθίαν, ὡς πάνυ ἡδέως μεμνημένος τῆς συντελεσθείσης αὐτοῖς παρανόμου ἡδονῆς, καὶ τύπον σκήπτρου τοῦτο ἐπεφέρετο. οἱ δέ φασιν, ὅτι εἰς τὸν ἑαυτοῦ τράχηλον τοῦτο περιῆψε καὶ οὕτω περιῄει. διὰ ταύτην τὴν αἰτίαν τοῖς φαλλοῖς τιμῶσι τὸν Διόνυσον. φαλλὸς δέ ἐστι ξύλον ἐπίμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἱστορεῖται δὲ καὶ τοῦτο, ὅτι Πήγασος ὁ ἐκ τῶν Ἐλευθερῶν (Ἐλευθεραὶ δὲ πόλις εἰσὶ Βοιωτίας) λαβὼν τοῦ Διονύσου τὰ ἀγάλματα ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀττικοὶ οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν, ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ, νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν, καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δὲ ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς, οἳ δὴ ἐπανελθόντες ἔφασαν ἴασιν εἶναι μόνην ταύτην, εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν θεόν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός [ἡδονὴ γὰρ καὶ ἀφροδίσια.] πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν καὶ τούτοις ἐγέραιρον τὸν θεόν. [φαλλοὶ οὖν εἰσιν οὗτοι πάντες. ἰθύφαλλοι δὲ οἱ εἰς τοὺς μηροὺς μόνον ἐπ'

---

3 Verba ὁ Διόνυσος subditicia esse suspicor 6 ἐπιφέρετο P corr. V 11 Ἐλευθήρων PV 26 φαλλοὶ — καλοῦνται cum sensum perturbent, a ceteris seiunxi, certe interpolator ex se-

εὐθείας ἐπιδεσμούμενοι, διὰ τοῦτο καὶ φαλλητάρια καλοῦνται]. καὶ ἄλλως. ἐν τῇ ἑορτῇ τοῦ Διονύσου φαλλοὺς δερματίνους καὶ σχηματιζομένους εἰς αἰδοῖα ἀνδρὸς περιετίθεσαν οἱ Ἕλληνες ἑαυτοῖς εἰς τιμὴν τοῦ θεοῦ, καί τινας τῶν φαλλῶν ἀπήρτων ἀπὸ τοῦ τραχήλου τοῦ ἑαυτῶν, ἄλλους δὲ καὶ περὶ τὴν ὀσφὺν τὴν ἑαυτῶν ἰθυτενῶς περιεδέσμουν, μιμουμένους αἰδοῖον ὄρθιον, οὓς καὶ ἰθυφάλλους ἐκάλουν, ὡς εἶναι τῶν φαλλῶν τοὺς μὲν ἰθυφάλλους, τοὺς δὲ πλαγιοφάλλους. λεκτέον δὲ νῦν καὶ περὶ τοῦ ἀναιδοῦς Φάνητος.

DCCCCXLIV. *Περὶ τοῦ Φάνητος καὶ τοῦ Ἠρικαπαίου.*

Ἐν τοῖς Ὀρφικοῖς ποιήμασιν εἰσηνέχθη τὰ δύο ταῦτα μετὰ καὶ ἄλλων πολλῶν, ὧν τὸν Φάνητα εἰσφέρει, αἰδοῖον ἔχοντα ὀπίσω περὶ τὴν πυγήν. λέγουσι δὲ αὐτὸν ἔφορον τῆς ζωογόνου δυνάμεως, ὁμοίως καὶ τὸν Ἠρικαπαῖον λέγουσιν ἑτέρας ἔφορον εἶναι δυνάμεως.

DCCCCXLV. *Περὶ Φάωνος.*

Τῷ Φάωνι βίος ἦν περὶ πλοῖον εἶναι καὶ θάλασσαν, ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ἐνομίζετο, ἐπεὶ

DCCCCXLIV. Nonn. I, 78 DCCCCXLV. Palaephat. 49 (Arsen. Viol. p. 461)

---

quenti Nonni narratiuncula adscripsit 5 *ἀπήρτων* Cosmas *ἀνήρτων* Bodlei 7 *ἐδέσμουν* Bodlei. 9 *πλαγειοφάλλους* Bodlei. 12 Sic F *ποιήμασι συνεισήχθη* PV. Cf. Orph. fr. 8 Hermann. 18 Hic F addidit *πορθμὸς ἦν θάλασσα*, quorum loco infra Eudocia legit *πορθμὸς ἦν πλοῦς*

καὶ μέτριος ἦν καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο. 414 *θαῦμα ἦν τοῦ τρόπου παρὰ Λεσβίοις. ἐπαινεῖ τὸν ἄνθρωπον ἡ Ἀφροδίτη καὶ ὑποδῦσα θέαν ἀνθρώπου, γυναικὸς ἤδη γεγηρακυίας, τῷ Φάωνι διαλέγεται περὶ πλοῦ· πορθμὸς ἦν ὁ πλοῦς. ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι καὶ μηδὲν ἀπαιτῆσαι. τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον καὶ ἀμείβεται νεότητι καὶ κάλλει τὸν γέροντα. ὅθεν, ὅταν ἀκούσῃς Φάων, τῶν εὐμόρφων νοητέον, οὗτος ὁ Φάων ἐστίν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις ᾆσμα ἐποίησεν.*

DCCCCXLVI. *Περὶ Φερέκλου.*

Φέρεκλος τέκτων υἱὸς Ἁρμονίδου, ὃς ὑπὸ Ἀθηνᾶς ἔξοχα, φασί, φιλούμενος| χερσὶν ἠπίστατο δαίδαλα πάντα τεύχειν, ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας ἀρχεκάκους, αἳ πᾶσι κακὸν ἐγένοντο Τρώεσι.

[DCCCCXLVII. *Περὶ Φιλοιτίου.*

Φιλοίτιος βουκόλος, δοῦλος Ὀδυσσέως.]

[DCCCCXLVIII. *Περὶ Φιλοξένου τοῦ δουλιχοδείρου.*

Φιλόξενος βορός τις ἦν, ὁ κατ' εὐχὴν δουλιχόδειρος, ὃς ὀψοφάγων προλάμπει, οὐ γεράνου τράχηλον

DCCCCXLVI. Tzetzes Lyc. 93 et 97 DCCCCXLVII. Eustath. Od. p. 1888 DCCCCXLVIII. Interpolator compilavit Athen. VIII, p. 341. (Paullo aliter Suid.)

---

3 *ἡ θεός, Ἀφροδίτην λέγουσι τὴν θεὸν* F 8 *ὅθεν — νοητέον* om. F 9 *ἀκούσῃς* correxi, *ἀκούσεις* PV 11 *ᾆσμα* F *αἷμα* P corr. V 16 Haec interpolator addidit 17 Hunc

ἁπλῶς εὐξάμενος εὐτυχῆσαι, ἀλλὰ τριῶν λάρυγγα πήχεων, ὅπως, φησί, καταπίνω πλεῖστον ὅτι χρόνον.]

DCCCCXLIX. *Περὶ Φημίου.*

Φήμιος υἱὸς Τερπίου, ὅθεν Τερπιάδης πατρωνυμικὸν ὄνομα. τοῦτον τὸν Φήμιον ἡ παλαιὰ ἱστορία διδάσκαλον γενέσθαι λέγει τοῦ ποιητοῦ, ἄνδρα σοφὸν καὶ Μούσαις κάτοχον, διὸ καὶ τὸν Ἰθακήσιον ἀοιδὸν ὁ ποιητὴς οὕτω πλάττει καλεῖσθαι, ἐγκατατιθέμενος τῇ ποιήσει τὸ τοῦ διδασκάλου ὄνομα, οἷα κενηρίῳ λαμπρῷ, εἰς κλέος ἀείμνηστον.

DCCCCXLX. *Περὶ Φινέως.*

Φινεὺς κατὰ μὲν Ἑλλάνικον Ἀγήνορός ἐστιν υἱός, κατὰ δὲ Ἡσίοδον Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. ὁμοίως δὲ τούτῳ καὶ Ἀσκληπιάδης φησὶ καὶ Ἀντίμαχος καὶ Φερεκύδης. ἐκ γὰρ Κασσιεπείας τῆς Ἀράβου γίνεται Φοῖνιξ, οὗ Κίλιξ καὶ Φινεὺς καὶ Δό-

DCCCCXLIX. Eustath. Od. p. 1404 DCCCCL. Schol. Apoll. II, 178 et 177 (Phavorin.) *Φινεὺς — Κάλαις* Schol. Apoll. I, 211 *Ἀπολλώνιος — ἑλέσθαι* Schol. Apoll. II, 178 *ἕτεροι — ἀπέθανον* Palaephat. 23 *παῖδας — προσαγορεύεσθαι* Schol. Apoll. II, 178 *θυγατέρες — Θρακῶν* Palaephat. l. c *ἰστέον δὲ τοῦτο* — exit. Schol. Apoll. II, 207

---

articulum descripsit lector aliquis ex Athenaeo, qui hos Machonis versus attulit:

Φιλόξενός ποθ', ὡς λέγουσ', ὁ Κυθήριος
ηὔξατο τριῶν ἔχειν λάρυγγα πήχεων,
ὅπως καταπίνω, φησίν, ὅτι πλεῖστον χρόνον
καὶ πάνθ' ἅμα μοι τὰ βρώμαθ' ἡδονὴν ποιῇ,

unde nostram corrigas. Utroque articulo etiam literarum ordinem perturbari manifestum est 6 Od. I, 154 seq. 10 fr. 38 11 *Ἡσίοδον* F *Φινέα* perperam PV. Cf. fr. 87 13 fr. 14 Bergk. Pher. fr. 19 Sturz

ρυκλος. ὁ δὲ Ἄτυμνος κατὰ μὲν ἐπίκλησιν καὶ αὐτὸς τοῦ Φοίνικος, ταῖς δὲ ἀληθείαις τοῦ Διός. ἔνιοι δὲ βασιλεῦσαί φασιν ἐν Παφλαγονίᾳ τὸν Φινέα (αὕτη δὲ 415 *τῆς Ἀσίας, ὥς φησιν Ἑλλάνικος), ἕτεροι δὲ ἐν Βιθυνίᾳ. ἀμφισβητεῖται οὖν, ἐν ποίᾳ Βιθυνίᾳ φασὶ τὸν Φινέα βασιλεύειν, ἀμφοτέρων οὐσῶν ἐπὶ τῶν περάτων, δοκεῖ οὖν, ὅτι ἐπὶ τῆς Εὐρωπαίας. φησὶ δὲ Ἀπολλώνιος, ὅτι ἐν τῇ Βιθυνίᾳ τὰ ἀπόγεια ἔδησαν τῇ ἐπιούσῃ ἡμέρᾳ, δηλονότι ἀπὸ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην. ἄλλως τε καὶ ὑπὸ πάντων ὁμολογεῖται, τὸν Φινέα περὶ τὸν Σαλμυδησσὸν κατοικῆσαι. ὁ δὲ Σαλμυδησσὸς ἐπὶ τῆς Θρᾴκης ἐστὶ κατὰ τὰ ἀριστερὰ εἰσπλέοντι τὸν πόντον. προσεκτέον δὲ βέλτιον τῷ Ἀπολλωνίῳ, οὐ γάρ φησι δῆσαι τὰ ἀπόγεια τοὺς Ἀργοναύτας ἐν τῇ Βιθυνίᾳ, ἀλλ' ἐν τῇ ἀντιπέραν Βιθυνίᾳ, ὡς εἶναι μίαν μὲν τὴν Βιθυνίαν, τὴν δὲ ἐξεναντίαν αὐτῇ τὴν Θρᾴκην, ἐν ᾗ φησι δῆσαι τὰ ἀπόγεια τοὺς Ἀργοναύτας. ἔνιοι δὲ ἀπίθανον οἴονται, τοσαῦτα ἔτη ἐζηκέναι Φινέα, ὥστε τοῦ Φοίνικος ὄντα υἱὸν μέχρι τῶν Ἀργοναυτῶν διαρκέσαι. ἕτερον οὖν φασι τοῦτον τὸν Φινέα τοῦ παλαιοῦ Φινέως, ἕβδομον ὄντα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος, πρὸς ὃν ἀπήνητησαν οἱ ἥρωες. Φερεκύδης δέ φησι ἐν τῇ ϛ', ὅτι Φινεὺς πάντων τῶν ἐν τῇ Ἀσίᾳ Θρᾳκῶν ἐβασίλευσε μέχρι Βοσπόρου· οὗτοι δέ εἰσι Θυννοὶ καὶ Παφλαγόνες. μυθεύεται δέ, ὅτι ἐπηρώθη τὰς ὄψεις ὁ Φινεὺς κατὰ μὲν ἐνίους ὑπὸ τοῦ ἡλίου, διὰ τὸ πολὺν χρόνον αἰτῆσαι μᾶλλον ζῆν ἢ βλέπειν, κατὰ δὲ ἐνίους, ὅτι ἐπεβούλευσε Περσεῖ. Σοφοκλῆς δέ,*

---

4 fr. 38   7 Arg. II, 176 seq.   22 fr. 19   28 fr. 635

ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν Παρθένιον καὶ Κράμβον, πεισθεὶς διαβολαῖς Ἰδαίας τῆς αὐτῶν μητρυιᾶς. Φινεὺς γὰρ πρώτην ἔσχε Κλεοπάτραν τὴν Ὠρειθύιας, μετὰ ταῦτα δὲ Ἰδαίαν τὴν Δαρδάνου, ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς Κλεοπάτρας παῖδας, ἐπειρᾶτο τυφλῶσαι αὐτούς. οἱ δέ φασιν, ὅτι ὁ πατὴρ ἐβουλήθη τυφλῶσαι, τῆς μητρυιᾶς διαβαλλούσης αὐτοὺς πρὸς αὐτόν. Ὠρείθυια δὲ καὶ Πρόκνις καὶ Κρέουσα θυγατέρες Κέκροπος ἢ Ἐρεχθέως, Ὠρειθυίας δὲ καὶ Βορέου Χιόνη, Χθονία, Κλεοπάτρα, Ζήτης καὶ Κάλαϊς. Ἀπολλώνιος δὲ ὁ τὰ Ἀργοναυτικὰ γράψας οὐ μόνον πηρωθῆναί φησιν αὐτόν, ἀλλὰ καὶ πηρωθέντα ὑπὸ τῶν Ἁρπυιῶν κακῶς πάσχειν, ὅτι ἀνέδην ἅπασι περὶ πάντων, διαρρήδην ἐμαντεύετο. φησὶ γὰρ οὐδ' ὅσσον ὀπίζετο Διός, ἀντὶ τοῦ οὐδὲ μικρὸν ἐπεστρέφετο τοῦ Διός, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων· λέγων γὰρ αὐτοῖς τὰς τῶν θεῶν βουλὰς ἀμελεῖς αὐτοὺς εἶναι περὶ θεοὺς ἐποίει. Ἡσίοδος μέντοι ἐν ταῖς
416 Ἠοίαις πεπηρῶσθαί φησιν αὐτὸν διὰ τὸ δεῖξαι Φρίξῳ τὴν εἰς Σκυθίαν ὁδόν, ἐν δὲ τῷ τρίτῳ τῶν καταλόγων, διὰ τὸ ζωὴν μακρὰν ὄψεως μᾶλλον ἑλέσθαι. ἕτεροι δὲ πάλιν ἱστοροῦσι περὶ Φινέως, ὡς διεφόρουν Ἅρπυιαι τὸν βίον αὐτοῦ. δοκοῦσι δὲ ἔνιοι θηρία καὶ καὶ πετεινὰ ταῦτα, ἁρπάζοντα ἀπὸ τῆς τραπέζης τοῦ

---

1 *Ὄαρθρον καὶ Κράμβην* PV, in margine P legitur *γρ. Ὤρνιθον Παρθένιον καὶ Κράμβον* scripsi Keilium secutus 2 *Εἰδυίας* PV in margine P additum *γρ. Δίας*, quod etiam F praebet, *Ἰδαίας* correxit Burmannus in Ovid. Rem. 454 11 Arg. II, 178 seq. 14 *διαρρήδην* addidi ex P om. V 18 fr. 88 23 *βίον* F *νοῦν* PV

Φινέως τὸ δεῖπνον. ἀλλὰ ταῦτα μὲν τὰ μυθώδη, ἡ δὲ ἀλήθεια ἔχει οὕτω. Φινεὺς βασιλεὺς ἦν Παιονίας. γέροντα δὲ αὐτὸν γεγονότα ἡ ὄψις ἀπέλιπεν, οἵ τε ἄρρενες παῖδες ἀπέθανον· παῖδας γάρ φησιν αὐτῷ γενέσθαι Ἡσίοδος δύο, Θυνὸν καὶ Μαριανδυνόν, καὶ παρὰ μὲν Θυνοῦ Θυνίδα, παρὰ δὲ Μαριανδυνοῦ Μαριανδυνίαν φασὶ προσαγορεύεσθαι. θυγατέρες δὲ ἦσαν αὐτῷ Πυρία καὶ Ἐρασία, αἵτινες τὸν τοῦ πατρὸς βίον διέφθειρον, ὅθεν ἀφορμὴν ἔλαβον οἱ ποιηταὶ δύστηνον τὸν Φινέα ἀποκαλεῖν, τὰς Ἅρπυιας τὸν βίον αὐτοῦ διαφθείρειν μυθολογοῦντες. Ζῆθος δὲ καὶ Κάλαϊς, οἱ Βορέου παῖδες, ἀνδρὸς οὐκ ἀσήμου, βοηθήσαντες αὐτῷ τὰς θυγατέρας ἐξήλασαν ἐκ τῆς πόλεως, καὶ τὰ χρήματα συναθροίσαντες ἐπίτροπόν τινα κατέστησαν τῶν Θρᾳκῶν. ἰστέον δὲ καὶ τοῦτο, ὅτι Διονύσιος ἐν τοῖς Ἀργοναύταις φησὶν ἀναιρεθῆναι τὸν Φινέα ὑπὸ Ἡρακλέους, ἰδόντος τοὺς Φινέως παῖδας ἐν ἐρημίᾳ καὶ μαθόντος, ὅτι ὑπὸ Φινέως ἦσαν ἐκβεβλημένοι διὰ γυναικὸς Σκυθικῆς διαβολήν, ἣν ἐγεγαμήκει Φινεὺς παραιτησάμενος Κλεοπάτραν. γέγονε δὲ Φινέως κατήγορος καί τις πρεσβύτης παρ' Ἡρακλέα. κατανοήσας οὖν ὁ Ἡρακλῆς, ἀναιτίους εἶναι τοὺς παῖδας, κατήγαγεν αὐτοὺς εἰς τὴν πατρῴαν οἰκίαν, Φινέα δὲ ἀνθιστάμενον καὶ θελήσαντα καταποντίσαι τῶν παίδων τὸν ἕτερον λακτίσας ὁ Ἡρακλῆς ἀπέκτεινεν.

---

3 *ὄντα* F *ἀπέλειπεν* PV 5 fr. 88 Sic F, *Θυννὸν καὶ Μαριανδηνόν* PV 6 Sic F *Μαριανδηνοῦ Μαριανδηνίαν* PV 16 *φησιν* P *φησι* V 21 *Ἡρακλῆν* PV

DCCCCLI. *Περὶ Φοινοδάμαντος.*

Φοινοδάμας τις Τρώς, ὃς λέγεται συμβουλεῦσαι τοῖς Τρωσὶν ἐκθεῖναι τὴν θυγατέρα Λαομέδοντος Ἡσιόνην τῷ κήτει, εὐλαβούμενος περὶ τῶν θυγατέρων αὐτοῦ τῶν τριῶν, μὴ αὐτὰς ἐκθῶσιν, ἔπεισε τοῦτο πεποιηκέναι. [Ποσειδῶν καὶ γὰρ σὺν Ἀπόλλωνι, ὡς ἐν τοῖς προλαβοῦσιν εἴπομεν, ὀργῇ Διὸς θητεύσας τῷ Λαομέδοντι καὶ προπυργώσας τὴν Ἴλιον, ἐπεὶ μετὰ τεταγμένον χρόνον τῆς λατρείας μισθὸν οὐκ ἐδέξαντο, ἀγανακτῶν κατὰ Λαομέδοντος ἔπεμψε κῆτος δεινότατον, ὅπερ τὴν χώραν κατέκλυζεν, ἀποπτύον τὴν θάλασσαν. Λαομέδων δὲ ἀναγκασθεὶς ἐκ χρησμοῦ κατά τινας Ἡσιόνην τὴν θυγατέρα κοσμήσας βασιλικῶς ὡς πρὸς βορὰν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ ὁ
417 Ἡρακλῆς μετὰ Ἰάσονος, μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα γῆν, μέλλων λαβεῖν τὸ χρυσόμαλλον δέρας, ὃ ὁ δράκων ἐφύλασσε, μετὰ τῆς καλουμένης Ἀργοῦς νηός, ἀφ' ἧς Ἀργοναῦται προσωρμήθησαν τῷ Ἰλίῳ, ἰδόντες τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς εἶπε δυνατῶς ἔχειν ῥύσασθαι ταύτην. χωστὸν οὖν τεῖχος ποιήσας καὶ στὰς ὡπλισμένος παρὰ τὸ στόμιον, ὡς κεχηνὸς ἐποίει τὸ κῆτος ἀθρόως, τῷ τούτου ἐμπεπήδηκε στόματι. τρισὶ δὲ ἡμέραις καταθέμενος αὐτῷ ἐξῆλθεν ἀποβεβληκὼς καὶ τὴν ἑαυτοῦ τρίχα, καὶ οὕτως ἐσώθη ἡ Ἡσιόνη.] ἀλλ'

DCCCCLI. Tzetzes Lyc. 471 *Ποσειδῶν* — *Ἡσιόνη* Tzetzes Lyc. 34. Cf. Eud. p. 344 *ἀλλ' ὁ Λαομέδων* — exit. Tzetzes Lyc. 471

5 Cf. p. 341 seq. 5 seq. Quae sequuntur usque ad *Ἡσιόνη* nimirum ex Tzetzae commentariis descripta seclusi 10 *ἀποπτύων* P corr. V

ὁ *Λαομέδων μηνίων τῷ Φοινοδάμαντι ἔδωκε τὰς θυγατέρας ἐκείνου ναύταις ἐν Σικελίᾳ θηρίοις βοράν, οὗ γενομένου κατὰ γνώμην Ἀφροδίτης ἐσώθησαν, ὧν τῇ μιᾷ ἐν μορφῇ κυνὸς ὁ Κριμισσὸς ποταμὸς ἐμίγη καὶ ἐγέννησε τὸν Αἰγέστην, ὃς ἔκτισε τρεῖς πόλεις ἐν Σικελίᾳ, τὴν ἀφ' ἑαυτοῦ Αἰγέσταν καὶ Ἔρυκα καὶ Ἔντελλαν ἢ καὶ Ἄταλλαν ἀπὸ τῆς γυναικός, ἧς ἔγημε.*

DCCCCLII. *Περὶ Φόρκυνος καὶ τῶν θυγατέρων αὐτοῦ.*

Φόρκυν δαίμων θαλάσσιος, παρὰ τὸ φέρεσθαι ὠκέως, πατὴρ Σκύλλης. [περὶ ὧν ταῦτα λέγεται. Ἡρακλῆς σοφὸς ὢν καὶ στρατηγὸς καὶ παραπλέων τοὺς τόπους τῆς Σκύλλης μετὰ τῶν Γηρυόνου βοῶν ἀπώλεσεν αὐτόθι τινὰς ἐξ αὐτῶν καὶ ἀνακαθαίρει τὸν τόπον τισὶ μηχαναῖς. ἀκρωτήριον γάρ ἐστιν ἡ Σκύλλα περὶ τὸ Ῥήγιον, ἀντικρὺ Σικελίας, ἐξέχον εἰς θάλασσαν, οὗ κάτωθεν πέτραι πολλαὶ καὶ μεγάλαι, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, τοῖς πλέουσιν ἐπικίνδυνοι, ὅθεν καὶ ἐμυθεύσαντο τὴν Σκύλλαν τὸν Ἡρακλέα ἀνελεῖν. Φόρκυς δέ, ἤτοι ἡ θάλασσα, ὁ ταύτης πατὴρ (ἡ γὰρ θάλασσα δυσχερῆ ταύτην ἐποίει), λαμπάσιν αὐτὴν πάλιν ἀνεξώωσεν ἢ κινήσεσι, καὶ χρόνοις πάλιν τὴν ὑφ' Ἡρακλέους ἀνακάθαρσιν καὶ τὸ μηχάνημα ἡ

DCCCCLII. Tzetzes Lyc. 45. Cf. Eud. p. 214 et 377. *φέρονται δὲ — καὶ ὑμεῖς* Palaephat. 32 *δεῖ δὲ εἰδέναι* — exit. Etym. M. p. 798, 38

---

5 *Ἐγέστην (-αν)* bis PV 7 Sic F *Ἔνστυλλαν* PV 9 Verba *περὶ ὧν — δυσχέρειαν* saepius repetita cum hoc loco conexum turbent, uncis circumscripsi 17 *Ἡρακλῆ* PV 19 *ταύτην* F *ταυτῃ* PV, mox Gorgonum nomina om. F

θάλασσα χέασα μετέστρεψεν εἰς τὴν ἀρχαίαν δυσχέρειαν.] φέρονται δὲ προσέτι τῷ Φόρκυνι θυγατέρες τρεῖς, Σθενώ, Εὐρυάλη καὶ Μέδουσα, αἵτινες ἕνα ὀφθαλμὸν ἔχουσαι ἀνὰ μέρος ἐχρῶντο τούτῳ. ἡ δὲ χρωμένη ἐνετίθει αὐτὸν εἰς τὴν κεφαλὴν καὶ οὕτως ἔβλεπε, καὶ μιᾶς αὐτῶν τῇ ἑτέρᾳ ἀποδιδούσης τὸν ὀφθαλμόν, ἔβλεπον πᾶσαι. ἐλθὼν δ' ὁ Περσεὺς ὀπίσω αὐτῶν ἐν ἠρεμαίῳ βαδίσματι, κρατήσας τὴν κατέχουσαν τὸν ὀφθαλμὸν καὶ τὸ ξίφος γυμνώσας, φησὶ δεῖξαι αὐτῷ τὴν Γοργόνα, ἐὰν δὲ μὴ φράσωσιν, ἀποκτεῖναι αὐτάς. αἳ φοβούμεναι φράζουσιν. ὁ δὲ ἀποτεμὼν τὴν κεφαλὴν τῆς Γοργόνος εἰς ἀέρα ἦλθε καὶ
418 δείξας ταύτην τῷ Πολυδέκτῃ, λίθινον τοῦτον ἐποίησε. καὶ ταῦτα μὲν τὰ μυθώδη, ἡ δὲ ἱστορία οὕτω πως ἔχει. Φόρκυν ἦν ἀνὴρ Κερναῖος, οἱ δὲ Κερναῖοι κατὰ γένος μέν εἰσιν Αἰθίοπες, οἰκοῦσι δὲ νῆσον τὴν Κέρνην, ἔξω οὖσαν τῶν Ἡρακλείων στηλῶν, ἀροῦσι δὲ Λιβύην περὶ τὸν Ἄννωνα ποταμὸν κατὰ Καρχηδόνα, εἰσὶ δὲ σφόδρα χρυσοῖ. ὃς Φόρκυς ἐβασίλευσε τῶν Ἡρακλείων στηλῶν, εἰσὶ δὲ τρεῖς, καὶ ποιεῖ τετράπηχυ ἄγαλμα Ἀθηνᾶς χρυσοῦν. καλοῦσι δὲ τὴν Ἀθηνᾶν Κερναῖοι Γοργώ, ὥσπερ τὴν Ἄρτεμιν Θρᾷκες Βένδειαν, Κρῆτες δὲ Δίκτυναν, Λακεδαιμόνιοι δὲ Οὖπιν. ὁ μὲν οὖν Φόρκυν ἀποθνήσκει πρὶν εἰς τὸ ἱερὸν ἀναθεῖναι τὸ ἄγαλμα, κατέλιπε δὲ τὰς προλεχθείσας τρεῖς κόρας Σθενώ, Εὐρυάλην καὶ Μέδουσαν. αὗται μὲν

---

4 Sic F *τούτῳ καὶ ἡ χρωμένη* PV 6 *ἔβλεπε* P *ἔβλεπεν* V 13 *Πολυέκτῃ* PV *ἐποίησε* P *ἐποίησεν* V 15 *Κερναῖος — Κέρνη* F *Κυρηναῖος — Κυρήνη* PV 18 Sic F *Αὔνονα* PV, mox *Γοργόνα* pro *Γοργώ* constanter PV 23 *Δίκτυναν* P consentiente F *Δίκτυνναν* V 25 *τὰς προλεχθείσας* om. F

γήμασθαι οὐδενὶ ἠβουλήθησαν. διελόμεναι δὲ τὴν οὐσίαν, ἑκάστη μιᾶς ἦρχε νήσου, τὴν δὲ Γοργὼ οὔτε ἀναθεῖναι τὸ ἱερὸν αὐταῖς ἐδόκει, οὔτε διελεῖν, ἀλλ' ἐν μέρει κατετίθεντο ἐναλλὰξ θησαυρὸν ἑαυταῖς. ἦν δὲ τῷ Φόρκυνι ἑταῖρος καλὸς καὶ ἀγαθὸς ἀνήρ, καὶ αὐτῷ ἐν παντὶ πράγματι ἐχρῶντο ὥσπερ ὀφθαλμῷ. Περσεὺς δ' ἀνὴρ φυγὰς Ἀργόθεν ἐληΐζετο τὰ κατὰ θάλατταν, ἔχων πλοῖα καὶ ἰσχύν τινα περὶ αὐτόν. πυθόμενος δὲ ταύτην τὴν Γοργὼ βασίλισσαν εἶναι γυναικῶν καὶ πολύχρυσον μέν, ὀλίγανδρον δέ, πρῶτα μὲν ναυλοχεῖ ἐν τῷ πορθμῷ καὶ μεταξὺ τῆς Κέρνης καὶ τῆς Γαδειρέων διαπλέων τὰ παρὰ τῆς ἑτέρας εἰς τὴν ἑτέραν τὸν ὀφθαλμὸν λαμβάνει, ὧν μία φράζει αὐτῷ, ὅτι ἄλλο μὲν οὐδὲν ἔχει λαβεῖν παρ' αὐτῶν, εἰ μὴ τὴν Γοργώ, μηνύει τε αὐτῷ τὸ πλῆθος τοῦ χρυσοῦ. αὗται οὖν αἱ κόραι, ἐπεὶ οὐκ εἶχον τὸν ὀφθαλμὸν ἐν τῷ μέρει κατα τὸν εἰρημένον λόγον, συνῄεσαν ὁμόσε καὶ ᾐτιᾶτο ἡ ἑτέρα τὴν ἑτέραν. ὁπότε δὲ ἐπενοοῦντο μὴ ἔχειν, ἐθαύμαζον, τί ἂν εἴη τὸ γεγονός. ἐν τούτῳ προσπλεῖ αὐταῖς ὁ Περσεὺς καὶ φράζει, ὡς αὐτὸς ἔχει τὸν ὀφθαλμὸν καί φησι μὴ ἀποδοῦναι αὐταῖς, ἐὰν μὴ φράσωσιν ὅποι ἐστὶν ἡ Γοργώ, ἐπηπείλει δὲ καὶ προσκατακτενεῖν μὴ εἰπούσαις. ἡ μὲν οὖν Μέδουσα οὐ φράζει δεῖξαι, ἡ δὲ Σθενὼ καὶ Εὐρυάλη ἔδειξαν. τὴν μὲν οὖν Μέδουσαν ἀποκτεινει, ταῖς δὲ ἄλλαις τὸν ὀφθαλμὸν ἀποδίδωσι. λαβὼν δὲ

---

2 τὴν δὲ Γοργὼ et mox ἀναθεῖναι F τῇ δὲ Γοργόνῃ et ἀναθῆναι PV 11 Sic F Κυρήνης καὶ τῆς Σάρδεων P Κυρ. καὶ τ. Σάρδεως V 17 Sic F συνήεσαν ὁμόσαι PV, infra ἑτέρα om. ἡ PV 20 αὐταῖς F αὐτοῖς PV

τὴν Γοργὼ κατέκοψεν, ἀπαιτήσας δὲ τριήρη ἀπέθηκε τῆς Γοργόνος τὴν κεφαλὴν ἐπ' αὐτὴν καὶ τῇ νηῒ ὄνομα ἔθετο Γοργώ. ἐν ταύτῃ δὲ παραπλέων χρήματα παρὰ τῶν νησιωτῶν εἰσεπράττετο καὶ τοὺς μὴ διδόντας ἀνῄρει. οὕτω δὴ καὶ τοὺς Σεριφίους ᾔτει προσπλεύσας ἐκείνοις χρήματα, καὶ συναγαγόντων αὐτῶν, ὁ Περσεὺς ᾔει πάλιν εἰς τὴν ἀγοράν, οἳ καὶ ἐκλι-
419 πόντες τὴν Σέριφον ᾤχοντο. προσπλεύσας οὖν πάλιν ὁ Περσεὺς ἐπὶ τὴν ἀπαίτησιν τῶν χρημάτων καὶ ἐλθὼν εἰς τὴν ἀγορὰν ἄνθρωπον μὲν οὐδένα εὗρε, λίθους δὲ ἀνδρομήκεις. τοῖς οὖν λοιποῖς τῶν νησιωτῶν ἔλεγεν ὁ Περσεύς, ἐπειδὰν μὴ παρεῖχον τὰ χρήματα· ὁρᾶτε μή, ὡς Σερίφιοι τῆς Γοργόνος θεασάμενοι τὴν κεφαλὴν ἀπελιθώθησαν, τοῦτο πάθητε καὶ ὑμεῖς. δεῖ δὲ εἰδέναι, ὅτι τὸ Φόρκυν τρεῖς κλίσεις ἐπιδέχεται, Φόρκυν καὶ γὰρ Φόρκυνος, καὶ Φόρκυς Φόρκυος, καὶ ὁ Φόρκυς, τοῦ Φόρκυ, τῷ Φόρκυ. σημαίνει δὲ δύο, τὸν λιμένα παρὰ τὸ φέρειν καὶ ὁρμᾶν τὰς ὁλκάδας ἐν αὐτῷ, ἤγουν τὰς νοῦς ἐν τῷ λιμένι, καὶ ὄνομα κύριον, ὡς ἐνταῦθα.

DCCCCLIII. *Περὶ Φορμίωνος τοῦ στρατηγοῦ.*

Φορμίων στρατηγὸς Ἀθηναίων ναυτικώτατος, ὃς πολλάκις εὐτυχήσας ἐν ναυμαχίαις καὶ ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ κατορθώσας πεντήκοντα καὶ ἑπτὰ ναῦς διέφθειρεν.

DCCCCLIII. Schol. Ar. Equ. 562

---

5 Sic F Σερίφους PV 7 οἳ PV 10 ἄνθρωπον P -ων V

DCCCCLIV. *Περὶ τοῦ Φρίξου.*

Φρίξος υἱὸς Ἀθάμαντος. οὗτος καὶ γὰρ ποιεῖ ἐκ Νεφέλης Φρίξον καὶ Ἕλλην, ἀφεὶς δὲ τὴν Νεφέλην, θεὰν οὖσαν, τῇ Ἰνοῖ θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη ἀπέπτη εἰς οὐρανὸν καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλασεν. ἡ δὲ Ἰνὼ ὡς μητρυιὰ ἐπεβούλευε τοῖς παισὶ τοῖς ἐκ τῆς Νεφέλης καὶ φρύττουσα τὰ σπέρματα παρεῖχε τοῖς γεωργοῖς πρὸς σπόρον. οἱ δὲ ἔσπειρον μὲν ἐν τῇ γῇ, ἡ δὲ γῆ λαβοῦσα οὐκ ἔφερε τοὺς καρποὺς τοὺς ἐτησίους διὰ τὸ πεφρύχθαι τὸν σπόρον. Ἀθάμας οὖν ὡς βασιλεὺς συναγαγὼν τοὺς μάντεις ἠρώτα αὐτούς, μαθεῖν βουλόμενος τὴν αἰτίαν τῆς ἀφορίας. ἡ δὲ Ἰνὼ πέμπει πρὸς αὐτοὺς δῶρα ἐπαγγελλομένη δώσειν, εἰ φήσειαν πρὸς Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα τὰ ἐκ τῆς προτέρας γυναικὸς αὐτῷ γεγονότα, Φρίξον καὶ Ἕλλην, οὐκ ἂν ἐκφύσειεν ἡ γῆ τοὺς καρπούς. πεισθέντες δὲ οἱ μάντεις λέγουσι ταῦτα, ὑποστρέψαντες τῷ Ἀθάμαντι. ὁ δὲ ἀκούσας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς κατὰ τὸν μῦθον ἀνθρωπίνῃ φωνῇ χρησάμενος λέγει Φρίξῳ καὶ Ἕλλῃ φονευθησομένοις τὰ περὶ τῆς σφαγῆς. οἱ δὲ φοβηθέντες τὴν τῆς μητρυιᾶς ἐπιβουλὴν εἰς φυγὴν ἐτράπησαν, οὓς καὶ ἐπὶ νώτων λαβὼν ὁ κριὸς εἴσεισιν

DCCCCLIV. Argum. Apoll. Argon. Cf. Eud. p. 146 et 235. *ἡ δὲ ἀκριβὴς ἱστορία* — exit. Eustath. Il. p. 667

---

3 *ζηλωτυπήσασα* P corr. V 7 *φρίττουσα — πεφρίχθαι* etc. P corr. V. Hic in margine eadem manu adscriptum est: *ἰστέον δέ, ὅτι τὸ δίχρονον τοῦ Φρίξου κατὰ τὴν γραφὴν διφορεῖται, καὶ γὰρ Φρυγία διὰ τοῦ υ γράφεται, ἡ ἀπ᾽ αὐτοῦ κληθεῖσα κατά τινας*

420 εἰς τὴν θάλασσαν καὶ νηχόμενος ἔφερεν αὐτούς. ἐλθὼν δὲ εἰς τὸ Τρωϊκὸν πέλαγος, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ, ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντος ὠνομάσθη, ὁ παρὰ τοῖς βασιλείοις διαυλωνιζόμενος πορθμός. Φρίξος δὲ ἐποχούμενος τῷ κριῷ ἐπὶ τὴν Σκυθίαν διακομίζεται, ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριόν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, καὶ θύει Φυξίῳ Διί, ὅτι ἐξέφυγε τὴν τῆς μητρυιᾶς ὀργήν, κατὰ δέ τινας τῷ Ἑρμῇ, κατ' ἄλλους δὲ πάλιν τῷ Ἄρει, ἀλλὰ τοῦτο μὲν περίεργον. κατοικήσας οὖν αὐτόθι, τοὔνομα κατέλιπε τῷ τόπῳ, ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. καὶ Χαλκιόπην, τὴν θυγατέρα Αἰήτου τοῦ Κόλχων βασιλέως, γαμεῖ καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας Ἄργον, Κυτίσσωρον, Μέλανα καὶ Φρόντιν, καὶ οὕτως ἐκεῖ τελευτᾷ. ἡ δὲ ἀκριβὴς ἱστορία πλοιάριόν τί φησιν εἶναι τὸ κριόν, ἐκτύπωμα φέρον κριοῦ ἐν ἄκρῳ, ὁποῖόν τι καὶ παρὰ Λυκόφρονι τὸ „ταυρόμορφον τύπωμα“, τὸ τὴν Εὐρώπην ἁρπάσαν, καὶ ὁποῖα πλοῖα τὰ σὺν ἑτέροις γλύμμασι καὶ χηνίσκους ἐν τοῖς ἄκροις ἔχοντα, ἤγουν τύπους χηνῶν. καὶ βούλεται διὰ τοιούτου κριοῦ σὺν τῷ ἀδελφῷ πλέουσαν τὴν Ἕλλην ἐκπεσεῖν καὶ κινδυνεῦσαι. ἑτέρα δέ τις ἱστορία εὔνουν ὑπηρέτην φησὶ τὸν Κριόν, ὃς τὴν τῆς μητρυιᾶς ἐπιβουλὴν ἀνακαλύψας καὶ περισώσασθαι τοὺς δεσπότας παῖδας προθέμενος, ἐδυστύχησε κατὰ

---

5 *διαυλονιζόμενος* PV 15 *Κτίσωρον* PV. Paullo ante in margine librarius addidit *Φύξιος μὲν Ζεύς, ὁ βοηθῶν τοῖς φυγάσι καὶ πρὸς ὃν καταφεύγουσι* 18 Alex. 1299 20 *γλήμμασι* P corr. V *χηνίσκους* P consentiente F *χιτωνίσκους* inepte V

τὸν Ἑλλήσποντον. λέμβῳ γὰρ βραχυτάτῳ πιστεύσας αὐτοὺς οὐκ ἔσχεν ἀμφοτέρους περιποιήσασθαι, ἀλλὰ ὁ μὲν Φρίξος περιεγένετο, ἡ δὲ Ἕλλη κατὰ πάθος ἰλίγγου ἢ ἄλλου τινὸς τοιούτου καταπεσοῦσα μόνον αὐτῆς ἄνω ἀφῆκε τοὔνομα φέρεσθαι, αὐτὴ [δὲ] καταδῦσα εἰς τὸν βυθόν.

DCCCCLV. *Περὶ Φρύνιδος τοῦ κιθαρῳδοῦ.*

Φρῦνις κιθαρῳδὸς Μιτυληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος παρὰ Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι Παναθήναια, ἐπὶ Καλλιμάχου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείδου μαθητής, ὁ δὲ Ἀριστοκλείδης τὸ γένος ἦν ἀπὸ Θερπάνδρου, ἤκμασε δ' ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξε. καὶ ἄλλα περὶ τούτου λέγουσιν, ἅτινα ὡς μὴ ἀναγκαῖα ἐῶμεν.

DCCCCLVI. *Περὶ Φρυνώνδου.* 421

Φρυνώνδας περιβόητος ἐπὶ πονηρίᾳ, οὐδὲν ἧττον Εὐρυβάτου. ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι.

DCCCCLV. Schol. Ar. Nub. 967 (Suid.) DCCCCLVI. Harpocrat. (Suid.; v. Arsen. Viol. p. 464)

---

5 *αὐτῆς* PV *δὲ* seclusi cum F 6 Sequitur in P *Φρίξου γενεαλογία καὶ πάντων τῶν ἐξ αὐτῆς τῆς ῥίζης σχεδὸν ἀναβλαστησάντων ἡρώων*, quae omnia saepius iam repetita iure optimo e codicis tenebris non eruit Villoisonus 9 *Καλλιμάχου* coni. Meyer de Panathen. p. 285 *Καλλίου* PV *δὲ* addidi *Ἀριστοκλείδου* et *Ἀριστοκλείδης* scripsi e coni. Dindorfii, *Ἀριστοκλείτου* et *Ἀριστόκλειτος* PV 10 *Θερσάνδρου* PV 16 *ἐκ τούτου* — exit. om· F *καλοῦσι* P *καλοῦμεν* V

DCCCCLVII. *Περὶ τῆς τῶν Φρυγῶν ἐκτομῆς.*

*Παρὰ τοῖς Φρυξὶν ἐσέβετο ἡ Ῥέα, ἡ μήτηρ τῶν θεῶν, ὑπὲρ πάντα θεόν. ταύτην πανηγυρίζοντες, καθότι ἀπετμήθη παρὰ τῶν Κορυβάντων τὴν κύστιν διὰ τὰς πολλὰς αὐτῆς πορνείας, ** θεραπεύοντες δὴ τὴν ἑαυτῶν θεὰν τὰς τελετὰς ἐποίουν καὶ κατέτεμνον ἑαυτῶν τοὺς μηροὺς καὶ τοὺς ὤμους μαχαίραις, οὐκ ἀποκτεῖναι ἐθέλοντες, ἀλλὰ μόνον αἱμάξαι. τοῦτο δὲ ἐποίουν κινούμενοι αὐλοῖς, ἵνα ἀπόνως φέρωσι πληττόμενοι. ἄλλοι δὲ πάλιν ηὔλουν, τὸν ἐραστὴν ταύτης τιμῶντες Ἄττιν. μετὰ δὲ τὰς πληγὰς πρὸς ἀκαθάρτους ἐχώρουν μίξεις, γυναικῶν δὴ λέγω, οὐκ ἀνδρῶν.*

DCCCCLVIII. *Περὶ Φυλέως.*

Φυλεὺς Αὐγείου υἱός, ὅστις ἐξ Ἠλίδος εἰς τὸ Δουλίχιον ἔφυγε, διὰ τὸ μαρτυρῆσαι Ἡρακλεῖ περὶ τῆς ἀφαιρέσεως τῶν βουκολίων, ὅπερ πάντως ἐλύπει τὸν Αὐγείαν. γέγονε δὲ τοῦτο, ἡνίκα Ἡρακλῆς τὴν Αὐγείου ἐξεκάθηρεν. οἱ δὲ οὕτω φασίν, ὅτι Φυλεὺς μοιχεύσας Τιμάνδραν, ἀδελφὴν Ἑλένης καὶ Κλυταιμνήστρας, ἀπήγαγεν εἰς τὸ Δουλίχιον.

DCCCCLIX. *Περὶ Φυλάκου.*

Φύλακος Δηϊονέως υἱός, ἀδελφὸς Κεφάλου, πατὴρ δὲ Ἰφίκλου, ὅστις ποδώκης ἐξοχώτατος ἱστορεῖται.

DCCCCLVII. Nonn. I, 5 DCCCCLVIII. Schol. Ven. Il. II, 629 *οἱ δὲ οὕτω* — exit. Eustath. Il. p. 305 DCCCCLIX. Eustath. Il. p. 323

---

1 Haec in Violario paullo uberius tractantur quam in commentariis Nonni 16 *ἐξεκάθηρε* PV, infra *Κλητεμνήστρας* P corr. V

Ἱστορικοί.

DCCCCLX. Περὶ Φερεκύδου.

Φερεκύδης κατά τινας πρεσβύτερος τοῦ Συρίου, τοῦ Πυθαγόρου διδασκάλου, ὃς λέγεται συναγαγεῖν τὰ Ὀρφέως. ἔγραψεν Αὐτόχθονας (ἔστι δὲ περὶ τῆς Ἀττικῆς ἀρχαιολογίας ἐν βιβλίοις δέκα), παραινέσεις δι' ἐπῶν.

Ἔστι δὲ καὶ ἕτερος Λέριος ἱστορικός, γεγονὼς πρὸ ὀλίγου τῆς οε' ὀλυμπιάδος. ἔγραψε περὶ Λέρου, περὶ Ἰφιγενείας, περὶ τῶν Διονύσου ἑορτῶν καὶ ἄλλα.

DCCCCLXI. Περὶ Φιλίππου τοῦ ἱστορικοῦ. 422

Φίλιππος Ἀμφιπολίτης, ἱστορικός. ἔγραψε Ῥοδιακὰ βιβλία ιθ' (ἔστι δὲ τῶν πάνυ αἰσχρῶν), Κῳακὰ βιβλία β', Θασιακὰ βιβλία β' καὶ ἄλλα τινά.

DCCCCLXII. Περὶ Φιλίσκου τοῦ Συρακουσίου.

Φιλίσκος Συρακούσιος ἱστορικός. ἦν δὲ συγγενὴς Διονυσίου τοῦ τυράννου Σικελίας καὶ ἐν τῇ πρὸς Καρχηδονίους ναυμαχίᾳ ἐτελεύτησε, μαθητὴς Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ἔγραψε Σικελικά (ἔστι δὲ τὰ πρὸς Ἕλληνας αὐτοῖς πραχθέντα διαφόρως) καὶ γενεαλογίαν, περὶ Φοινίκης καὶ ἄλλα τινὰ περὶ τῆς Σικελίας.

DCCCCLX—DCCCCLXII. Hesych. (Suid.)

---

1 Ἀθηναῖος add. κατά τινας om. S 2 ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν S ὃς λέγεται ὅτι συνήγαγε τὰ Ὀρφεως PV 11 θυσιακά PV τινα om. S 12 ἢ Φίλιστος add. S 14 δὲ ἦν post μαθ. add. S 17 νήσου add. S

DCCCCLXIII. *Περὶ Φλέγωνος τοῦ Τραλλιανοῦ.*

Φλέγων Τραλλιανός, ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος. ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ις´ (ἔστι δὲ μέχρι τῆς σκθ´ Ὀλυμπιάδος τὰ πραχθέντα πανταχοῦ), τὰ δὲ αὐτὰ ἐν βιβλίοις η´, ἔκφρασιν Σικελίας, περὶ μακροβίων καὶ θαυμασίων, περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ´, περὶ τῶν ἐν Ῥώμῃ τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων, ἐπιτομὴν Ὀλυμπιονικῶν ἐν βιβλίοις β´.

DCCCCLXIV. *Περὶ Φυλάρχου τοῦ ἱστορικοῦ.*

Φύλαρχος Ἀθηναῖος, κατὰ δέ τινας Ναυκρατίτης (οἱ δὲ Αἰγύπτιον ἔγραψαν), ἱστορικός. ἔγραψε τὴν ἐπὶ Πελοπόννησον Πύρρου τοῦ Ἠπειρώτου στρατείαν ἐν βιβλίοις κη´ (κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου καὶ τῆς Βερενίκης τελευτῆς καὶ ἕως τοῦ θανάτου Κλεομένου τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου), τὰ κατὰ τὸν Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμένη, ἐπιτομὴν μυθικὴν περὶ τῆς τοῦ Διὸς ἐπιφανείας, περὶ εὑρημάτων, παρεμβάσεων βιβλία θ´ καὶ ἄλλα τινά.

DCCCCLXIII et DCCCCLXIV. Hesych. (Suid.)

---

1 Haec miro Suidae errori deberi monuit Wachsmuth. Symbol. Bonn. p. 142. Ceterum *οἱ δὲ Ἀδριανοῦ φασι* et in fine articuli *καὶ ἄλλα* add. S   9 *ἢ Ναυκρ.* S   10 *Σικυώνιον, ἄλλοι δὲ* add. S   11 *Ἠπειρώτου* P *Ἠπειρότου* V, mox *σιρατιὰν* PV   14 *Κλεωνύμου* PV   17 *περὶ* P *καὶ* V   18 *καὶ ἄλλα τινά* om. S

Ῥήτορες.

DCCCCLXV. *Περὶ Φιλίππου τοῦ ῥήτορος.*

Φίλιππος ῥήτωρ καὶ σοφιστής. ἔγραψε περὶ πνευμάτων ἐκ τῶν Ἡρωδιανοῦ κατὰ στοιχεῖον καὶ περὶ συναλοιφῆς.

DCCCCLXVI. *Περὶ Φιλίσκου τοῦ Μιλησίου.* 423

Φιλίσκος Μιλήσιος ῥήτωρ, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος. ἐγίνετο δὲ αὐλητὴς παραδοξότατος, διὸ καὶ αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. γέγραπται δὲ αὐτῷ τάδε· Μιλησιακός, Ἀμφικτυονικός, τέχνη ῥητορικὴ ἐν βιβλίοις δύο, Ἰσοκράτους ἀπόφασις.

DCCCCLXVII. *Περὶ Φιλοστράτου τοῦ σοφιστοῦ.*

Φιλόστρατος Φιλοστράτου τοῦ υἱοῦ Βήρου, Λημνίου σοφιστοῦ, καὶ αὐτὸς δεύτερος σοφιστής, σοφιστεύσας Ἀθήνησιν, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως καὶ ἕως Φιλίππου. ἔγραψε μελέτας, ἐπιστολὰς ἐρωτικάς, Εἰκόνας, ἤτοι ἐκφράσεις ἐν βιβλίοις δ', διαλέξεις, αἶγας ἢ περὶ αὐλοῦ, Ἀπολλωνίου βίον τοῦ Τυανέως ἐν βιβλίοις η', ἀγοράν, Ἡρωϊκόν, βίους Σοφιστῶν ἐν βιβλίοις δ', ἐπιγράμματα.

Ὁ δὲ πατὴρ αὐτοῦ, σοφιστὴς καὶ αὐτός, σοφιστεύσας Ἀθήνησι, γεγονὼς ἐπὶ Νέρωνος. ἔγραψε λό-

DCCCCLXV. Hesych. (Suid.) DCCCCLXVI. Hesych. (Suid.; Pseudo-Hesych. p. 56) DCCCCLXVII. Hesych. (Suid.; Pseudo-Hesych. l. c.)

---

1 *ῥήτωρ καὶ* om. S 5 *πρότερον* add. S 9 Pro *υἱοῦ* praebet *καὶ* S, mox *Ἀθήνησι* PV *ἐν Ἀθήναις* S 18 *Ἀθήνησιν* PV *ἐν Ἀθήναις* S

γους πανηγυρικοὺς πλείστους καὶ λόγους Ἐλευσινιακοὺς δ', μελέτας, ζητούμενα παρὰ τοῖς ῥήτορσι, ῥητορικὰς ἀφορμάς, περὶ τοῦ ὀνόματος (ἔστι δὲ πρὸς τὸν σοφιστὴν Ἀντίπατρον), περὶ τραγῳδίας βιβλία τρία, Γυμναστικὸν (ἔστι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιτελουμένων), Λιθογνωμικόν, Πρωτέα, Κύνα ἢ Σοφιστήν, Νέρωνα, Θεατήν, τραγῳδίας μγ', [καὶ] κωμῳδίας ιδ' καὶ ἕτερα λόγου ἄξια οὐκ ὀλίγα.

Ἔστι δὲ καὶ ἄλλος Φιλόστρατος, Νερβιανοῦ ἀδελφόπαιδος τοῦ υἱοῦ Φιλοστράτου, Λήμνιος, καὶ αὐτὸς σοφιστής. ἐπαίδευσε δὲ Ἀθήνησι καὶ τελευτήσας ἐτάφη ἐν Λήμνῳ, ἀκουστής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. ἔγραψεν Εἰκόνας, Παναθηναϊκόν, Τρωϊκόν, παράφρασιν τῆς Ὁμήρου ἀσπίδος, μελέτας, κατὰ δέ τινας καὶ τοὺς τῶν Σοφιστῶν βίους.

DCCCCLXVIII. Περὶ Φιλίστου τοῦ Ναυκρατίτου.

Φίλιστος Ναυκρατίτης, κατὰ δέ τινας Συρακούσιος, Ἀρχωνίδου υἱός, μαθητὴς Εὐήνου τοῦ ἐλεγειοποιοῦ, ὃς πρῶτος κατὰ ῥητορικὴν τέχνην ἱστορίαν ἔγραψε. συνέταξε δὲ τέχνην ῥητορικήν, Αἰγυπτιακὰ ἐν βιβλίοις ιβ', Σικελικὰ ἐν βιβλίοις ια', πρὸς τὸν τρικάρανον λόγον, περὶ Ναυκράτεως, περὶ Διονυσίου

DCCCCLXVIII. Hesych. (Suid.)

---

3 πρὸς P περὶ V 8 καὶ seclusi cum F 8 καὶ ἕτερα πλεῖστα καὶ λόγου ἄξια S 10 Pro τοῦ υἱοῦ Φιλοστράτου praebet S Φιλοστράτου τοῦ δευτέρου 11 καὶ παιδεύσας ἐν Ἀθήναις, τελευτήσας δὲ καὶ ταφεὶς ἐν Λήμνῳ S 15 ε add. S τινὲς δὲ καὶ τοὺς τῶν σοφιστῶν βίους εἰς αὐτὸν ἀναφέρουσιν S 16 ἢ Συρ. S 17 Ἀρχωνίδου S Ἀρχενίδου PV δὲ ἦν add. S 18 πρῶτον PV

τοῦ τυράννου βιβλία ς', περὶ τῆς Αἰγυπτίων θεολογίας βιβλία γ', δημηγορίας καὶ ἄλλα τινά, περὶ Λιβύης καὶ Συρίας.

DCCCCLXIX. *Περὶ Φρυνίχου τοῦ Βιθυνοῦ.* 424

Φρυνίχος Βιθυνὸς σοφιστής. ἔγραψε περὶ Ἀττικῶν ὀνομάτων βιβλία β', τιθεμένων συναγωγήν, σοφιστικῆς παρασκευῆς βιβλία οδ'.

Γραμματικοί.

DCCCCLXX. *Περὶ Φιλητοῦ τοῦ γραμματικοῦ.*

Φιλητᾶς Κῷος, υἱὸς Τηλέφου, ἐπὶ Φιλίππου καὶ Ἀλεξάνδρου, γραμματικὸς κριτικός, ὃς ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον Ψευδόμενον λόγον ἀπέθανεν. ἐγένετο δὲ διδάσκαλος τοῦ δευτέρου Πτολεμαίου. ἔγραψεν ἐπιγράμματα καὶ ἐλεγείας καὶ ἄλλα [καὶ τὰ καλούμενα Ναξιακά].

DCCCCLXXI. *Περὶ Φιλίσκου τοῦ γραμματικοῦ.*

Φιλίσκος Αἰγινήτης, ὁ διδάξας γράμματα Ἀλέξανδρον τὸν Μακεδόνα, αὐτὸς δὲ ἀκουστὴς ἐγένετο τοῦ κυνὸς Διογένους, κατὰ δὲ Ἕρμιππον Στίλπωνος. ἔγραψε διαλόγους, ὧν ἔστι Κόδρος.

DCCCCLXIX—DCCCCLXXI. Hesych. (Suid.)

---

4 Alterum nomen Ἀττικιστής add. S 6 μξ' οἱ δὲ οδ' S Post 6 titulum Γραμ. om. P add. V 10 καὶ add. S 12 Haec verba, quae om. S, interpolatori debentur: cf. Meinekii Anal. Alex. p. 352 14 ἦν S

DCCCCLXXII. *Περὶ Φιλοξένου τοῦ γραμματικοῦ.*

Φιλόξενος Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ. ἔγραψε περὶ μονοσυλλάβων ῥημάτων, περὶ σημείων τῶν ἐν τῇ Ἰλιάδι, περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, περὶ διπλασιασμοῦ, περὶ μέτρων, περὶ τῆς τῶν Συρακουσίων διαλέκτου, περὶ Ἑλληνισμοῦ ϛ', περὶ συζυγιῶν, περὶ γλωσσῶν ε', περὶ τῶν παρ' Ὁμήρῳ γλωσσῶν, περὶ τῆς Λακώνων διαλέκτου καὶ τῶν λοιπῶν.

DCCCCLXXIII. *Περὶ Φίλωνος τοῦ γραμματικοῦ.*

Φίλων Βύβλιος γραμματικός. οὗτος γέγονεν ἐπὶ τῶν χρόνων τῶν ἐγγὺς Νέρωνος καὶ παρέτεινεν εἰς μακρόν. ἔγραψεν ἐπιγράμματα βιβλία δ', περὶ κτήσεως καὶ ἐκλογῆς βιβλία ιβ', περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιβλία λ', περὶ τῆς βασιλείας Ἀδριανοῦ, ἐφ' οὗ καὶ ἦν ὁ Φίλων. γέγονε δὲ καὶ ὕπατος παρ' αὐτοῦ.

DCCCCLXXII et DCCCCLXXIII. Hesych. (Suid.)

---

7 *Λακώνων* P *Λακόνων* V 9 *Βίβλιος* P *Βύβλιος* V 10 *τῶν* addidi ex S om. PV 11 *ὕπατον γοῦν Σεβῆρον τὸν Ἑρέννιον χρηματίσαντα αὐτὸς εἶναί φησιν, ὅταν ἦγεν ὄγδοον καὶ ἑβδομηκοστὸν ἔτος, ὀλυμπιάδι δὲ κ' καὶ διακοσιοστῇ* add. S *ἐπιγράμματα βιβλία δ'* om. S 12 Cf. Rohde in Mus. Rhen. XXXIV, p. 561 15 Haec certe sensu carent, cf. Rohde in Mus. Rhen. XXXIII, p. 176 not. In Suidae glossa legitur *ὅτι ὕπατος γέγονεν ὁ Φίλων Ἑρέννιος χρηματίσας, ὡς αὐτός φησι,* quae non minus inepta sunt, quoniam de consule Herennio Severo cogitandum est. — In P iam sequuntur vitae Chaeremonis, Chionidae, Christodori, Choerili nescio quo fato huc intrusae; eaedem infra iterantur

DCCCCLXXIV. *Περὶ Φιλαγρίου τοῦ ἰατροῦ.*

Φιλάγριος Ἠπειρώτης ἰατρός, μαθητὴς Ναυμαχίου, τοῖς χρόνοις μετὰ Γαληνόν, ἰατρεύσας τὰ πλεῖστα ἐν Θεσσαλονίκῃ. συνέταξε δὲ βιβλία ἰατρικὰ μονόβιβλα 425 *μὲν ο΄, συντάγματα δὲ ἕτερα οὐκ ὀλίγα, ὑπομνηματικὸν εἰς Ἱπποκράτην. Εὐγενάτωρ δὲ Λύκιον αὐτόν φησιν ἀπὸ Μάκρης.*

Φιλόσοφοι.

DCCCCLXXV. *Περὶ Φαίδωνος τοῦ φιλοσόφου.*

Φαίδων Ἠλεῖος φιλόσοφος, Σωκράτους ἀκουστής. φέρονται αὐτοῦ διάλογοι Ζώπυρος, Μήδιος, Σίμων, Ἀντίμαχος ἢ Πρεσβύτης, Νικίας, Σιμμίας, Ἀλκιβιάδης, Κριτόλαος καὶ ἄλλα.

DCCCCLXXVI. *Περὶ Φερεκύδου τοῦ φιλοσόφου.*

Φερεκύδης, ὁ τοῖς ἑπτὰ συγχρονίσας σοφοῖς, Σύριος καθ᾽ ἱστορίαν λέγεται (ἐστι δὲ ἡ Σύρα νῆσος

DCCCCLXXIV—DCCCCLXXVI Hesych. (Suid.)

1 *Λύκιος ἀπὸ Μάκρης, ὡς εὕρηται παρὰ Εὐγενάτορι· ὡς δὲ αὐτὸς ἐν τῇ πρὸς Φιλήμονα περὶ ἥπατος ἐσκιρρωμένου ἐπιστολῇ φησιν ὁ Φιλ., εἴη — Ἠπ.* S Post 6 titulum *Φιλόσοφοι* ipse addidi, om. PV 9 *Σκαμίας* pro *Σι.* PV 10 *καὶ ἄλλα* om. S, qui de vita Phaedonis uberius egit 11 Initium vitae sic tradidit S *Φερεκύδης Βάβυος Σύριος (ἔστι δὲ νῆσος μία τῶν Κυκλάδων ἡ Σύρα πλησίον Δήλου). γέγονε δὲ κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην, ὡς συγχρονεῖν τοῖς ζ΄ σοφοῖς καὶ τετέχθαι περὶ τὴν με΄ ὀλυμπιάδα. διδαχθῆναι δὲ ὑπ᾽ αὐτοῦ Πυθαγόραν λόγος, αὐτὸν δὲ οὐκ ἐσχηκέναι καθηγητὴν ἀλλ᾽ ἑαυτὸν ἀσκῆσαι, κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. πρῶτον δὲ συγγραφὴν ἐξενεγκεῖν πεζῷ λόγῳ τινὲς ἱστοροῦσιν, ἑτέρων τοῦτο εἰς Κάδμον τὸν Μιλήσιον φερόντων, καὶ πρῶτον τὸν περὶ τῆς μετεμψυχώσεως λόγον εἰσηγήσασθαι. ἐζηλοτύπει δὲ τὴν Θάλητος δόξαν, καὶ τελευτᾷ ὑπὸ πλήθους φθειρῶν.* In hac quoque vita, qualem

πλησίον Δήλου). γέγονε κατὰ τὸν τῶν Λυδῶν βασιλέα Ἀλυάττην, ἐδίδαξε Πυθαγόραν, αὐτὸς δὲ οὐκ ἔσχηκε καθηγητήν, κτησάμενος τὰ τῶν Φοινίκων ἀπόκρυφα βιβλία. ἔγραψε δὲ ἑπτάμυχον, ἤτοι θεοκρασίαν ἢ θεογονίαν, ἔστι δὲ θεολογία ἐν βιβλίοις δέκα, ἔχουσα θεῶν γένεσιν καὶ διαδόχους καὶ ἄλλα πολλά.

DCCCCLXXVII. Περὶ Φιλίππου Ὀπουντίου.

Φίλιππος Ὀπούντιος, ὃς τοὺς τοῦ Πλάτωνος νόμους διεῖλεν εἰς βιβλία ιβʹ (τὸ γὰρ ιγʹ αὐτὸς προσθεῖναι λέγεται), καὶ ἦν Σωκράτους καὶ αὐτοῦ Πλάτωνος ἀκουστής, σχολάσας τοῖς μετεώροις. ὢν δὲ κατὰ Φίλιππον τὸν Μακεδόνα συνεγράψατο τάδε· περὶ τῆς ἀποστάσεως ἡλίου καὶ σελήνης, περὶ θεῶν βιβλία δύο, περὶ χρόνου αʹ, περὶ μύθων ἕν, περὶ ἐλευθερίας αʹ, περὶ ὀργῆς αʹ, περὶ ἀνταποδύσεως ἕν, περὶ Λοκρῶν τῶν Ὀπουντίων, περὶ ἡδονῆς ἕν, περὶ ἔρωτος αʹ, περὶ φίλων καὶ φιλίας ἕν, περὶ τοῦ γράφειν, περὶ τοῦ Πλάτωνος, περὶ ἐκλείψεως καὶ περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς ἕν, περὶ ἀστραπῶν, περὶ πλανητῶν, ἀριθμητικά, περὶ πολυγώνων ἀριθμῶν, ὀπτι-

DCCCCLXXVII. Hesych. (Suid.)

Suidas descripserit, nonnulla ex Porphyrii historia hausisse Hesychium probavit Rohde in Mus. Rhen. XXXIII, p. 203 not. 4 Hunc locum mendis contaminatum esse vidit Kuesterus, qui ἤτοι Θεοκρατία ἢ Θεολογία, ἔτι δὲ Θεογονία restituendum monuit 6 καὶ ἄλλα πολλά om. S 7 Φίλιππος Ὀπούντιος, quod Suidae editores post vocabulum φιλόσοφοι substituerunt, correxi, cum φιλόσοφος, quod SPV praestant, sine dubio propter compendium ΦΙΛΟΣΟΠΟΣ male intellectum ipse librarius tentaverit. Quam rem adeo manifestam Suidae editores non vidisse miror. Cf. Unters. p. 99, not. 1 14 ἀνταποδώσεως PV

κῶν βιβλία δύο, ἐνοπτικῶν β΄, κυκλιακά, μεσότητας καὶ ἄλλα.

DCCCCLXXVIII. *Περὶ τοῦ Φίλωνος.*

Φίλων Ἰουδαῖος, τεχθεὶς ἐν Ἀλεξανδρείᾳ, γένους τῶν ἱερέων, φιλοσοφήσας δὲ τὰ Ἑλλήνων, εἰς μέγα προὔβη παιδείας, ὡς μετελθεῖν πᾶσαν Ἑλληνικὴν παίδευσιν, τήν τε τῶν ἐγκυκλίων καλουμένων καὶ τὰς λοιπὰς ἐπιστήμας σὺν ἀκριβεῖ καταλήψει, ἐπλούτησέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι „ἢ Πλάτων φιλωνίζει, ἢ Φί- 426 *λων πλατωνίζει“· τοσαύτη ἐστὶν ὁμοιότης τῆς γε διανοίας καὶ φράσεως τοῦ ἀνδρὸς πρὸς τὴν Πλάτωνος. καὶ τοίνυν γέγραπται αὐτῷ βιβλία ἄπειρα, ἐξ ὧν καὶ ταῦτα· περὶ συγχύσεως γλωσσῶν βιβλίον ἕν, περὶ φύσεως καὶ εὑρήματος ἕν, περὶ ὧν κατὰ νοῦν τις εὔχεται ἕν, περὶ παιδεύσεως ἕν, περὶ κληρονόμου τῶν θείων πραγμάτων ἕν, περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων α΄, περὶ τῶν τριῶν δυνάμεων, περὶ ἐναλλαγεισῶν γραφῶν παρά τινων, περὶ συνθηκῶν λόγους δύο, περὶ βίου φιλοσόφου, περὶ γιγάντων α΄, περὶ ὀνείρων ε΄, περὶ ζητημάτων καὶ ἑρμηνευμάτων τῆς ἐξόδου ε΄, περὶ τῆς σκηνῆς καὶ δεκαλόγου δ΄, περὶ θυσιῶν, περὶ ὑποσχέσεων ἤτοι καταρῶν, περὶ προνοίας, περὶ Ἰουδαίων α΄, περὶ ἀγωγῆς βίου, περὶ Ἀλεξάνδρου καὶ περὶ τοῦ ἴδιον λογισμὸν ἔχειν τὰ ἄλογα, περὶ τοῦ*

DCCCCLXXVIII. Hesych. (Suid.)

---

7 Sequentia etiam apud Pseudo-Hesych. p. 56 leguntur 11 *πρὸς Πλάτωνα* S nescio an deterius 14 Sic P consentiente S *εὑρημάτων* V 22 *τοῦ* ante *Ἀλ.* add. V om. P S

πᾶς ἄφρων δοῦλός ἐστι, περὶ τῆς διαγωγῆς τῶν Χριστιανῶν, περὶ βίου θεωρητικοῦ, περὶ ἱκετῶν, περὶ γεωργίας λόγους β', περὶ μέθης β', περὶ τοῦ Μωυσέως εἰς τὰ Χερουβίμ, τουτέστι τὴν φλογίνην ῥομφαίαν, εἰς τὴν πεντάτευχον Μωϋσέως καὶ εἰς αὐτὸν Μωϋσῆν λόγους ε'.

DCCCCLXXIX. *Περὶ Φωκυλίδου.*

Φωκυλίδης Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος (ἦν δὲ ἑκάτερος μετὰ χμζ' ἔτη τῶν Τρωϊκῶν, ὀλυμπιάδι γεγονότες νθ'). ἔγραψεν ἔπη καὶ ἐλεγείας, παραινέσεις, ἤτοι γνώμας, ἅς τινας κεφάλαια ἐπιγράφουσιν. εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμέναι.

Ποιηταί.

DCCCCLXXX. *Περὶ Φερεκράτους τοῦ κωμικοῦ.*

Φερεκράτης Ἀθηναῖος κωμικός, ὃς Ἀλεξάνδρῳ συνεστράτευσεν. ἐδίδαξε δράματα ιζ'.

DCCCCLXXXI. *Περὶ Φιλεταίρου τοῦ κωμικοῦ.*

Φιλέταιρος Ἀθηναῖος, κωμικός, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ. φέρεται αὐτοῦ δράματα κα', ὧν ἐστι

DCCCCLXXIX—DCCCCLXXXI. Hesych. (Suid.)

---

6 *Μωσέως* P *Μωυσέως* V *Μωσέως βίου* S. Sed infra *Μωυσῆν* P, quo adductus omnibus locis *Μωϋσῆς* reposui *λέγουσι τοῦτον ἐπὶ Γαΐου Καλλιγόλα ἐν τῇ Ῥώμῃ κινδυνεῦσαι, ὁπηνίκα πρεσβευτὴς τοῦ οἰκείου ἔθνους ἀπεστάλη, καὶ ὅτε τὸ δεύτερον ἦλθε πρὸς Κλαύδιον, ἐν τῇ αὐτῇ πόλει διαλεχθῆναι τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ, καὶ τούτους ἐσχηκέναι φιλίαν, καὶ διὰ τοῦτο τοὺς σπουδαστὰς Μάρκου τοῦ μαθητοῦ Πέτρου ἐν Ἀλεξανδρείᾳ ἔπεσι κεκοσμηκέναι. εἰσὶν οὖν, ὡς προείπομεν, περιφανῆ καὶ ἀναρίθμητα συντάγματα καὶ πᾶσαν ὠφέλειαν ἔχοντα* ex Sophronio add. S 10 *γεγονότες* P consentiente S *γεγονὼς* V 13 *ὄνομα κύριον* ex altera glossa inseruit S

καὶ ταῦτα· Ἀχιλλεύς, Κορινθιαστής, Κυνηγίας, Φίλαυλος, Κέφαλος, Τηρεύς, Οἰνοπίων, Ἄντυλλος (καὶ αὐτὸ Φιλεταίρου, ὡς δέ τινες Νικοστράτου), Ἀταλάντη, Λαμπαδηφόροι.

DCCCCLXXXII. *Περὶ Φιλήμωνος τοῦ κωμικοῦ.* 427

Φιλήμων Συρακούσιος, υἱὸς Δάμωνος, καὶ αὐτὸς κωμικὸς τῆς νέας κωμῳδίας ἐπὶ Ἀλεξάνδρου, βραχὺ Μενάνδρου πρότερον. ἔγραψε κωμῳδίας ἐνενήκοντα.

Καὶ ἕτερος νεώτερος, κωμικὸς καὶ αὐτός, καὶ υἱὸς τούτου. ἐδίδαξε δράματα νδ΄.

DCCCCLXXXIII. *Περὶ Φιλίππου τοῦ κωμικοῦ.*

Φίλιππος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Κωδωνιασταί.

DCCCCLXXXIV. *Περὶ Φιλίσκου τοῦ κωμικοῦ.*

Φιλίσκος κωμικός. τῶν δραμάτων αὐτοῦ Ἄδωνις, Διὸς γοναί, Θεμιστοκλῆς, Ὄλυμπος, Πανὸς γοναί, Ἑρμοῦ καὶ Ἀφροδίτης γοναί, Ἀρτέμιδος καὶ Ἀπόλλωνος.

Καὶ ἕτερος Φιλίσκος, τραγικὸς δέ, υἱὸς Φιλώτου τοῦ Κερκυραίου, ἦν δὲ ἱερεὺς τοῦ Διονύσου, ἐπὶ τοῦ Φιλαδέλφου Πτολεμαίου γεγονώς. καὶ ἀπ' αὐτοῦ Φιλίσκειον μέτρον προσηγορεύθη, ἐπείπερ αὐτῷ ἐνεδαψι-

DCCCCLXXXII—DCCCCLXXXIV. Hesych. (Suid.)

---

1 Sic S *Κορινθιατής* PV 2 *Οἰνωπίων* PV 3 *Αὐτοφιλέταιρος — Νικοστράτη — Λαμπαδοφόροι* PV 5 *Φιλίμων* P corr. V 6 *ἐπὶ τῆς Ἀλ. βασιλείας* et mox *πρότερος* S 7 *καὶ ἐβίωσεν ἔτη ἐνενήκοντα ὀκτώ. εἰσὶ δέ, οἵ λέγουσιν α΄ καὶ ϱ΄. ἐτελεύτησε δὲ ὑπὸ σφοδροῦ γέλωτος* add. S 11 Sic S *Κωνιασταί* PV *ὡς Ἀθήναιος ἐν Δειπν.* add. S 14 *Ἑρμοῦ καὶ Ἀφροδίτης γοναί* addidi ex P om. V 18 *Φιλίσκιον* PV

λεύετο. ἔστι δὲ τῆς δευτέρας τάξεως τῶν τραγικῶν, οἵ τινές εἰσι ζ' καὶ ἐκλήθησαν Πλειάς. αἱ δὲ τραγῳδίαι αὐτοῦ εἰσι μβ'.

DCCCCLXXXV. *Περὶ Φιλιστίωνος τοῦ κωμικοῦ.*

Φιλιστίων Προυσαεύς, ἢ ὡς Φίλων, Σαρδιανός, κωμικός, τελευτᾷ δὲ ἐπὶ Σωκράτους, ὃς ἔγραψε κωμῳδίας βιολογικάς. τελευτᾷ δὲ ὑπὸ γέλωτος ἀπείρου. δράματα δὲ αὐτοῦ Μιμοψηφισταί. οὗτός ἐστιν ὁ γράψας τὸν φιλόγελων, ἢ τὸ βιβλίον τὸ φερόμενον εἰς τὸν Κουρέα. Νικαεὺς δὲ μᾶλλον παρὰ πᾶσιν ᾄδεται, ὡς μαρτυρεῖ τὸ ἐπίγραμμα·

„Ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον
Γέλωτι κεράσας Νικαεὺς Φιλιστίων."

DCCCCLXXXVI. *Περὶ Φιλοκλέους τοῦ τραγικοῦ.*

Φιλοκλῆς Ἀθηναῖος, τραγικὸς μετὰ Εὐριπίδην, ἐκαλεῖτο δὲ χολὴ διὰ τὸ πικρόν. ἔγραψε τραγῳδίας ρ', ὧν ἐστι καὶ ταῦτα· Ἠριγόνη, Ναύπλιος, Οἰδίπους, Οἰνεύς, Πρίαμος, Πηνελόπη, Φιλοκτήτης. ἦν δὲ Αἰσχύλου τοῦ τραγικοῦ ἀδελφιδοῦς. ἔσχε καὶ υἱὸν Μόρσιμον τὸν τραγικόν, οὗτινος γίνεται Ἀστυδάμας ὁ τραγικός.

[Ἔστι δὲ καὶ ἕτερος Φιλοκλῆς, κωμῳδίας ποιητὴς αἰσχροπόσωπος. ἦν δὲ προκέφαλος ὡς ἔποψ, ἤγουν ὀξυκέφαλος, Αἰσχύλου δὲ ἀδελφῆς υἱός.]

DCCCCLXXXV et DCCCCLXXXVI. Hesych. (Suid.)

---

4 Hanc vitam exhibet etiam Pseudo-Hesych. p. 56 6 *βιολογικάς* corr. Kuesterus *βαιολογικάς* PV 7 *Μισοψηρισταί* PV 9 *κουρέα* PV 10 Anthol. Pal. VII, 155 13 *Πολυπείθους* et mox *τοῖς χρόνοις* add. S 16 *δὲ* P *δὴ* V 22 *οἱ δὲ Ἀλ-*

DCCCCLXXXVII. *Περὶ Φιλοξένου τοῦ λυρικοῦ.* 428

Φιλόξενος Εὐλυτίδου, Κυθήριος, λυρικός. ἔγραψε διθυράμβους κδ΄ καὶ γενεαλογίαν τῶν Αἰακιδῶν μελικῶς.

DCCCCLXXXVIII. *Περὶ Φιλωνίδου τοῦ κωμικοῦ.*

Φιλωνίδης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος, ὃς πρότερον ἦν γραφεύς. τῶν δραμάτων αὐτοῦ ἦν Κόθορνοι, Ἀπήνη, Φιλέταιρος.

DCCCCLXXXIX. *Περὶ Φιλυλλίου τοῦ κωμικοῦ.*

Φιλύλλιος Ἀθηναῖος, κωμικὸς τῆς παλαιᾶς κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἰγεύς, Αὔγη, Ἄντεια (ἑταίρας ὄνομα), Δωδεκάτη, Ἡρακλῆς, Πλύντρια ἢ Ναυσικάα, Πόλις, Φρεώρυχος, Ἀταλάντη, Ἑλένη.

DCCCCXC. *Περὶ Φόρμου τοῦ κωμικοῦ.*

Φόρμος Συρακούσιος, κωμικός, σύγχρονος Ἐπιχάρμῳ, οἰκεῖος Γέλωνι τῷ Σικελίας τυράννῳ καὶ τροφεὺς τῶν παίδων αὐτοῦ. ἔγραψε δράματα ζ΄, εἰσὶ δὲ ταῦτα· Ἄδμητος, Ἀλκίνους, Ἀλκυόνες, Ἰλίου πόρθησις, Ἵππος, Κηφεὺς ἢ Κεφάλαια, Περσεύς. ἐχρήσατο δὲ

DCCCCXVII—DCCCCXC. Hesych. (Suid.)

μίωνα αὐτόν φασιν ἐπιθετικῶς διὰ τὸ πικρὸν εἶναι· ἅλμη γὰρ ἡ πικρία. εἴρηται οὖν ἐπὶ τῶν ὀξυκεφάλων add. S. Ceterum Suidam in hac vita enarranda scholiis ad Ar. Aves 282 et Thesmoph. 175 esse usum editores viderunt. Sed Philoclem eundem esse atque priorem poetam tragicum perspexit Kuesterus, probante D. Volkmanno Quaest. nov. p. X, not. 16. Hic Suidae verba interpolator adscripsit 1 *Εὐλητίδου* PV Plura de vita eius narravit Suidas. Ceterum cf. doctam dissertationem Bergkii Poet. Lyr. p. 1266 7 *Φιλλυλίου* PV

πρῶτος ἐνδύματι ποδήρει καὶ σκηνῇ δερμάτων φοινίκων.

DCCCCXI. *Περὶ Φρυνίχου τοῦ τραγικοῦ.*

Φρύνιχος Πολυφράδμονος, ἐπὶ τῆς ξζ' Ὀλυμπιάδος. φέρονται αὐτοῦ τραγῳδίαι ἐννέα· Πλευρωνία, Αἰγύπτιοι, Ἀκταίων, Ἄλκηστις, Ἀνταῖος ἢ Λίβυες, Δίκαιοι ἢ Πέρσαι ἢ Σύνθωκοι, Δαναΐδες.

Καὶ ἕτερος Φρύνιχος, Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ ταῦτα· Ἐφιάλτης, Κόννος, Κρόνος, Κωμασταί, Σάτυροι, Τραγῳδοὶ ἢ Ἀπελεύθεροι, Μονότροπος, Μοῦσαι, Μύστης, Ποάστριαι.

Καὶ ἕτερος, τραγικὸς Ἀθηναῖος, υἱὸς Μελανθᾶ. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ ταῦτα· Ἀνδρομέδα, Ἠριγόνη. ἐποίησε καὶ πυρρίχας.

DCCCCXCII. *Περὶ Φοινικίδου τοῦ κωμικοῦ.*

Φοινικίδης κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Φύλαρχος, Μισουμένη, ὡς Ἀθήναιος.

DCCCCXCI et DCCCCXCII. Hesych. (Suid.)

---

2 *μέμνηται δὲ καὶ ἑτέρου δράματος Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς, Ἀταλάντης* add. S, cf. Athen. XIV, p. 652 3 *ἢ Μινύρου (οἱ δὲ Χοροκλέους), Ἀθηναῖος τραγικός, μαθητὴς Θέσπιδος τοῦ πρώτου τὴν τραγικὴν εἰσενέγκαντος. ἐνίκα τοίνυν ἐπὶ τῆς ξζ' ὀλυμπιάδος. οὗτος δὲ πρῶτος ὁ Φρύνιχος γυναικεῖον πρόσωπον εἰσήγαγεν ἐν τῇ σκηνῇ καὶ εὑρετὴς τοῦ τετραμέτρου ἐγένετο. καὶ παῖδα ἔσχε τραγικὸν Πολυφράδμονα* prodidit S, mox *Πλευρώνιαι* corr. Bentleius Phalar. p. 289 Ribbeck. De tabula carminum cf. Wachsmuth. Symbol. Bonn. p. 150 6 *ἢ* post *Δίκαιοι* et *Πέρσαι* addidi ex S, om. PV 8 *ἐπὶ δευτέρων* PV 11 *Ποαστρίαι* PV post *Σάτυροι* male repetivit S. Cf. Wachsmuth. l. c. p. 151 16 Sic S, *Φίλαρχος,*

DCCCCXCIII. Περὶ τῆς τῶν Χαλδαίων ἀστρονομίας. 429

Οἱ Χαλδαῖοι, ὧν πρῶτος ὁ Ζωροάστρης καὶ μετ' αὐτὸν Ὀστάνης, ἐπέστησαν τῇ οὐρανίᾳ κινήσει καὶ εἶπον, ὡς τῇ τοιᾷδε κινήσει τῶν οὐρανίων τὰ περὶ τοὺς τικτομένους συμβαίνει. δεύτεροι δὲ ἐδέξαντο Αἰγύπτιοι, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χωρῶν προδιδαχθέντες. καὶ εἶθ' οὕτως συγγράψαντες καὶ χρώμενοι εὐδοκιμοῦσιν, ἀφ' ὧν ἔμαθον οἱ Ἕλληνες τὴν ἀστρολογίαν καὶ τοὺς γεννωμένους ἤρξαντο ὑπὸ τὴν τῶν ἄστρων κίνησιν ἀναφέρειν. λέγεται δέ, ὅτι καὶ τὸ θύειν θεοῖς οἱ Χαλδαῖοι ἐξεῦρον.

DCCCCXCIV. Περὶ τοῦ Χάρητος τοῦ τὸν Κολοσσὸν κατασκευάσαντος, καὶ τίς καὶ πότε αὐτὸν καθεῖλεν.

Ἡ Ῥόδος ἄλλα τε ἔσχε θαυμαστὰ καὶ τὸν τοῦ Ἡλίου δὲ Κολοσσόν, Χάρητος ἔργον, ἀνδρὸς Λινδίου, (ἡ δὲ Λίνδος πόλις ἐν Ῥόδῳ, Κερκάφου τοῦ Ἡλίου καὶ Κυδίππης τῆς Ὀρχίμου θυγατρὸς κτίσμα), πήχεων ἑβδομήκοντα, καὶ ἦν καὶ αὐτὸς ἓν τῶν ἑπτὰ θεαμά-

DCCCCXCIII. Cosm. p. 307 DCCCCXCIV — κτίσμα Eustath. Dion. 504 (ἡ δὲ Λίνδος — κτίσμα Steph. Byz.) ἐπὶ Σελεύκου — παρασήμου Hamartol. p. 206 (Muralt) vel Ioann. Antioch. fr. 30 (Müller IV, p. 552; Suid. v. Κολοσσαεῖς) ἐπὶ δὲ Κώνσταντος — κολοσσοῦ Hamartol. p. 598 (cf. etiam Theophan. p. 527 Classen); iisdem fere verbis utitur Cedrenus I, p. 754 τινὲς δὲ — exit. Eustath. l. c. (cf. Cedrenus I, p. 269)

μισουμενος ὡς Ἀθηναῖος ineptissime PV 1 Ζαρούτρης F 12 Ἠλείου P corr. V. Hoc Violarii caput primus laudavit Cangius in adnot. ad Zonar. p. 67 Dind.

των. ἐπὶ Σελεύκου καὶ γὰρ τοῦ Νικάνορος οἱ Ῥόδιοι θαλασσοκρατήσαντες ἀνέστησαν τοῦτον τὸν χαλκοῦν ἀνδριάντα, ὃν διὰ τὸ μέγεθος ἐκάλεσαν Κολοσσόν, ἀφ' οὗ καὶ αὐτοὶ Κολοσσαεῖς ὠνομάσθησαν ὡς ἐκ μεγάλου παρασήμου. ἐπὶ δὲ Κώνσταντος ἐκγόνου Ἡρακλείου οἱ Σαρακηνοὶ τὴν ἁγίαν γῆν πᾶσαν καὶ Δαμασκὸν καὶ τὴν χώραν πᾶσαν τῆς Φοινίκης κατέσχον. ἐπεὶ οὖν περικρατεῖς γενόμενοι τῆς ἁγίας γῆς ἐκείνης καὶ σφόδρα πλεονάσαντες καὶ ὑπερισχύσαντες, ἐξώπλισαν πλοῖα πάμπολλα, Μαβίας ὁ τούτων ἀρχηγὸς καὶ τὴν Ῥόδον καταλαβὼν [καὶ παραλαβών], τὸν Κολοσσὸν μετὰ ͵ατξ' ἔτη τῆς αὐτοῦ ἱδρύσεως καθεῖλεν, ὃν Ἰουδαῖός τις ἔμπορος ὠνησάμενος ἑπτακοσίας καμήλους ἐφόρτωσε τὸν χαλκὸν Κολοσσοῦ. τινὲς δέ φασιν κλασθέντα ἀπὸ τῶν γονάτων σεισμῷ πεπτωκέναι. πολλὰ δὲ καὶ ἄλλα εἶχεν ἡ Ῥόδος ἀγάλματα, ὧν τὸ τεχνικὸν καὶ μικροῦ δεῖν ἔμψυχον αἰνιττόμενοι οἱ τεχνῖται ἁλύσεσιν ἐδέσμουν αὐτά, μὴ λάθοιεν τάχα κινηθέντα μεταστῆναί που ἀλλαχοῦ. εἰ δὲ χρὴ τὴν νῆσον ταύτην οὐ μόνον τῷ μεγίστῳ Κολοσσῷ σεμνῦναι, ἀλλὰ καὶ σμικροτάτῳ τινὶ ἐπᾶραι ἀναθήματι· ἐκεῖ γὰρ καὶ ὁ καλὸς πέρδιξ ἦν, τὸ τοῦ Πρωτογένους ὑμνούμενον πάρεργον.

---

4 *Κολοσσοεῖς* P corr. V *Κολοσσεῖς* Hamartol. 10 *Μανίας* PV, quem errorem a literis minusculis ($\beta = \upsilon$) profectum conspicias, *Μανΐας* Theophanes; infra *καὶ παραλαβὼν* utpote per dittographiam ortum seclusi 12 Sic etiam Theophanes *ατξε* Cedrenus 13 *ἐννακοσίους καμήλους* Theophanes *ἐννακόσια καμήλια* Cedrenus 18 *λάθοιε* PV 22 *γὰρ* reposui ex F om. PV

DCCCCXCV. *Περὶ τῶν Χαρίτων.* 430

Τὰς Χάριτας οἱ πλεῖστοι παραδεδώκασαν εὐεργετικὰς θυγατέρας τοῦ Διὸς εἶναι, οἱ μὲν ἐξ Εὐρυδομένης αὐτῷ γεγονυίας, τῷ μάλιστα ἐξ εὐρέων καὶ διαβεβοημένων δόμων τὰς δωρεὰς φιλεῖν δίδοσθαι, οἱ δὲ Εὐρυνόμης, καὶ τούτου παριστάντος, ὅτι χαριστικώτεροί πώς εἰσιν ἢ ὀφείλουσιν εἶναι οἱ μεγάλους κλήρους νεμόμενοι. τινὲς δὲ ἐξ Εὐρυμεδούσης, εἰς ταὐτὸ συντείνοντος καὶ τούτου τοῦ ἐτύμου· κυριεύουσι γὰρ τῶν ἰδίων οἱ ἄνθρωποι. τήνδε Ἥραν ἄλλοι διδόασιν αὐταῖς μητέρα, καθὸ εὐγενέσταται τῶν θεῶν εἰσι. πρὸς ἄλλην δὲ ἔμφασιν γυμναὶ παρεισάγονται, ὡς καὶ τῶν μηδὲν κτῆμα ἐχόντων ὑπουργεῖν τινα καὶ ὠφελίμως χαρίζεσθαι πολλὰ δυναμένων καὶ οὐ περιουσιάζεσθαι πάντως, ἵνα τις εὐεργετικὸς ᾖ δέοντος, ὡς εἴρηται καὶ τὸ „ξενίων δέ τε θυμὸς ἄριστος“. τινὲς δὲ οἴονται διὰ τῆς γυμνητείας αὐτῶν παρίστασθαι τὸ εὐλύτως καὶ ἀνεμποδίστως δεῖν ἔχειν πρὸς τὸ χαρίζεσθαι. λέγοντα δέ, ὑφ' ὧν μὲν δύο εἶναι, ὑφ' ὧν δὲ τρεῖς, δύο μέν, ἐπειδὴ τοὺς μὲν δεῖ προκατάρχειν χάριτος, τοὺς δὲ ἀμείβεσθαι, τρεῖς δέ, ἐπειδὴ οὐ καλῶς ἔχει τὸν τετυχότα ἀμοιβῆς ἑστάναι πάλιν χαριστικῆς, [ἀλλὰ πάλιν χαρίζεσθαι], ἵνα ἀκαταπαύστως

DCCCCXCV. Cornut. 15

---

3 Sic F *αὐτὰς* PV *ἀπὸ ἐξηρμένων* PV 5 *κἂν τούτῳ παριστῶντες* PV 8 *συντείνοντες καὶ τοῦτο* PV 13 *πολλὰ — περιουσιάζεσθαι* addidi ex P om. V 14 *δεόντως* PV 15 Osannus: „ceterum cuius poëtae sit versus illa particula ego cum aliis ignoro“ 18 *εἶναι* om. PV 21 *πάλιν* om. PV 22 *ἀλλὰ πάλιν χαρίζεσθαι* seclusi Osannum secutus

τοῦτο γίνηται, καὶ τοῦτο, ὅτι δεῖ γίνεσθαι καὶ τῆς χορείας αὐτῶν ἐμφαινούσης. ἕτεροι δὲ ἔφασαν, μίαν μὲν εἶναι Χάριν τὴν περὶ τὸν ὑπουργοῦντά τι ὠφελίμως, ἑτέραν δὲ τὴν περὶ τὸν δεχόμενον τὴν ὑπουργίαν καὶ ἐπιτηροῦντα τὸν καιρὸν ἀμοιβῆς, τρίτην δὲ περὶ τὸν ἀνθυπουργοῦντα κατ' αὐτόν που τὸν καιρόν. ἱλαρῶς δὲ εὐεργετεῖν δέοντος καὶ ἱλαροὺς ποιουσῶν τοὺς εὐργετουμένους τῶν Χαρίτων, πρῶτον μὲν κοινῶς ἀπὸ τῆς χαρᾶς πᾶσαι Χάριτες ὠνομάσθησαν. καὶ εὔμορφοι δὲ λέγονται εἶναι διὰ τὸ εὐείδειαν καὶ πιθανότητα χαρίζεσθαι, εἶτα κατ' ἰδίαν ἡ μὲν Ἀγλαΐα προσηγόρευται, ἡ δὲ Θάλεια, ἡ δὲ Εὐφροσύνη. διὰ τοῦτο ἔνιοι Εὐάνθην ἔφασαν τὴν μητέρα αὐτῶν εἶναι, τινὲς δὲ Αἴγλην. συνοικεῖν δὲ ὁ ποιητὴς ἔφη μίαν τῶν Χαρίτων Ἡφαίστῳ, τάχα διὰ τὸ ἐπιχάριτα εἶναι τὰ τεχνιτὰ ἔργα. πλάττονται δὲ καὶ ὀπαδοὶ τῇ Ἀφροδίτῃ καὶ ὑπουργοί, ἀλλ' ἴσως ἕτεραι παρὰ τὰς τρεῖς, ἃς καὶ ἡ τοῦ Ἡσιόδου Θεογονία σεμνύνει.

DCCCCXCVI. *Περὶ Χαρικλοῦς καὶ Φιλύρας.*

Χαρικλὼ καὶ Φιλύρα Νηϊάδες, αἵ τινες τὸν Ἀχιλλέα ἔθρεψαν, ὧν ἡ μὲν Χαρικλὼ γυνὴ Χείρωνος, Φιλύρα δὲ μήτηρ.

DCCCCXCVI. Schol. Apoll. IV, 813

2 χρόας PV 7 ἱλαρῶν et εὐεργετῶν οὐσῶν PV 9 πᾶσαι om. PV 12 Εὐφρόνη PV 14 Αἴγλην scripsi ad exemplum editorum Cornuti, Ἀγλαίην PV Il. XVIII, 382 18 Theog. 907

DCCCCXCVII. *Περὶ τῆς Χαρύβδεως.* 431

Περὶ τὸ Σικελικὸν καὶ Τυρρηνικὸν πέλαγός ἐστί τις τόπος, ἐν ᾧ ἡ θάλαττα γίνεται ἄμπωτις καὶ ῥαχία καὶ διΐσταται τὸ ὕδωρ, ὥστε τὸν πυθμένα τῆς θαλάσσης κατὰ τοῦτο τὸ μέρος, εἴγε δυνατόν, ὁρᾶσθαι. ἄμπωτις δέ ἐστιν οἱονεὶ ἀνάποσίς τις καὶ ἀναρρόφησις. τὸ δὲ ὕδωρ ὑπονοστεῖ ἔν τισι κοιλώμασι τῶν πετρῶν καὶ πάλιν ἐκρήγνυται, ὃ καλεῖται ῥαχία. ἦν δὲ οὗτος ὁ τόπος τοῖς πλέουσιν ἐπικίνδυνος καὶ θανάτου μεστός. καλεῖται δὲ Χάρυβδις, οἱονεὶ εἰς χάος βαῖνον, καὶ γὰρ πᾶν τὸ εἰς χάος καὶ ὄλεθρον κατάγον οὕτω ἐν τῇ θαλάττῃ ὀνομάζεται, ἀναπινομένης τῆς θαλάσσης καὶ πάλιν ῥαγδαιοτέρως ἐπαναστρεφούσης. γίνεται δὲ τοῦτο καὶ περὶ τὰ Γάδειρα. ὁλοβρύχιον δὲ τὸ πλοῖον ἐγίνετο ἐν τούτοις τοῖς τόποις, εἰ συνέβη πλέοντος τοῦ πλοίου γίνεσθαι ἄμπωτιν καὶ ῥαχίαν. περὶ τούτου Ὅμηρος·

Ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις.

ἀντίθετον δὲ ἐκάλεσε τὴν Χάρυβδιν πρὸς τὴν Σκύλλαν παραβάλλων. ἰστέον δέ, ὅτι τῆς Σικελίας καταντικρὺ κειμένης τῆς Ἰταλίας κατὰ τὸ ἄκρον τὸ πρὸς Ἰταλίαν ἀφορῶν, ὃ καλεῖται Πέλωρος, κάτω ἐστὶν ἡ καλουμένη Χάρυβδις, ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ ἐστι

DCCCCXCVII. Nonn. I, 53 (*ἄμπωτις — ῥαχία* Nonn. II, 12 *ἄμπωτις — μεστός* Clarke p. 46) cf. Eud. p. 377 *καλεῖται — Γάδειρα* Etym. M. p. 807, 27 (Suid.) *ὁλοβρύχιον — παραβάλλων* Nonn. I, 53 *ἰστέον δὲ* — exit. Schol. Apoll. IV, 825

1 *κατὰ* F 5 *ἀνάπωτις* PV 15 *ἀμπώτιδα* F 17 Od. XI, 235 19 *παραβαλών* F

καταντικρὺ τοῦ Πελώρου, ὡς καὶ ἐν τῷ περὶ Σκύλλης διεξοδικῶς εἴρηται.

DCCCCXCVIII. *Περὶ τοῦ Χείρωνος τοῦ Κενταύρου.*

Χείρων, εἷς τῶν Κενταύρων, Ἰξίονος υἱὸς ὥσπερ καὶ οἱ λοιποί. ο δὲ τὴν Γιγαντομαχίαν ποιήσας φησίν, ὅτι ὁ Κρόνος μεταμορφωθεὶς εἰς ἵππον συνεγένετο Φιλύρᾳ τῇ Ὠκεανοῦ, καὶ διὰ τοῦτο γέγονεν ὁ Χείρων Ἱπποκένταυρος. ᾤκει δὲ ἄντρον τι ἐν Θετταλίᾳ, ὅπου καὶ ὁ Ἀχιλλεὺς γεννηθεὶς ὑπὸ Θέτιδος παρεδόθη αὐτῷ τροφεῖ ἅμα καὶ διδασκάλῳ τῆς τοξείας χρησάμενος. ὁ δὲ Χείρων λαβὼν τὸν Ἀχιλλέα, οὐ γάλακτι καὶ ἄρτῳ ἔτρεφεν αὐτόν, ἀλλὰ κηρίοις τε καὶ μυελοῖς ἐλάφων καὶ ἄλλων ζώων, διὸ καὶ Ἀχιλλεὺς ὠνομάσθη, ὡς μὴ μετασχὼν τοῦ χιλοῦ· χιλὸς γὰρ ἡ τροφή. ἐπικαθίζων οὖν αὐτὸν ὄπισθεν αὐτοῦ κατὰ τοῦ ἱππίου μέρους οὕτως ἐγύμναξε καὶ ἐδίδασκεν αὐτὸν τὴν τοξικήν. τεθρύλληται δὲ ὁ Χείρων, ὅτι πάντας ἀνθρώπους δικαιοσύνῃ ὑπερήνεγκε καὶ ὅτι ἐπαίδευσε καὶ αὐτὸν τὸν Ἀσκληπιόν. φασὶ γὰρ αὐτὸν ἰατρικὴν ἐπιδείξασθαι καὶ τὸν Ἰάσονα παρ' αὐτοῦ πεπαιδεῦσθαι, ταύτῃ τοι καὶ οὕτω κληθῆναι παρὰ τὴν ἴασιν. καὶ
432 *αὐτὸς δὲ ὁ Ἡρακλῆς δοκεῖ πρὸς αὐτὸν ἐλθεῖν δι' ἔρωτα, ᾧ καὶ συνεῖναι ἐν τῷ ἄντρῳ, τιμῶν τὸν Πᾶνα.*

DCCCCXCVIII. Schol. Apoll. I, 554 *ὁ δὲ Χείρων — τοξικήν* Cosm. p. 197 *τεθρύλληται — Ἀσκληπιόν* et *αὐτὸς δὲ — αὐτὸν* Eratosthen. Catasterr. 40 *φασὶ γὰρ αὐτὸν — ἴασιν* Schol. Apoll. l. c. *ἀλλ' οὕτω* — exit. aliunde fluxerunt

---

2 Cf. p. 376 4 Kinkel I, p. 8 9 *τοξίας* P corr. V

μόνον δὲ τὸν Κένταυρον οὐκ ἀνεῖλεν, ἀλλ' ἤκουεν αὐτοῦ, καθάπερ Ἀντισθένης φησὶν ὁ Σωκρατικὸς ἐν τῷ Ἡρακλεῖ. χρόνον δὲ ἱκανὸν ὁμιλούντων αὐτῶν, ἐκ τῆς φαρέτρας αὐτοῦ βέλος ἐξέπεσεν εἰς τὸν πόδα τοῦ Χείρωνος, καὶ οὕτως ἀποθανόντος αὐτοῦ ὁ Ζεὺς διὰ τὴν εὐσέβειαν καὶ τὸ σύμπτωμα ἐν τοῖς ἄστροις ἔθηκεν αὐτόν. ἀλλ' οὕτω μὲν ὁ μῦθος. ἀναγωγικῶς δὲ Ἱπποκένταυρος νοεῖται διὰ τό, ὡς εἴρηται, τὴν ἰατρικὴν αὐτὸν ἐπιδείξασθαι. ἀνάγεται δὲ οὕτως, ἐπειδὴ τὸ σῶμα αὐτοῦ τὸ μὲν ἥμισυ ἵππου ἦν, τὸ δὲ ἥμισυ ἀνθρώπου πεφανέρωται, διὰ τοῦ ἀλόγου μέρους δηλοῦται τὸ πρακτικόν, διὰ δὲ τοῦ ἀνθρωπείου τὸ λογικόν.

DCCCCXCIX. *Περὶ τῆς Χιμαίρας τῆς Παταρικῆς.*

Ἡ Πάταρα πόλις ἐστὶ τῆς Λυκίας, λέγεται δέ, ὅτι ἐν ταύτῃ ὄρος ἐστίν, ἐν ᾧ ἦν θηρίον, ὃ ἔμπροσθεν μὲν ἦν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ Χίμαιρα, ἐξ ἧς πῦρ ἐκ τοῦ στόματος ἀνεδίδοτο καὶ ἐλυμαίνετο τὴν χώραν καὶ πάντας τοὺς παριόντας. ὕστερον δὲ ἐλθὼν ὁ Βελλεροφόντης, ἔχων τὸν Πήγασον ἵππον, ἐτεχνάσατο καὶ τῷ δόρατι αὐτοῦ περιθεῖναι σφαῖραν μολίβδου καὶ ἐμβαλεῖν εἰς τὸ στόμα τῆς Χιμαίρας. ἐλύθη δὲ ὑπὸ τοῦ πυρὸς ὁ μόλιβδος καὶ ἐχώνευσε τὰ σπλάγχνα αὐτῆς, καὶ οὕτως ἀπέκτεινε τὴν Χίμαιραν.

DCCCCXCIX. Nonn. I, 50 *καθ' ἱστορίαν* — exit. Tzetzes Lyc. 17

---

2 fr. 5 Winkelm. 4 *αὐτοῦ* P *αὐτοῦ* V 15 *πρόσθεν* F 20 *αὐτοῦ περιθεῖναι — καὶ ἐμβαλεῖν* F *περιθεὶς* PV *αὐτοῦ* om. PV *ἐνέβαλεν* om. *καὶ* PV 21 *μόλιβδος* omnibus locis P *μόλυβδος* V

καθ' ἱστορίαν δὲ ἡ Χίμαιρα γυνὴ ἦν, θυγάτηρ Ἀμισοδάρου, περὶ τὸν τόπον Λυκίας ἐπαρχοῦντος, ἔσχε δὲ ἀδελφοὺς Λέοντα καὶ Δράκοντα, καὶ τὰς Λυκίας εἰσβολὰς κατέχοντες μετὰ καὶ τῶν ὑπ' αὐτοὺς ἀνῄρουν τοὺς παριόντας. διὰ γοῦν τὴν ὁμόνοιαν τρικέφαλον θηρίον τούτους ἐκάλεσαν, διὰ δὲ τὸ πολεμικὸν καὶ δραστήριον πυρίπνουν. τούτοις οὖν Βελλεροφόντης ἀντήσας, μόλιβδον ἐμβάλλει τοῖς αὐτῶν στόμασιν, ἤτοι χαλινὸν δουλείας. πρόσθεν δὲ ὁ λέων ἐπολέμει, ἐκ τοῦ ὀπισθίου δὲ ὁ Δράκων, μετὰ δὲ τὸ μέσον ἡ Χίμαιρα ἦν, ὡς ἐκείνων ἀσθενεστέρα. ἄλλως τὴν Χίμαιραν νοητέον, ὡς Ὅμηρος ὑπεμφαίνει, τοὺς Σολύμους, ἔθνος μάχιμον, οὓς εἰκάζει καὶ λέοντι διὰ τὸ κατὰ πρόσωπον γενναιοτάτως μάχεσθαι τὰς Ἀμαζόνας, ἃς Χιμαίρᾳ, ἤτοι αἰγί, παρείκασε διὰ τὸ κρημνοβατεῖν αὐτὰς δίκην αἰγῶν καὶ ἐν κρημνοῖς κατοικεῖν, τὴν ἐνέδραν τῶν Λυκίων, τὴν μητέρα αὐτήν, ἣν διὰ τὸ λαθραῖον ὄφιν ἐκάλεσεν, ἀδιαλείπτως λοχεύουσαν.

433 M. *Περὶ Χρυσηΐδος.*

Χρυσηῒς ἡ τοῦ Χρύσου θυγάτηρ οὐκ ἐκ τῆς Χρύσης πόλεως ἠχμαλώτισται, ὥσπερ ἄν τις ὡς εἰκὸς ὑπολάβαι, ἀλλὰ ἐκ τῆς Ὑποπλακίου Θήβης, ἀποσταλεῖσα παρὰ τοῦ πατρὸς Χρύσου, ὡς εἴς τι κρησφύγε-

M. Eustath. Il. p. 118 ἱστοροῦσι δέ τινες — exit. Eustath. Il. p. 119

1 Ἀμισοδώρου PV 4 κατέχοντας P corr. V μετὰ του ὑπ' αὐτῇ PV 12 Il. VI, 184 16 τὴν ἐνέδραν correxi εἰς ἔνεδραν PV τὴν δὲ ἐνέδραν τῶν Λυκίων τὴν κατ' αὐτοῦ, ἣν διὰ τὸ λαθραῖον ὄφιν ἐκάλεσε perverse hic exhibet F 18 ἐκάλεσε PV λοχευούσας P corr. V

τον ἐρυμνόν, κατὰ δέ τινας εἰς ἑορτὴν Ἀρτέμιδος ἐκεῖ ἀπελθοῦσα. ὁ μέντοι Ἀχιλλεὺς πολεμαρχῶν καὶ τὰ περὶ Φρυγίαν ληιζόμενος καὶ ταύτην Θήβην εἷλε καὶ τὴν Χρυσηΐδα μετὰ τῶν ἄλλων ἠνδραποδίσατο. ἱστοροῦσι δέ τινες, ὅτι ἐκ τῶν Ὑποπλακίων Θηβῶν ἡ Χρυσηῒς ἐλήφθη, οὔτε καταφυγοῦσα ἐκεῖ, οὔτε ἐπὶ θυσίαν Ἀρτέμιδος ἐλθοῦσα, ὡς ὁ τὰ Κύπρια γράψας ἔφη, ἀλλὰ πολῖτις, ἤτοι συμπολῖτις Ἀνδρομάχης οὖσα.

MI. Περὶ τῆς χρυσῆς σειρᾶς.

Χρυσῆν σειρὰν οἱ μέν φασι τὴν δίκην ἁλύσεως ἐπιπλοκὴν τῶν τεσσάρων στοιχείων, κατὰ τὰς ἐν αὐτοῖς ποιότητας λεγομένην χρυσῆν, διὰ τὸ φύσει πολυτίμητον καὶ διὰ τὴν ἐκ τοῦ ἡλίου ἐν αὐτοῖς χρυσαύγειαν, ἧς δὴ ἐπιπλοκῆς μεταποιηθείσης, ποτὲ ἄνω κάτω, φασί, γενήσεται τὸ πᾶν μεταστοιχειωθέν, ἢ μεγάλῳ χειμῶνι ἄνωθεν ἐκ Διός, ἐν κατακλυσμῷ καὶ ἐξυδατώσει, ἢ μεγάλῳ θέρει, κατὰ ἐκπύρωσιν. οἱ δὲ χρυσῆν νοοῦσι σειρὰν τὰς τοῦ αἰῶνος ἡμέρας, αἳ χρυσῷ οἷον κέκρανται τῇ τοῦ ἡλίου λαμπρότητι καὶ ἁλύσεως δίκην ἀλλήλων ἐξήρτηνται, τὸν καθ᾽ ἡμᾶς βίον δέουσαι, ληψόμεναί ποτε πέρας καὶ αὐταί, καὶ τὸ πᾶν ἀναστοιχειώσουσαι, τοῦ Διὸς μένοντος ἀπαθοῦς, ὃν ψυχήν φασι τοῦ παντὸς οἱ παλαιοί. Πλάτων δὲ αὐτὸν τὸν ἥλιον χρυσέαν λέγει σειράν, ὧν ἀνωτάτω μὲν ὁ τοῦ

MI. Eustath. Il. p. 695

8 πολῖτις ἤτοι συμπολῖτις F πολίτης, ἤτοι συμπολίτης PV Ἀνδρομάχης P consentiente F Ἀνδρομάχη V. Cf. Kinkel I, p. 28 seq., qui hunc Violarii locum praetermisit 12 χρυσαυνίαν PV 14 κάτω addidi ex F om. PV 22 Theaet. p. 153 23 Hic nonnulla add. F

Κρόνου, πρόσγειος δὲ ὁ τῆς σελήνης, ἐν οἷς κύκλοις ἄλλοτε ἄλλως τῶν πλανητῶν συνιόντων, πολλαὶ περὶ τὸ πᾶν γίνονται μεταβολαί. οἱ δὲ Στωικοὶ τὴν Διὸς ἀπειλὴν εἰς μόνην ἀλληγοροῦσιν ἐκπύρωσιν, ἐπεὶ Ζεὺς μὲν ὁ αἰθήρ, χρυσῆ δὲ σειρὰ ὁ ἥλιος, εἰς ὃν κάτωθεν, ὥσπερ εἰς καρδίαν, ἀποχεῖται ἀναδιδομένη ἡ τῶν ὑγρῶν ἀναθυμίασις, ὅταν χρόνῳ ποτὲ ἀνελκομένη δι' ἀναθυμιάσεως, ὡς εἰκὸς ἡ θάλασσα ἐπιλίπῃ, τότε δὴ τὸ πῦρ τροφῆς ἐφιέμενον ἀνελκύσει τὰ ἐν βάθει τῆς γῆς ὑγρὰ καὶ λύσει καὶ αὐτὴν τὴν γῆν. καὶ ὁ μὲν Ζεὺς οὐ καθελκυσθήσεται, τὰ δὲ κάτω μετέωρα γένηται τοῦ πυρὸς κατισχύσαντος. τινὲς δὲ οὐ πολυλογεῖν ἐθέλοντές φασι, τὴν ἀπειλὴν ταύτην αἴνιγμα μοναρχίας εἶναι, καὶ ἑνὸς ἐξῆπται τὰ πάντα καὶ μιᾶς ἀρχῆς ἤρτηται· ὡς γὰρ ἐν τοῖς κάτω „οὐκ ἀγαθὸν πολυκοι-
434 ρανίη“, οὕτω καὶ ἐν τοῖς ἄνω.

MII. *Περὶ τοῦ χρυσομάλλου δέρατος.*|

Ὅρα ἐν τῷ περὶ Ἕλλης, ἐκεῖ γὰρ περὶ αὐτοῦ διεξοδικῶς εἴρηται.

MIII. *Περὶ Χρύσης.*

Χρύση Ἀγαμέμνονος θυγάτηρ. καὶ γὰρ αὐτοῦ καὶ Χρυσηΐδος παῖδας γεγονέναι φασὶν Ἰφιγένειαν καὶ Χρύσην, ὧν ἀπὸ μὲν τῆς Χρύσης ὠνομάσθη Χρυσόπολις, πλησίον Χαλκηδόνος ἐν Βιθυνίᾳ, τὸν ἀνάπλουν

MII. Cf. Eud. p. 146   MIII. Etym. M. p. 815, 57 *πλησίον Χαλκηδόνος* — exit. Steph. Byz. v. *Χρυσόπολις*

---

4 *μόνον* PV   10 alterum *καὶ* addidi ex F om. PV   11 *οὐκ αθελκυσθήσεται* F *οὐκ ἀνθελκυσθήσεται* PV   15 Il. II, 204   17 *Ἕλλης* correxi, *Ἑλένης* perperam PV   20 *φασὶ* PV

πλέοντι ἐν δεξιῷ, Ἰφιγένειαν δὲ γενέσθαι ἱέρειαν Ἀρτέμιδος. οἱ δὲ οὐκ ἀπὸ τῆς θυγατρός, ἀλλ' ἀπὸ τοῦ παιδὸς Χρύσου τῆς Χρυσηΐδος ὠνομάσθαι τὴν πόλιν βούλονται.

MIV. *Περὶ τῶν χρυσῶν μήλων.*

Περὶ τῶν χρυσῶν μήλων ταῦτα λέγεται. γυναῖκές τινες ἦσαν Ἑσπερίδες καλούμεναι διὰ τὸ ἑσπέρας ἐπιφαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ κατοικεῖν, Φόρκου καὶ Κητοῦς θυγατέρες. ταύταις δὲ ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἣν ἐφύλασσε Δράκων ὁ καὶ Λάδων ὀνομαζόμενος, ἐφ' ἃ μῆλα Ἡρακλῆς ἐστρατεύσατο. ὁ δὲ Φερεκύδης ἐν δεκάτῳ τῆς Ἥρας φησὶ γαμουμένης τῷ Διὶ τὴν γῆν ἀναδεδωκέναι ἐν τῷ Ὠκεανῷ χρυσᾶ μῆλα ἢ μηλέας χρυσοῦν καρπὸν φερούσας, φυλάττειν δὲ αὐτὰ δράκοντα τὸν Τυφῶνος καὶ Ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν καὶ φωνὰς παντοίας, καὶ ὅτι αἱ Νύμφαι, αἱ Διὸς καὶ Θέμιδος, οἰκοῦσαι ἐν σπηλαίῳ περὶ τὸν Ἠριδανὸν ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι μαθεῖν παρὰ Νηρέως, ποῦ ἂν εἴη τὰ χρυσᾶ μῆλα. ὡς δὲ συνελήφθη ὁ Νηρεὺς ὑπὸ Ἡρακλέους βίᾳ, πρῶτον μὲν μεταμορφούμενος εἰς ὕδωρ καὶ πῦρ, τὸ δὲ τελευταῖον εἰς τὴν παλαιὰν καταστὰς μορφὴν ἐδήλωσε περὶ τῶν μήλων. πορευόμενος δὲ ἐπὶ τὰ μῆλα ὁ Ἡρακλῆς πρῶτον μὲν ἀφικνεῖται εἰς Ταρτησσόν. ἐκεῖθεν δ' εἰς

MIV. Palaephat. 19 *καλούμεναι — θυγατέρες* Schol. Apoll. IV, 1399 *ταύταις — Δράκων* Palaephat. l. c. *ὁ καὶ — ὀνομαζόμενος* Schol. Apoll. IV, 1396 *ἐφ' ἃ — ἐστρατεύσατο* Palaephat. l. c. *ὁ δὲ Φερεκύδης* — exit. Schol. Apoll. l. c. Cf. Eud. p. 159 et 216

---

23 *εἰς Ταρτησσόν — εἶτα ἀφικνεῖται* addidi ex P om. V

Λιβύην ἀφικόμενος ἀναιρεῖ Ἀνταῖον τὸν Ποσειδῶνος, ὑβριστὴν ὄντα. εἶτα ἀφικνεῖται ἐπὶ Νεῖλον εἰς Μέμφιν παρὰ Βούσιριν τὸν Ποσειδῶνος καὶ αὐτόν τε ἀναιρεῖ καὶ τὸν παῖδα Ἀμφιδάμαντα καὶ τὸν κήρυκα Χάλβην καὶ τοὺς ὀπάονας παρὰ τῷ βωμῷ τοῦ Διός, ἔνθα ἐξενοκτόνουν. εἰς Θήβας δ' ἐκεῖθεν πορευθεὶς καὶ διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην, πολλὰ κατὰ τὴν ἔρημον θηρία τοξεύων ἀναιρεῖ. καθήρας δὲ τὴν Λιβύην ἀφικνεῖται εἰς τὴν ἔξω κειμένην θάλασσαν, καὶ λαβὼν δέπας χρυσοῦν παρὰ Ἡλίου διαβαίνει ἐν αὐτῷ εἰς
435 *Πέργην, διά τε τῆς ἔξω γῆς καὶ θαλάσσης καὶ διὰ τοῦ ὠκεανοῦ πλέων. ἐπελθὼν δὲ εἰς Προμηθέα καὶ ὀφθεὶς ὑπ' αὐτοῦ οἰκτείρει ἱκετεύοντα καὶ τὸν ἀετόν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιεν, ἀποκτείνει τοξεύσας προσπετώμενον τῷ Προμηθεῖ. ἀντὶ δὲ τούτου Προμηθεὺς μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑποτίθεται, ἐλθόντα δὲ πρὸς Ἄτλαντα κελεύειν ἐνέγκαι αὐτῷ καὶ ἀντὶ Ἄτλαντος αὐτὸν ἀνέχειν τὸν οὐρανόν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων. Ἡρακλῆς δὲ ἀκούσας ἔρχεται πρὸς Ἄτλαντα καὶ κελεύει αὐτὸν ἐνεγκεῖν τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, τρία λαβόντα, διανυσάμενον τὸν ἆθλον. δοὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων Ἡρακλεῖ τὸν οὐρανὸν καὶ ἐλθὼν πρὸς τὰς Ἑσπερίδας, δεξάμενός τε παρ' αὐτῶν τὰ μῆλα καὶ ἐπανελθὼν πρὸς τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποισεῖν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος δόλῳ ἀντεπέθηκε τῷ Ἄτλαντι, ἣν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς*

---

4 *Ἀφιδάμαντα* P corr. V 21 *διηνυσάμενον* PV 26 *Εὐρισθεῖ* PV

ὑποθέμενος κελεῦσαι δέξασθαι τὸν οὐρανόν, ἕως οὗ σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσεται, ὁ δὲ καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν ὑποδέχεται τὸν οὐρανόν. Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα, χαίρειν εἰπὼν τῷ Ἄτλαντι ἀπέρχεται εἰς Μυκήνας παρ' Εὐρυσθέα καὶ παρέχει αὐτὰ τῷ Εὐρυσθεῖ. Ἀγροίτας δὲ ἐν τρίτῳ τῶν Λιβυκῶν φησι, μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη, ἔχειν δὲ αὐτὰ ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ἐκάλουν.

Ἱστορικοί.

MV. *Περὶ Χάρωνος τοῦ Λαμψακηνοῦ ἱστορικοῦ.*

Χάρων Λαμψακηνός, ἱστορικός, υἱὸς Πυθοκλέους, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον οθ' ὀλυμπιάδι, μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν, κατὰ τὴν οε' ὀλυμπιάδα. ἔγραψεν Αἰθιοπικά, Περσικὰ ἐν βιβλίοις β', Ἑλληνικὰ ἐν βιβλίοις δ', περὶ Λαμψάκου β', Λιβυκὰ γ', ὥρους Λαμψακηνῶν ἐν βιβλίοις δ', πρυτάνεις ἢ ἄρχοντας τοὺς τῶν Λακεδαιμονίων (ἔστι δὲ χρονικά), κτίσεις πόλεων ἐν βιβλίοις β', Κρητικὰ ἐν βιβλίοις γ', λέγει δὲ καὶ τοὺς ὑπὸ Μίνωος τεθέντας νόμους, περίπλουν τὸν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν.

MVI. *Περὶ Χάρωνος τοῦ Καρχηδονίου.* 436

Χάρων Καρχηδόνιος ἱστορικός. ἔγραψε περὶ τυράννων τῶν ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγονότων,

MV et MVI. Hesych. (Suid.)

---

6 Müller IV, p. 295 11 ξθ' coni. Creuzer 15 γ' om. S ὥρους scripsi ex opinione Bernhardyi ὅρους PV 19 Sic S *τῶν* inepte PV Post 19 *τοῦ Καχρηδονίου* reposui ex P om. V 20 *τυράννους, ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι* S

βίους ἐνδόξων ἀνδρῶν ἐν βιβλίοις δ', βίους ὁμοίως γυναικῶν ἐν βιβλίοις δ'.

MVII. *Περὶ Χάρωνος τοῦ Ναυκρατίτου.*

Χάρων Ναυκρατίτης ἱστορικός. ἔγραψεν ἱστορίαν περὶ τῶν ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Αἰγύπτῳ ἱερέων καὶ τῆς διαδοχῆς αὐτῶν καὶ περὶ τῶν ἐπὶ ἑκάστου πραχθέντων, περὶ βασιλέων τῶν ἐκ παλαιοῦ γεγονότων ἐν ἑκάστῳ ἔθνει καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου καὶ Ναυκράτεως.

Ποιηταί.

MVIII. *Περὶ Χαιρήμονος τοῦ κωμικοῦ.*

Χαιρήμων κωμικός. τῶν δραμάτων αὐτοῦ ταῦτα φέρεται· Τραυματίας, Οἰνεὺς, Ἀλφεσίβοια, Κένταυρος, Διόνυσος, Ὀδυσσεύς, Θυέστης, Μυνίαι.

MIX. *Περὶ Χιωνίδου τοῦ κωμικοῦ.*

Χιωνίδης Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ὃν καὶ λέγουσι πρωταγωνιστὴν γενέσθαι τῆς ἀρχαίας κωμῳδίας, διδάσκειν δὲ ἔτεσιν ὀκτὼ πρὸ τῶν Περσικῶν. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Ἥρως, Πτωχοί, Πέρσαι ἢ Ἀσσύριοι.

MVII—MIX. Hesych. (Suid.)

Post 2 *Χάρωνος* et *Χάρων* recte P *Χείρωνος* et *Χείρων* perverse V 4 *ἱερεῖς τοὺς ἐν Ἀλ. καὶ τοὺς ἐν Αἰγύπτῳ καὶ τὰ ἐπὶ ἑκάστου πραχθέντα* S 6 *καὶ τῆς διαδοχῆς αὐτῶν* om. S 8 *καὶ περὶ Ναυκράτεως καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου* S Post 8 titulum *Ποιηταί* om. P add. V 10 *ὡς Ἀθήναιός φησιν* add. S *Οἰνεύς* S *Οὐρεύς* PV 11 *καὶ ἕτερος Χαιρήμων γράψας ἱερογλυφικά* add. S Post 11 *Χιονίδου* et infra *Χιονίδης* PV 13 *τῆς ἀρχαίας κωμῳδίας* iniuria hic seclusit Bekkerus, mox *Ἀσύριοι* P corr. V

MX. *Περὶ Χριστοδώρου τοῦ ποιητοῦ.*

Χριστόδωρος Πανίσκου, ἀπὸ Κοπτοῦ πόλεως τῆς Αἰγύπτου, ἐποποιός, ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. ἔγραψεν Ἰσαυρικὰ ἐν βιβλίοις ϛ', (ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν, τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γινομένην), ἐπιγραμμάτων βιβλία γ', ἐπιστολῶν δ', ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων, πάτρια τῆς Κωνσταντινουπόλεως ἐπικῶς βιβλία ιβ', πάτρια Θεσσαλονίκης βιβλία κε', πάτρια Νάκλης (ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα Ἄφακα), πάτρια Μιλήτου τῆς Ἰωνίας, πάτρια Τράλλεων, πάτρια Ἀφροδισιάδος.

MXI. *Περὶ Χριστοδώρου τοῦ Θηβαίου.* 437

Χριστόδωρος Θηβαῖος, Ἰλλούστριος. ἔγραψεν ἰξευτικὰ δι' ἐπῶν καὶ θαύματα τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

MXII. *Περὶ Χοιρίλου τοῦ Ἀθηναίου τραγικοῦ.*

Χοιρίλος Ἀθηναῖος, τραγικός, ξδ' ὀλυμπιάδι καθεὶς εἰς ἀγῶνας. ἐδίδαξε μὲν δράματα πεντήκοντα καὶ ἑκατόν, ἐνίκησε δὲ γ'. οὗτος κατά τινας τοῖς προσωποίοις καὶ τῇ σκευῇ τῶν στολῶν ἐπεχείρησε.

MX—MXII. Hesych. (Suid.)

---

5 *ἐπιγραμμάτων βιβλία γ' ἐπιστολῶν δ'* om. S, quorum loco apud eum leguntur *καὶ ἄλλα πολλά* 10 *Ἄλφακα* P *Ἄφακα* V Post 14 *Χοιρίλλου* et infra *Χοιρίλλος* PV 15 *καθεὶς εἰς ἀγῶνας* correxit Kuesterus, *καὶ εἰς ἀγῶνας* syllaba *εἰς* semel praetermissa posteaque *καὶ* pro *καθ* correcto PV 17 *γ* S *ῥ* perperam PV 18 *σκευῇ* correxit Kuesterus *σκηνῇ* PV

Καὶ ἕτερος Χοιρίλος, Σάμιος, κατὰ δέ τινας Ἰασεὺς ἢ Ἁλικαρνασσεύς. γέγονε δὲ κατὰ Πανύασιν τοῖς χρόνοις. [ἔγραψε δὲ ἐπιστολὰς πολλὰς καὶ ἐπιγράμματα καὶ κωμῳδίας.]

Φιλόσοφοι.

MXIII. *Περὶ Χάρακος τοῦ φιλοσόφου.*

Χάραξ Περγαμηνός, ἱερεὺς καὶ φιλόσοφος, ὡς εὕρηται ἐν ἀρχαίῳ βιβλίῳ ἐπίγραμμα οὕτως ἔχον·

Εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμου ἄκρης,
Ἔνθα ποτὲ πτολέμιξεν Ἀχιλλῆϊ πτολιπόρθῳ
Τήλεφος Ἡρακλῆος ἀμύμονος υἱὸς ἀμύμων.

*ἔστι δὲ τῶν μετὰ Αὔγουστον πολλοῦ νεώτερος. μέμνηται γοῦν ἐν τῷ δευτέρῳ τῶν βιβλίων Αὐγούστου, ὡς πάλαι γενομένου Καίσαρος, καὶ ἐν τῷ ζ΄ Νέρωνος καὶ τῶν μετ᾽ αὐτὸν βασιλευσάντων. ἔγραψεν Ἑλληνικῶν * * * ἱστοριῶν βιβλία μ΄ [καὶ πολλὰ φιλόσοφα, ἐν οἷς καὶ συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια].*

MXIII. Hesych. (Suid.)

---

1 *Ἰασεὺς ἢ* recepi ex S *Ἰσεὺς ἡ* inepte P V 3 Plura exposuit S *ἔγραψε — κωμῳδίας* om. S, quorum loco ibi melius legitur *ἔγραψε δὲ ταῦτα, τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου, ἐφ᾽ οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε, καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη. Λαμιακὰ καὶ ἄλλα τινὰ ποιήματα φέρεται.* Cf. Kinkel I, p. 265. In Violario verba seclusa ex vita Christodori et Chionidae a lectore aliquo adspersa Post 4 titulum *φιλόσοφοι* ipse addidi, om. P V 8 *πτολέμιξεν* S 14 Post *Ἑλλ.* lacunam indicavit Westerm. (propter *τε καὶ* in codd. additum). Verba *καὶ πολλὰ — λόγια* ex Procli vita miro fato huc delapsa sunt. Seclusit Müller III, p. 636. Cf. Eud. p. 366 et 389

MXIV. Περὶ Χρυσίππου τοῦ φιλοσόφου.

Χρύσιππος Ἀπολλωνίδου, Σολεὺς ἢ Ταρσεύς, φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος τῆς Στωϊκῆς σχολῆς μετὰ Κλεάνθην καὶ τελευτήσας ο' καὶ γ' ἐτῶν, ὑπὸ τοῦ πιεῖν ἄκρατον καὶ ἰλιγγιᾶσαι, κατὰ δὲ ἄλλους ὑπὸ γέλωτος ἀπείρου ἐπὶ ρμγ' ὀλυμπιάδος. συντέταχε βιβλία πλείω ἢ ψ', φιλόσοφά τε καὶ ἱστορικὰ καὶ γραμματικά.

Ἰατροί.

MXV. Περὶ Χείρωνος τοῦ ἰατροῦ.

Χείρων ὁ Κένταυρος τοῖς ἰατροῖς συναριθμεῖται, ὃς πρῶτος εὗρεν ἰατρικὴν διὰ βοτανῶν. ἔγραψεν ὑποθήκας δι' ἐπῶν, ἃς ποιεῖται πρὸς Ἀχιλλέα, καὶ Ἱππιατρικόν, διό, ὥς φασί τινες, καὶ Κένταυρος ὠνομάσθη.

MXVI. Περὶ Ψαμμιτίχου. 438

Ψαμμίτιχος, βασιλεὺς Αἰγυπτίων, ὅντινα λέγουσι βουλόμενον διαγνῶναι, τίνες τῶν ἀνθρώπων προγενέστεροι, παραδοῦναι ποιμένι δύο βρέφη, κελεύσαντα μηδένα αὐτοῖς μηδὲν φθέγγεσθαι, μόνον δὲ αὐτοῖς αἰγὸς θηλὴν δίδοσθαι, ἅ, δύο ἐτῶν διελθόντων, πρώ-

MXIV et MXV. Hesych. (Suid.) MXVI. Schol. Apoll. IV, 261 δοκοῦσι γὰρ — exit. Schol. Apoll. IV, 264 et Ar. Nubes 397

7 Post 7 titulum Ἰατροί addidi, om. PV 10 ἱππιατρικῶν PV. Ceterum errantes Suidam et Eudociam (scilicet etiam Hesychium), carmen Ὑποθῆκαι Χείρωνος, quod Hesiodi esse dicunt, ad Chironem Centaurum retulisse editores monuerunt 11 ὥς φασί τινες om. S 12 Ψαμμίτυχος bis PV 15 μηδὲν φθέγγεσθαι, μόνον δὲ αὐτοῖς addidi ex P om. V

την φωνὴν ἀφῆκαν τὸ βέκ· οὕτω δὴ λέγεται παρὰ Φρυξὶν ὁ ἄρτος. ἐγνώσθησαν οὖν ἀπὸ τούτου οἱ Φρύγες γηγενεῖς. ἄλλοι δέ φασιν, ὅτι εὔηθές ἐστιν ὑπολαμβάνειν οὕτως. ἀκούοντες γὰρ οἱ παῖδες βληχωμένων τῶν προβάτων, ὡς ἂν ὑπὸ τῆς φύσεως ἐνεργούμενοι πρὸς τὸ ἔναρθρον τὴν φωνὴν ἀπέτρεψαν. οἱ δέ φασι, τοὺς Ἀρκάδας προγενεστέρους τῶν ἄλλων γεγενῆσθαι, διὸ καὶ προσελήνους αὐτοὺς κεκλῆσθαι. δοκοῦσι γὰρ οἱ Ἀρκάδες πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν Γῆς περιόδῳ. Θεόδωρος δὲ ἐν εἰκοστῷ ἐννάτῳ ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς τοὺς Γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. καὶ Ἀριστίας ὁ Χῖος ἐν ταῖς Κτίσεσι καὶ Διόνυσιος ὁ Χαλκιδεὺς ἐν πρώτῳ Κτίσεων τὰ αὐτά φησι, καὶ ἔθνος δὲ Ἀρκαδίας Σεληνίτας εἶναι. Μνασέας δέ φησιν, Προσέληνον Ἀρκάδας βασιλεῦσαι. τὸ δὲ λέγειν πρὸ τῆς σελήνης αὐτοὺς γεγενῆσθαι οἱονεὶ τὴν παλαιότητα αὐτῶν ὑποσημαίνει. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησίν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς πρὸ τοῦ ἀνατεῖλαι τὴν σελήνην, διὸ κατωνομάσθησαν προσέληνοι. τινὲς δέ φασιν, Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς τῆς σελήνης, ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι, Ἀρκὰς γὰρ ὁ Ἐνδυμίων.

---

10 *Γῆς* F *τῇ* PV Müller IV, p. 513 12 *Ἀριστίας* corr. Keil. *Ἀρίστων* PV 13 *Κτίσεσι* correxit Rutgersius var. lect. p. 435 *θέσεσι* PV. Cf. Müller IV, p. 393 14 *κτίσεως* PV 15 Müller III, p. 150 16 Sic F *πρὸ σελήνης* PV 19 Müller II, p. 133

MXVII. *Περὶ Ὠγύγου.*

Ὤγυγος, ἀρχαῖος βασιλεὺς Ἀθηναίων, ἀφ᾽ οὗ καὶ Ὠγύγιαι πύλαι ἐν Θήβαις, καὶ πᾶν τὸ ἀρχαῖον Ὠγύγιόν φασι διὰ τὸ πολὺ αὐτὸν γενέσθαι ἀρχαιότατον. Διονύσιος·

— Ὠγυγίη τε Θάσος, Δημήτερος ἀκτή,

ἐξ ἀρχῆς γὰρ τὴν Δήμητραν μεγάλως ἐτίμων. καὶ 439
πάλιν·

Ἦχι καὶ ὠγύγιος μηκύνεται ὕδασι Λάδων.

λέγει δὲ τὸν Λάδωνα Ὠγύγιον διὰ τὴν περὶ αὐτοῦ ἀρχαιολογίαν. μῦθος γὰρ βούλεται, πρώτην ἄνθρωπον ἐξ αὐτοῦ καὶ Γῆς γενέσθαι τὴν Δάφνην· ὠγύγιος γάρ, ἤτοι παλαιός, ὁ τὴν πρώτην γεννήσας ἄνθρωπον.

MXVIII. *Περὶ τοῦ Ὠκεανοῦ.*

Καὶ τοῦτον δὲ τὸν μῦθον εἰσφέρουσιν οἱ ποιηταί, ὅτι ὁ Ὠκεανὸς πατήρ ἐστιν ἁπάντων τῶν θεῶν, ἡ δὲ Τηθὺς μήτηρ· ἀνδρόγυνον δὲ ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς, καὶ ὅτι πάλαι διέστησαν ἀπ᾽ ἀλλήλων. διὰ δὲ δυσωπήσεως τῆς Ἥρας γίνεται πάλιν συνάφεια αὐτῶν καὶ φιλία. ὁ δὲ μῦθος, φασίν, αἰνίττεται, ὅτι Ὠκεανὸς μέν ἐστιν ἡ ὑγρὰ φύσις, ἡ δὲ Τηθὺς ἡ ξηρά, τουτέστιν ἡ γῆ, καὶ ὅτι πάλαι, τῆς ὑγρᾶς φύσεως μὴ συγγινομένης τῇ γῇ, οὐδὲν ἐζωογονεῖτο καὶ ἀπώλ-

MXVII. Tzetzes Lyc. 1206 (Etym. M. p. 820, 37) *καὶ πάλιν* — exit. Eustath. Dion. 416 MXVIII. Nonn. I, 80 *ἔστι δὲ Ὠκεανὸς* — *τὰ ὄντα* Cornut. 8 *Ἄνδρων* — *κληθῆναι* Tzetzes Lyc. 894 *εἰδέναι δὲ χρὴ* — exit. Eustath. Dion. 28

---

4 Dion. Perieg. 523 8 Dion. Perieg. 417 15 Sic P consentiente F *ἀνδρόγυνος* V 21 *ἀπώλλυντο* F *ἀπίλλοιτο* PV

λυντο πάντα, εἶτα ἡ Ἥρα ὡς ἔφορος οὖσα τῆς συζεύξεως καταλλάττει τὰ δύο στοιχεῖα εἰς συνάφειαν, καὶ γίνεται λοιπὸν ζωογόνον. ἔστι δὲ Ὠκεανὸς μὲν ὁ ὠκέως νέων κύκλος καὶ ἐφεξῆς μεταβάλλων, Τηθὺς δὲ ἐπὶ τῶν ποιοτήτων ἐπιμονή, ἐκ γὰρ τῆς τούτων συγκράσεως ἢ μίξεως ὑφίσταται τὰ ὄντα. Ἄνδρων δὲ ὁ Ἁλικαρνασσεὺς Ὠκεανόν φησι γῆμαι δύο γυναῖκας, Παμφολύγην καὶ Παρθενόπην, ἐξ ὧν τέσσαρας θυγατέρας γεννᾷ, τῆς μὲν Ἀσίαν καὶ Λιβύην, τῆς δὲ Εὐρώπην καὶ Θρᾴκην, ἀφ' ὧν καὶ τὰς χώρας λέγει κληθῆναι. εἰδέναι δὲ χρή, ὅτι, ὥσπερ ἡ γῆ μία οὖσα εἰς τρισσὰς ἠπείρους μερίζεται, οὕτω καὶ Ὠκεανὸς εἷς ὢν πολλαῖς ἐπωνυμίαις ἥρμοσται· κύκλῳ γὰρ περιειληφὼς τὴν γῆν τετραχῶς τέμνεται ὁλοσχερῶς κατὰ [τὰ] τέσσαρα κέντρα τοῦ κόσμου. ὁ μὲν πρὸς Ζέφυρον Ὠκεανὸς Ἄτλας ἑσπέριος λέγεται, ἤγουν Ἑσπέριον πέλαγος καὶ Ἀτλαντικόν, ὁ δὲ πρὸς βορρᾶν πεπηγὼς λέγεται Πόντος καὶ Κρόνιος, ὁ δὲ τῆς ἀνατολῆς Ἠῷος καλεῖται καὶ Ἰνδικός, ὁ δὲ πρὸς Νότον Ἐρυθραῖός τε ὀνομάζεται καὶ Αἰθιόπιος.

MXIX. *Περὶ τῶν Ὡρῶν.*

Αἱ Ὧραι ἐκ Διὸς καὶ Θέμιδος γεννηθῆναι μυθεύονται, ὑφ' ὧν τὰ ἀγαθὰ πάντα ἐν ἡμῖν ὡρεύεται καὶ φυλάττεται. Ὧραι γὰρ Διὸς ἢ τοῦ αἰθέρος ἢ

MXIX. Cornut. 29 *Ὧραι γὰρ — εἴτε μή* Eustath. Il. p. 604 *διδόασι δὲ αὐταῖς* — exit. Cornut. 29

---

3 Sic F *ζωογονία* PV 6 Müller II, p. 349 15 *τὰ* cum F seclusi 18 *καὶ νεκρός, ὡς μετ' ὀλίγα ῥηθήσεται* add. F 19 *ὡρεύεται* F *ὀρέγεται* PV

τοῦ οὐρανοῦ ἢ τοῦ ἡλίου. φιλοσοφῶν ὁ ποιητὴς πυλωροὺς αὐτὰς λέγει τοῦ οὐρανοῦ καὶ ἐπιτετράφθαι 440 αὐταῖς λέγει τὸν οὐρανόν, οὐ διὰ τὰ ἐκ τῶν ὡρῶν ἀποτελέσματα, ὡς ἄν τις εἴποι, ἀστεϊζόμενος, ἀλλὰ ὥστε ἠμὲν ἀνακλῖναί φησι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι, τουτέστιν ἀνοῖξαι νέφος, οἷά τινα πύλην καὶ αὖθις ἐπιθεῖναι. τῷ ὄντι γὰρ αἱ ὧραί τινές εἰσιν, ὡς ἐπιπολὺ καὶ καιροὶ τεταγμένοι τοῦ νεφελοῦσθαι τὸν οὐρανὸν εἴτε μή. διδόασι δὲ αὐταῖς καὶ ὄνομα, τῇ μὲν Εὐνομία ἀπὸ τοῦ ἐπιβάλλοντος τῆς διανεμήσεως, τῇ δὲ Δίκη ἀπὸ τοῦ [διτοῦ] δίχα χωρίζειν ἀπ' ἀλλήλων τοὺς διαφερομένους, τῇ δὲ Εἰρήνη ἀπὸ τοῦ διὰ λόγου καὶ οὐ δι' ὅλων διακρίνεσθαι ποιεῖν. ἐκάλουν γὰρ τὸν λόγον εἰρήνην, ὁ δὲ πόλεμος ἀπὸ τοῦ πολλοὺς ὀλλύναι οὕτως ὠνόμασται ἢ ἀπὸ τοῦ παλάμαις σπεύδειν περιγίνεσθαι τῶν ἐναντίων.

MXX. *Περὶ Ὑριέως.*

Ὑριεὺς Κλονίαν ἔχων γυναῖκα ἄπαις ἐτύγχανε. ποτὲ γοῦν Ζεὺς καὶ Ποσειδῶν καὶ Ἀπόλλων τῷ Ὑριεῖ τούτῳ ἐπεξενώθησαν, καὶ ὃς βοῦν θύσας αὐτοὺς ὑπεδέξατο. οἱ δὲ ἔφασαν αἰτεῖν, ὃ βούλοιτο. ὡς δὲ παῖδα αὐτῷ γενέσθαι ᾐτήσατο, οἱ τρεῖς τῇ τοῦ σφαγέντος βοὸς βύρσῃ ἐνούρησαν καὶ ἐξ αὐτῶν ὁ Ὠρίων

MXX. Tzetzes Lyc. 328

1 Il. V, 749 4 Sic F *εἴπῃ* PV 5 *ὥστε ἠμὲν* F *ὥς τε ἡ μὲν* P *ὥς τε ἢ μὲν* V 7 *αἱ* om. V 11 *διτοῦ* removi cum F 17 *Ὠριεύς* ubique PV, sed recte p. 441 *Ὑριεύς* legitur. Iniuria igitur Eudocia hoc loco de Hyrieo verba fecit. Cf. Heynius ad Apollod. III, 10, 1 20 *ὃ ἐὰν βούλοιτο* PV 22 *ἐξούρησαν* PV

ἐγένετο, κληθεὶς οὕτως, ὡς ἐκ τῶν οὔρων τεχθείς, ὅθεν καὶ τρίπατρον τοῦτον καλεῖ Λυκόφρων.

MXXI. Περὶ Ὠρειθυίας.

Ὠρείθυια Ἐρεχθέως θυγάτηρ, ἣν ἐξ Ἀττικῆς ἁρπάσας ὁ Βορέας ἤγαγεν εἰς Θρᾴκην, κἀκεῖσε συνελθὼν ἔτεκε Ζήτην καὶ Κάλαϊν, Κλεοπάτραν δὲ Χιονίαν τε καὶ Χθονίαν μετὰ ταῦτα, ὡς Σιμωνίδης ἐν Ναυμαχίᾳ. Χοιρίλος δὲ ἁρπασθεῖσάν φησι τὴν Ὠρείθυιαν, ἄνθη ἀμέργουσαν ὑπὸ τὰς πηγὰς τοῦ Κηφισοῦ. ὁ δὲ Ἡραγόρας ἐν τοῖς Μεγαρικοῖς τὸν τὴν Ὠρείθυιαν ἁρπάσαντα Βορέαν υἱὸν Στρυμόνος εἶναί φησιν, οὐ τὸν ἄνεμον, ἐκ τοῦ Ἰλισσοῦ ποταμοῦ Ἀττικοῦ. Βορέας δὲ οὗτος βασιλεὺς ἦν Θρᾴκης, ἅρπαξ Ἀττικοῦ τούτου γυναίου βασιλικοῦ, εἰ καὶ ὁ μῦθος διὰ τὴν ὁμωνυμίαν ἀπαναστήσας τῆς γῆς τὸν ἄνθρωπον ἐξηνέμωσε, καθὰ καὶ Ἀϊδωνεὺς βασιλεὺς μὲν ἦν, ὡς οἱ ἀκριβέστεροί φασιν, Ἠπείρου τῆς ἐν Μολοττοῖς, πρὸς ὃν καὶ Πειρίθους ἦλθε καὶ Θησεὺς διὰ τὴν Περσεφόνην, ἀλλὰ δὴ καὶ ὁ Ἡρακλῆς διὰ τὸν Κέρβερον, κύνα πολλοῦ ἄξιον. ὅμως δὲ καὶ ἐκεῖνος ὁ Ἀϊδωνεὺς δι᾽ ὁμοιότητα κλήσεως εἰς τὸν Ἅιδην μεταλαμβάνεται καὶ εἰς τὸν ὑπὸ γῆν τοῖς μυθογράφοις μετατίθεται

MXXI. Schol. Apoll. I, 211 *Βορέας δὲ οὗτος* — exit. Eustath. Dion. 423

---

2 Alex. 328 3 *Ὠρίθυια* semper P corr. V 6 fr. 3 Bergk 7 Kinkel I, p. 269 8 *ἀμέργουσαν* corr. Pierson veris. p. 202 et Naeke p. 154 *ἐκλέγουσαν* PV *Κηφισσοῦ* PV versum restituit Hermannus *ἄνθε᾽ ἀμέργουσαν πηγὰς ὑπὸ Κηφισοῖο* 9 *Ἡρέας* coni. Müller IV, p. 426 *Μελησαγόρας* Bernhardy in Dion. p. 631

Πλούτωνα. Ἑρμείας δὲ ὁ Πλατωνικὸς βασιλικὴν παῖδα 441
τὴν Ὠρείθυιαν κατὰ κρημνοῦ ὑπονοεῖ ὠσθῆναι ἀνέμῳ Βορρᾷ καὶ τούτῳ τῷ τρόπῳ λεχθῆναι, ἁρπασθῆναι αὐτὴν ὑπὸ τοῦ Βορρᾶ.

MXXII. *Περὶ τοῦ Ὠρίωνος.*

Ὠρίων ἥρως, ὁ ἐκ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ τοῦ βοὸς τοῦ σφαγέντος ὑπὸ τοῦ Ὑριέως, κατὰ δέ τινας ὑπὸ τοῦ Οἰνέως τοῦ Θηβῶν βασιλέως ἐπὶ τῇ φιλοξενίᾳ τῶν θεῶν, ὡς ἐν τῷ περὶ Ὑριέως εἴρηται. γενόμενος δὲ οὗτος ὁ Ὠρίων καὶ ὢν θηρολέτης καὶ κυνηγέτης ἄριστος καὶ ἐπὶ ἀνδρείᾳ τε καὶ κάλλει περιβόητος, ἠράσθη τῆς Ἀρτέμιδος. εἶτα ἡ θεὸς ὀργισθεῖσα ἀνῆκε σκορπίον κατ' αὐτοῦ, καὶ κρουσθεὶς οὗτος ἀπέθανε, μετὰ δὲ τὴν ἀποβίωσιν ἀστροθεσίᾳ τοῖς γεννήτορσι τετίμηται. διό ἐστιν ἐν τῷ οὐρανῷ, ὡς οἱ μῦθοι λέγουσι, μετὰ τοῦ σκορπίου ἄστρον μέγιστον καὶ λαμπρότατον ὁμώνυμον τῷ ἥρωϊ. [τὸ δὲ Ὠρίωνος ξίφος ὁ Διομήδης εἶχεν, ἔπειτα δὲ Ἥφαιστος Πηλεῖ τοῦτο ἐχαρίσατο, Πηλεὺς δὲ Ἀχιλλεῖ, ἐκ δ' Ἀχιλλέως τοῦτο Νεοπτόλεμος ἐδέξατο.] ἄλλοι δὲ ἄλλως περὶ τοῦ Ὠρίωνός φασιν οὕτως. Ὑριεὺς ὁ Ποσειδῶνος καὶ Ἀλκυόνης, μιᾶς τῶν Ἄτλαντος θυγα-

MXXII. Nonn. Laud. Bas. 6 *τὸ δὲ Ὠρίωνος ξίφος — ἐδέξατο* Tzetzes Lyc. 328 *Ὑριεὺς ὁ Ποσειδῶνος* — exit. Palaephat. 5 (*Ὑριεύς — αὐτόν* Schol. Il. XVIII, 486; Cosm. p. 128; Clarke p. 44; cf. etiam Arsen. Viol. p. 490). Cf. Eud. p. 440

6 et 8 *Ὠριέως* PV 16 *ἄστρον — ἥρωι* om. F 17 Haec verba utpote ex Tzetzae commentariis interpolata uncis circumscripsi. Pro *ἐκ δ' Ἀχιλλέως* praestat F *Ἀχιλλέως δ' ἀποθανόντος*

τέρων, ᾤκει μὲν ἐν Τανάγρᾳ τῆς Βοιωτίας, φιλοξενώτατος δὲ ὢν ὑπεδέξατό ποτε τοὺς θεούς. Ζεὺς δὲ καὶ Ποσειδῶν καὶ Ἑρμῆς ἐπιξενωθέντες αὐτῷ καὶ φιλοφροσύνην ἀποδεξάμενοι παρῄνεσαν αἰτεῖν, ὅτι ἂν βούλοιτο. ὁ δὲ ἄτεκνος ὢν ᾐτήσατο παῖδα. λαβόντες δὲ οἱ θεοὶ τὴν τοῦ ἱερουργηθέντος αὐτοῖς βοὸς βύρσαν, ἀπεσπέρμηναν εἰς αὐτὴν καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆν καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι, ὧν διελθόντων ἐγένετο ὁ Οὐρίων, οὕτως ὀνομασθεὶς διὰ τὸ οὐρῆσαι ὥσπερ τοὺς θεούς, ἔπειτα κατ' εὐφημισμὸν Ὠρίων. συγκυνηγετῶν δὲ οὗτος Ἀρτέμιδι ἐπεχείρησεν αὐτὴν βιάσασθαι. ὀργισθεῖσα δὲ ἡ θεὸς ἀνέδωκεν ἐκ τῆς γῆς σκορπίον, ὃς αὐτὸν πλήξας κατὰ τὸν ἀστράγαλον ἀπέκτεινε. Ζεὺς δὲ συμπαθήσας κατηστέρωσεν αὐτόν.

MXXIII. *Περὶ Ὤτου καὶ Ἐφιάλτου.*

Ὦτος καὶ Ἐφιάλτης υἱοὶ Ἀλωέως καὶ Ἰφιμεδείας, κατὰ δέ τινας Μολιόνης, ὅθεν καὶ Μολιονίδαι ὠνομάσθησαν. οὗτοι κατ' ἐνιαυτὸν ηὔξανον κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα, κατὰ δὲ τὸ πλάτος σπιθαμὴν μίαν. ἐγένοντο δὲ περὶ Θετταλίαν, οἱ δὲ περὶ τὴν Θρᾴκην, τὴν φύσιν τύραννοι καὶ ὑβρισταὶ καὶ ὑπερή-
442 φανοι. καὶ τοσοῦτον ἐφύβρισαν, ὥστε βουλεύσασθαι ἀντᾶραι τοῖς οὐρανίοις θεοῖς. τὴν οὖν Ὄσσαν τῷ

MXXIII. Eustath. Od. p. 1687 *κατὰ δέ τινας — Θρᾴκην* Cosm. p. 224 *Ἄρης — θηρολατοῦντα* Eustath. Il. p. 560 *ἰστέον δὲ καὶ τοῦτο, ὡς* — exit. Nonn. I, 85. Cf. Eud. p. 12

---

4 *ἀποδεξάμενοι* F *ὑποδεξάμενοι* PV 9 *Ὠρίων* PV 11 *συγκυνηγῶν* PV. Omnino cf. Pherecyd. p. 153 Sturz 19 *μίαν* om. F

Ἄθῳ ἐβουλεύσαντο ἐπιθεῖναι καὶ δι' αὐτῶν ἀνελθεῖν εἰς τὸν οὐρανόν. ἡ δὲ Ὄσσα καὶ ὁ Ἄθως δύο ὄρη εἰσὶ περὶ τὴν Θρᾴκην. Ἄρης δὲ νοήσας τὴν ἐπίνοιαν αὐτῶν, πρῶτος ἐπῆλθε κατ' αὐτῶν, εἶτα ἡττηθέντα παρ' αὐτῶν ἔδησαν αὐτὸν ἐν χαλκέῳ κεράμῳ, ἤγουν ἀγγείῳ, οἷον πίθῳ. ἄλλοι δέ φασι δεσμωτηρίῳ στερρῷ, λέγοντες Κυπρίους δεσμωτήριον κέραμον καλεῖν, [δεσμοῦ δυσχεροῦς ἀλύτου τε καὶ δυσαντήτου.] οἱ δὲ πόλιν Καρίας φασὶ τὸν Κέραμον, χάλκεον οἷον δοκοῦσαν καὶ τροπικῶς λεχθεῖσαν διὰ τὸ στερρὸν τοῦτο τοῦ τειχίσματος, ἔνθα φασὶ δεδέσθαι τὸν Ἄρην τρισκαίδεκα μῆνας, ἕως Ἠερίβοια, ἡ τῶν Ἀλωειδῶν μητρυιά, δυσμενῶς τοῖς προγόνοις ἔχουσα, ἐξήγγειλε τῷ Ἑρμῇ. ὁ δὲ χαριζόμενος τῇ Ἥρᾳ ἔκλεψε τὸν Ἄρην, ὅθεν φυγὼν ἧκεν εἰς Νάξον. ὁ οὖν Ζεὺς ὀργισθεὶς καὶ κεραυνὸν ἐπαφεὶς ἐκεραύνωσεν αὐτούς, καὶ ἀπώλοντο. ἦν δὲ πρότερον περὶ τῆς κεραυνώσεως αὐτῶν χρησμὸς δοθεὶς τῇ μητρὶ αὐτῶν, ὅτι διὰ τὴν ὑπερηφανίαν αὐτῶν κεραυνωθήσονται. ἕτερος δὲ μῦθός φησι, τοὺς μὲν Ἀλωείδας ἐν τῷ κυνηγετεῖν, ἐλάφου μεταξὺ αὐτῶν ἐλθούσης, προέσθαι ὡς ἐπ' αὐτὴν τὰ δοράτια καὶ τῆς μὲν ἀποτυχεῖν, ἀλλήλους δὲ βαλεῖν, ὁποῖα καὶ ἄλλα ἐγίνοντο, καὶ οὕτω θανεῖν, διότι μετὰ τὸν Ἄρεος δεσμὸν καθυπερηφανευσάμενοι τὴν Ἥραν καὶ τὴν Ἄρτεμιν ἐβιάζοντο. τὸν δὲ Ἄρην ὑπ' αὐτῶν δεθῆναί

5 Χαλκοκεράμῳ PV 6 χρῆσις δὲ τῆς λέξεως ταύτης καὶ ἐν τῇ ι ῥαψωδίᾳ add. F 7 Κυπρίοις λέγοντες omisso καλεῖν PV δεσμοῦ — δυσαντήτου om. F 9 Χάλκεον PV 11 Sic F σχίματος P σχήματος V τρισκαιδέκατον μῆνα PV 13 Ἑρμεῖ PV 14 ἐξέκλεψε F 22 βαλεῖν P consentiente F βάλλειν V 22 μὲν pro μετὰ perperam PV 24 alterum τὴν addidi ex F om. PV

φησιν ὁ μῦθος, διότι αὐτὸς ἀνεῖλε τὸν τοῦ Κινύρα υἱὸν Ἄδωνιν, αὐτοῖς ὑπ᾽ Ἀφροδίτης παρατεθέντα καὶ ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας θηρολατοῦντα. ἰστέον δὲ καὶ τοῦτο, ὡς παρά τισι μεμύθευται, ὅτι οἱ περὶ Ὦτον καὶ Ἐφιάλτην ἐνναέτεις ὄντες ἐννεαόργυιοι ἦσαν κατὰ τὸ μῆκος, κατὰ δὲ τὸ πλάτος ἐννεαπήχεις. ἐκεῖθεν δὲ προχωροῦντες εἰς αὔξησιν ἐπ᾽ ἔτος κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα ἐπεδίδοντο, κατὰ δὲ τὸ πλάτος βάθος τρισπαλαιστιαῖον.

---

2 αὐτῆς P corr. V 3 θηρολεκτοῦντα PV

Τέλος.

INDICES

INDEX SCRIPTORUM AB EUDOCIA LAUDATORUM.

ΠΙΝΑΞ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΒΙΒΛΙΟΥ.

38) *Περὶ Αἰσίμου.*
39) *Περὶ Ἀκάστου.*
40) *Περὶ Ἀκρισίου.*
41) *Περὶ Ἀκτοριώνων.*
42) *Περὶ Ἀλεκτρυῶνος.*
43) *Περὶ Ἀλεξάνδρου, τοῦ καὶ Πάριδος.**)
44) *Περὶ Ἀλετρίδων.*
45) *Περὶ Ἀλκιμέδης.*
46) *Περὶ Ἀλκυονίδων ἡμερῶν.*
47) *Περὶ Ἀλιτηρίων.*
48) *Περὶ Ἁλοσύδνης.*
49) *Περὶ Ἀλωϊάδων.*
50) *Περὶ Ἀμαδόκων.*
51) *Περὶ Ἀμαζόνων.*
52) *Περὶ Ἀμαλθείας καὶ τοῦ κέρατος αὐτῆς.*
53) *Περὶ Ἀμυμώνης.*
54) *Περὶ Ἀμφιδρομίων.*
55) *Περὶ Ἀλφείου ποταμοῦ.*
56) *Περὶ ἀνιπτοπόδων καὶ χαμαιεύνων.*
57) *Περὶ τοῦ ἀστρονομεῖν καὶ ἀριθμὸν καὶ λογισμὸν εὑρεῖν καὶ θύειν καὶ γεωμετρεῖν, καὶ περὶ ὀνειρομαντείας καὶ οἰωνικῆς.*
58) *Περὶ ἀλουργίδος, ἤτοι τῆς πορφυρᾶς βαφῆς ἱστορία [καὶ πῶς τὴν ἀρχὴν εὑρέθη ἡ πορφύρα, καὶ πῶς τὰ ζῶα νῦν οἱ Φοίνικες θηρῶνται.]*
59) *Ὅτι Αἰγύπτιοι διάφορα τῶν ζώων ἐσέβοντο.*
60) *Περὶ Ἀνθεμοκρίτου.*
61) *Περὶ Ἀντικλείας.*
62) *Περὶ Ἀντινόου.*
63) *Περὶ Ἀμφινόμου.*
64) *Περὶ Ἀλκινόου.*
65) *Περὶ Ἀντιφάτου.*
66) *Περὶ Ἀδμήτου.*
67) *Περὶ Ἀμφικτύονος.*
[*Περὶ Αἰσίμου.*]
68) *Περὶ Ἀερόπης.*
69) *Αἰνείου γενεαλογία καὶ Ἀστυάνακτος καὶ Ἠμαθίωνος.*
70) *Ἄβαντος γενεαλογία.*
71) *Περὶ Ἀντιλόχου.*
72) *Περὶ ἀπύγων καὶ μελαμπύγων.*
73) *Περὶ Αἰγύπτου καὶ τῶν παίδων αὐτοῦ.*
74) *Περὶ Ἄμβρακος.*
75) *Περὶ Ἄμμωνος.*

Ἰατροί.

76) *Περὶ Ἄκρωνος ἰατροῦ.*
77) *Περὶ Ἀγαπίου.*

Ἱστορικοί.

78) *Περὶ Ἀπολλωνίδου τοῦ ἱστορικοῦ.*
79) *Περὶ Ἀκουσιλάου τοῦ ἱστορικοῦ.*
80) *Περὶ Ἀναξιμάνδρου.*
81) *Περὶ Ἀντιπάτρου.*
82) *Περὶ Ἀπολλωνίου τοῦ Ἀφροδισιέως.*
83) *Περὶ Ἀλεξάνδρου τοῦ Μυνδίου.*

Ῥήτορες.

84) *Περὶ Ἀδριανοῦ τοῦ ῥήτορος.*
85) *Περὶ Ἀθηνοδώρου.*
86) *Περὶ Αἰσχίνου.*
87) *Περὶ Ἄβαντος.*
88) *Περὶ Ἀναξιμένους.*
89) *Περὶ Ἀλεξάνδρου τοῦ πηλοπλάτωνος.*

Φιλόσοφοι.

90) *Περὶ Ἀλκμαίωνος τοῦ φιλοσόφου.*
91) *Περὶ Ἀναξάρχου.*
92) *Περὶ Ἀναξαγόρου.*
93) *Περὶ Ἀγαπίου.*

---

*) Hic in PV male repetitur: *περὶ Ἀδώνιδος.*

94) Περὶ Ἀναξιμάνδρου.
95) Περὶ Ἀναξιμένους.
96) Περὶ Ἀντισθένους.
97) Περὶ Ἀκύλα.
98) Περὶ Ἀλεξάνδρου τοῦ Αἰγαίου.
99) Περὶ Ἀλκιδάμαντος.
100) Περὶ Ἀμμωνίου τοῦ καὶ Ἀλεξάνδρου.
101) Περὶ Ἀπολλωνίου τοῦ Τυανέως.

Ῥήτορες.

102) Περὶ Ἀντιπάτρου τοῦ ῥήτορος.
103) Περὶ Ἀπολλωνίου τοῦ Ἀθηναίου ῥήτορος.
104) Περὶ Ἀντιόχου τοῦ ῥήτορος.
105) Περὶ Ἀνδοκίδου.
106) Περὶ Ἀνδρομάχου.
107) Περὶ Ἀνδροτίωνος.
108) Περὶ Ἀντιφῶντος.
109) Περὶ Ἀνδροκλείδου.
110) Περὶ Ἀπολλωνίου τοῦ Ἀρχεβούλου.

Ποιηταί.

111) Περὶ Ἀγαθίου τοῦ Σχολαστικοῦ.
112) Περὶ Ἀλέξιδος τοῦ κωμικοῦ.
113) Περὶ Ἀλκαίου τοῦ τραγικοῦ.
114) Περὶ Ἀλκαίου τοῦ κωμικοῦ.
115) Περὶ Ἀλκμᾶνος τοῦ λυρικοῦ.
116) Περὶ Ἀνακρέοντος.
117) Περὶ Ἀναξανδρίδου.
118) Περὶ Ἀναξίππου.
119) Περὶ Ἀντιμάχου.
120) Περὶ Ἀντιφάνους.
121) Περὶ Ἀπολλοδώρου.
122) Περὶ Ἀπολλωνίου τοῦ Σολλέως.
123) Περὶ Ἀπολλοφάνους.
124) Περὶ Ἀπολλοδώρου τοῦ Τάρσεως.
125) Περὶ Ἀράτου.

Γραμματικοί.

126) Περὶ Ἅβρωνος τοῦ γραμματικοῦ.
127) Περὶ Ἀκύλου.*)
128) Περὶ Ἀλεξάνδρου τοῦ Μιλησίου.
129) Περὶ Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ.
130) Περὶ Ἀντέρωτος.
131) Περὶ Ἀπίωνος.
132) Περὶ Ἀπολλοδώρου τοῦ γραμματικοῦ.
133) Περὶ Ἀπολλωνίου τοῦ δυσκόλου.
134) Περὶ Ἀριστάρχου.
135) Περὶ Ἀριστονίκου.
136) Περὶ Ἀριστοφάνους.
137) Περὶ Ἀρκαδίου.
138) Περὶ Ἀρχιβίου.
139) Περὶ Ἀσκληπιάδους.
140) Περὶ Ἀστυάγους.

Ἰατροί.

141) Περὶ Ἀριστογένους τοῦ ἰατροῦ.
142) Περὶ Ἀριστογένους τοῦ Κνιδίου.
143) Περὶ Ἀρχιγένους.
144) Περὶ Ἀψύρτου.

Ῥήτορες.

145) Περὶ Ἀριστείδους τοῦ ῥήτορος.
146) Περὶ Ἀριστογείτονος.
147) Περὶ Ἀπολλωνίου τοῦ Ναυκρατίτου.
148) Περὶ Ἀριστοκλέους.
149) Περὶ Ἁρποκρατίωνος.

---

*) περὶ Ἀκύλου om. V.

150) Περὶ Ἀσπασίου.
151) Περὶ Ἀφαρέως.
152) Περὶ Ἀψίνου.
153) Περὶ Αἰσώπου τοῦ σοφιστοῦ.
154) Περὶ Ἀρισταινέτου.

Ποιηταί.

155) Περὶ Ἀρριανοῦ τοῦ ποιητοῦ.
156) Περὶ Ἀρίωνος.
157) Περὶ Ἀριστέου.
158) Περὶ Ἀριστομένους.
159) Περὶ Ἀριστωνύμου.
160) Περὶ Ἀρχεδίκου.
161) Περὶ Ἀστυδάμανος τοῦ τραγικοῦ.
162) Περὶ Ἀρχίππου.
163) Περὶ Ἀστυδάμαντος τοῦ νέου.
164) Περὶ Αὐγούστου Καίσαρος.
165) Περὶ Αὐγέου τοῦ κωμικοῦ.
166) Περὶ Ἀχιλλέως τοῦ ποιητοῦ.
167) Περὶ Αὐτοκράτους.
168) Περὶ Ἀχαιοῦ τοῦ τραγικοῦ.
169) Περὶ Αἰνίκου.
170) Περὶ Αἰσχρίωνος.

Φιλόσοφοι.

171) Περὶ Ἀρκεσιλάου τοῦ Ἀκαδημαϊκοῦ.
172) Περὶ Ἀρριανοῦ τοῦ φιλοσόφου.
173) Περὶ Ἀριγνώτης.
174) Περὶ Ἀριστοκλέους.
175) Περὶ Ἀριστίππου.
176) Περὶ Ἀριστοξένου.
177) Περὶ Ἀρνούφιος.
178) Περὶ Αἰσχίνου τοῦ Σωκρατικοῦ.
179) Περὶ Ἀρχελάου.
180) Περὶ Ἁρποκρατίωνος τοῦ Πλατωνικοῦ.
181) Περὶ Ἀφρικανοῦ.
182) Περὶ Ἀναχάρσιδος.
183) Περὶ Ἀρτεμιδώρου.
184) Περὶ Ἀρχιμήδους.
185) Περὶ Ἀρχύτου τοῦ Ταραντίνου.
[Περὶ Ἀνδροκλείδους.]
186) Περὶ Ἀριστάνδρου τοῦ μάντεως.

Ἱστορίαι.*)

187) Περὶ Ἀπατουρίων.
188) Περὶ τοῦ ἅπαγ᾽ εἷς μακαρίαν λεγομένου.
189) Πόθεν Αὔσονες οἱ Ἰταλοὶ λέγονται.
190) Περὶ τῆς Αἰνείου ἀρχῆς καὶ τῆς τούτου εἰς Ἰταλίαν ἀπόπλου.
191) Ἀρκεσιλάου γενεαλογία.
192) Περὶ Ἀτρέως.
193) Περὶ Ἀντιγόνης.
194) Περὶ Ἁρμονίας τῆς Κάδμου γυναικός.
195) Περὶ Ἀριάδνης.
196) Περὶ Ἀγήνορος.
197) Περὶ Ἄργου.
198) Περὶ Ἀργοῦς.
199) Περὶ Ἀπίδων.
200) Περὶ τῆς ἀστρῴου ἄρκτου.
201) Περὶ Ἄρνης.
202) Περὶ Ἁρπυιῶν.
203) Περὶ Ἀστάρτης.
204) Περὶ Ἀστερίας.
205) Περὶ Ἀστυανάσσης.
206) Περὶ Ἀστυδαμείας.
207) Περὶ Ἀστυόχης.
208) Περὶ Ἀσφαλίωνος.
209) Περὶ Αὐγείου.
210) Περὶ Ἀχέροντος.

---

*) Ἱστορίαι ipse supplevi, om. PV.

211) *Ἀχαιοὶ πόθεν οἱ Ἕλληνες ὠνομάσθησαν.*
212) *Περὶ Ἀρτυβίου τοῦ Πέρσου.*
213) *Ἀχιλλέως γενεαλογία.*
214) *Περὶ Ἀψύρτου τοῦ υἱοῦ Αἰήτου.*

B

215) *Περὶ Βάκχου.*
216) *Περὶ Βριμοῦς.*
217) *Περὶ Βελλεροφόντου.*
218) *Περὶ τοῦ Βερενίκης πλοκάμου.*
219) *Περὶ Βήλου, ἐν ᾧ καὶ περὶ Βαβυλῶνος.*
220) *Περὶ Βορέου.*
221) *Περὶ Βριάρεω.*
222) *Περὶ Βριζοῦς.*
223) *Περὶ Βίαντος.*
224) *Περὶ Βρόντου.*
225) *Περὶ Βακίδων.*
226) *Περὶ Βάττου.*
227) *Περὶ Βήρου.*
228) *Περὶ Βασιλικοῦ τοῦ σοφιστοῦ.*

*Ποιηταί.**)

229) *Περὶ Βακχυλίδου τοῦ λυρικοῦ.*
230) *Περὶ Βάττωνος.*

Φιλόσοφοι.

231) *Περὶ Βαβοῦς.*
232) *Περὶ Βώλου τοῦ Δημοκριτίου.*
233) *Περὶ Βίαντος.*
234) *Περὶ Βώλου τοῦ Πυθαγορείου.*
235) *Περὶ Βίωνος.*
236) *Περὶ τοῦ Βουθοίνα Ἡρακλέους.*

Γ

237) *Περὶ Γάγγου τοῦ δεκαπήχεως.*
238) *Περὶ Γανυμήδους.*
239) *Περὶ Γαργίττου τοῦ κυνός.*
240) *Περὶ γεωργίας, πῶς εὑρέθη.*
241) *Περὶ Γηρυόνου.*
242) *Περὶ Γλαύκου τοῦ Ἀθηναίου.*
243) *Περὶ Γλαύκου τοῦ Μίνωος.*
244) *Περὶ Γλαύκου τοῦ θαλαττίου.*
245) *Περὶ Γιγάντων τῶν σπαρέντων καὶ φυέντων αὐθήμερον.*
246) *Περὶ Γοργόνων.*

Ἰατροί.

247) *Περὶ Γύγου.*
248) *Περὶ Γεσίου τοῦ ἰατροσοφιστοῦ.*
249) *Περὶ Γαϊανοῦ τοῦ ῥήτορος.*
250) *Περὶ Γενεθλίου.*
251) *Περὶ Γοργίου.*
252) *Περὶ Γλαύκωνος.*

Δ

253) *Περὶ Δαιδάλου.*
254) *Περὶ Δακτύλων τῶν καλουμένων Ἰδαίων.*
255) *Περὶ τῆς δαιμόνων λιχνείας.*
256) *Περὶ Δανάης.*
257) *Γενεαλογία Περσέως τοῦ τῆς Δανάης.***)
258) *Περὶ Δαρδάνου.*
259) *Περὶ Δάφνης.*
260) *Περὶ Δαναοῦ.*

---

*) Titulos *Ποιηταί*, mox *Φιλόσοφοι* ante *περὶ Βαβοῦς*, *Ἰατροί* ante *περὶ Γύγου* ego addidi.

**) *Γενεαλογία Περσέως τοῦ τῆς Δανάης* om. PV.

261) *Δελφίνιος διὰ τί ὁ Ἀπόλλων.*
262) *Περὶ τοῦ δέρατος τοῦ χρυσομάλλου.*
263) *Περὶ Δευκαλίωνος.*
264) *Περὶ Δημάρχων.*
265) *Πεδὶ τοῦ Δελφικοῦ τρίποδος.*
266) *Περὶ Δήμητρος.*
267) *Περὶ Δήμητρος καὶ Ἑστίας.*
268) *Περὶ Διδοῦς.*
269) *Περὶ δικαστηρίων τῶν ἐν Ἀθήναις.*
270) *Περὶ Διομήδους.*
271) *Περὶ Διονύσου.*
272) *Περὶ τοῦ τὸν Διόνυσον εἶναι ἀνδρόγυνον.*
273) *Περὶ τῶν κεκομμένων καὶ διεσπασμένων τὸν Διόνυσον.*
274) *Περὶ Διοσκούρων.*
275) *Περὶ Δμήτορος.*
276) *Περὶ τοῦ δουρείου ἵππου.*
277) *Περὶ δρυὸς τῆς Δωδωναίας καὶ τοῦ λέβητος.*
278) *Περὶ Δωρίππης.*

Ἱστορικοί.

279) *Περὶ Δαμάστου τοῦ χρονογράφου.*
280) *Περὶ Δαμοκρίτου τοῦ ἱστορικοῦ.*
281) *Περὶ Δημητρίου τοῦ Ἰλιέως.*
282) *Περὶ Δαμοστράτου.*
283) *Περὶ Διδύμου.*
284) *Περὶ Δίκτυος.*
285) *Περὶ Διοδώρου.*
286) *Περὶ Διονυσίου τοῦ Μιλησίου.*
287) *Περὶ Διονυσίου τοῦ Ῥοδίου.*
288) *Περὶ Δίωνος.*
289) *Περὶ Δώριδος.*

Ιατροί.

290) *Περὶ Δεξίππου τοῦ ἰατροῦ.*
291) *Περὶ Δημοκήδους.**)
292) *Περὶ Διοσκορίδου.*
293) *Περὶ Δράκοντος.*
294) *Περὶ Δαμιανοῦ τοῦ σοφιστοῦ.*

Ῥήτορες.

295) *Περὶ Δεξίππου.*
296) *Περὶ Δεινάρχου.*
297) *Περὶ Διονυσίου τοῦ Μιλησίου.*
298) *Περὶ Δημάδου.*
299) *Περὶ Διονυσίου τοῦ Ἁλικαρνασσέως.*
300) *Περὶ Δίωνος τοῦ Προυσαίου.*

Ποιηταί.

301) *Περὶ Δεινολόχου τοῦ κωμικοῦ.*
302) *Περὶ Δαμοξένου.*
303) *Περὶ Δικαιογένους.*
304) *Περὶ Διογένους τοῦ καὶ Οἰνομάου.*
305) *Περὶ Διοκλέους.*
306) *Περὶ Διονυσίου τοῦ Μιτυληναίου.*
307) *Περὶ Διονυσίου τοῦ Βυζαντίου.*
308) *Περὶ Διονυσίου τοῦ Κορινθίου.*
309) *Περὶ Διωξίππου.***)

Γραμματικοί.

310) *Περὶ Δαφίδου τοῦ γραμματικοῦ.*
311) *Περὶ Δημητρίου τοῦ Ἰξίονος.*
312) *Περὶ Διδύμου.*
313) *Περὶ Δικαιάρχου.*
314) *Περὶ Διογενειανοῦ.*

---

*) *περὶ Δημοκήδους* om. V.
**) *περὶ Δεξίππου* perperam PV.

315) *Περὶ Διονυσίου τοῦ γραμματικοῦ.*
316) *Περὶ Δράκοντος.*

Φιλόσοφοι.

317) *Περὶ Δαμασκίου τοῦ φιλοσόφου.*
318) *Περὶ Δαμοφίλου.*
319) *Περὶ Δημοκρίτου.*
320) *Περὶ Διδύμου.*
321) *Περὶ Δικαιάρχου.*
322) *Περὶ Δημητρίου τοῦ Φαληρέως.*
323) *Περὶ Διοδώρου τοῦ Οὐαλερίου.*
324) *Περὶ Διοδώρου τοῦ καὶ Κρόνου.*
325) *Περὶ Διονυσίου υἱοῦ τοῦ τυράννου.*
326) *Περὶ Διονυσίου τοῦ Μεταθεμένου.*
327) *Περὶ Δίωνος.*
328) *Περὶ Διαγόρου.*
329) *Περὶ Διογένους τοῦ φυσικοῦ.*
330) *Περὶ Δίωνος τοῦ Προυσαέως.*
331) *Περὶ Δομίνου τοῦ φιλοσόφου.*
332) *Περὶ Διογένους τοῦ κυνικοῦ.*

Ε

333) *Περὶ Εἰρεσιώνης.*
334) *Περὶ τοῦ εἰς Κυνόσαργες λεγομένου.*
335) *Περὶ Ἑκάβης.*
336) *Περὶ Ἑκάτης.*
337) *Περὶ τῶν Ἑκατογχείρων.*
338) *Περὶ Ἐλάρης.*
339) *Περὶ Ἐλεγεΐδος, τῆς καὶ Πειροῦς.*
340) *Περὶ Εἰδοθέας.*
341) *Διατί Ἑλλωτὶς ἡ Ἀθηνᾶ εἴρηται.*
342) *Περὶ Ἕλλης καὶ Φρίξου.*
343) *Περὶ Ἐμπούσης.*
344) *Περὶ Ἐνδυμίωνος.*
345) *Διατί Ἐνόρχης ὁ Διόνυσος.*
346) *Περὶ Ἐννοῦς.*
347) *Περὶ Ἐπειοῦ.*
348) *Περὶ Ἐπικράτους.*
349) *Περὶ Ἐπιμενίδου.*
350) *Περὶ Ἐρεχθέως.*
351) *Περὶ Ἐριννύων.*
352) *Περὶ Ἑλένης.*
353) *Περὶ Ἑρμοῦ.*
354) *Περὶ Ἔρωτος.*
355) *Περὶ Ἐριχθονίου.*
356) *Περὶ Ἑσπερίδων.*
357) *Περὶ Εὐήνου.*
358) *Περὶ Εὐμαίου.*
359) *Περὶ Εὐρυβάτου.*
360) *Περὶ Ἐριφύλης.*
361) *Περὶ Εὐρυπύλου.*
362) *Περὶ Εὐρύτου.*
363) *Περὶ Εὐρώπης τῆς Ἀγηνορος.*
364) *Περὶ Ἐχέτου.*

Ἱστορικοί.

365) *Περὶ Ἑκαταίου τοῦ ἱστορικοῦ.*
366) *Περὶ Ἑλλανίκου τοῦ Μιλησίου.*
367) *Περὶ Ἑλλανίκου τοῦ Μιτυληναίου.*
368) *Περὶ Εὐαγόρου.*
369) *Περὶ Ἐφίππου.*
370) *Περὶ Εὐσταθίου.*
371) *Περὶ Ἐφόρου.*

Ῥήτορες.

372) *Περὶ Ἑρμαγόρου τοῦ ῥήτορος.*
373) *Περὶ Εὐοδιανοῦ.*
374) *Περὶ Ἐπιφανίου τοῦ σοφιστοῦ.*

375) Περὶ Ἑλικωνίου τοῦ Βυζαντίου.
376) Περὶ Ἑρμογένους.
377) Περὶ Εὐδήμου.
378) Περὶ Εὐστεφίου.
379) Περὶ Εὐσεβίου τοῦ Ἀραβίου.
380) Περὶ Εὐστοχίου τοῦ σοφιστοῦ.

Ποιηταί.

381) Περὶ Ἐπιγένους τοῦ κωμικοῦ.
382) Περὶ Ἐπιμενίδου.
383) Περὶ Ἐπικράτους.
384) Περὶ Ἐπινίκου.
385) Περὶ Ἐπιχάρμου.
386) Περὶ Ἐρίφου.
387) Περὶ Ἑρμίππου.
388) Περὶ Εὐθυκλέους.
389) Περὶ Εὐμόλπου.
390) Περὶ Εὐόδου.
391) Περὶ Εὐπόλιδος.
392) Περὶ Εὐφορίωνος.*)
393) Περὶ Εὐφορίωνος τοῦ Χαλκιδέως.
394) Περὶ Εὔφρονος.

Γραμματικοί.

395) Περὶ Ἐπαφροδίτου τοῦ γραμματικοῦ.
396) Περὶ Ἑλλαδίου τοῦ γραμματικοῦ.
397) Περὶ Ἑρμολάου.
398) Περὶ Εὐγενίου.
399) Περὶ Εὐδαίμονος.
400) Περὶ Εἰρηναίου.
401) Περὶ Ἑκαταίου.

Φιλόσοφοι.

402) Περὶ Ἐμπεδοκλέους.
403) Περὶ Ἐμπεδοτίμου.
404) Περὶ Ἐπικτήτου.
405) Περὶ Ἐρατοσθένους.
406) Περὶ Ἐπικούρου.
407) Περὶ Ἑρμαγόρου.
408) Περὶ Ἐπιχάρμου.
409) Περὶ Ἐπαμινώνδου.
410) Περὶ Ἑρμείου.
411) Περὶ Εὐδόξου.

Z

412) Περὶ Ζαμόλξιδος.
413) Περὶ Ζευξίππης.
414) Περὶ Διός.
[Περὶ Διὸς πάντα γινομένου διὰ τὰς γυναῖκας.]
[Περὶ τοῦ νεφεληγερέτου Διὸς πρὸς τὴν Ἥραν.
Περὶ τοῦ ἐμπεσόντος φόβου τῷ Διΐ.
Περὶ τῆς συνεύσεως τῶν ὀφρύων καὶ συγκινήσεως τῶν τριχῶν τοῦ Διός.
Περὶ τοῦ ἐν Κρήτῃ τάφου τοῦ Διός.
Ποσαχῶς ὁ Ζεύς, ἤτοι περὶ τῶν ἐπωνυμιῶν αὐτοῦ.
Περὶ τοῦ γάμου τοῦ Διὸς καὶ τῆς Ἥρας.]
415) Περὶ Ζήθου καὶ Ἀμφίονος.
416) Περὶ Ζήτου καὶ Καλάϊδος.
417) Περὶ Ζωπύρου τοῦ Βαβυλωνίου.

Ῥήτορες.

418) Περὶ Ζηνοβίου τοῦ σοφιστοῦ.
419) Περὶ Ζωΐλου.
420) Περὶ Ζωσίμου.

Γραμματικοί.

421) Περὶ Ζηνοδότου τοῦ γραμματικοῦ.
422) Περὶ Ζηνοδότου τοῦ Ἐφεσίου.
423) Περὶ Ζωναίου.

---

*) περὶ Εὐφορίωνος om. V.

Φιλόσοφοι.

424) *Περὶ Ζήνωνος τοῦ Ἐλεάτου φιλοσόφου.*

425) *Περὶ Ζήνωνος τοῦ Σιδωνίου.*

426) *Περὶ Ζήνωνος τοῦ Ταρσέως.*

427) *Περὶ Ζήνωνος τοῦ Μνασέου.*

428) *Περὶ Ζήνωνος τοῦ Κιτιέως.*

429) *Περὶ Ζωροάστρου.*

430) *Περὶ Ζωρομάσδρου.*

431) *Περὶ Ζωσίμου.*

Η

432) *Περὶ Ἥβης.*

433) *Περὶ Ἡετίωνος.*

434) *Περὶ Ἡλίου καὶ τῶν παίδων αὐτοῦ.*

435) *Περὶ Ἥρας.*

[*Περὶ τῆς Ἥρας ἐν τῷ αἰθέρι καὶ ταῖς νεφέλαις κρεμαμένης σιδηροδέτου.*

Περὶ τοῦ τῆς Ἥρας ἐν τῷ Ἄργει ἱδρύματος.]

436) *Περὶ Ἡρακλέους.*

437) *Περὶ ἡρώων τῶν παρὰ τοῖς Ἕλλησι.*

438) *Περὶ τοῦ Ἠλυσίου πεδίου.*

439) *Πόσοι καὶ τίνες οἱ Ἀργοναῦται ἥρωες καὶ τίνες καὶ πόθεν.*

440) *Τίνες οἱ ἥρωες οἱ τὸν Καλυδώνιον σῦν κτείναντες.*

441) *Περὶ Ἡφαίστου.*

442) *Περὶ τῶν Ἡφαίστου ἀναθημάτων, Ἀφροδίτης τε καὶ Ἀρτέμιδος, Ἑρμοῦ τε καὶ Ἐρώτων.*

Θ

[*Περὶ Θεογονίας.**)]

443) *Περὶ Θέτιδος.*

444) *Περὶ Θαμύριδος.*

445) *Περὶ Θερσίτου.*

446) *Περὶ Θησέως καὶ Πειρίθου.*

447) *Περὶ Θεόγνιδος τοῦ τυράννου.*

448) *Περὶ Θρασυβούλου.*

Φιλόσοφοι.

449) *Περὶ Θαλοῦ τοῦ σοφοῦ.*

450) *Περὶ Θεανοῦς.*

451) *Περὶ Θεαιτήτου τοῦ ἀστρολόγου.*

452) *Περὶ Θεοδοσίου τοῦ Τριπολίτου.*

453) *Περὶ Θεοφράστου.*

454) *Περὶ Θέωνος τοῦ Ἀλεξανδρέως καὶ τῶν ἄλλων.*

Ῥήτορες.

455) *Περὶ Θεοδέκτου τοῦ ῥήτορος.*

456) *Περὶ Θεοδώρου τοῦ σοφιστοῦ.*

457) *Περὶ Θεοδώρου τοῦ Γαδαρέως.*

458) *Περὶ Θεοκρίτου τοῦ ῥήτορος.*

459) *Περὶ Θεοπόμπου.*

460) *Περὶ Θέωνος τοῦ σοφιστοῦ.*

461) *Περὶ Θηραμένους τοῦ Ἀθηναίου.*

462) *Περὶ Θηραμένους τοῦ Κείου.*

463) *Περὶ Θρασυμάχου.*

Ποιηταί.

464) *Περὶ Θαλήτου τοῦ ποιητοῦ.*

465) *Περὶ Θεογνήτου.*

466) *Περὶ Θεόγνιδος.*

---

*) Ex uberiore codicis capite duos articulos publicavi: *Θεογονία* et *Διὸς παῖδες πολλοὶ ἐκ διαφόρων θεῶν τε καὶ ἡρωινῶν, ἐξ ὧν οὗτοι οἱ θεοί.*

524) *Περὶ τοῦ κέρατος τῆς Ἀμαλθείας.*
525) *Περὶ Κερβέρου.*
526) *Περὶ Κεραμικῶν.*
527) *Περὶ τοῦ κερδῴου θεοῦ.*
528) *Περὶ τοῦ Κητους τοῦ Τρωϊκοῦ.*
529) *Περὶ κολάσεων τῶν παρ' Ἕλλησι δοξαζομένων.*
530) *Περὶ Κολοιοῦ καὶ τῶν πτερῶν αὐτοῦ.*
531) *Περὶ Κόττου καὶ Βριάρεως.*
532) *Περὶ Κρόνου.*
533) *Περὶ Καλλιστοῦς.*
534) *Περὶ Κεφάλου.*
535) *Περὶ Κήϋκος.*
536) *Περὶ Κηφέως.*
537) *Περὶ Κίρκης.*
538) *Περὶ Κλυμένης.*
539) *Περὶ Κοισύρας.*
540) *Περὶ Κοννᾶ.*
541) *Περὶ Κορυδαλοῦ.*
542) *Περὶ Κρηθέως.*
543) *Περὶ Κριοῦ.*
544) *Περὶ Κτιμένης.*
545) *Περὶ Κυγχρῆος.*
546) *Περὶ Κύδωνος.*
547) *Περὶ Κυκλώπων.*
548) *Περὶ τῶν ἐς Κυνόσαργες ἀπορριπτομένων νόθων.*
549) *Περὶ τῶν κύκνων.*
550) *Περὶ Κύδωνος.*
551) *Περὶ Κύρου τοῦ Παρυσάτιδος.*
552) *Διατί Κωλῶτις ἡ Ἀφροδίτη ἐκλήθη.*

Ἱστορικοί.

553) *Περὶ Κάδμου τοῦ ἱστορικοῦ.*
554) *Περὶ Καπίτωνος.*
555) *Περὶ Κλεοξένου.*
556) *Περὶ Κλήμεντος.*
557) *Περὶ Κρίτωνος.*
558) *Περὶ Κτησίου τοῦ ἰατροῦ.*

Ῥήτορες.

559) *Περὶ Καλλινίκου τοῦ ῥήτορος.*
560) *Περὶ Κάστορος.*
561) *Περὶ Καικιλίου.*
562) *Περὶ Κεφαλίωνος.*
563) *Περὶ Κεφάλου.*
564) *Περὶ Κηφισοδήμου.*
565) *Περὶ Κόρακος.*

Ποιηταί.

566) *Περὶ Καλλιμάχου τοῦ ποιητοῦ.*
567) *Περὶ Κανθάρου.*
568) *Περὶ Καρκίνου.*
569) *Περὶ Καίσαρος Τιβερίου.*
570) *Περὶ Κορίννης.*
571) *Περὶ Κηφισοδώρου.*
572) *Περὶ Κικιλίου.*
573) *Περὶ Κλαυδιανοῦ.*
574) *Περὶ Κλεοφῶντος.*
575) *Περὶ Κλειταγόρας.*
576) *Περὶ Κολουθου.*
577) *Περὶ Κορίννου.*
578) *Περὶ Κράτητος τοῦ κωμικοῦ.*
579) *Περὶ Κρατίνου.*
580) *Περὶ Κρεωφύλου.*
581) *Περὶ Κύρου.*

Φιλόσοφοι.

582) *Περὶ Καρνεάδους τοῦ φιλοσόφου.*
583) *Περὶ Καλλίππου.*
584) *Περὶ Κέβητος.**)
585) *Περὶ Κελσίνου.*
586) *Περὶ Κλεάνθους.*
587) *Περὶ Κλεοβούλου.*
588) *Περὶ Κλεοβουλίνης.*
589) *Περὶ Κλεομβρότου.*
590) *Περὶ Κορνούτου.*
591) *Περὶ Κράτητος.*
592) *Περὶ Κρίτωνος.*

---

*) *περὶ Κέβητος* om. V.

Λ

593) Περὶ Λάδωνος τοῦ ποταμοῦ.
594) Περὶ Λακρατίδου.
595) Περὶ Λακωνικῶν ἐφήβων τῶν ξαινομένων ταῖς μάστιξι.
596) Περὶ Λαμίας.
597) Περὶ Λαμπετίας.
598) Περὶ Λαοδαμείας.
599) Περὶ Λαπίθων.
600) Περὶ Λευκοθέας.
601) Περὶ Λευχωσίας.
602) Περὶ λέοντος τοῦ ἐν οὐρανῷ.
603) Περὶ Λήδας.
604) Περὶ Λητοῦς.
605) Περὶ Λίνου.
606) Περὶ τῶν Λιτῶν.
607) Περὶ Λοκροῦ.
608) Περὶ Λυγδάμιδος τοῦ κατακαύσαντος τὸν ναὸν τῆς Ἀρτέμιδος.
609) Περὶ Λυγκέως.
610) Διατί λυκηγενὴς ὁ Ἀπόλλων.
611) Περὶ λύρας τῆς ἐν οὐρανῷ.

Ῥήτορες.

612) Περὶ Λαχάρητος τοῦ ῥήτορος.
613) Περὶ Λέοντος τοῦ Ἀλαβανδέως.
614) Περὶ Λεωνᾶ.
615) Περὶ Λιβανίου.
616) Περὶ Λουκιανοῦ.
617) Περὶ Λολλιανοῦ.
618) Περὶ Λυκούργου.
619) Περὶ Λυσίου.

Ποιηταί.

620) Περὶ Λεσχίδου τοῦ ποιητοῦ.
621) Περὶ Λεύκωνος.
622) Περὶ Λίνου.
623) Περὶ Λυσιμάχου.
624) Πεσὶ Λυσίππου.

Γραμματικοί.

625) Περὶ Λουπέρκου τοῦ γραμματικοῦ.
626) Περὶ Λυγκέως.

Φιλόσοφοι.

627) Περὶ Λέοντος τοῦ φιλοσόφου.
628) Περὶ Λεσβώνακτος.
629) Περὶ Λογγίνου.

Ἱστορικοί.

630) Περὶ Λαμπρίου τοῦ ἱστορικοῦ.
631) Περὶ Λύκου.

Μ

632) Περὶ Μακαρίας τῆς τοῦ Ἡρακλέους.
633) Περὶ τῆς τῶν Μάγων φυτικῆς προγνώσεως.
634) Περὶ Μαίρας.
635) Περὶ Μαριανδυνοῦ.
636) Περὶ Μαρπήσσης.
637) Περὶ Μαρσύου.
638) Περὶ Μαυσωλοῦ τοῦ Καρός.
639) Περὶ Μεγάρας τοῦ Ἡρακλέους.
640) Περὶ Μελάμποδος.
641) Περὶ Μελεάγρου.
642) Περὶ Μεδούσης.
643) Περὶ Μέμνονος.
644) Περὶ Μενοικέως.
645) Περὶ Μερόπης καὶ Κλαιοθήρας.
646) Περὶ Μετάβου.
647) Περὶ Μηδείας.
648) Περὶ Μίδου τοῦ Χροσομανοῦς.
649) Περὶ τῆς Μίθρου κολάσεως.
650) Περὶ Μίλωνος τοῦ Κροτωνιάτου.
651) Περὶ Μίνωος.

652) *Περὶ Μορμοῦς.*
653) *Περὶ Μολιονίδων.*
654) *Περὶ τῶν Μοιρῶν.*
655) *Περὶ τῶν Μουσῶν.*
656) *Περὶ μυστηρίων τῶν ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς.*
657) *Περὶ Μυρμιδόνων.*
658) *Περὶ Μύρρας.*

Ἱστορικοί.

659) *Περὶ Μαρσύου τοῦ ἱστορικοῦ.*
660) *Περὶ Μαναίχμου.*
661) *Περὶ Μενάνδρου.*

Ἰατροί.

662) *Περὶ Μαρκέλλου τοῦ ἰατροῦ.*
663) *Περὶ Μενεκράτους.*
664) *Περὶ Μέτωνος.*

Φιλόσοφοι.

665) *Περὶ Μαναίχμου τοῦ φιλοσόφου.*
666) *Περὶ Μαξίμου τοῦ Τυρίου.*
667) *Περὶ Μαξίμου τοῦ Ἠπειρώτου.*
668) *Περὶ Μαρίνου.*
669) *Περὶ Μουσωνίου.*
670) *Περὶ Μυροῦς.*

Ῥήτορες.

671) *Περὶ Μαΐωρος τοῦ ῥήτορος.*
672) *Περὶ Μάλχου.*
673) *Περὶ Μαρκέλλου.*
674) *Περὶ Μαρψίου.*
675) *Περὶ Μελησέρμου.*
676) *Περὶ Μελήτου.*
677) *Περὶ Μενάνδρου.*
678) *Περὶ Μητροφάνους.*
679) *Περὶ Μινουκιανοῦ.*

Ποιηταί.

680) *Περὶ Μάγνητος τοῦ κωμικοῦ.*
681) *Περὶ Μελανιππίδου.*
682) *Περὶ Μενάνδρου.*
683) *Περὶ Μενελάου.*
684) *Περὶ Μενίππου.*
685) *Περὶ Μεσομήδους.*
686) *Περὶ Μεταγένους.*
687) *Περὶ Μιμνέρμου.*
688) *Περὶ Μνησιμάχου.*
689) *Περὶ Μορσίμου.*
690) *Περὶ Μουσαίου.*
691) *Περὶ Μυίας.*
692) *Περὶ Μυροῦς.*
693) *Περὶ Μυρτίλου.*

Γραμματικοί.

694) *Περὶ Μιθαίκου τοῦ γραμματικοῦ.*
695) *Περὶ Μόσχου.*

N

696) *Περὶ Ναννάκου.*
697) *Περὶ Ναρκίσσου.*
698) *Περὶ τῆς γινομένης τιμῆς τῷ Νείλῳ παρὰ τῶν Αἰγυπτίων.*
699) *Περὶ Νεοπτολέμου.*
700) *Περὶ Νηλέως.*
701) *Περὶ Νηρέως.*
702) *Περὶ Νηρηΐδων.*
703) *Περὶ Νιόβης.*
704) *Περὶ Νυμφῶν.*

Φιλόσοφοι.

705) *Περὶ Νεοκλέους τοῦ φιλοσόφου.*
706) *Περὶ Νικολάου τοῦ περιπατητικοῦ.*
707) *Περὶ Νικομάχου τοῦ Σταγειρίτου.*
708) *Περὶ Νουμηνίου.*
709) *Περὶ Νικάνδρου τοῦ ἰατροῦ.*
710) *Περὶ Νικομάχου.*
711) *Περὶ Νύμφιδος τοῦ ἱστορικοῦ.*

Ῥήτορες.

712) *Περὶ Νεάνθους τοῦ ῥήτορος.*
713) *Περὶ Νικαγόρου.*

714) Περὶ Νικολάου τοῦ ῥήτορος.
715) Περὶ Νικολάου τοῦ σοφιστοῦ.
716) Περὶ Νικοστράτου.
717) Περὶ Νουμηνίου.

Ποιηταί.

718) Περὶ Ναυσικράτους τοῦ κωμικοῦ.
719) Περὶ Νεοφῶντος.
720) Περὶ Νέστορος.
721) Περὶ Νικομάχου.
722) Περὶ Νικοστράτου.
723) Περὶ Νικοφῶντος.
724) Περὶ Νικοχάρητος.
725) Περὶ Νόννου.
726) Περὶ Νικάνορος τοῦ γραμματικοῦ.

Ο.

727) Περὶ Ὀδυσσέως.
728) Περὶ Οἰδίποδος.
729) Περὶ Οἰνομάου.
730) Περὶ Οἰνώνης.
731) Περὶ Ὀϊστοῦ τοῦ ἐν οὐρανῷ.
732) Περὶ Ὀμφάλης.
733) Περὶ Ὀνειρομαντείας.
734) Περὶ Οἰωνικῆς.
735) Διατί ὄνος ἐν τῷ οὐρανῷ τιμᾶται.
736) Περὶ Ὀρέστου.
737) Περὶ Ὄρνιθος τοῦ ἐν οὐρανῷ.
738) Περὶ Ὀρφέως.
739) Περὶ Ὀσίριδος.
740) Περὶ Ὀφιούχου.
741) Περὶ Ὀρφέως τοῦ Κικοναίου καὶ ἄλλων.
742) Ὅτι ὁ Ὅμηρος Αἰγύπτιος.
743) Περὶ τῆς ἐν Ἀρκαδίᾳ τελευτῆς τοῦ Ὁμήρου.*)

Π.

744) Περὶ Παλαμήδους.
745) Περὶ Παλλαδίου.
746) Περὶ Παλλάδος.
747) Περὶ Πανός.
748) Περὶ Πανδάρεω.
749) Περὶ Πανδάρου.
750) Περὶ Πανδίονος.
751) Περὶ Πανδώρας.
752) Περὶ παρθένου τῆς ἐν οὐρανῷ.
753) Περὶ Πάριδος.
754) Περὶ Πασιφάης.
755) Περὶ Πατρόκλου.
756) Διατί πατρῷος ὁ Ζεὺς καὶ ὁ Ἀπόλλων καλεῖται.
757) Περὶ Πέλοπος.
758) Περὶ Περικλυμένου.
759) Περὶ Περσέως.
760) Περὶ Περσεφόνης.
761) Περὶ Πηγάσου.
762) Περὶ Πηλέως.
763) Περὶ Πλεϊάδων.
764) Περὶ Πολυβώτου.
765) Περὶ Πολυγνώτου.
766) Περὶ Πολυζήλου.
767) Περὶ Πολυξένης.
768) Περὶ Πολυφήμου.
769) Περὶ Ποσειδῶνος.
770) Περὶ Πριάμου.
771) Περὶ Πριάπου.
772) Περὶ Πρόκνης.
773) Περὶ Πρόκριδος.
774) Περὶ Προμηθέως.
775) Περὶ τοῦ προπίνειν.
776) Περὶ Πρύλιδος.
777) Περὶ Πρωτέως.
778) Περὶ Πυθίας.
779) Περὶ Πειρίθου καὶ Θησέως.

---

*) περὶ τῆς ἐν Ἀρκαδίᾳ τελευτῆς τοῦ Ὁμήρου om. PV.

Ἱστορικοί*).

780) Περὶ Παλαιφάτου τοῦ ἱστορικοῦ.

781) Περὶ Πανσανίου.

782) Περὶ Πολέμωνος τοῦ Ἰλιέως.

783) Περὶ Πολυβίου.

784) Περὶ Πυλάδου τῆς Ἰταλικῆς ὀρχήσεως εὑρετοῦ καὶ περὶ ὀρχήσεως.

785) Διατί οἱ ἐρῶντες μετὰ χεῖρας ἄνθη καὶ μῆλα φέρουσιν.

Ῥήτορες.

786) Περὶ Παλλαδίου τοῦ ῥήτορος.

787) Περὶ Παγκρατίου τοῦ σοφιστοῦ.

788) Περὶ Παύλου τοῦ Τυρίου.

789) Περὶ Παύλου τοῦ Γερμίνου.

790) Περὶ Πανσανίου τοῦ σοφιστοῦ.

791) Περὶ Περικλέους.

792) Περὶ Πέτρου τοῦ Μαγίστρου.

793) Περὶ Πολέμωνος.

794) Περὶ Πολυδεύκους.

795) Περὶ Πολυαίνου.

796) Περὶ Πολυκράτους.

797) Περὶ Ποσειδωνίου τοῦ Ὀλβιοπολίτου.

798) Περὶ Ποτάμωνος.

799) Περὶ Πωλίονος.

800) Περὶ Πώλου.

801) Περὶ Πρίσκου.

802) Περὶ Προαιρεσίου.

803) Περὶ Προκοπίου.

804) Περὶ Πρωταγόρου τοῦ Ἀβδηρίτου.

805) Περὶ Πυθέου.

Ποιηταί.

806) Περὶ Παλαμήδους.

807) Περὶ Παλαιφάτου τοῦ ποιητοῦ.

808) Περὶ Παμπρεπίου.

809) Περὶ Πανολβίου.

810) Περὶ Πανυάσιδος.

811) Περὶ Παρθενίου τοῦ Νικαέως.

812) Περὶ Παρθενίου τοῦ Χίου.

813) Περὶ Πεισάνδρου.

814) Περὶ Πίγρητος.

815) Περὶ Πινδάρου.

816) Περὶ Πλάτωνος τοῦ κωμικοῦ.

817) Περὶ Πολυεύκτου.

818) Περὶ Πολυζήλου.

819) Περὶ Ποσιδίππου.

820) Περὶ Πτολεμαίου τοῦ Κυθηρίου.

Γραμματικοί.

821) Περὶ Παλαμήδους τοῦ γραμματικοῦ.

822) Περὶ Παλαιφάτου τοῦ γραμματικοῦ.

823) Περὶ Παμφίλου τοῦ γραμματικοῦ.

824) Περὶ Πωλίωνος.

825) Περὶ Πτολεμαίου τοῦ γραμματικοῦ.

Φιλόσοφοι.

826) Περὶ Παμφίλης τῆς φιλοσόφου.

827) Περὶ Παμφίλου τοῦ φιλοσόφου.

828) Περὶ Παναιτίου.

829) Περὶ Πάππου τοῦ Ἀλεξανδρέως.

830) Περὶ Παρμενίδου.

831) Περὶ Παύλου τοῦ φιλοσόφου.

832) Περὶ Περιάνδρου.

833) Περὶ Περσαίου.

834) Περὶ Πιττακοῦ.

---

*) Titulum Ἱστορικοί ego adddii.

335) *Περὶ Πλάτωνος.*
836) *Περὶ Πλουτάρχου.*
837) *Περὶ Πλωτίνου.*
838) *Περὶ Πολέμωνος.*
839) *Περὶ Πόλλητος.*
840) *Περὶ Πορφυρίου.*
841) *Περὶ Ποσειδωνίου.*
842) *Περὶ Ποτάμωνος.*
843) *Περὶ Προδίκου.*
844) *Περὶ Πρόκλου τοῦ Στωϊκοῦ.*
845) *Περὶ Πρόκλου τοῦ Λυκίου.*
846) *Περὶ Πτολεμαίου τοῦ Κλαυδίου, ἐν ᾧ καὶ περὶ καταγωγῆς τῆς ἀρχῆς τοῦ γένους τῶν Πτολεμαίων, καὶ διαδοχῆς τῶν βασιλευσάντων.*
847) *Περὶ Πυθαγόρου καὶ τῶν Πυθαγωρικῶν κυάμων.*
848) *Περὶ Πύρρωνος.*

Ρ.

849) *Περὶ τῆς Ῥέας καὶ τῶν Κορυβάντων καὶ τῶν ἐκτομῶν τῶν Φρυγῶν.*
850) *Περὶ Ῥήσου.*
851) *Περὶ Ῥοιοῦς.*
852) *Περὶ Ῥηγίνου τοῦ γραμματικοῦ.*
853) *Περὶ Ῥιανοῦ τοῦ γραμματικοῦ.*
854) *Περὶ Ῥούφου τοῦ ἰατροῦ.*

Σ.

855) *Περὶ Σαλμωνέως καὶ τῶν ἐκ τῆς βύρσης βροντῶν.*
856) *Περὶ Σαρδαναπάλου.*
857) *Περὶ Σαρπηδόνος.*
858) *Περὶ Σειρήνων.*
859) *Περὶ Σεμέλης.*
860) *Περὶ Σεσογχώσιδος.*
861) *Περὶ Σιβυλλῶν.*
862) *Περὶ Σινώπης.*
863) *Περὶ Σισύφου.*
864) *Περὶ Σκεδάσου καὶ τῶν θυγατέρων αὐτοῦ.*
865) *Περὶ Σκύλλης, ἐν ᾧ καὶ περὶ τῶν ἀλλοκότων θηρίων.*
866) *Περὶ Στυμφαλίδων ὀρνίθων.*
867) *Περὶ Στυγός.*
868) *Περὶ Σφιγγὸς τῆς Καδμείας.*
869) *Περὶ Στράττιδος τοῦ ἱστορικοῦ.*

Ῥήτορες.

870) *Περὶ Σαβίνου τοῦ ῥήτορος.*
871) *Περὶ Σαλουστίου τοῦ σοφιστοῦ.*
872) *Περὶ Σαραπίονος τοῦ Ἀλεξανδρέως.*
873) *Περὶ Σιβυρτίου.*
874) *Περὶ Σιρικίου.*
875) *Περὶ Σκοπελιανοῦ.*
876) *Περὶ Σωπάτρου.*

Ἰατροί.

877) *Περὶ Σαλουστίου τοῦ ἰατροῦ.*
878) *Περὶ Σωρανοῦ τοῦ ἰατροῦ.*

Ποιηταί.

879) *Περὶ Σαννυρίωνος τοῦ κωμικοῦ.*
880) *Περὶ Σαπφοῦς.*
881) *Περὶ Σιβύλλης τῆς Ἐρυθραίας καὶ τῶν λοιπῶν.*
882) *Περὶ Σιμωνίδου.*
883) *Περὶ Σοφοκλέους.*
884) *Περὶ Σωπάτρου.*
885) *Περὶ Σωσιφάνους.*
886) *Περὶ Σωτάδου τοῦ Κρητός.*
887) *Περὶ Σωτηρίχου.*
888) *Περὶ Σωφίλου.*
889) *Περὶ Σώφρονος.*
890) *Περὶ Σπινθάρου.*
891) *Περὶ Στησιχόρου.*
892) *Περὶ Στράττιδος.*
893) *Περὶ Στράτωνος.*

Γραμματικοί.

894) *Περὶ Σελεύκου τοῦ γραμματικοῦ.*
895) *Περὶ Σερήνου.*
896) *Περὶ Σημοῦ.*
897) *Περὶ Σιμμίου τοῦ Ροδίου.*
898) *Περὶ Σωσιβίου.*
899) *Περὶ Σωτηρίδου.*

Φιλόσοφοι.

900) *Περὶ Σέξτου τοῦ φιλοσόφου.*
901) *Περὶ Σιλβανοῦ.*
902) *Περί Σιμμίου τοῦ Θηβαίου.*
903) *Περὶ Σόλωνος.*
904) *Περὶ Στίλπωνος.*
905) *Περὶ Στράβωνος.*
906) *Περὶ Στράτωνος.*
907) *Περὶ Συνεσίου.*
908) *Περὶ Συριανοῦ.*
909) *Περὶ Σώφρονος.*
910) *Περὶ Σωκράτους.*
911) *Περὶ Σωτάδου τοῦ Ἀθηναίου.*

Τ.

912) *Περὶ Ταντάλου.*
913) *Περὶ τῆς τῶν Ταύρων ξενοκτονίας.*
914) *Περὶ ταύρου τοῦ καταστερισθέντος.*
915) *Περὶ Τελαμῶνος.*
916) *Περὶ Τένου, ἀφ' οὗ Τένεδος.*
917) *Περὶ Τηλεβοῶν.*
918) *Περὶ Τηλεμάχου.*
919) *Περὶ Τηλέφου.*
920) *Περὶ Τιθωνοῦ.*
921) *Περὶ Τιτάνων.*
922) *Περὶ Τιτυοῦ.*
923) *Περὶ Τληπολέμου.*
924) *Περὶ τράγων τῶν Μενδησίων.*
925) *Περὶ Τριπτολέμου.*
926) *Περὶ Τρίτωνος.*
927) *Περὶ Τρωός, ἐξ οὗ ἡ Τροία ἐπωνομάσθη, καὶ περὶ τῆς ἁλώσεως αὐτῆς, καὶ τῆς τῶν Τρώων γεναλογίας καὶ τῆς τῶν καταλελοιπότων καταντήσεως, ἐξ ὧν κατάγεται καὶ ἡ τῶν Ῥωμαίων ἀρχή.*
928) *Γενεαλογία τῶν Τρώων βασιλέων καὶ καταγωγὴ τῶν Ῥωμαίων.**)
929) *Περὶ Τρωΐλου.*
930) *Περὶ Τροφωνίου.*
931) *Περὶ Τυροῦς.*
932) *Περὶ Τυφωέως τοῦ γίγαντος [ἀφ' οὗ καὶ ὁ τὸ χρυσοῦν δέρας φυλάσσων ὄφις ἐγεγόνει].*

Υ.

933) *Περὶ τῶν Ὑάδων Νυμφῶν.*
934) *Περὶ Ὑακίνθου.*
935) *Περὶ Ὕδρας.*
936) *Περὶ Ὕλα.*

Φ.

937) *Περὶ Φαεθούσης.*
938) *Περὶ Φαέθοντος.*
939) *Πόθεν καὶ πῶς οἱ Φαίακες ἐγεννήθησαν.*
940) *Περὶ Φαίδρας.*
941) *Φαίδρας γενεαλογία.***)
942) *Περὶ Φαλάριδος.*
943) *Περὶ φαλλῶν.*
944) *Περὶ Φάνητος.*
945) *Περὶ Φάωνος.*
946) *Περὶ Φερέκλου.*

---

*) Hunc articulum non publicavit V.
**) *Φαίδρας γενεαλογία* om. PV.

947) Περὶ Φιλοιτίου.
948) Περὶ Φιλοξένου τοῦ δουλιχοδείρου.
949) Περὶ Φημίου.
950) Περὶ Φινέως.
951) Περὶ Φοινοδάμαντος.
952) Περὶ Φόρκυνος καὶ τῶν θυγατέρων ἀυτοῦ.
953) Περὶ Φορμίωνος.
954) Περὶ Φρίξου [ἐν ᾧ καὶ γενεαλογία αὐτοῦ τε καὶ πάντων τῶν ἐξ αὐτῆς τῆς ῥίζης ἀναβλαστησάντων ἡρώων].
955) Περὶ Φρύνιδος τοῦ κιθαρῳδοῦ.
956) Περὶ Φρυνώνδου.
957) Περὶ τῆς Φρυγῶν ἐκτομῆς.
958) Περὶ Φυλέως.
959) Περὶ Φυλάκου.

Ἱστορικοί.

960) Περὶ Φερεκύδου τοῦ ἱστορικοῦ.
961) Περὶ Φιλίππου.
962) Περὶ Φιλίσκου.
963) Περὶ Φλέγωνος.
964) Περὶ Φυλάρχου.

Ῥήτορες.

965) Περὶ Φιλίππου τοῦ ῥήτορος.
966) Περὶ Φιλίσκου τοῦ Μιλησίου.
967) Περὶ Φιλοστράτου.
968) Περὶ Φιλίστου τοῦ Ναυκρατίτου.
969) Περὶ Φρυνίχου τοῦ Βιθυνοῦ.

Γραμματικοί.

970) Περὶ Φιλήτου τοῦ γραμματικοῦ.
971) Περὶ Φιλίσκου τοῦ Αἰγινήτου.
972) Περὶ Φιλοξένου.
973) Περὶ Φίλωνος.
974) Περὶ Φιλαγρίου τοῦ Ἠπειρώτου.
975) Περὶ Φαίδωνος τοῦ φιλοσόφου.
976) Περὶ Φερεκύδου.
977) Περὶ Φιλίππου Ὀπουντίου*).
978) Περὶ Φίλωνος.
979) Περὶ Φωκυλίδου.

Ποιηταί.

980) Περὶ Φερεκράτους τοῦ Ἀθηναίου.
981) Περὶ Φιλεταίρου.
982) Περὶ Φιλήμωνος τοῦ Συρακουσίου.
983) Περὶ Φιλίππου τοῦ κωμικοῦ.
984) Περὶ Φιλίσκου.
985) Περὶ Φιλιστίωνος.
986) Περὶ Φιλοκλέους.
987) Περὶ Φιλοξένου τοῦ λυρικοῦ.
988) Περὶ Φιλωνίδου.
989) Περὶ Φιλυλλίου.
990) Περὶ Φόρμου.
991) Περὶ Φρυνίχου τοῦ τραγικοῦ.
992) Περὶ Φοινικίδου.

Χ.

993) Περὶ τῆς Χαλδαίων ἀστρονομίας.
994) Περὶ Χάρητος τοῦ τὸν Κολοσσὸν κατασκευάσαντος, καὶ τίς καὶ πότε αὐτὸν καθεῖλεν.
995) Περὶ τῶν Χαρίτων.
996) Περὶ Χαρικλοῦς καὶ Φιλύρας.

---

*) περὶ φιλοσόφου PV.

997) *Περὶ Χαρύβδεως.*
998) *Περὶ Χείρωνος τοῦ Κενταύρου.*
999) *Περὶ Χιμαίρας.*
1000) *Περὶ Χρυσηΐδος.*
1001) *Περὶ χρυσῆς σειρᾶς.*
1002) *Περὶ τοῦ χρυσομάλλου δέρατος.*
1003) *Περὶ Χρύσης.*
1004) *Περὶ τῶν χρυσῶν μήλων.*

Ἱστορικοί.

1005) *Περὶ Χάρωνος τοῦ Λαμψανηκοῦ ἱστορικοῦ.*
1006) *Περὶ Χάρωνος τοῦ Καρχηδονίου.*
1007) *Περὶ Χείρωνος τοῦ Ναυκρατίτου.*

Ποιηταί.

1008) *Περὶ Χαιρήμονος τοῦ κωμικοῦ.*
1009) *Περὶ Χιωνίδου.*
1010) *Περὶ Χριστοδώρου τοῦ ποιητοῦ.*
1011) *Περὶ Χριστοδώρου τοῦ Θηβαίου.*
1012) *Περὶ Χοιρίλου τοῦ Ἀθηναίου.*
1013) *Περὶ Χάρακος τοῦ φιλοσόφου.*
1014) *Περὶ Χρυσίππου.*
1015) *Περὶ Χείρωνος τοῦ ἰατροῦ.*

Ψ.

1016) *Περὶ Ψαμμιτίχου.*

Ω.

1017) *Περὶ Ὠγύγου.*
1018) *Περὶ Ὠκεανοῦ.*
1019) *Περὶ τῶν Ὡρῶν.*
1020) *Περὶ Ὑριέως.*
1021) *Περὶ Ὠρειθυίας.*
1022) *Περὶ Ὠρίωνος.*
1023) *Περὶ Ὤτου καὶ Ἐφιάλτου.*

	ℳ. ₰
Platonis opera omnia ed. *Stallbaum.* Einzelnen:	
Vol. VIII. Sect. 1. Theaetetus. Ed. II. rec. *Wohlrab*	3. —
Vol. VIII. Sect. 2. Sophista . .	2. 70
Vol. IX. Sect. 1. Politicus et incerti auctoris Minos	2. 70
Vol. IX. Sect. 2. Philebus . . .	2. 70
Vol. X. Sect. 1. Leges. Vol. I. lib. I—IV	3. 60
Vol. X. Sett. 2. lib. V—VIII . .	3. 60
Vol. X. Sect. 3. lib. IX—XII et Epinomis	3. 60
Sophoclis tragoediae ed. *Wunderus.* 2 voll.	9. 60
Einzeln:	
Vol. I. Sect. 1. Philoctetes. Ed. IV ed. *Wecklein*	1. 50
Vol. I. Sect. 2. Oedipus tyrannus. Ed. IV	1. 20
Vol. I. Sect. 3. Oedipus Coloneus. Ed. III	1. 80
Vol. I. Sect. 4. Antigona. Ed. V ed. *Wecklein*	1. 50
Vol. II. Sect. 1. Electra. Ed. III	1. 20
Vol. II. Sest. 2. Aiax. Ed. III .	1. 20
Vol. II. Sect. 3. Trachiniae. Ed. II	1. 20

	ℳ. ₰
Thucydidis de bello Peloponnesiaco libri VIII ed. *Poppo.* Einzeln:	
Vol. I. Sect. 1. Lib. I. Ed. II .	3. —
Vol. I. Sect. 2. Lib. II. Ed. II .	2. 25
Vol. II. Sect. 1. Lib. III. Ed. II ed. *J. M. Stahl*	2. 40
Vol. II. Sect. 2. Lib. IV. Ed. II ed. *J. M. Stahl*	2. 70
Vol. III. Sect. 1. Lib. V	1. 50
Vol. III. Sect. 2. Lib. VI [Vergr.]	1. 80
Vol. IV. Sect. 1. Lib. VII . . .	1. 50
Vol. IV. Sect. 2. Lib. VIII . .	1. 50
Xenophontis Cyropaedia ed. *Bornemann.* [Vergriffen.]	1. 50
—— **Memorabilia** ed. *Kühner.* Ed. II	2. 70
—— **Anabasis** ed. *Kühner*	3. 60
Einzeln à 1 ℳ. 80 ₰. Sect. I. lib. I—IV. Sect. II. lib. V—VIII.	
—— **Oeconomicus** ed. *Breitenbach*	1. 50
—— **Agesilaus** ed. *Breitenbach* . .	1. 20
—— **Hiero** ed. *Breitenbach*	— 75
—— **Hellenica**, Sect. I. (lib. I. II.) ed. *Breitenbach*	1. 20
—— —— Sect. II. (lib. III—VII) ed. *Breitenbach*	4. 80